





BIBLIOTHECA PATRUM

ECCLESIAE CATHOLICAE

QUI

ANTE ORIENTIS ET OCCIDENTIS SCHISMA

FLORUERUNT.

DELECTU PRESBYTERORUM QUORUNDAM OXONIENSIUM.



SI JAM SATIS JACTATUS VIDERIS, FINEMQUE HUJUSMODI LABORIBUS VIS IMPONERE, SEQUERE VIAM CATHOLICAE DISCIPLINAE, QUAE AB IPSO CHRISTO PER APOSTOLOS AD NOS USQUE MANAVIT, ET AB HINC AD POSTEROS MANATURA EST.

S. Aug. de Util. Credendi, c. 8.

OXONII:

EXCUDEBAT J. WRIGHT, ACADEMIAE TYPOGRAPHUS.

VENEUNT IBIDEM APUD J. H. ET JAC. PARKER;

LONDINI APUD F. ET J. RIVINGTON.

M.DCCC.LXI.

SANCTI PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTINOPOLITANI

INTERPRETATIO

OMNIUM EPISTOLARUM PAULINARUM

PER HOMILIAS FACTA.

TOMUS VI.

CONTINENS HOMILIAS IN EPISTOLAS AD
TIMOTHEUM, TITUM ET PHILEMONEM.

OXONII:
EXCUDEBAT J. WRIGHT, ACADEMIAE TYPOGRAPHUS.
VENEUNT IBIDEM APUD J. H. ET JAC. PARKER;
LONDINI APUD F. ET J. RIVINGTON.
M.DCCC.LXI.

SANCTI PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTINOPOLITANI

IN DIVI PAULI

EPISTOLAS AD TIMOTHEUM, TITUM ET PHILEMONEM

HOMILIAE.



EDITIO NOVA

AD FIDEM CODICUM MSS. ET VERSIONUM ANTIQUARUM
DILIGENTER CASTIGATA.

OXONII:

EXCUDEBAT J. WRIGHT, ACADEMIAE TYPOGRAPHUS.

VENEUNT IBIDEM APUD J. H. ET JAC. PARKER;

LONDINI APUD F. ET J. RIVINGTON.

M.DCCC.LXI.

MAXIME REVERENDO IN CHRISTO PATRI

GULIELMO

ARCHIEPISCOPO CANTUARIENSI,

ANGLIAE TOTIUS PRIMATI ET METROPOLITANO,

OLIM IN HAC NOSTRA ACADEMIA SACRAE THEOLOGIAE PROFESSORI REGIO,

DICATUR

HAEC BIBLIOTHECA
PRISCORUM PATRUM, EPISCOPORUM,
DOCTORUM, CONFESSORUM, MARTYRUM,
SANCTAE AC CATHOLICAE CHRISTI ECCLESIAE,

QUO PIETATI SATISFIAT

ERGA NOMEN VENERABILE

ET

PATERNI ANIMI BENEVOLENTIAM.

MONITUM.

DE reliquiis Chrysostomicis in hac *sexta* nostri incepti parte inclusis (quae quidem propter aliud gravissimum opus a nobis susceptum debito serius prodit) idem tenendum est, quod in praefatiuncula praecedentis voluminis significavimus; exemplar scilicet magis genuinum illud esse, quod primo Editori Veronensi ad manum erat; quodque nunc quam maxime purgatum et emaculatum, rejectis interpolationibus quas Savilius ex altera recensione textui archetypo accommodavit, nos Lectoris intelligentis judicio permittimus. Nimirum quod Vir summus, et de Chrysostomo optime meritus, de indole Codicis sui ipse suspicatus est, "scribam non tam scribae functum aliquando videri munere, quam *explanatoris*," id nos, longo tam ipsius Auctoris quam Interpolatoris ejus usu edocti, pro certo affirmare, et probationibus, si occasio detur, adstruere ausimus. Nunc ad rem praesentem properamus.

In castigandis Commentariis in Epistolas ad Timotheum, Titum et Philemonem Savilio praesto erat idem liber Augustanus, quo ad Homilias in Epist. ad Colos-

senses usus est. Pertinet Codex, ut modo innuimus, ad eam textus recensionem, quam ut a correctore quodam, docto quidem et diligenti, correctore tamen profectam, nos in marginem relegavimus. Nunc de singulis opusculis videndum est.

I. Homilias in Epistolam ad Timotheum utramque Montefalconius cum Colb. Codice num. 616. et cum alio Colb. num. 909. contulisse profitetur, quorum neutrum ad finem usque operis pertingere testatur. In usum praesentis Editionis collati sunt Codices quinque; videlicet

B. Regius 743. olim Colb. 909. a Montefalconio memoratus. Hunc librum, eadem litera signatum, ad Homilias in Epistolas ad Coloss. et Thessalon. adhibuimus.

C. Musei Britannici, Burney 48. Continet in duobus voluminibus, in *folio*, chartaceis, Chrysostomi Homilias in Epistolas ad Gal. Ephes. Philipp. Coloss. Thessalon. et Hebraeos. A fol. 221. Tomi secundi incipit exemplar Epistolarum Catholicarum, alia manu saec. XIV. nitide descriptum. Vid. *F. H. Scrivener* Introductio ad Cod. Augiensem, p. lxii.

I. Mosquensis, Bibliothecae SS. Synodi num. CIX. Continet Homilias in Epistolas ad Timotheum, Philemonem et Thessalonicenses. Vid. *Matthaei*. Nov. Test. Tom. VI. p. 276. Praesentem librum etiam ad Thessalonicenses, sed non eadem diligentia ac fide tractatum, in consilium vocavimus.

K. Monacensis 377. descriptus in Monito ad Tom. V. p. xi. Continet Homilias in Epistolas ad Thessalon. Tim. Tit. Philem. et Hebraeos. "Translatus est hic liber MS. ex Bibliotheca Augustana in regiam Monacensem. A Reisero, Bibliothecae Augustanae olim praefecto, signatus erat p. 2. n. 11." THEOD. KRABINGER.

L. Laurentianus, Plut. 8. num. 2. Saeculi XI. Vid. Monitum ad Tom. V. p. xii. Continet Homilias in Epistolam priorem, non posteriorem.

Praeter libros recensitos penes nos sunt collationes Codicis Regii 744. in quo Eclogae uberrimae, et Mosquensis Biblioth. SS. Synodi num. CII. quas hic illic appellavimus. Alius liber Vindobonensis Lamb. CXXXVII. in quo deest Argumentum, ad quatuor priores Sermones collatus est.

II. Homiliae in Epistolam ad Titum cum duobus Codd. Colb. a Benedictinis collatae sunt; quorum prior num. 3106. [hodie 745. membranaceus, saec. XII. ab Editore Benedictinae nuper Parisiis repetitae denuo evolutus] a media secunda Homilia incipit; alter num. 4183. partem tertii et quinti Sermonis tantum habet. Nobis praesto erant Codices qui sequuntur:

C. Mus. Brit. Burney 48.

D. Vindobonensis Lambec. CXXXIX. Collator selectas lectiones Codicis Lambec. CXXXV. enotavit.

K. Monacensis 377.

L. Monacensis 353. Membranaceus, saeculi X. constans foliis 242. a Krabingero collatus. Vid. Monitum ad Tom. IV. p. iii. ubi nobis est A.

M. Mosquensis, Bibliothecae SS. Synodi num. CIII. Membranaceus, in *folio*, saec. X. aut XI. Continet in foliis 164. Chrysostomi Homilias in Epist. posteriorem ad Corinthios, et ad Titum. Vid. *Matthaei.* Nov. Test. Tom. VI. p. 275.

III. Restant pauculae, nec magni momenti, in Epistolam ad Philemonem Homiliae, a Montefalconio non nisi cum ante dicto Cod. Colb. 3106. hodie Reg. 745.

quem mendis scatere testatur, comparatae. Codices nostrum in usum collati, sunt

C. Mus. Brit. Burney 48.

E. Regius 745. a Montefalconio tractatus.

G. Mosquensis, Bibliothecae SS. Synodi num. CVIII. Descriptus in Monito ad Tom. IV. p. iv.

I. Mosquensis, ejusdem Bibliothecae num. CIX. Vid. Monitum ad Tom. V. p. xi.

K. Monacensis 377.

Catenas in Epistolas ad Timotheum, Titum, Philemonem et Hebraeos e Codice Coislin. 204. edidit J. A. Cramer, Oxonii, anno MDCCCXLIII. Ex his rivulis ipsos fontes plurimis in locis, etiam ubi in Codicibus Chrysostomicis nihil subsidii inesset, pristino nitori restituimus.

Sermones in Epistolas ad Timotheum Latine vertit Interpres incertus, qui, judice Savilio, "sine dubio aliud a Veronensi secutus est exemplar." Ceterorum versionem confecit Ambrosius Camaldulensis.

Quod reliquum est, ad unam quae superest nostri incepti portionem, cujus in gratiam amplissimo collationum apparatu jamdudum muniti sumus, nunc ceteris omnibus posthabitis accingimur. Proinde ut volumen *septimum*, idemque ultimum, Commentaria in Epistolam ad Hebraeos, necnon Indices ad totum opus concinnatos continens, intra biennium in lucem prodeat, nil nisi Lectoris benevolentia, et Dei Opt. Max. gratia ac tutela requiritur.

F. F.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΠΡΩΤΗΝ.

ΥΠΟΘΕΣΙΣ. A

ΤΩΝ τοῦ ἀποστόλου [a]μαθητῶν ὁ Τιμόθεος ἦν. Καὶ [1]μαρτυρεῖ [b]μὲν ὁ Λουκᾶς, ὅτι θαυμαστός τις νέος ἦν, [c]μαρτυρούμενος ὑπὸ τῶν ἐν Λύστρᾳ καὶ Ἰκονίῳ ἀδελφῶν· [d]ὃς ἅμα τε μαθητὴς ἐγένετο, καὶ διδάσκαλος· καὶ οὕτω [e]σφόδρα συνετὸς ἦν, ὡς ἀκούων Παύλου χωρὶς [f]περιτομῆς κηρύσσοντος, καὶ μαθὼν ὅτι καὶ Πέτρῳ ἀντέστη τούτου ἕνεκεν, ἑλέσθαι μὴ μόνον τὸ ἐναντίον [g]μὴ κηρῦξαι, ἀλλὰ καὶ παθεῖν· [2]περιέτεμε γὰρ αὐτὸν, φησὶν, ἐν ἡλικίᾳ τοιαύτῃ· ουτω τε αὐτῷ πᾶσαν τὴν B [h]οἰκονομίαν ἐνεπίστευσεν. Ἤρκει μὲν οὖν ὁ τοῦ Παύλου πόθος δεῖξαι τὸν ἄνδρα, ὅστις ἐστί. Καὶ γὰρ καὶ ἀλλαχοῦ αὐτῷ μαρτυρεῖ γράφων, [i]καὶ λέγων· [3]“Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον·” καὶ Κορινθίοις πάλιν ἐπιστέλλει λέγων· “Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν

[1] Act. xvi. 2. [2] Ibid. v. 3. [3] Philipp. ii. 22. 1 Cor. iv. 17. xvi. 10, 11. Hebr. xiii. 23.

Codices B.C.I. (initio mutilus) K.L. [a] μαθητῶν]+εἷς καὶ B.K. Sav. Mor. Ben. invita Cat. [b] μὲν erasum in K. [c] μαρτυρούμενος] ἐμαρτυρεῖτο γὰρ B.K. Mox ἐν Λύστροις Cat. [d] ὃς] οὗτος B.K. [e] σφόδρα om. L. [f] περιτομῆς]+διδάσκοντος καὶ L. [g] μὴ om. L. Cat. [h] οἰκουμένην C. [i] καὶ λέγων om. B.C.K. inclusum a Sav. Mox καὶ πάλιν ἐπιστέλλων Κορινθίοις λέγει C.

κυρίῳ·" καὶ πάλιν· " Βλέπετε μή τις αὐτὸν ἐξουθενήσῃ· τὸ γὰρ
ἔργον κυρίου ἐργάζεται, ὡς κἀγώ·" καὶ Ἑβραίοις δὲ γράφων
ἔλεγε· " Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον·" καὶ
πολλὴν πανταχόθεν εὕροι τις ἂν αὐτοῦ τὴν ἀγάπην. Καὶ τὰ
νῦν δὲ γενόμενα θαύματα δείκνυσιν αὐτοῦ τὴν παρρησίαν. Εἰ
C δέ τις ἐξετάζοι, τί δήποτε Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις,
καίτοιγε καὶ Σίλας τῶν εὐδοκίμων ἦν, [k]καὶ Λουκᾶς· φησὶ γὰρ
[l]αὐτὸς γράφων· [4]"Καὶ [m]Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ·" καὶ Κλή-
μης δὲ εἷς τῶν συνόντων αὐτῷ ἐτύγχανε· φησὶ [n]γὰρ περὶ αὐτοῦ·
" Μετὰ [o]καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου·" τίνος
οὖν [p]ἕνεκεν Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις; Ὅτι τούτοις
ἤδη ἐκκλησίας ἦν ἐγκεχειρικὼς, ἐκείνους δὲ ἔτι μεθ' ἑαυτοῦ περι-
ῆγε· τούτους [q]δὲ φανεροῖς τισι τόποις ἀφώρισε. Τοσαύτη
548 γὰρ ἦν αὐτῷ [r]ἡ ὑπερβολὴ τῆς ἀρετῆς, ὡς [s]μηδὲ τὴν νεότητα
ἐμποδίσαι. [t]Διὰ τοῦτο γράφων φησί· [5]" Μηδείς σου τῆς
νεότητος καταφρονείτω·" [v]καὶ πάλιν, " Τὰς νεωτέρας, φησὶν,
ὡς ἀδελφάς." Ὅταν γὰρ ᾖ ἀρετὴ, πάντα περιττὰ, καὶ οὐδὲν
ἐμποδὼν γένοιτ' ἄν. Καὶ γὰρ περὶ ἐπισκόπων διαλεγόμενος, καὶ
πολλὰ [w]καταλέξας, οὐδαμοῦ περὶ τῆς ἡλικίας ἀκριβολογεῖται. Εἰ
δὲ λέγοι [x]γράφων· [6]" Τέκνα ἐν ὑποταγῇ ἔχοντα," καὶ, " Μιᾶς
γυναικὸς ἄνδρα," οὐ τοῦτό φησιν, ὡς ἀναγκαῖον καὶ τέκνα ἔχειν
B καὶ γυναῖκα, ἀλλ', εἰ συμβαίη ποτὲ ἀπὸ κοσμικῶν ἄγεσθαι, ἵνα
τοιοῦτοι ὦσιν, ὡς καὶ οἰκίας εἰδέναι προεστάναι καὶ παίδων καὶ
τῶν ἄλλων ἁπάντων. Εἰ γὰρ καὶ κοσμικὸς εἴη, καὶ μηδὲ ἐν (250)
τούτοις χρήσιμος γεγονὼς, πῶς ἂν ἐμπιστευθείη φροντίδα ἐκ-
κλησίας; Τίνος δὲ ἕνεκεν [y]ἐπέστελλε τῷ μαθητῇ, εἰς διδασκα-
λίαν τεταγμένῳ λοιπόν; [z]οὐ γὰρ ἔδει πρότερον ἀπαρτισθῆναι
αὐτὸν, εἶτα πέμπεσθαι; Ἀλλ' ἐδεῖτο διδασκαλίας, [a]οὐ τῆς αὐ-
τῆς ἧς οἱ μαθηταὶ, ἀλλὰ τῆς διδασκάλῳ πρεπούσης. Ὅρα οὖν
C αὐτὸν δι' ὅλης τῆς ἐπιστολῆς διδασκάλῳ προσήκουσαν ποιού-
μενον τὴν διδασκαλίαν. Καὶ εὐθέως ἐκ τοῦ προοιμίου [b]οὐκ
εἶπεν, ἵνα μὴ προσέχῃς τοῖς ἑτεροδιδασκαλοῦσιν, ἀλλὰ τί;
[7]"Ἵνα παραγγείλῃς αὐτοῖς μὴ ἑτεροδιδασκαλεῖν."

[4] 2 Tim. iv. 11. Philipp. iv. 3. [5] 1 Tim. iv. 12. v. 2. [6] Ibid. iii. 4, 2. [7] Ibid. i. 3.

[k] καὶ Λ. om. L. Veron. Post Λουκᾶς add. ὁμοίως B.K. Sav. cet. [l] ὁ αὐτὸς B.K. Statim καὶ om. B.C.K. [m] Λουκᾶς] Σίλας Veron. [n] γὰρ]+καὶ B.K. Sav. cet. [o] καὶ om. C. [p] ἕνεκα C. et sic passim. [q] δὲ om. B.K. Mox ἀφορίσας iidem. [r] ἡ om. B.K. [s] μηδὲν B.K. Sav. cet. Mox ἐμποδοῦν L. [t] διὰ—φησὶ] ὅτι δὲ νέος ἦν, ἄκουε τί φησι γράφων πρὸς αὐτὸν B.K. [v] καὶ—ἀδελφὰς om. B.C.K. inclusum a Sav. [w] καταλέξας] περὶ αὐτῶν εἰπὼν B.K. Sav. cet. [x] γράφων om. B.C.K. inclusum a Sav. [y] ἐπέστελλε]+φησὶ B.K. Sav. cet. [z] οὐ γὰρ ἔδει] ἔδει γὰρ B.K. [a] οὐ] εἰ καὶ μὴ B.K. [b] οὐκ] οὐ γὰρ B.K.

ΛΟΓΟΣ Α.

[1]Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν θεοῦ σω-
τῆρος ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, D
Τιμοθέῳ [a]γνησίῳ τέκνῳ ἐν [b]πίστει.

ΜΕΓΑ τὸ τοῦ ἀποστόλου ἀξίωμα ἦν, μέγα καὶ θαυμαστόν·
καὶ πανταχοῦ ὁρῶμεν τὸν Παῦλον προτιθέντα τὰς αἰτίας τοῦ
ἀξιώματος, οὐχ ὡς ἁρπάζοντα τὴν τιμὴν, ἀλλ' ὡς ἐγχειρι-
σθέντα, καὶ ἀνάγκην ἔχοντα. Καὶ γὰρ ὅταν λέγῃ κλητὸν ἑαυτὸν,
καὶ ὅταν λέγῃ, [2]"Διὰ θελήματος θεοῦ," καὶ πάλιν ἀλλαχοῦ, E
"Ἀνάγκη γάρ μοι ἐπίκειται," καὶ ὅταν εἰς τοῦτο ἀφωρίσθαι
λέγῃ, [c]καὶ ταῦτα πάντα ἀναίρεσις φιλοτιμίας [d]ἐστὶ καὶ ἀλαζο-
νείας. Ὥσπερ [e]γὰρ ὁ ἐπιπηδῶν μὴ [f]δεδομένῃ παρὰ [g]τοῦ θεοῦ
τιμῇ, μέμψεως ἄξιος τῆς ἐσχάτης· οὕτως ὁ διακρουόμενος καὶ
ἀποπηδῶν, ἑτέρων ἐστὶν ἐγκλημάτων ὑπεύθυνος, παρακοῆς καὶ
ἀπειθείας. Τοῦτο γοῦν καὶ νῦν ἐν ἀρχῇ τῆς πρὸς Τιμόθεον F
ἐπιστολῆς ὁ Παῦλός φησιν, οὕτω λέγων· "Παῦλος ἀπόστολος
[h]Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν θεοῦ." Οὐκ εἶπεν ἐνταῦθα,
Παῦλος κλητὸς, ἀλλὰ, "κατ' ἐπιταγήν." Ἵνα γὰρ μή τι ἀν-
θρώπινον πάθῃ ὁ Τιμόθεος, νομίζων ἐξ ἴσης αὐτῷ διαλέγεσθαι
καὶ τοῖς μαθηταῖς, διὰ τοῦτο οὕτως ἤρξατο. Καὶ ποῦ ἐπέταξεν 549
αὐτῷ ὁ θεός; Εὑρίσκεται [i]γὰρ τὸ πνεῦμα λέγον ἐν ταῖς
Πράξεσι τῶν ἀποστόλων, [3]"Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ
[k]τὸν Βαρνάβαν." Καὶ πανταχοῦ δὲ γράφων [l]προστίθησι τὸ
(251) ὄνομα τοῦ ἀποστόλου, παιδεύων τὸν ἀκούοντα μὴ νομίζειν ἀν-
θρώπινα εἶναι τὰ λεγόμενα· ὁ γὰρ ἀπόστολος οὐδὲν ἂν ἴδιον
λέγοι· καὶ εἰπὼν ἀπόστολον, εὐθέως τοῦ ἀκροατοῦ τὴν διάνοιαν
[m]εἰς τὸν ἀποστείλαντα παραπέμπει. Διὰ τοῦτο πασῶν τῶν
ἐπιστολῶν τοῦτο [n]προτίθησιν, ἀξιόπιστον τὸν λόγον ποιῶν,
καὶ οὕτω λέγων· "Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ'
ἐπιταγὴν θεοῦ σωτῆρος ἡμῶν." Καὶ μὴν οὐδαμοῦ φαίνεται ὁ B
πατὴρ ἐπιτάξας, ἀλλὰ πανταχοῦ ὁ Χριστὸς αὐτῷ διαλέγεται,
[o]καί φησι· [4]"Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν [p]ἐξαποστελῶ

[1] Cap. I. v. 1, 2. [2] 1 Cor. i. 1. ix. 16. Rom. i. 1. [3] Act. xiii. 2. [4] Act. xxii. 21. xxvii. 24.

Hom. I. [a] τέκνῳ γνησίῳ inverso ord. K. [b] πίστει] + χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. Mor. Ben. invitis libris. [c] καὶ om. B.K. Sav. cet. [d] ἐστὶν post ἀλαζονείας transp. B. Sav. cet. [e] γὰρ om. I. [f] διδομένῃ I.K. Cat. [g] τοῦ assumtum ex B.I.K.L. Cat. [h] Χριστοῦ Ἰησοῦ L. [i] γὰρ om. B.K. Sav. Cet. Statim λέγων I.K. [k] τὸν om. C.I.L. [l] προτίθησι C. Cat. [m] εἰς] ἐπὶ C. [n] προστίθησιν I. [o] καὶ] τί γὰρ B.K. Sav. cet. καί φησι om. Veron. [p] ἐξαποστελῶ omnes. ἀποστελῶ Edd.

σε·" καὶ πάλιν, "Καίσαρί σε δεῖ παραστῆναι." Ἀλλ' ἅπερ ἂν ὁ υἱὸς ἐπιτάξῃ, ταῦτα τοῦ πατρὸς ἐπιτάγματα λέγει εἶναι, ὥσπερ καὶ τὰ τοῦ [q]πνεύματος τοῦ υἱοῦ. [r]Ἰδοὺ γὰρ ἐξεπέμφθη ὑπὸ τοῦ [s]πνεύματος, ἀφωρίσθη ὑπὸ τοῦ πνεύματος, καί φησιν ἐπιταγὴν εἶναι [t]τοῦ θεοῦ. Τί οὖν; μὴ [v]ἄρα ἔλαττοῖ τοῦ υἱοῦ
C τὴν ἐξουσίαν τὸ τὸν ἀπόστολον αὐτοῦ κατ' ἐπιταγὴν [w]τοῦ πατρὸς πεπέμφθαι; Οὐδαμῶς· ὅρα γὰρ πῶς αὐτὴν κοινὴν ἐποίησεν. Εἰπὼν γὰρ, "κατ' ἐπιταγὴν [x]θεοῦ σωτῆρος ἡμῶν," ἐπήγαγε, "[y]Χριστοῦ Ἰησοῦ, τῆς ἐλπίδος ἡμῶν." Ὅρα [z]πῶς κυρίως τὰ ἐπώνυμα τέθεικε. Καὶ μὴν ὁ ψαλμῳδὸς περὶ τοῦ πατρὸς τοῦτό φησι, λέγων, [5]"Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς·" καὶ πάλιν ὁ μακάριος Παῦλος γράφων ἑτέρωθί φησιν, "Εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ [a]ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι καὶ ἀληθινῷ." Τὸν διδάσκαλον ἀναγκαῖον κιν-
D δύνους ὑπομένειν, καὶ πολλῷ τῶν μαθητῶν πλείονας· [6]"Πατάξω γάρ, φησί, τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα." Ἐπεὶ οὖν τοῦτο γίνεται, σφοδρότερον κατ' αὐτῶν ὁ διάβολος πνεῖ, ἅτε ἐν τῇ τούτων ἀναιρέσει καὶ τοῦ ποιμνίου διασπειρομένου. Πρόβατα μὲν γὰρ ἀποκτείνας, τὸ ποίμνιον ἠλάττωσε· τὸν δὲ ποιμένα ἐκ μέσου ποιήσας, ὁλόκληρον τὴν ποίμνην ἐλυμήνατο. Ἅτε οὖν ἐν ἐλάττονι πόνῳ μείζονα ἐργαζόμενος, καὶ ἐν μιᾷ ψυχῇ τὸ πᾶν λυμαινόμενος, τούτοις [b]ἐφίσταται μᾶλλον. Διὰ τοῦτο εὐθέως ἐκ προοιμίων αὐτοῦ τὴν ψυχὴν [c]ἀνιστὰς,
E σωτῆρα τὸν θεὸν ἔχομεν, [d]φησὶ, καὶ ἐλπίδα τὸν Χριστόν. Πολλὰ πάσχομεν, ἀλλ' ἔχομεν ἐλπίδας μεγάλας· κινδυνεύομεν, ἐπιβουλευόμεθα, ἀλλ' ἔχομεν [e]σώζοντα, οὐκ ἄνθρωπον, ἀλλὰ θεόν. Οὔτε οὖν ὁ σώζων ἀσθενεῖ· θεὸς γάρ ἐστι, καὶ οἷοι ἐὰν ὦσιν οἱ κίνδυνοι, οὐ περιέσονται ἡμῶν· οὔτε ἡ ἐλπὶς καταισχύνεται· Χριστοῦ γάρ [f]ἐστι. Δύο γὰρ τούτοις φέρομεν τοὺς κινδύνους, ἢ ταχέως αὐτῶν [g]ἀπαλλαττόμενοι, ἢ χρησταῖς ἐλπίσι τρεφόμενοι. Πῶς δὲ οὐδαμοῦ τοῦ πατρὸς [h]ἑαυτὸν ἀπόστολον
F εἶναί φησιν, ἀλλὰ τοῦ Χριστοῦ; Πάντα [i]κοινοποιεῖ, καὶ εὐαγ-

[5] Psal. lxiv. 6. 1 Tim. iv. 10. [6] Matth. xxvi. 31.

[q] πνεύματος] πατρὸς B.C.K. invita Cat. [r] ἰδοὺ γὰρ] ὅρα γάρ· ἰδοὺ B.K. [s] πνεύματος] πατρὸς B.K. Vet. υἱοῦ C. [t] τοῦ accessit ex omnibus. [v] ἆρα K. Veron. [w] τοῦ] θεοῦ C. [x] θεοῦ]+καὶ K. [y] Χριστοῦ] καὶ κυρίου Χριστοῦ Sav. cet. κυρίου om. B.I.K. Vet. καὶ κυρίου om. C.L. Veron. [z] πῶς]+καὶ B.K. ὅρα—τέθεικε om. L. [a] ἀγωνιζόμεθα K. [b] ὑφίσταται I. ἐφεδρεύει B.K. [c] ἀνιστὰς] Sic Cat. ἀνιστᾷ C.I.L. Veron. ἀνιστᾷ λέγων B.K. Sav. cet. [d] φησὶ om. B.K. Sav. cet. φησὶ post θεὸν transp. Veron. [e] τὸν σώζοντα B. Cat. [f] ἐστι]+καὶ καλῶς οὕτως εἶπε B.K. [g] ἀπαλλαττόμενοι]+καὶ διασωζόμενοι B.K. [h] ἑαυτὸν ἀπ.] Sic C.I.L. ἀπ. ἑαυτὸν Edd. ἑαυτὸν om. K. [i] κοινὰ ποιεῖ C. Statim καὶ εὐαγ. δὲ αὐτὸ B.K. Sav. cet.

γέλιον αὐτὸ λέγει τοῦ θεοῦ. [k]Ὅσα γὰρ ἂν πάθωμεν, φησὶν, οὐδέν ἐστι τὰ ἐνταῦθα.

"Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει." Καὶ τοῦτο παρακλη-
τικόν. Εἰ γὰρ τοσαύτην [l]ἐπεδείξατο πίστιν, ὡς Παύλου γενέ-
σθαι τέκνον, [m]καὶ τέκνον οὐχ ἁπλῶς, ἀλλὰ γνήσιον, θαρρήσει
[n]περὶ τῶν μελλόντων. [o]Πίστις γὰρ τοῦτό ἐστι, κἂν ἐναντία 550
ταῖς ἐπαγγελίαις ᾖ τὰ γινόμενα, μὴ καταπίπτειν μηδὲ θορυ-
βεῖσθαι. Ἀλλ' ἰδοὺ καὶ τέκνον, καὶ γνήσιον τέκνον, καὶ οὐδα-
μοῦ τῆς αὐτῆς ἐστιν οὐσίας. Ἀλλὰ τί; ἄλογον ἦν; Ἀλλ'
οὐκ ἦν ἐκ Παύλου, φησίν· [p]οὕτως οὐ τοῦ ἔκ τινος εἶναι τοῦτο
δηλωτικόν. Τί οὖν; ἑτεροούσιος ἦν; [q]Οὐ τοῦτο. Εἰπὼν γὰρ,
τέκνον, διὰ τοῦτο προσέθηκεν, "ἐν πίστει·" [r]τουτέστιν, ὅτι
γνήσιος ἦν καὶ ἐξ αὐτοῦ ἦν· οὐδὲν ἐνήλλακτο, κατὰ τὴν πίστιν
τὸ ἐμφερὲς εἶχεν· [s]ὃ καὶ ἐν τοῖς ἀνθρωπίνοις ἐπὶ τῆς οὐσίας
ἐστίν. Ὅμοιός ἐστιν [t]υἱὸς τῷ πατρὶ, ἀλλ' οὐχ οὕτως, ὡς ἐπὶ B
θεοῦ· [v]πλείων ἐγγύτης ἐκεῖ. Ἐνταῦθα μὲν γὰρ, εἰ καὶ τῇ οὐσίᾳ
ταὐτόν εἰσιν, ἀλλ' ἑτέροις πολλοῖς διεστήκασι, χρώματι, σχή-
ματι, συνέσει, χρόνῳ, προαιρέσει, τοῖς περὶ ψυχὴν, τοῖς περὶ
σῶμα, τοῖς ἐκτὸς, καὶ πλείοσιν ἑτέροις διεστήκασιν ἀλλήλων, ἢ
συνάπτονται πρὸς ἀλλήλους· ἐκεῖ δὲ τούτων οὐδὲν ἔστι τῶν
διαφραγμάτων. Τὸ, "κατ' ἐπιταγὴν," τοῦ, "κλητὸς," [w]ἐνερ-
γέστερόν ἐστι. [x]Καθὼς καὶ ἀλλαχοῦ φησιν, [7]"Ἐν Χριστῷ C
Ἰησοῦ ἐγὼ ὑμᾶς ἐγέννησα," τουτέστιν, ἐν πίστει. Τὸ δὲ, γνή-
σιον, προστίθησι, τὴν ἀκριβῆ καὶ ὑπὲρ τοὺς ἄλλους πρὸς αὐτὸν
ὁμοιότητα δεῖξαι βουλόμενος, [y]καὶ τὴν ἀγάπην τὴν πρὸς αὐτὸν,
(252) καὶ τὴν διάθεσιν τὴν πολλήν. [z]Ἰδοὺ τὸ, [a]ἐν, πάλιν ἐπὶ τῆς
πίστεως· "Γνησίῳ γὰρ τέκνῳ ἐν πίστει," φησίν. Ὅρα δὲ καὶ
τὸ ἐγκώμιον ὅσον, εἴγε μὴ μόνον υἱὸν αὐτοῦ φησιν αὐτὸν, ἀλλὰ
καὶ γνήσιον τέκνον. "Χάρις, ἔλεος, εἰρήνη, [b]φησὶν, ἀπὸ θεοῦ D
πατρὸς ἡμῶν, [c]καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν." Διὰ τί

[7] 1 Cor. iv. 15.

[k] ὅσα γὰρ] δηλῶν ὅτι ὅσα B.K. Mox φησὶν om. iidem. [l] ἐνεδείξατο C. [m] Vid. Annot. [n] περὶ] καὶ περὶ B.K. Sav. cet. [o] πίστις—ἐστι] πίστεως δὲ τὸ B.K. Sav. cet. Mox γενόμενα L. [p] οὕτως] ὥστε Sav. cet. invitis libris. [q] οὐ] οὐδὲ B.C.K. Sav. cet. [r] τουτέστιν] ὥστε δηλῶσαι B.K. Sav. cet. [s] ὃ—ὅμοιος] οὕτω καὶ ἐφ' ἡμῶν καὶ τῆς ἀνθρωπίνης φύσεως λέγομεν· ὁ δεῖνα ὅμοιος B.K. [t] υἱὸς] ὁ υἱὸς L. [v] πλείων]+γὰρ B.K. Sav. cet. [w] ἐνεργέστερον] ἐμφαντικώτερον B.K. [x] καθὼς] τέκνον δὲ εἶπε, καθὼς L. καθὼς—φησιν] καθὼς καὶ ἀλλαχόθεν ἐστὶ μαθεῖν. Ὅμοιον δὲ τοῦ, Τιμοθέῳ γνησίῳ τέκνῳ, καὶ Κορινθίοις φησὶν B.K. Sav. cet. Statim ἐν γὰρ Χρ. B.K. [y] καὶ] οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ B.K. Sav. cet. [z] Hæc ἰδοὺ—γνήσιον τέκνον, inclusa a Sav. desunt in Veron. repugnantibus libris. ἰδοὺ—πίστεως non vertit Vet. [a] ἐν, πάλιν] ἔμπαλιν I. [b] φησὶν om. B.K. Sav. cet. [c] καὶ—ἡμῶν] καὶ κυρίου Ἰησοῦ Χριστοῦ hic et infra K.

τῶν ἄλλων ἐπιστολῶν οὐδαμοῦ τὸν ἔλεον προέταξεν, ἀλλ' ἐν-
ταῦθα; Καὶ τοῦτο ἀπὸ πολλῆς φιλοστοργίας· πλείονα γὰρ
ἐπεύχεται τῷ παιδὶ, δεδοικὼς ὑπὲρ αὐτοῦ καὶ τρέμων. Οὕτω
γὰρ ἐδεδοίκει, ὡς, ὃ μηδαμοῦ πεποίηκε, καὶ σωματικῶν ἕνεκεν
ἐπιστεῖλαι [d]πρὸς αὐτὸν, ὡς ὅταν λέγῃ, [8]"Οἴνῳ ὀλίγῳ χρῶ διὰ
τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας." Πλείονος
γὰρ μάλιστα οἱ διδάσκαλοι δέονται τοῦ ἐλέου. "Ἀπὸ θεοῦ,
E [e]φησὶ, πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν."
Πάλιν ἐνταῦθα παραμυθία. Εἰ γὰρ πατὴρ [f]θεὸς, ὡς τέκνων
κήδεται· ἄκουε [g]γὰρ τοῦ Χριστοῦ λέγοντος, [9]"Τίς [h]ἐστιν ἐξ
ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον
ἐπιδώσει αὐτῷ;"

[10]"[i]Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευό-
μενος εἰς Μακεδονίαν." [k]Ἄκουε τὸ προσηνὲς, πῶς οὐ διδα-
σκάλου κέχρηται φωνῇ, ἀλλ' ἱκέτου σχεδόν. Οὐ γὰρ εἶπεν,
ἐπέταξα, [l]οὐδὲ, ἐκέλευσα, οὐδὲ, παρῄνεσα, ἀλλὰ τί; "Παρεκά-
λεσά σε." Οὐ μὴν πρὸς πάντας τοὺς μαθητὰς οὕτω [m]διακεῖσθαι
F χρὴ, ἀλλὰ πρὸς τοὺς [n]ἡμέρους καὶ ἐναρέτους, πρὸς δὲ τοὺς ἄλ-
λους τοὺς διεφθαρμένους καὶ [o]μὴ γνησίους, ἑτέρως· καθὼς καὶ
αὐτὸς γράφων [p]φησὶν, [11]"Ἔλεγχε αὐτοὺς μετὰ πάσης ἐπι-
551 ταγῆς." [q]Καὶ ἐνταῦθα ὅρα τί φησιν· "Ἵνα παραγγείλῃς
τισὶν," [r]οὐχ, ἵνα παρακαλέσῃς, ἀλλ', "ἵνα παραγγείλῃς μὴ
ἑτεροδιδασκαλεῖν." Τί [s]δὴ τοῦτό ἐστιν; οὐ γὰρ ἤρκει ἡ Παύ-
λου ἐπιστολὴ, ἣν [t]ἐπέστειλεν αὐτοῖς; [v]Οὔ· πρὸς γὰρ τὰ γράμ-
ματα καταφρονητικώτερον ἔχουσιν. [w]Ἢ καὶ πρὸ τῶν γραμ-
μάτων ταῦτα ἦν. Καὶ αὐτὸς [x]δὲ πολὺν ἐν τῇ πόλει ταύτῃ
χρόνον πεποίηκε, [y]καὶ ἐνταῦθα τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἦν, ἐν-
ταῦθα ἔπαθε τὰ δεινὰ ἐκεῖνα. Μετὰ γὰρ τὸ λυθῆναι τὸ θέα-
B τρον, καλέσας [z]καὶ παρακαλέσας τοὺς μαθητὰς, οὕτως ἐξέπλει,

8 1 Tim. v. 23. 9 Matth. vii. 9. 10 v. 3. 11 Tit. ii. 15.

[d] πρὸς αὐτὸν] Sic omnes. αὐτῷ Veron. Sav. Mor. [e] φησὶ post πατρὸς ἡμῶν transp. C. [f] ὁ θεὸς B.K. Sav. cet. [g] γὰρ τοῦ Χρ.] καὶ τοῦ Χρ. τὸ αὐτὸ αἰνιττομένου καὶ B.K. [h] ἐστιν om. L. [i] καθὼς]+φησὶ L. [k] ἄκουε τὸ πρ.] ἴδε τὸ πρ. καὶ ἐντεῦθεν Παύλου B.K. Mox οἰκέτου Edd. et Codd. ἱκέτου Cat. *supplicis* Vet. [l] οὐδὲ ἐκέλευσα om. K. [m] διακεῖσθαι]+ἡμᾶς B.K. Sav. cet. [n] ἡμετέρους B. [o] μὴ] οὐ B.K. [p] φησὶν] ἀλλαχοῦ τοῦτο διδάσκει B.K. ἀλλαχοῦ φησι Sav. cet. invitis libris. Statim ἐλέγχετε K. [q] καὶ ἐντ.] ἐντ. δὲ B.K. καὶ ἐντ. δὲ Sav. cet. [r] οὐχ] οὐκ εἶπεν B.K. [s] δὴ accessit ex libris omnibus. Mox γὰρ om. B. [t] ἀπέστειλεν C. et ex corr. K. [v] οὔ· πρὸς γὰρ] ἤρκει μὲν, ἀλλὰ πρὸς B.K. Sav. cet. Iidem ante ἔχουσιν inserunt οἱ ἄνθρωποι. [w] ἢ]+οὖν τοῦτό ἐστιν εἰπεῖν, ἢ ὅτι iidem. [x] δὲ om. C. [y] καὶ om. B.K. Mox τὰ μυρία ἐκεῖνα δεινὰ iidem. [z] καὶ παρακαλέσας om. C. post μαθητὰς transp. I.

καὶ πάλιν παρεγένετο αὐτοῖς. [a]Ἄξιον δὲ ζητῆσαι, εἰ νῦν ἐνίδρυσεν ἐκεῖ τὸν Τιμόθεον· φησὶ γὰρ, "ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν." Οὐ τίθησιν αὐτοὺς ὀνομαστὶ, ἵνα μὴ ἀναισχυντοτέρους ἐργάσηται τῇ τοῦ ἐλέγχου [b]περιφανείᾳ. Ἐνταῦθά τινες ἦσαν ἐξ Ἰουδαίων [c]ψευδαπόστολοι, βουλόμενοι πάλιν ἐπὶ τὸν νόμον ἕλκειν τοὺς πιστοὺς, ὃ πανταχοῦ τῶν ἐπιστολῶν αἰτιᾶται. Ἐποίουν δὲ τοῦτο οὐχ οὕτως ὑπὸ συνειδότος ἑλκόμενοι, ὡς ὑπὸ κενοδοξίας, καὶ τοῦ θέλειν ἔχειν μαθητὰς,
καὶ τῷ μακαρίῳ [d]Παύλῳ φιλονεικοῦντες, καὶ πρὸς αὐτὸν ζηλο- C
τύπως ἔχοντες. Τοῦτό ἐστιν, "ἑτεροδιδασκαλεῖν." [12]"Μηδὲ προσέχειν, φησὶ, μύθοις καὶ [e]γενεαλογίαις." Μύθους οὐ τὸν νόμον φησὶν, ἄπαγε· ἀλλὰ τὰς παραποιήσεις καὶ τὰ παραχαράγματα καὶ τὰ παράσημα δόγματα. Εἰκὸς γὰρ τοὺς ἐξ Ἰουδαίων ἐν τοῖς ἀνονήτοις τὸν πάντα λόγον ἀναλίσκειν, πάππους καὶ προπάππους ἀριθμοῦντας, ἵνα δῆθεν ἐμπειρίας πολλῆς καὶ ἱστορίας δόξαν ἔχωσιν. "Ἵνα παραγγείλῃς [f]τισὶ, φησὶ, μὴ
ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπε- D
ράντοις." Τί ἐστιν, "ἀπεράντοις;" Ἤτοι πέρας οὐδὲν ἐχούσαις, ἢ οὐδὲν χρήσιμον, ἢ [g]δυσκατάληπτον ἡμῖν. Εἶδες πῶς διαβάλλει τὴν ζήτησιν; Ἔνθα γὰρ πίστις, οὐ χρεία ζητήσεως· ἔνθα μηδὲν δεῖ περιεργάζεσθαι, τί δεῖ ζητήσεως; Ἡ ζήτησις τῆς πίστεώς ἐστιν ἀναιρετική. Ὁ γὰρ ζητῶν, οὐδέπω εὗρεν· ὁ ζητῶν, πιστεῦσαι οὐ δύναται. Διὰ τοῦτό φησι, μὴ ἀσχολώμεθα περὶ τὰς ζητήσεις· [h]εἰ δὲ ζητοῦμεν, οὐκ ἔστι τοῦτο πίστις· ἡ
γὰρ πίστις ἀναπαύει τὸν λογισμόν. Πῶς οὖν φησιν ὁ Χριστὸς, E
[13]"Ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν·" καὶ, "Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς [i]ἐν ταύταις δοκεῖτε ζωὴν αἰώνιον ἔχειν;" Ἐκεῖ μὲν τὸ, "ζητεῖτε," περὶ αἰτήσεως λέγει καὶ σφοδροῦ πόθου· ἐνταῦθα δὲ τὸ, "ἐρευνᾶτε τὰς γραφὰς," οὐ τοὺς ζητητικούς ἐστιν εἰσάγοντος [k]πόνους, ἀλλ' ἐκβάλλοντος. Εἶπε γὰρ, "ἐρευνᾶτε τὰς γραφὰς," [l]τουτέστιν, ὥστε τὴν ἀκρί-
(253) βειαν αὐτῶν καταμαθεῖν καὶ εἰδέναι, οὐχ ἵνα ἀεὶ ζητῶμεν, ἀλλ' F
ἵνα παυώμεθα [m]ζητοῦντες. Καὶ καλῶς εἶπε, "Παράγγελλέ

12 v. 4. 13 Matth. vii. 7. Joan. v. 39.

[a] ἄξιον—παραγγείλῃς] ἐκεῖ τὸν Τιμόθεον ἐπίσκοπον κατέστησε. διὰ τοῦτο γράφων φησὶ, παράγγελλε B.K. [b] περιφανείᾳ B.K. Cat. receptum a Ben. Legebatur ὑπερηφανίᾳ. [c] ψευδαπ.] ἀπόστολοι ψευδεῖς L. [d] Παύλῳ om. K. [e] γενεαλογίαις] + ἀπεράντοις Mor. Ben. invitis libris. Hæc καὶ γενεαλογίαις. μύθους om. B.K. Mox καὶ τὰ παραχαράγματα om. iidem. [f] τισὶ om. I. φησὶ om. C. φησὶ, τισὶ inverso ord. L. [g] εὐκαταλ. B.I. Statim ὑμῖν B.I. K.L. [h] εἰ δὲ] ἐπεὶ εἰ B.K. Sav. cet. [i] ἐν ταύταις δ.] δ. ἐν ταύταις K.L. [k] πόνους om. B.K. Statim ἀλλ' ἐξάγοντος C. [l] τουτέστιν] διεγείρων B.K. [m] ζητοῦντες] τοῦ ζητεῖν C.

τισι μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλο-
γίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον, ἢ οἰκο-
552 νομίαν θεοῦ τὴν ἐν πίστει." Καλῶς εἶπεν, "οἰκονομίαν θεοῦ·"
μεγάλα γὰρ ἡμῖν [n]δοῦναι ἠθέλησεν ὁ θεὸς, ἀλλ' οὐ δέχεται ὁ
λογισμὸς τὸ μέγεθος αὐτοῦ τῶν οἰκονομιῶν. Διὰ πίστεως οὖν
τοῦτο γενέσθαι δεῖ, ὅπερ ἐστὶ φάρμακον ψυχῶν μέγιστον. Ἡ
τοίνυν ζήτησις ἐναντία ἐστὶ τῇ οἰκονομίᾳ τοῦ θεοῦ. Τί [o]γὰρ
ἀπὸ τῆς πίστεως οἰκονομεῖται; Δέξασθαι τὰς εὐεργεσίας αὐτοῦ,
καὶ γενέσθαι βελτίους, καὶ περὶ μηδενὸς ἀμφισβητεῖν [p]μηδὲ
ἀμφιβάλλειν, ἀλλ' ἀναπαύεσθαι. Ἅπερ γὰρ ἡ πίστις ἤνυσε
καὶ [q]ᾠκοδόμησε, ταῦτα αὕτη καταστρέφει. Πῶς δὲ καταστρέ-
B φει; Ζητήσεις παρέχουσα, καὶ τὴν πίστιν ἐκβάλλουσα. "Μηδὲ
προσέχειν, φησὶ, μύθοις καὶ γενεαλογίαις ἀπεράντοις." [r]Αἱ
γενεαλογίαι, φησὶ, τί ἔβλαπτον; Ἔλεγεν ὁ Χριστὸς, ὅτι διὰ
πίστεως δεῖ σωθῆναι· ἐκεῖνοι ἐζήτουν, καὶ ἔλεγον ὅτι οὐκ ἔνι
τοῦτο. Ἐπειδὴ γὰρ ἡ μὲν ἀπόφασις κατὰ τὸ παρὸν ἦν, ἡ δὲ
ἔκβασις τῆς ἀποφάσεως ἐν τῷ μέλλοντι, πίστεως ἔδει. Ἐκεῖνοι
δὲ προκατειλημμένοι τοῖς νομικοῖς παρατηρήμασιν, ἐνεπόδιζον
τῇ πίστει. Οἶμαι δὲ καὶ Ἕλληνας [s]αὐτὸν ἐνταῦθα αἰνίττεσθαι,
ὅταν λέγῃ, "μύθοις καὶ γενεαλογίαις," ὡς τοὺς θεοὺς [t]αὐτῶν
καταλεγόντων.

C [v]Μὴ τοίνυν προσέχωμεν ταῖς ζητήσεσι. Πιστοὶ γὰρ διὰ
τοῦτο κεκλήμεθα, ἵνα [w]ἀνενδοιάστως τοῖς λεγομένοις πιστεύω-
μεν, ἵνα μηδὲν ἀμφιβάλλωμεν. Εἰ μὲν γὰρ ἀνθρώπινα τὰ
λεγόμενα ἦν, ἐχρῆν αὐτὰ βασανίζεσθαι· εἰ δὲ θεοῦ, τιμᾶσθαι
αὐτὰ μόνον χρὴ καὶ πιστεύεσθαι· ἂν δὲ μὴ πιστεύωμεν, [x]οὐδὲ
ὅτι θεός ἐστιν [y]εἰσόμεθα. Πῶς γὰρ οἶδας ὅτι θεός ἐστιν, [z]εὐ-
θύνας αὐτὸν ἀπαιτῶν; Τοῦτο πρῶτον τεκμήριον τοῦ τὸν θεὸν
D εἰδέναι, τὸ πιστεύειν οἷς ἂν λέγῃ χωρὶς τεκμηρίων καὶ ἀποδεί-
ξεων. Τοῦτο καὶ Ἕλληνες ἴσασιν· ἐπίστευον γὰρ τοῖς [a]θεοῖς,
φησὶ, [b]καίτοιγε ἄνευ τεκμηρίων λέγουσι· τί [c]δήποτε; ὅτι ἐκ-

[n] ἠθέλησε δοῦναι inverso ord. L. [o] γὰρ] δὲ B. δαὶ K. Statim τῆς accessit ex omnibus. [p] μηδὲ omnes. καὶ Edd. Statim ἀναβάλλειν L. [q] ᾠκοδόμησε L. Mox haec πῶς δὲ καταστρέφει; sunt in libris omnibus, non in Edd. *Cur id, quæso* Vet. [r] αἱ] καὶ αἱ B.K. Sav. cet. [s] αὐτὸν ἐντ.] ἐντ. αὐτὸν C.K.I. καὶ Ἕλληνας—γενεαλογίαις] ὅταν λέγῃ μύθους καὶ γενεαλογίας, τοὺς Ἑλλ. αὐτὸν αἰνίττεσθαι L. [t] αὐτῶν] ἐκείνων B.K. [v] ΗΘΙΚΟΝ. Περὶ τοῦ πίστιν ἔχειν, καὶ μὴ πολυπραγμονεῖν· καὶ κατὰ τῶν λεγόντων γένεσιν καὶ εἱμαρμένην. Veron. [w] ἀνενδυάστως L. [x] οὐδ' ὅτι K. Statim θεοῦ C. *Dei* Vet. [y] εἰσόμεθα] Sic B. *sciemus* Vet. πεισθησόμεθα L. Ceteri cum Edd. πεισόμεθα. [z] εὐθύνας αὐτὸν] τούτων εὐθύνας L. [a] θεοῖς, φησὶ] θεοῖς αὐτῶν, τοῖς περὶ τῶν ἡρώων μύθοις ἁπλῶς B.K. [b] καίτοι C. [c] δήποτε] δὲ ἐπίστευον B.K.

γονοί [d]εἰσι θεῶν. Ὁρᾷς ὅτι [e]καὶ Ἕλληνες τοῦτο ἴσασι; Καὶ
τί λέγω ἐπὶ [f]θεοῦ; ἐπὶ ἀνθρώπου τοῦτο ἐποίουν γόητος καὶ
μάγου, [g]Πυθαγόρου λέγω· [h]αὐτὸς ἔφα· καὶ ἐπὶ ναῶν ἡ σιγὴ
ἄνωθεν [i]ἐπεγέγραπτο, καὶ κατεῖχε τῷ δακτύλῳ τὸ στόμα, καὶ
[k]ἐπισφίγγων τὰ χείλη, πᾶσι τοῖς παριοῦσι σιγᾶν παρῄνει.
Εἶτα [l]ἐκεῖνα μὲν οὕτω σεμνὰ, τὰ δὲ ἡμέτερα οὐχ οὕτως, ἀλλὰ
[m]καταγέλαστα; Τὰ μὲν γὰρ Ἑλλήνων εἰκότως ζητεῖται· τοι- E
αῦτα γάρ ἐστι, μάχαι τῶν λογισμῶν καὶ ἀμφισβητήσεις καὶ
συμπεράσματα· τὰ δὲ ἡμέτερα τούτων [n]πάντων κεχώρισται.
Ἐκεῖνα μὲν γὰρ ἀνθρωπίνη εὗρε σοφία, ταῦτα δὲ χάρις ἐδίδαξε
πνευματική· ἐκεῖνα μωρίας καὶ ἀνοίας, ταῦτα τῆς ὄντως σοφίας
δόγματα. Ἐκεῖ οὐκ ἔστι μαθητὴς, οὐδὲ διδάσκαλος, ἀλλὰ πάν-
τες [o]συζητοῦσι, καν [p]διδάσκαλος, κἂν μαθητής. [q]Μαθεῖν γὰρ, F
οὐ ζητεῖν χρὴ, πείθεσθαι, οὐκ ἀμφισβητεῖν, πιστεύειν, οὐ συλ-
λογίζεσθαι. Διὰ πίστεως [r]γὰρ πάντες εὐδοκίμησαν οἱ παλαιοὶ,
καὶ ταύτης ἄνευ πάντα διέφθαρται. Καὶ τί [s]λέγω περὶ τῶν 553
ἐπουρανίων; [t]κἂν τὰ ἐπὶ γῆς ἐξετάσωμεν, ταύτης εὑρήσεις ἐχό-
μενα· οὔτε γὰρ συναλλάγματα, οὔτε τέχναι, οὔτε ἄλλο οὐδὲν
ἔσται τοιοῦτον [v]ταύτης χωρίς. Εἰ δὲ ἐνταῦθα, ἔνθα περὶ ψευ-
δῶν πραγμάτων, ταύτης δεῖ, πολλῷ μᾶλλον ἐν [w]ἐκείνοις. Ταύ-
της οὖν ἐχώμεθα, ταύτην μετίωμεν· [x]οὕτω πάντα τὰ ὀλέθρια
δόγματα τῆς ψυχῆς [y]ἐκβάλλομεν τῆς ἡμετέρας, οἷον γένεσιν
λέγω καὶ εἱμαρμένην. Ἂν πιστεύσῃς ὅτι [z]ἔστιν ἀνάστασις καὶ B
κρίσις, πάντα τὰ τοιαῦτα δυνήσῃ τῆς ψυχῆς ἐκβαλεῖν. Πίστευ-
σον ὅτι ἔστι θεὸς δίκαιος, καὶ οὐ πιστεύσεις [a]ὅτι [b]ἔστι γένεσις
ἄδικος· πίστευσον ὅτι ἔστι θεὸς προνοῶν, καὶ οὐ πιστεύσεις ὅτι
ἔστι γένεσις πάντα [c]συγχέουσα· πίστευσον ὅτι ἔστι κόλασις
καὶ βασιλεία, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις, τὸ μὲν ἐφ᾽
ἡμῖν ἀναιροῦσα, ὑποβάλλουσα δὲ ἡμᾶς [d]ἀνάγκῃ καὶ βίᾳ. Μὴ

[d] εἰσι] ἦσαν L. [e] καὶ οἱ Ἑλ. C. [f] θεῶν B.K. Sav. cet. [g] τοῦ Πυθ. iidem. [h] αὐτὸς—κατεῖχε] ἐκείνου γὰρ τὸ αὐτὸς ἔφα· ἐκείνου ἡ πενταετὴς σιγή· ἐκεῖνος κατεῖχε B.K. [i] ἐπεγέγραπτο] Sic C. ἐπιγέγραπται I.L. ἐγέγραπτο Edd. Statim τῷ om. I. [k] ἐπισφίγγων omnes. ἐπισφίγγουσα Edd. et sic ex corr. C. [l] ἐκεῖνα] ἐκεῖ K. [m] καταγέλαστα]+καὶ ποίας οὐχὶ μανίας ἂν εἴη τοῦτο ὑπερβολή; B.K. Sav. cet. [n] πάντων omnes. ἁπάντων Edd. κεχ. πάντων inverso ord. C. [o] συζητοῦσιν·]+ἐνταῦθα B.K. Sav. cet.+ἐνταῦθα δὲ I. [p] διδάσκαλος]+ἢ B.K. Sav. cet. Post μαθητὴς add. εἴη L. [q] Vid. Annot. [r] γὰρ] οὖν B.K. Mox ηὐδοκ. I. [s] λέγω]+φησὶ L. Veron. [t] κἂν om. L. Mox καὶ ταύτης idem. [v] ταύτης χωρὶς omnes. χωρὶς ταύτης Edd. [w] ἐκείνοις] Sic I. et ante corr. C.(?) ἐκείναις Edd. [x] οὕτω] ἂν ταύτην ἔχωμεν, οὕτω B.K. [y] ἐκβαλοῦμεν B.K. ἐκβάλωμεν C. [z] ἀνάστασίς ἐστι inverso ord. L. [a] ὅτι—ἄδικος] γένεσιν ἄδικον εἶναι L. [b] ἔστι] Sic C.I. Veron. ἔσται B.K. Sav. cet. [c] Vid. Annot. [d] εἰς ἀνάγκην καὶ βίαν L.

σπείρῃς, μὴ φυτεύσῃς, μὴ στρατεύσῃ, μηδὲν ὅλως ἐργάσῃ· πάν-
C τως γὰρ καὶ [e]ἑκόντος καὶ ἄκοντος ἥξει τὰ τῆς γενέσεως. Τί
ἡμῖν δεῖ λοιπὸν εὐχῶν; Διὰ τί οὖν θέλεις γενέσθαι Χριστιανὸς,
εἰ γένεσις ἔστιν; οὐ γὰρ ὑπὸ ἔγκλημα ἔσῃ. Πόθεν τέχναι;
ἀπὸ γενέσεως; Ναὶ, φησίν. [f]Ἀλλ' εἵμαρται τῷ δεῖνι γενέσθαι (254)
[g]σοφῷ μετὰ πόνων. [h]Δεῖξόν μοι τινὰ χωρὶς τοῦ πονεῖν μα-
θόντα [i]τέχνην· οὕτως οὐ τῆς γενέσεώς ἐστιν, ἀλλὰ τῶν πόνων.
Πόθεν οὖν ὁ δεῖνα πλούσιός ἐστι, μιαρὸς ὢν, [k]φησὶ, καὶ πονη-
ρὸς, παρὰ πατρὸς [l]διαδεξάμενος τὴν κληρονομίαν· ἕτερος δὲ
D μυρία μοχθῶν, πένης ὑπάρχει; ταῦτα γὰρ συνεχῶς γυμνάζουσι,
πάντα ἐπὶ πλούτου καὶ πενίας κινοῦντες, οὐδὲν ἐπὶ κακίας καὶ
ἀρετῆς. Ἀλλ' ἐνταῦθα μὴ τοῦτο εἴπῃς, ἀλλὰ δεῖξον εἴ τις κα-
κὸς ἐγένετο σπουδάζων, εἴ τις ἀγαθὸς ῥᾳθυμῶν. Εἰ γὰρ ἰσχὺν
ἔχει ἡ εἱμαρμένη, ἐπὶ τῶν μεγίστων ἐνδεικνύσθω τὴν ἰσχὺν, ἐπὶ
[m]ἀρετῆς καὶ κακίας, μὴ ἐπὶ πλούτου καὶ πενίας. [n]Πόθεν ὁ
δεῖνα ἐν νόσοις, φησὶν, ὁ δεῖνα ἐν ὑγείᾳ; πόθεν ὁ δεῖνα εὐδοκιμεῖ,
E ἕτερος δὲ ἀσχημονεῖ; πόθεν ἐκείνῳ κατὰ γνώμην τὰ πράγματα
προχωρεῖ, ἑτέρῳ δὲ μυρία ἐπὶ μυρίοις ἐμποδίσματα; Ἀπόστηθι
τῆς γενέσεως, καὶ [o]εἴσῃ ταῦτα ἀκριβῶς· πίστευσον ὅτι θεός
ἐστιν ὁ προνοῶν, καὶ εἴσῃ σαφῶς ταῦτα. Ἀλλ' οὐ δύναμαι,
φησίν· οὐ γὰρ ἀφίησιν ἡ σύγχυσις [p]τῶν πραγμάτων τούτων
ὑποπτεῦσαι πρόνοιαν, εἰ θεοῦ ταῦτα ἔργα. Πῶς δύναμαι πι-
στεῦσαι ὅτι [q]θεὸς ὁ ἀγαθὸς τῷ πόρνῳ, τῷ μιαρῷ, τῷ πλεο-
νέκτῃ χρήματα δίδωσι, τῷ δὲ ἀγαθῷ οὐκέτι; πόθεν πιστεύσω;
F ἀπὸ γὰρ πραγμάτων δεῖ πιστεύειν. Καλῶς· οὐκοῦν γενέσεως
[r]ἐκεῖνα δικαίας, ἢ ἀδίκου; Ἀδίκου, φής. Τίς οὖν ταύτην ἐποίη-
σεν; ἆρα ὁ θεός; Οὔ, φησὶν, [s]ἀλλ' ἀγένητός ἐστι. Καὶ πῶς
ἀγένητος οὖσα [t]ταῦτα ἐργάζεται; ἐναντία γὰρ [v]ταῦτα. Οὐκ
ἔστιν οὖν ὅλως θεοῦ ταῦτα. Οὐκοῦν ἐξετάσωμεν, τίς τὸν οὐ-
554 ρανὸν ἐποίησεν. [w]Ἡ γένεσις, φησί. Τίς τὴν γῆν, τίς τὴν

[e] ἑκόντος]+σου Mor. Ben. invitis libris. [f] ἀλλ'] Sic C.I.L. Veron. καὶ Sav. cet. ἀλλ' om. B.K. Statim εἵμαρται γὰρ τῷ B. [g] σοφὸν L. [h] καὶ δεῖξον B.K. Sav. cet. Mox τινα post πονεῖν transp. L. [i] τέχνην]+ἀλλ' οὐκ ἂν ἔχοις B.K. Sav. cet. [k] φησὶ ante μιαρὸς transp. B.K. [l] διαδεξ.] Sic C.I. Veron. τε διαδεξ. L. μὴ διαδεξ. B. μὴ δεξάμενος K. Sav. cet. Statim τὴν om. B.K.L. [m] ἀρετῆς]+φημὶ L. [n] καὶ πόθεν B.K. Sav. cet. [o] εἴσῃ] γνώσῃ B.K. Statim ἀκριβῶς om. L. ἀκριβῶς cum seqq. jung. Edd. Haec πίστευσον—σαφῶς ταῦτα om. C. [p] τῶν πρ. τούτων] τῶν τοιούτων πρ. B. τῶν τοιούτων πρ. τούτων K. [q] θεὸς ὁ] ὁ θεὸς C.K. [r] ἐκεῖνα]+ναί φησι B.K. Vet. Mox ἀδίκου alterutrum om. B.C.I. Veron. [s] ἀλλὰ C. Statim ἀγένητος bis B.K. et ex corr. C. ἀγέννητος Edd. [t] τοιαῦτα B.K. Sav. cet. [v] ταῦτα]+εἰ δὲ ἐναντία B.K. Mox οὖν et ταῦτα om. iidem. [w] ἡ γένεσις, φησὶ] καὶ τὰ ἐν τῷ οὐρανῷ iidem.

θάλασσαν, τίς τὰς ὥρας; Εἶτα ἐν μὲν τοῖς ἀψύχοις τοσαύτην
εὐταξίαν ἐποίησε, τοσαύτην ἁρμονίαν· ἐν δὲ ἡμῖν, δι' οὓς τὰ
πάντα, τοσαύτην ἀταξίαν; [x]ὥσπερ ἂν εἴ τις τῆς μὲν οἰκίας,
ὅπως ἔσται θαυμαστὴ, προνοήσειε, τῶν δὲ οἰκετῶν [y]μηκέτι.
Τίς τὴν [z]διαδοχὴν φυλάττει; τίς τοὺς εὐτάκτους τῆς φύσεως
νόμους τέθεικε; τίς ἡμέρας καὶ νυκτὸς δρόμους ἔταξε; [a]Ταῦτα
ἐκείνης τῆς γενέσεως ἀνώτερά ἐστιν. Οὔ, φησὶν, ἀλλ' αὐτόματα
γέγονε. [b]Καὶ πῶς ἂν εὐταξία τοσαύτη αὐτομάτη γένοιτο ἄν; B
Πόθεν οὖν, φησὶν, οἱ πλούσιοι, οἱ ὑγιαίνοντες, οἱ εὐδοκιμοῦντες;
Οἱ μὲν ἀπὸ πλεονεξίας, οἱ δὲ ἀπὸ κληρονομίας, οἱ δὲ ἀπὸ [c]βίας.
Τίνος οὖν [d]ἕνεκεν συνεχώρησεν ὁ θεός; Ὅτι οὐκ ἔστιν ἐνταῦθα
ἡ τοῦ κατ' ἀξίαν ἀντίδοσις, ἀλλ' ἐν τῷ μέλλοντι καιρῷ· τότε
μοι δεῖξον τοιοῦτόν τι γινόμενον. Τέως ἐνταῦθά μοι δὸς, φησὶ,
καὶ ἐκεῖ οὐ ζητῶ. [e]Διὰ τοῦτο οὐ λαμβάνεις. Εἰ γὰρ ἐκτὸς
ὢν τῆς ἡδονῆς οὕτως αὐτὰ ζητεῖς, ὡς ἐκείνων προτιμᾶν, [f]πόσῳ
μᾶλλον, εἰ καὶ ἡδονῆς καθαρᾶς ἀπήλαυες; Διὰ τοῦτο ταῦτα C
δείκνυσί σοι, ὅτι οὐδέν [g]ἐστιν, ἀλλ' ἀδιάφορά ἐστιν· οὐ γὰρ ἂν,
εἰ μὴ ἀδιάφορα ἦν, καὶ ἐκείνοις αὐτὰ ἔδωκεν ἄν. Εἰπέ μοι, τὸ
[h]μέλανα εἶναι, [i]ἢ μακρὸν, ἢ μικρὸν, οὐχὶ ἀδιάφορον; οὕτω καὶ
ὁ πλοῦτος. Εἰπὲ γάρ μοι, ἐπὶ τῶν ἀναγκαίων [k]οὐκ ἐξ ἴσης
πᾶσι δέδοται, οἷον ἐπιτηδειότης [l]πρὸς ἀρετὴν, [m]τῶν πνευματι-
κῶν δωρεῶν ἡ διανομή; Εἰ ᾔδεις τοῦ θεοῦ τὰς εὐεργεσίας, οὐκ
ἂν ἐκείνων ἐξ ἴσης ἀπολαύων ἐν τούτοις ἠγανάκτησας· οὐδ' ἂν
ταύτην τὴν πλεονεξίαν ἐζήτησας, ἐκείνην τὴν ἰσομοιρίαν εἰδώς. D
[n]Ὥσπερ ἂν οἰκέτης τροφὰς μὲν τὰς παρὰ δεσπότου καὶ ἐνδύ-
ματα καὶ [o]οἰκήματα, καὶ πάντων τῶν ἄλλων [p]ἐξ ἴσης τοῖς ἄλλοις
καρπούμενος, εἰ τρίχας ἔχοι περιττὰς ἐπὶ τῆς κεφαλῆς, ἢ ὄνυχας
μείζονας, πλέον ἔχειν [q]νομίζει τῶν ἄλλων· τὸν αὐτὸν δὴ τρόπον
καὶ ὁ τοιοῦτος [r]μάτην μέγα φρονεῖ. Διὰ ταῦτα ἡμᾶς ἀφίστη-

[x] ὥσπερ] τοῦτο γὰρ τοιοῦτόν ἐστιν ὥσπερ iidem. [y] οὐκέτι K. [z] διαδοχὴν]+τῶν ὡρῶν B.K. Sav. cet. *necessariam seriem* Vet. [a] ταῦτα—ἐστιν] ἐκείνης οὖν τῆς γ. ἀν. ἐστι ταῦτα L. [b] καὶ—τοσαύτη] εὐταξία οὖν τοσ. πῶς ἂν L. Mox γένοιτ' ἂν K. [c] βίας] τέχνης B.K. [d] ἕνεκεν]+εὐημερεῖν τοὺς κακοὺς B.K. Sav. cet. [e] διὰ] ἀλλὰ διὰ B.K. Sav. cet. Iidem post λαμβάνεις add. ἐπεὶ ζητεῖς. [f] πόσῳ omnes. πολλῷ Edd. Mox ἀπήλαυες pro ἀπέλαυες C.I. ἀπήλαβες L. [g] ἐστιν] εἰσιν B.K. Sav. cet. Statim ὅτι pro ἀλλ' B.C.K. Sav. cet. ἀλλ' ἀδιάφ. I. Veron. ἀλλὰ διάφ. L. *sed media* Vet. [h] μέλαν L. μείζονα B.K. [i] ἢ] τὸ C. ἢ μακρὸν om. B.K. [k] οὐκ] καὶ K. Statim πάσῃ L. Post δέδοται add. ταῦτα B.K. [l] πρὸς] φημὶ πρὸς L. [m] τῶν] καὶ τῶν B.K. [n] ὥσπερ] ὡς L. ὥσπερ γὰρ B.K. Statim ὁ οἰκέτης Edd. ὁ om. C.L. Mox παρὰ τοῦ δ. B.L. [o] οἰκήματα]+καρπούμενος B.K. Sav. cet. Mox ἀπολαύων pro καρπούμενος iidem. [p] ἐπίσης L. λοιποῖς pro ἄλλοις B.K. [q] νομίζοι B.I.K. Sav. cet. *arbitratur* Vet. [r] μάτην]+ἐπὶ τούτοις B.K. Ben.+ἐπὶ (sic) Sav. Mor. μέγα om. L. Post φρονεῖ add. ἐφ' οἷς τὴν ἀπόλαυσιν πρόσκαιρον ἔχει B.K. Sav. cet.

σιν αὐτῶν, ἵνα τὴν μανίαν ταύτην σβέσῃ, ἵνα μεταγάγῃ τὸν
E πρὸς αὐτὰ πόθον εἰς τὸν οὐρανόν. Ἡμεῖς δὲ [s] οὐδὲ οὕτω σω-
φρονιζόμεθα. Ὡς γὰρ τὸ παιδίον [t] εἴ τι παιδικὸν ἔχοι, καὶ
προτιμᾷ τοῦτο τῶν ἀναγκαίων, ἀποστερεῖ αὐτὸ ὁ πατὴρ τῶν
παιδικῶν, ἵνα καὶ ἄκοντα μεταγάγῃ πρὸς τὸ τέλειον· οὕτω καὶ
ὁ θεὸς πάντα ποιεῖ, ἵνα [v] ἡμᾶς μεταγάγῃ εἰς τὸν οὐρανόν. Πῶς
οὖν τοὺς πονηροὺς ἀφίησι πλουτεῖν, φησίν; Ὅτι οὐ πολὺς αὐτῷ
λόγος ἐκείνων. Πῶς [w] οὖν καὶ τοὺς δικαίους; Οὐκ [x] αὐτὸς, ἀλλ' (255)
ἁπλῶς συγχωρεῖ. Καὶ ταῦτα μὲν [y] νῦν ἐπιπολαίως ἡμῖν εἴρηται,
ὡς πρὸς ἀγνοοῦντας τὰς γραφάς· εἰ δὲ [z] ἐβούλεσθε πιστεύειν
F καὶ προσέχειν τοῖς θείοις λόγοις, οὐδὲν ἂν ἡμῖν τούτων ἐδέησε
τῶν λόγων· [a] πάντα ἂν ᾔδειμεν. [b] Ἵνα γὰρ μάθῃς ὅτι οὐδέν
ἐστιν ὁ πλοῦτος, οὔτε ἡ ὑγεία, οὔτε ἡ δόξα, ἐγώ σοι δείκνυμι
555 πολλοὺς, οἷς ἐξὸν κερδαίνειν, [c] οὐκ ἐκέρδανον, οἷς ἐξὸν ὑγιαίνειν,
κατατήκουσιν ἑαυτῶν τὰ σώματα, οἷς ἐξὸν δόξης ἀπολαύειν,
πάντα πράττουσιν ὥστε καταφρονεῖσθαι. Οὐδεὶς μέντοι ἀγα-
θὸς ὢν, σπουδάζει εἶναι κακός. [d] Ταῦτα οὖν ζηλώσωμεν τὰ ὄντως
ἀγαθὰ, ἵνα κἀκείνων τύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν,
μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ,
B νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β.

[1] Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου· ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίας, θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες [a] μήτε ἃ λέγουσι, μήτε
C περὶ τίνων διαβεβαιοῦνται.

ΟΥΔΕΝ οὕτω λυμαίνεται [b] τὸ τῶν ἀνθρώπων γένος, ὡς τὸ φιλίας καταφρονεῖν, καὶ μὴ μετὰ πολλῆς αὐτὴν κατορθοῦν τῆς σπουδῆς· ὥσπερ οὖν [c] οὐδὲν ὀρθοῖ, ὡς τὸ παντὶ σθένει μεταδιώ-

[1] Cap. I. v. 5—7.

[s] οὐδ' οὕτω K. [t] εἴ τι] ἔτι C. [v] ἡμᾶς om. L. πρὸς pro εἰς idem. [w] οὖν] δὲ B. δαὶ K. πῶς οὖν καὶ—συγχωρεῖ om. L. [x] αὐτὸς] + ποιεῖ πένεσθαι I. [y] νῦν] οὖν K. [z] βούλεσθε B.K. Mox τῶν λόγων om. C. [a] πάντα ἂν] πάντα γὰρ L. ἐκ τούτων γὰρ πάντα B.K. Sav. cet. [b] ἵνα γὰρ μάθῃς] καὶ ἀπὸ πραγμάτων δ' ἂν μάθοις B.K. Mox σοι γὰρ δείκνυμι K. σοι δείκνυμι γὰρ B. [c] οὐκ ἐκέρδανον] οὐ κερδαίνουσιν B.K. Sav. cet. [d] ταῦτα—τῷ κυρίῳ ἡμῶν] οὐκοῦν παυσώμεθα τοῦ ζητεῖν τὰ ἐνταῦθα ἀγαθὰ, καὶ ζητήσωμεν τὰ ἐν οὐρανοῖς. οὕτω γὰρ αὐτῶν καὶ τυχεῖν δυνησόμεθα, καὶ τῆς ἀϊδίου τρυφῆς (τροφῆς Sav. cet.) ἀπολαύσομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ B.K. Sav. cet. Hom. II. [a] μήτε om. L. [b] τῷ . . . γένει L. [c] οὐδὲν] + πάλιν B.K. Sav. cet.

κειν αὐτήν. Καὶ τοῦτο δηλῶν ὁ Χριστός φησιν, [2]"Ἐὰν [d]δύο
συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ, πᾶν ὃ [e]ἐὰν αἰτήσωσι, λήψονται·"
καὶ πάλιν, "Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ [f]ἀγάπη."
Τοῦτο τὰς αἱρέσεις ἔτεκε πάσας. Ἐκ γὰρ τοῦ μὴ φιλεῖν τοὺς
ἀδελφοὺς τοὺς [g]ἑαυτῶν ἐφθόνουν εὐδοκιμοῦσιν, ἐκ δὲ τοῦ φθο- D
νεῖν ἐφιλάρχουν, ἐκ δὲ τοῦ φιλαρχεῖν αἱρέσεις ἔτεκον. Διὰ
τοῦτο καὶ ὁ Παῦλος εἰπὼν, "Ἵνα παραγγείλῃς τισὶ μὴ ἑτερο-
διδασκαλεῖν·" καὶ τὸν τρόπον ὑφηγεῖται, καθ' ὃν τοῦτο γενέ-
σθαι δυνατόν. Τίς [h]δ' οὖν οὗτός ἐστιν; Ἡ ἀγάπη. Ὥσπερ
οὖν ὅταν λέγῃ, [3]"Τέλος νόμου Χριστὸς," [i]τουτέστι, τὸ συμ-
πλήρωμα, φησὶ, καὶ τοῦτο [k]ἐκείνῳ ἐνέχεται, οὕτως ἡ παραγ-
γελία αὕτη ἐνέχεται τῇ ἀγάπῃ. Τέλος ἰατρείας ὑγεία· ὥστε
ὑγείας οὔσης, οὐ πολλῆς [l]δεῖ κατασκευῆς· καὶ ἀγάπης οὔσης, οὐ
πολλῆς δεῖ παραγγελίας. Ἀγάπην δὲ ποίαν φησί; Τὴν εἰλι- E
κρινῆ, οὐ τὴν μέχρι ῥημάτων, ἀλλὰ τὴν ἀπὸ [m]διαθέσεως καὶ τοῦ
συναλγεῖν. "Ἐκ καθαρᾶς, φησὶ, καρδίας·" ἤτοι περὶ πολιτείας
[n]ὀρθῆς φησιν, ἢ περὶ γνησίας φιλίας. Ποιεῖ γὰρ καὶ βίος ἀκά-
θαρτος [o]σχίσματα· [4]"Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ
φῶς." Ἔστι [p]γὰρ φιλία καὶ [q]ἡ τῶν φαύλων, οἷον καὶ λῃσταὶ
λῃστὰς φιλοῦσι, καὶ ἀνδροφόνοι ἀνδροφόνους· ἀλλ' [r]οὐκ ἔστι
τοῦτο ἀπὸ συνειδήσεως ἀγαθῆς, ἀλλ' ἀπὸ φαύλης, [s]οὐδὲ ἐκ κα-
θαρᾶς καρδίας, ἀλλ' ἐξ ἀκαθάρτου, οὐδὲ ἐκ πίστεως [t]ἀνυποκρί-
του. Πίστις [v]γὰρ τὸ ἀληθὲς δείκνυσιν· [w]ὅτι ἀπὸ πίστεως F
εἰλικρινοῦς ἡ ἀγάπη τίκτεται· ὁ [x]γὰρ ὄντως εἰς θεὸν πιστεύων,
οὐκ ἀνέχεταί ποτε ταύτην ἀφεῖναι. "Ὧν τινες, φησὶν, ἀστο-
χήσαντες, ἐξετράπησαν εἰς [y]ματαιολογίας." Καλῶς εἶπεν,
"ἀστοχήσαντες·" τέχνης γὰρ δεῖ, ὥστε [z]εὐθέα βάλλειν, καὶ μὴ 556
ἔξω τοῦ σκοποῦ, ὥστε ὑπὸ [a]τοῦ πνεύματος εὐθύνεσθαι· πολλὰ
γὰρ τὰ τῆς εὐθείας παρεκτρέποντα, καὶ δεῖ πρὸς ἓν ὁρᾶν.
"Θέλοντες, φησὶν, εἶναι νομοδιδάσκαλοι." [b]Ὁρᾷς καὶ ἄλλην

2 Matth. xviii. 19. xxiv. 12. 3 Rom. x. 4. 4 Joan. iii. 20.

[d] δύο] + ὑμῶν C. [e] ἐὰν om. K. [f] ἀγάπη] + τῶν πολλῶν L. [g] αὐτῶν C.I. [h] δ' οὖν] δὴ οὖν Cat. [i] τουτέστι om. Cat. τὸ om. B.K. Sav. cet. Mox φησὶ assumtum ex C.I.L. Cat. [k] ἐκείνῳ ἐνέχ.] Sic Cat. Edebatur ἐκείνων ἔχεται. [l] δεῖται L. [m] διαθέσεως] + καὶ γνώμης B.K. Sav. cet. [n] ὀρθῆς φησιν C.I.L. Cat. ὀρθῆς λέγει B.K. φησὶν ὀρθῆς Edd. [o] σχήματα L. [p] γὰρ om. B.K. [q] ἡ τῶν—λῃσταὶ] παρὰ φαύλοις, οἷα (οἷα K.) ἡ τῶν λῃστῶν, καὶ γὰρ ἐκεῖνοι B.K. [r] οὐκ ἔστι τοῦτο] τοῦτο οὐκ C. [s] οὐδὲ pro οὐδ' C.I.K. [t] ἀνυποκρίτου] + ἀλλ' ἐπιπλάστου καὶ ὑποκεκριμένης B.K. Sav. cet. invito Vet. [v] γὰρ om. B.K. [w] ὅτι ἀπὸ] ἀπὸ δὲ B.K. Sav. cet. Mox τίκτεται ἡ ἀγάπη hoc ord. B.K. [x] γὰρ om. B.K. Post ἀνέχεται folium deest in I. usque ad p. 557 B. [y] ματαιολογίαν L. [z] εὐθείᾳ L. Cat. εὔστοχα B.K. [a] τοῦ om. C. [b] ὅρα B.K.

αἰτίαν, [c]τὴν τῆς φιλαρχίας; Διὰ τοῦτο [d]καὶ ὁ Χριστὸς ἔλεγεν, [5]"Ὑμεῖς δὲ μηδένα καλέσητε ῥαββί·" καὶ πάλιν ὁ ἀπόστολος, "Οὐδὲ γὰρ [e]αὐτοὶ τὸν νόμον φυλάσσουσιν, ἀλλ' ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται." Τοῦ ἀξιώματος ἐφίενται, φησί· διὰ τοῦτο πρὸς τὴν ἀλήθειαν οὐχ ὁρῶσι. "Μὴ νοοῦντες, [f]φησὶ,
B μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται." Ἐνταῦθα διαβάλλει αὐτοὺς, ὡς οὐκ εἰδότας [g]τὸν τοῦ νόμου σκοπὸν, οὐδὲ τὸν καιρὸν μέχρι τίνος κύριον αὐτὸν εἶναι ἐχρῆν. Πῶς οὖν, [h]εἰ ἐξ ἀγνοίας [i]τὸ ἁμάρτημα, λέγεις [k]ὅτι διὰ τὸ θέλειν νομοδιδα- (256)
σκάλους εἶναι; Ἀλλὰ καὶ διὰ τὸ μὴ κατέχειν τὴν ἀγάπην· [l]ὅτι καὶ ἡ ἄγνοια ἐκ τούτων ἐτέχθη. Ὅταν γὰρ ἡ ψυχὴ πράγμασιν ἑαυτὴν [m]ἐκδῷ σαρκικοῖς, πηροῦται αὐτῆς [n]τὸ διορατικόν· ἐκπεσοῦσα δὲ τῆς ἀγάπης ἐμπίπτει εἰς φιλονεικίαν, καὶ λοιπὸν [o]πηροῦται αὐτῆς τὸ τῆς διανοίας ὄμμα. Ὁ γὰρ ὑπό τινος [p]ἐπιθυμίας τούτων τῶν προσκαίρων κατεχόμενος, μεθύων τῷ
C πάθει, τῆς ἀληθείας οὐκ ἂν γένοιτο κριτὴς ἀδέκαστος. "Οὐκ ἴσασι, φησὶ, περὶ τίνων [q]διαβεβαιοῦνται." Εἰκὸς γὰρ ἦν αὐτοὺς περὶ τοῦ νόμου φθέγγεσθαι, καὶ πολλὰ περὶ καθαρσίων καὶ τῶν ἄλλων τῶν σωματικῶν λέγειν.

Εἶτα ἀφεὶς ἐκεῖνα ἐλέγξαι, ὡς οὐδὲν ὄντα ἢ [r]σκιὰς τῶν πνευματικῶν καὶ ὑπογραμμοὺς, ὃ μᾶλλον προσηνέστερον ἦν, τοῦτο ἐργάζεται. Ποῖον δὴ τοῦτο; Ἐπαινεῖ τὸν νόμον, νόμον ἐνταῦθα τὴν δεκάλογον καλῶν. Ἀπὸ [s]γὰρ τούτου κἀκεῖνα ἐξέβαλεν. Εἰ γὰρ ταῦτα αὐτὰ κολάζει τοὺς [t]παραβάτας, καὶ
D ἄχρηστα ἡμῖν γίνεται, πολλῷ μᾶλλον ἐκεῖνα. [6]"Οἴδαμεν δὲ, [v]φησὶν, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται, [w]εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται." [x]Καλὸς, φησὶ, καὶ οὐ καλός. [y]Ἀλλ' ὃ λέγει τοῦτό ἐστιν· [z]ἐπαινεῖ αὐτὸν δι' ἔργων·

[5] Matth. xxiii. 8. Gal. vi. 13. [6] v. 8, 9.

[c] τὴν] ἀπὸ B.K. τὴν om. Cat. [d] καὶ om. B.L. Veron. [e] αὐτοὶ]+ φησὶ L. τὸν om. K. Mox ἡμετέρᾳ L. [f] φησὶ om. B.K. [g] τοῦ νόμου τὸν σκοπὸν, μηδὲ τὸν κ. L. [h] εἰ om. L. [i] τὸ ἁμ.] ἁμ. τοῦτο B.K. Sav. cet. τὸ om. Veron. invita Cat. [k] ὅτι]+οὐ B.K. Sav. cet. +καὶ L. Post εἶναι add. μόνον B.K. Sav. cet. [l] ὅτι] τοῦτο ἔπαθον· ἄλλως δὲ B.K. Sav. cet. [m] ἐκδῷ] δῷ B.C.K. Cat. [n] Haec τὸ διορ.—πηροῦται αὐτῆς desunt in C.I.L. Veron. Leguntur in Sav. cet. sed omissis λοιπὸν et αὐτῆς, quae ex nostris B.K. assumsimus. [o] πυροῦται B. [p] ἐπιθυμίας om. L. [q] διαβεβαιοῦνται]+οὕτως εἶπεν B.K. [r] σκιὰν et ὑπόγραμμον B.K. Sav. cet. σκιὰ et ὑπογραμμὸς L. [s] γὰρ] δὲ B.K. Sav. cet. [t] παραβαίνοντας Cat. Mox ἡμῖν om. L. [v] φησὶν om. B.K. [w] εἰδὼς] χρῆται δὲ ὁ εἰδὼς B.K. Haec εἰδὼς—κεῖται desunt in L. [x] Haec καλὸς, φησὶ, καὶ οὐ καλὸς om. B.K. [y] ἀλλ' ὃ] τί δαὶ, φησίν; ἐὰν (ἂν δὲ B.) μὴ νομίμως τις χρῆται, οὐκ ἔστι καλός; καὶ οὕτω καλός· ἀλλ' ὃ B.K. Sav. cet. τί οὖν ἐὰν μὴ νομίμως χρῆται, οὐ καλός; ναὶ, φησὶ, καὶ οὕτω καλός· ἀλλ' ὃ Cat. [z] ἐπαινεῖ (ἐπαίνει B.C.) αὐτὸν] Sic B.C.K.L. Cat. ὅταν ἐκπληροῖ Sav. cet. Lacunam habet Veron.

τὸ γὰρ, “ ἐάν τις αὐτῷ νομίμως χρῆται,” τοῦτό ἐστιν. [a]Εἰσὶ
γὰρ οἱ μὴ χρώμενοι καὶ ἐνταῦθα· οἷον, ὅταν ἐξηγῶνται, φησὶν,
αὐτὸν διὰ ῥημάτων, διὰ δὲ τῶν ἔργων παραβαίνωσι, τοῦτό
ἐστιν ἀνόμως χρῆσθαι· χρῆται μὲν [b]γὰρ, ἀλλ᾽ οὐκ εἰς οἰκείαν
ὠφέλειαν. [c]Τὶ δὲ καὶ ἄλλο ἐστὶ, “ νομίμως·” οἷον, ἐὰν νομί- E
μως [d]χρήσῃ, παραπέμπει σε πρὸς τὸν Χριστόν. Ὅταν γὰρ
αὐτοῦ σκοπὸς ᾖ δικαιῶσαι τὸν ἄνθρωπον, μὴ δύνηται δὲ, παρα-
πέμπει πρὸς τὸν δυνάμενον. Καὶ [e]ἄλλως, νομίμως χρήσασθαι
[f]ἔστι τῷ νόμῳ, ὅταν ἐκ πολλῆς αὐτὸν φυλάττῃ τῆς περιουσίας.
Τί δέ ἐστιν, ἐκ περιουσίας; Ὥσπερ τῷ χαλινῷ, [g]φησὶν, εὐ-
τάκτως κέχρηται οὐχ ὁ σκιρτῶν ἵππος, οὐδ᾽ ὁ δάκνων, ἀλλ᾽ ὁ
ἁπλῶς αὐτὸν περικείμενος σχήματος ἕνεκεν· οὕτω καὶ νόμῳ F
νομίμως χρῆται ὁ μὴ διὰ τὴν [h]ἐκ τῶν γραμμάτων ἀνάγκην
σωφρονῶν. Τίς δὲ αὐτῷ νομίμως χρήσεται; Ὁ εἰδὼς ὅτι οὐ
δεῖται [i]αὐτοῦ. Ὁ γὰρ πρὸς τοσοῦτον ἀρετῆς φθάσας, ὥστε μὴ
διὰ τὸν ἐκείνου φόβον αὐτὸν κατορθοῦν, ἀλλὰ διὰ τὴν ἀρετὴν, 557
οὗτος νομίμως χρῆται αὐτῷ καὶ ἀσφαλῶς· ἐάν τις αὐτῷ οὕτω
χρῆται, ὡς μὴ φοβούμενος αὐτὸν, [k]ἀλλὰ τῆς ἐκεῖ τιμωρίας κει-
μένης μᾶλλον τὴν κατάγνωσιν ἔχων πρὸ ὀφθαλμῶν. [l]Καὶ
ἄλλως, δίκαιον ἐνταῦθα καλεῖ τὸν κατωρθωκότα τὴν ἀρετήν.
[m]Ἐκεῖνος κέχρηται τῷ νόμῳ καλῶς, ὁ μὴ καταξιῶν ἀπ᾽ αὐτοῦ
παιδεύεσθαι. Ὥσπερ γὰρ αἱ [n]στιγμαὶ τῶν γραμμάτων τοῖς
παισὶ κεῖνται, ὁ δὲ τὰ ἀπ᾽ αὐτῶν πληρῶν μὴ [o]δι᾽ αὐτῶν, ἀλλ᾽
ἐξ ἑτέρων, μείζονος ἐπιστήμης ἂν εἴη ἔμπειρος, καὶ κρεῖττον
μᾶλλον κέχρηται τοῖς γράμμασιν· [p]οὕτως ὁ ὑπὲρ τὸν νόμον, οὐ B
παιδαγωγεῖται τῷ νόμῳ. Ὁ γὰρ μὴ ἀπὸ τοῦ φόβου [q]αὐτὸν
πληρῶν, ἀλλ᾽ ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν ἐπιθυμίας [r]πλείονος,
[s]οὗτος [t]μᾶλλον αὐτὸν κατορθοῖ. Οὐ γὰρ ὁμοίως ὁ κόλασιν
δεδοικὼς, καὶ ὁ τιμῆς ἐφιέμενος τὸν νόμον πληροῖ· οὐχ ὁμοίως
ὁ ὑπὸ τὸν νόμον ὢν, καὶ ὑπὲρ τὸν νόμον· τὸ γὰρ ὑπὲρ νόμον

[a] εἰσὶ γὰρ—αὐτὸν] ἐνταῦθα σημαίνον. ὅταν δὲ ἐξηγῶνται μὲν αὐτὸν B.K. Sav. cet. Post ῥημάτων add. οἱ χρώμενοι B.K. [b] γὰρ]+καὶ οὗτος B.K. Sav. cet. [c] τὶ—οἷον] ἔστι καὶ ἀλλὸ πρὸς τούτῳ εἰπεῖν. ποῖον δὴ τοῦτο; οἷον B.K. Sav. cet. ἔστι δὲ καὶ ἄλλο Cat. [d] χρήσῃ]+τῷ νόμῳ B.C.K. Sav. cet. [e] ἄλλως+δὲ B.K. Sav. cet. [f] ἔστι τῷ νόμῳ] τῷ νόμῳ ἐστὶν B.K. Sav. cet. Mox φυλάττῃς iidem. [g] φησὶν Mor. Ben. *inquit* Vet. φύσει est in Veron. Sav. et libris omnibus. [h] ἐκ om. L. [i] αὐτοῦ]+ἐπάγει γὰρ, εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται C. [k] ἀλλὰ] ἀλλ᾽ ὑπὲρ B.K. Post κειμένης add. χρῆται καλῶς iidem. [l] καὶ ἄλλως] ἄλλως δὲ B.K. καὶ ἄλλως δὲ Sav. cet. [m] ἐκεῖνος]+τοίνυν B.K. Sav. cet. Mox παρ᾽ αὐτοῦ L. [n] στιγμαὶ] σκιαὶ L. [o] δι᾽ αὐτῶν omnes. ἐξ αὐτῶν Edd. [p] οὕτως ὁ om. L. Sequentia ὑπὲρ τὸν νόμον—ὁ γὰρ desunt in C.L. Veron. invito Vet. [q] αὐτὸν] αὐτῶν L. τὸν νόμον C. Mox τὴν om. L. [r] πλείονος] Sic C.L. Cat. πλειόνως Edd. [s] οὗτος] οὕτως καὶ ὁ μὴ ὑπὸ τῷ γράμμα (sic) τοῦ νόμου ὢν, ἀλλ᾽ ὑπὲρ τὸν νόμον L. [t] μᾶλλον pro μάλιστα omnes.

ζῆσαι, τοῦτό ἐστι [v] νομίμως χρῆσθαι. Νόμῳ γὰρ ἐκεῖνος χρῆται καλῶς καὶ φυλάττει, ὁ μείζονα τοῦ νόμου κατορθῶν, ὁ μὴ καταξιῶν παιδευτὴν αὐτὸν ἔχειν. Ὁ γὰρ νόμος, [w] ὡς τὰ πολλὰ,
C κακῶν ἀπαγόρευσίς ἐστι· δίκαιον δὲ οὐ ποιεῖ [x] τοῦτο, ἀλλὰ καὶ ἀγαθῶν ἐργασία. Ὥστε ὅσοι κακῶν ἀπέχονται ὡς δοῦλοι, οὗτοι οὐ πληροῦσιν αὐτοῦ τὸν σκοπόν· διὰ γὰρ τοῦτο κεῖται, ἵνα παράβασιν κολάζῃ. Ὥστε καὶ ἐκεῖνοι κέχρηνται αὐτῷ, ἀλλ' ἐν τῷ κόλασιν [y] δεδοικέναι. [7] "Θέλεις γὰρ [z] μὴ φοβεῖσθαι, φησὶ, τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει·" ὡς [a] ἂν εἴποι τις, μόνοις γὰρ
D τοῖς πονηροῖς τιμωριῶν ἐστι διαγορευτικός· τῷ δὲ στεφάνων ἄξια ποιήσαντι ποῦ χρήσιμος ὁ νόμος; [b] ὥσπερ οὖν ὁ ἰατρὸς τῷ [c] τραῦμά τι ἔχοντι, οὐ τῷ ὑγιαίνοντι, οὐδὲ τῷ καλῶς διακειμένῳ. "Ἀνόμοις δὲ, [d] φησὶ, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς." Ἀνόμους [e] Ἰουδαίους καλεῖ, [f] καὶ ἀνυποτάκτους. [8] "Ὁ νόμος, φησὶν, ὀργὴν κατεργάζεται." [g] Τί οὖν πρὸς τὸν (257)
τιμῆς ἄξιον; [9] "Διὰ νόμου, φησὶν, ἐπίγνωσις ἁμαρτίας." Τί [h] οὖν πρὸς τὸν δίκαιον; [i] Πῶς οὖν οὐ κεῖται νόμος τῷ δικαίῳ; Ὅτι κολάσεώς ἐστιν ἐκτὸς, καὶ ὅτι οὐ περιμένει τὰ πρακτέα παρ' ἐκείνου μαθεῖν, ἔχων [k] ἔνδον τὴν τοῦ πνεύματος ὑπαγορεύουσαν χάριν. Νόμος γὰρ ἐδόθη, ἵνα τῷ φόβῳ κολάζωνται καὶ
E τῇ ἀπειλῇ. Οὐ δεῖ τοίνυν χαλινοῦ ἐπὶ τὸν εὐήνιον ἵππον, οὐδὲ παιδαγωγίας ἐπὶ τὸν οὐ δεόμενον παιδαγωγοῦ. "[l] Ἀνόμοις δὲ, φησὶ, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, [m] πατραλώαις καὶ μητραλώαις." Καὶ οὐ μέχρι τούτου ἔστη, οὐδὲ μέχρι τῶν ἁμαρτημάτων [n] μόνον, ἀλλὰ καὶ κατ' εἶδος ἐπεξῆλθε τὰ ἁμαρτήματα, ὥστε πεῖσαι ἐπαισχυνθῆναι τὴν τοῦ νόμου ἐπιστασίαν. [o] Καὶ εἰπὼν κατ' εἶδος, εἶπε καὶ κατὰ παράλειψιν, [p] καίτοι καὶ τὰ εἰρημένα ἦν ἱκανὰ ἀπαγαγεῖν.

7 Rom. xiii. 3. 8 Ibid. iv. 15. 9 Ibid. iii. 20.

[v] νομίμως] τὸ ν. L. Cat. ζῆσαι pro χρῆσθαι L. [w] ὡς] ἐς L. [x] τοῦτο] μόνον τοῦτο B.K. τοῦτο μόνον L. [y] δεδοικέναι Edd. δοῦναι B.I.K.L. μὴ δοῦναι C. [z] μὴ φοβ. φησὶ pro φησὶ μὴ φοβ. C.I.L. [a] ἂν εἴποι] εἶπε L. Mox γὰρ om. B.K. ἐστι δ. pro δ. ἐστι B.C.I.K. ἐστι προαγορευτικὸς L. [b] ὥσπερ] ἐπεὶ B. οὖν] καὶ B.K. οὖν καὶ L. Statim ὁ om. B.K. [c] τραῦμά τι] τραύματι Veron. τραύματα B. et ex corr. C. τὰ τραύματα K. τραῦμα I. Post διακειμένῳ add. ἐστὶν ἰατρὸς B.K. [d] φησὶ om. K. [e] τοὺς Ἰουδ. L. [f] καὶ] τοὺς I. τοὺς αὐτοὺς δὲ καὶ B.K. Sav. cet. [g] τί οὖν] τί οὖν λοιπὸν ἔχει L. τοῦτο πρὸς τοὺς ποιοῦντας τὸ κακόν. τί δὲ B.K. Sav. cet. [h] οὖν] δαὶ iidem. [i] πῶς οὖν (οὖν om. Veron.)—δικαίῳ;] δικαίῳ, φησὶ, νόμος οὐ κεῖται. διὰ τί; iidem. [k] ἔνδοθεν L. Cat. Statim τὴν τ. πν. ὑπαγ. pro ὑπαγ. τὴν τ. πν. C.K. I.L. Cat. [l] ἀνόμοις δὲ, φησὶ] εἰπὼν δὲ ἀνόμοις B.K. καὶ ante οὐ μέχρι om. iidem. [m] πατραλώαις καὶ μητραλώαις bis C.L. πατρολώαις καὶ μητρολώαις I. πατραλοίαις καὶ μητραλοίαις Edd. [n] μόνον om. L. Post μόνον add. κατέβη K. [o] καὶ εἰπὼν] εἶτα καταλέξας B.K. Sav. cet. [p] καίτοιγε L. Mox ἦν ἱκανὰ C. I.L. ἱκανὰ ἦν Sav. cet. ἦν om. Veron.

[q]Τί οὖν; Ἰουδαῖοί εἰσιν οἱ ἀνδραποδισταὶ καὶ [r]πατραλῷαι καὶ
μητραλῷαι; Τοῦτο αἰνίττεται. Ἀσεβεῖς, φησὶ, καὶ ἀνόσιοι, F
καὶ βέβηλοι. Τοιοῦτοι ἦσαν, καὶ διὰ τοῦτο ὁ νόμος ἐδόθη.
Εἰπὲ γάρ μοι, οὐχὶ συνεχῶς εἰδώλοις προσεκύνουν; οὐ τὸν 558
Μωϋσέα ἐλίθαζον; οὐ φόνων [s]αἱ χεῖρες αὐτῶν ἔγεμον συγγενι-
κῶν; οὐχὶ ἄνω καὶ κάτω ταῦτα αὐτοῖς ἐγκαλοῦσιν οἱ προφῆται;
Τοῖς δὲ τὰ ἐν οὐρανῷ φιλοσοφοῦσι περιττὰ ταῦτα. "Πατρα-
λῴαις, φησὶ, καὶ μητραλῴαις, ἀνδροφόνοις, [10]πόρνοις, ἀρσενο-
κοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον,
[t]φησὶ, τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται." Καλῶς εἶπε,
"τῇ ὑγιαινούσῃ διδασκαλίᾳ." Ἐκεῖνα γὰρ πάντα [v]πάθη ψυχῆς
ἦν διεφθαρμένης. [11]"Κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης
τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ." Ὥστε καὶ νῦν ἐπὶ B
βεβαιώσει τοῦ εὐαγγελίου δεῖ νόμου· τοῖς μέντοι πειθομένοις
οὐ δεῖ. Εὐαγγέλιον δὲ δόξης αὐτὸ καλεῖ, δι' οὐδὲν ἕτερον, ἀλλ'
ἢ [w]πρὸς τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς, καὶ ἐπὶ τῷ
πάθει τοῦ Χριστοῦ. Τῶν τε οὖν ἄλλων ἕνεκεν καὶ τούτων
[x]αὐτῶν, ὅτι δόξα ἐστὶ [y]καὶ τὸ πάθος τοῦ Χριστοῦ, [z]καὶ ταῦτα.
[a]Η καὶ τὰ μέλλοντα αἰνίττεται. Εἰ γὰρ [a]καὶ τὰ παρόντα
αἰσχύνης γέμει καὶ ὀνειδῶν, ἀλλὰ τὰ μέλλοντα οὐ τοιαῦτα· τὸ
δὲ εὐαγγέλιον μελλόντων ἐστὶν, οὐ παρόντων. Πῶς οὖν ὁ [b]ἄγ-
γελος, [12]"Ἰδοὺ [c]εὐαγγελίζομαι ὑμῖν, ὅτι ἐτέχθη ὑμῖν σωτήρ;" C
[d]Ἐτέχθη μὲν σωτὴρ, ἀλλ' ἔσται σωτήρ· οὐ γὰρ ἅμα ἐγεννήθη,
εἰργάζετο τὰ σημεῖα. "Κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης
τοῦ μακαρίου θεοῦ." [e]Ἤτοι, "τῆς δόξης," τὴν λατρείαν φησὶ
τοῦ θεοῦ, [f]καὶ ὅτι εἰ τὰ παρόντα πάντα ἐμπέπλησται τῆς
δόξης αὐτοῦ, [g]πολλῷ μᾶλλον τὰ μέλλοντα· ὅταν [13]"τεθῶσι,
φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ," ὅταν ἀντικείμε-
νον ᾖ μηδὲν, ὅταν ἴδωσιν οἱ δίκαιοι πάντα τὰ μακαριστὰ ἐκεῖνα,
"ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀν-

10 v. 10. 11 v. 11. 12 Luc. ii. 10, 11. 13 1 Cor. xv. 25. ii. 9.

[q] τί οὖν;—ἐδόθη.] περὶ τίνων οὖν ταῦτά φησι; περὶ Ἰουδαίων· οὗτοι γὰρ καὶ πατραλοῖαι καὶ μητραλοῖαι, καὶ αὐτοὶ καὶ βέβηλοι καὶ ἀνόσιοι· τούτους γὰρ αἰνίττεται, ἀσεβέσιν, εἰπὼν καὶ ἁμαρτωλοῖς. τοιούτων δὲ ὄντων αὐτῶν ἀναγκαίως καὶ ὁ νόμος ἐδόθη. B.K. Sav. cet. [r] πατραλῷοι . . . μητραλῷοι L. πατρολῷαι . . . μητρολῷαι I. Cat. [s] αἱ χ. αὐτῶν pro αὐτῶν αἱ χ. C.I.K.L. Cat. [t] φησὶ assumtum ex C.I.L. [v] πάθη om. L. invita Cat. Mox φησὶ om. B.K. [w] πρὸς] διὰ B.K. Sav. cet. [x] αὐτῶν]+εὐαγγέλιον δόξης εἴρηται, δηλῶν iidem. [y] καὶ om. iidem. [z] καὶ] ἢ οὖν B.K. καὶ ταῦτα om. Sav. cet. invitis libris. [a] καὶ assumtum ex B.I.K. Cat. [b] ἄγγελος]+φησὶ B.K.+ὅτι I. φησὶν post ἰδοὺ add. L. [c] εὐαγγ.]+εἶπεν B.K. [d] ἐτέχθη—ἔσται σωτὴρ] ὅτι τεχθεὶς ἔμελλε τοῦτο γίνεσθαι B.K. Sav. cet. [e] ἤτοι τῆς δ. τὴν λ.] Sic libri omnes et Cat. τῆς δόξης· ἢ τὴν λ. Edd. [f] καὶ] Sic I.L. Cat. Veron. ἢ Sav. cet. Statim εἰ om. C. Veron. [g] πολλῷ δὲ μ. Edd. δὲ om. B.K.L. Cat.

θρώπου ἀνέβη." [14] "Θέλω γάρ, φησὶν, [h]ἵν' ὅπου εἰμὶ ἐγὼ, καὶ
D οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι."
[i]Τίνες ἄρα εἰσὶ, καὶ μακαρίσωμεν [k]αὐτοὺς, ὅσων ἀπολαύσον-
ται τότε ἀγαθῶν, ὅσης μεθέξουσι δόξης, ὅσου φωτός; Ἡ μὲν
[l]γὰρ ἐνταῦθα δόξα οὐδαμινή τε ἐστὶ καὶ ἄστατος· κἂν παρα-
μείνῃ, [m]ταχέως σβέννυται· [15] "Οὐ γὰρ συγκαταβήσεται αὐτῷ,
[n]φησὶν, ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ·" πολλοῖς δὲ οὐδὲ ἐνταῦθα
μέχρι τέλους παρέμεινε· περὶ δὲ ἐκείνης οὐκ ἔστιν ὑποπτεῦσαί
E τι τοιοῦτον, ἀλλὰ πᾶν τοὐναντίον, ὅτι μένει, καὶ οὐδὲ τέλος
ἕξει ποτέ. Τοιαῦτα γὰρ τὰ τοῦ θεοῦ, μόνιμα καὶ μεταβολῆς
κρείττω πάσης καὶ τέλους. Οὐ γάρ ἐστιν ἡ δόξα τότε ἐκ τῶν
ἔξω, ἀλλ' ἐκ τῶν ἔνδον· οἷόν τι λέγω· οὐκ ἀπὸ ἱματίων πολυ-
τελῶν, οὐκ ἀπὸ πλήθους θεραπόντων, οὐκ ἀπὸ [o]σχημάτων ἡ
[p]δόξα γίνεται, ἀλλὰ τούτων χωρὶς αὐτὸς ὁ ἀνὴρ ἠμφίεσται τὴν
δόξαν. Νῦν μὲν γὰρ, ἂν ταῦτα ἀπῇ, γυμνὸς [q]ἐκείνης τῆς δόξης
F [r]ἔσται. Ἐν γοῦν βαλανείοις γυμνοὺς ὁρῶμεν ἐντίμους [s]καὶ ἀτί-
μους, ὁρῶμεν δὲ καὶ φαύλους. [t]Τῶν ἐν ἀγοραῖς πολλοὶ γοῦν
πολλάκις ἐκινδύνευσαν, τῶν παίδων αὐτοὺς κατά τινα χρείαν
[v]ἀπολιπόντων· ἐκεῖ δὲ μεθ' ἑαυτοῦ τὴν δόξαν ἔχει πανταχοῦ. (258
559 Καὶ καθάπερ οἱ ἄγγελοι, ὅπουπερ ἂν φανῶσιν, ἐν ἑαυτοῖς τὴν
δόξαν ἔχουσιν, οὕτω καὶ οἱ ἅγιοι. Μᾶλλον δὲ καθάπερ ὁ ἥλιος
οὐ δεῖται ἱματίου, οὐ δεῖται ἑτέρου τινὸς, ἀλλ' ἅμα τε ἐφάνη
καὶ [w]τὴν δόξαν ἐξέλαμψεν, οὕτω καὶ τότε ἔσται. Μεταδιώ-
κωμεν τοίνυν τὴν δόξαν ἐκείνην, ἧς οὐδὲν αἰδεσιμώτερον· [x]κατα-
λείπωμεν ταύτην, ἧς οὐδὲν οὐδαμινώτερον. [16] "Ἐν περιβολῇ,
φησὶν, ἱματίων μὴ καυχήσῃ." Ταῦτα ἄνωθεν προελέγετο τοῖς
B νηπίοις. Καὶ γὰρ ὁ ὀρχηστὴς καὶ ἡ πόρνη καὶ ὁ [y]σκηνικὸς
χαριέστερά σου ἠμφίεσται καὶ πολυτελέστερα. Καὶ χωρὶς
δὲ [z]τούτου, [a]καυχᾶσαι ἐπὶ πράγματι, ᾧ ἂν ἐπίθωνται σῆτες,
ἀπεστέρησάν σε τῆς ἀπολαύσεως. Ὁρᾷς πῶς ἀβέβαιόν ἐστι
[b]πρᾶγμα ἡ τοῦ παρόντος βίου δόξα; [c]Καυχᾶσαι ἐπὶ πράγματι,

14 Joan. xvii. 24. 15 Psal. xlviii. 18. 16 Sirac. xi. 4.

[h] ἵνα ὅπου C.I. Veron. Mox δέδωκας I. [i] ΗΘΙΚΟΝ. Ὅτι δόξα καὶ ἡδονὴ ἀληθὴς ἐν τοῖς πνευματικοῖς ἐστιν, οὐκ ἐν τοῖς σαρκικοῖς. Veron. τίνες ἄρα εἰσὶ] μάθωμεν τίνες ἄρα οὗτοί εἰσι B.K. Sav. cet. [k] αὐτοὺς] + ἐννοοῦντες B.K.L. Sav. cet. [l] γὰρ] οὖν L. Mox τε om. idem. [m] ταχέως] δὲ, ἕως τελευτῆς παραμένει, καὶ λοιπὸν παντελῶς B.K. Sav. cet. [n] φησὶν om. K. ὀπίσω αὐτοῦ om. B.K. [o] ὀχημάτων B.K. Sav. cet. [p] δόξα] + τότε iidem. [q] ἐκεῖνος L. ἐκείνης om. B.K. Sav. cet. [r] ἔσται] + ἐκεῖ δὲ οὐχ οὕτως B.K. Sav. cet. [s] καὶ ἀτίμους om. B.K. Mox ἀτίμους pro φαύλους iidem. [t] τῶν] καὶ τῶν K. Mox πολλάκις καὶ ἐκινδ. B. [v] ἀπολειπόντων I. [w] τὴν] + ἑαυτοῦ B.K. Sav. cet. Mox ἔλαμψεν L. [x] καταλίπωμεν B.C.K. [y] κυνικὸς C.I. [z] τούτου pro τούτων omnes. [a] καυχᾶσαι omnes. καυχᾷ Edd. ante Ben. τί καυχᾶσαι L. Mox ἐὰν pro ἂν idem. [b] τὸ πρᾶγμα Edd. τὸ deest in omnibus. [c] καυχᾶσαι C.I.L. καυχᾷ Edd.

ὃ σκώληκες τίκτουσι καὶ [d]ἀπολλύουσι· λέγονται γὰρ Ἰνδικά
τινα ζωΰφια εἶναι, ὅθεν τὰ νήματα ταῦτα [e]κατασκευάζεται.
Κτῆσαι ἱμάτιον, εἰ βούλει, τὸ ἐκ τῶν ἄνωθεν [f]ὑφαντὸν, τὴν
περιβολὴν τὴν θαυμασίαν καὶ λαμπρὰν, τὸν ἱματισμὸν τὸν
διάχρυσον ὄντως. Ἐκεῖνος ὁ χρυσὸς οὐκ ἀπὸ μετάλλων ἐστὶν, C
ἃ καταδίκων χεῖρες ὤρυξαν, ἀλλ' [g]ἀπὸ ἀρετῆς τίκτεται. [h]Περι-
βάλωμεν ἑαυτοὺς [i]ἐκείνῃ τῇ στολῇ, ἣν οὐκ ἄνθρωποι πένητες καὶ
δοῦλοι κατασκευάζουσιν, ἀλλ' αὐτὸς ὁ δεσπότης. Ἀλλὰ [k]τί;
κατέσπαρται τῷ ἱματίῳ τούτῳ χρυσός; Καὶ τί [l]τοῦτο; τὸν
γὰρ ἐργασάμενον πάντες θαυμάζουσιν, οὐ τὸν περικείμενον·
ἐκείνου γὰρ ὄντως τὸ θαῦμα. [m]Ὥσπερ γὰρ ἐπὶ τῶν ἱματίων
τῶν λιτῶν [n]οὐ τὸ ξύλον, ἐν ᾧ ἐντέταται τὸ ἱμάτιον [o]ἐπὶ τῶν D
γναφέων, θαυμάζομεν, ἀλλὰ τὸν ἐργαζόμενον, καίτοι ξύλον
αὐτὰ [p]φορεῖ, καὶ ξύλῳ ἐνδέδεται· ὥσπερ οὖν ἐκεῖνα οὐ χρείας
ἕνεκεν ἐνδέδεται, οὕτως οὐδὲ αὗται, ἀλλὰ τῆς τοῦ ἱματίου χρείας,
[q]ἵνα τινάσσηται, φησὶν, ἵνα μὴ σητὶ κατατείνηται. Πῶς οὖν
οὐκ ἐσχάτης τοῦτο ἀνοίας [r]ἐστὶν, ὑπὲρ τοῦ μηδενὸς τοσαύτην
ποιεῖσθαι σπουδὴν, καὶ πάντα μηχανᾶσθαι, [s]καὶ τὴν ἑαυτῶν
προδιδόναι σωτηρίαν, καὶ τῆς γεέννης καταφρονεῖν, καὶ εἰς θεὸν
ὑβρίζειν, καὶ περιορᾶν τὸν Χριστὸν πεινῶντα; Τί ἄν τις εἴποι
[t]τὴν τῶν ἀρωμάτων πολυτέλειαν, τῶν Ἰνδικῶν, τῶν Ἀραβικῶν, E
τῶν Περσικῶν, τῶν ξηρῶν, τῶν ὑγρῶν, τῶν μύρων, τῶν θυμια-
μάτων, ἅπερ ἅπαντα δαπάνην ἔχει πολλὴν καὶ ἀνόνητον; Τί
μυρίζεις, ὦ γύναι, τὸ σῶμα ἔσωθεν ἀκαθαρσίας γέμον; τί περὶ
τὸ δυσῶδες [v]ἀναλίσκῃ; ὥσπερ ἂν εἴ τις ἐπιβάλοι βορβόρῳ μύ-
ρον, ἢ πλίνθῳ [w]διαβρόχῳ βάλσαμον. Ἔστιν, εἰ βούλει, μύρον,
ἔστιν ἄρωμα, ᾧ δυνήσῃ χρῖσαι τὴν ψυχὴν, οὐκ ἐξ Ἀραβίας,
[x]οὐδὲ ἐξ Αἰθιοπίας, οὐδ' ἀπὸ Περσίδος, ἀλλ' ἐξ αὐτοῦ φερό-
μενον τοῦ οὐρανοῦ, πωλούμενον οὐ χρυσίου, ἀλλὰ προαιρέσεως F
ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου. Τοῦτο [y]ἀγόρασον τὸ μύρον,
οὗ ἡ ὀσμὴ τὴν οἰκουμένην ἐμπλῆσαι δύναται. Τούτου ἀπέπνεον
οἱ ἀπόστολοι· [17]"Ὀσμὴ γάρ ἐσμεν εὐωδίας, φησὶν, οἷς μὲν εἰς

17 2 Cor. ii. 15, 16.

[d] ἀπολαύουσι C.I.L. [e] κατασκευάζονται C. [f] ὑφαινόμενον B.K. [g] ἀπὸ] ὑπὸ I. ὑπ' L. [h] περιβ.]+τοίνυν B.K. [i] ἐκείνην τὴν στολὴν L. [k] τί] ἐρεῖς ὅτι B.K. Sav. cet. [l] τοῦτο]+πρὸς σὲ iidem. Mox γὰρ om. B.K. [m] ὥσπερ γὰρ] τοῦτο καὶ B.K. [n] οὐ] συμβαίνει· καὶ γὰρ ἐκεῖ οὐ iidem. [o] ἐπὶ τῶν γναφέων] Sic C.I.L. ἐπὶ τὸ κναφεῖον Edd. θαυμάζομεν ante τὸ ἱμάτιον transp. L. [p] φέρει C.L. Statim ξύλον C. ἐνδέδενται bis L. [q] ἵνα τ. φησὶν] ἕνεκεν, φησὶν, ἐνδέδεται· οὐχ ἁπλῶς, ἀλλ' ἵνα τ. B.K. Mox καταλυμαίνηται iidem. [r] ἐστιν om. K. [s] καὶ τὴν] τὴν δὲ B.K. [t] περὶ τῆς τ. ἀ. πολυτελείας B.K. [v] ἀναλίσκεις ex corr. C. Post h. v. add. καὶ ταὐτὸ ποιεῖς B.K. Sav. cet. [w] Vid. Annot. [x] οὐδ' ἐξ I.K. [y] ἀγόρασον pro ἀγόρασαι C.I.K.L. Mox τοῦτο ἀπέπνεον L.

θάνατον, οἷς δὲ εἰς ζωήν." Τί [z]δὴ τοῦτό ἐστιν; Ὅτι καὶ ὗς
ἀποπνίγεσθαι λέγεται [a]ἀπὸ τῆς εὐωδίας. Οὐ τὸ σῶμα δὲ μόνον
τῶν ἀποστόλων, ἀλλὰ καὶ τὰ ἱμάτια τοῦ μύρου τοῦ πνευματι-
560 κοῦ ἀπέπνεον. Οὕτω γὰρ ἔπνει [b]καλὸν τὰ ἱμάτια Παύλου, ὡς
δαίμονας ἐλαύνειν. Ποίου φύλλου, ποίας κασίας, ποίας σμύρνης
οὐχὶ καὶ [c]ἡδίων καὶ χρησίμη αὕτη ἡ εὐωδία; Εἰ γὰρ δαίμονας
ἀπήλαυνε, τί οὐκ ἂν ἕτερον εἰργάσατο; Τοῦτο κατασκευάζωμεν
τὸ μύρον· κατασκευάζει δὲ [d]αὐτὸ δι' ἐλεημοσύνης ἡ πνευματικὴ
χάρις. [e]Τούτου καὶ ἐκεῖ ἀπελθόντες μέλλομεν ἀποπνεῖν· [f]καὶ
B καθάπερ ἐνταῦθα πάντας ἐπιστρέφουσιν οἱ [g]ἀνακεχρωσμένοι
τῆς εὐωδίας, [h]κἂν τε εἰς βαλανεῖον, κἄν τε εἰς ἐκκλησίαν, κἄν τε
εἰς ἕτερον πολυάνθρωπον τόπον ἀπέλθῃ [i]ἡ τοῦτο ἀποπνέουσα,
πάντες αὐτῆς ἐξαρτῶνται, καὶ πάντες ἐπιστρέφονται· οὕτω καὶ
ἐν ἐκείνῳ τῷ κόσμῳ τῶν ἀποπνεουσῶν ψυχῶν τῆς πνευματικῆς
εὐωδίας εἰσιουσῶν, πάντες [k]ἐξανίστανται καὶ παραχωροῦσι. Καὶ
ἐνταῦθα δὲ καὶ δαίμονες καὶ κακίαι πᾶσαι [l]προσελθεῖν οὐ τολ-
μῶσιν οὐδὲ ὑπομένουσιν· ἀποπνίγονται γάρ. Ἐκεῖνο τοίνυν τὸ
ἄρωμα περιθώμεθα. Τοῦτο μὲν γὰρ καὶ βλακείας δόξαν ἡμῖν
C [m]περιτίθησιν, ἐκεῖνο δὲ ἀνδρείας καὶ θαύματος ὄντως· καὶ παρ-
ρησίαν δὲ ἡμῖν παρέχει πολλήν. Τοῦτο τὸ ἄρωμα οὐ γῆ ἀνα- (259)
δίδωσιν, ἀλλ' ἀρετὴ τίκτει· οὐ μαραίνεται, ἀλλ' ἀνθεῖ· τοῦτο
τιμίους τοὺς ἔχοντας ποιεῖ. [n]Τούτῳ χριόμεθα, ὅταν βαπτιζώ-
μεθα· τότε καλὸν ἀποπνέομεν. Τὸ δὲ [o]καὶ εἰς τὸ ἑξῆς [p]τούτου
ἀποπνεῖν, τῆς ἡμῶν ἐστι σπουδῆς. Διὰ τοῦτο καὶ τὸ παλαιὸν
[q]μύρῳ ἐχρίοντο οἱ ἱερεῖς, τῆς ἀρετῆς σύμβολον [r]διδόντες, ὅτι
τὸν ἱερέα καλὸν ἀποπνεῖν δεῖ. Τῆς δὲ ἁμαρτίας οὐδέν ἐστι
D δυσωδέστερον. Ὅρα αὐτῆς πῶς [s]διαγράφει τὴν φύσιν [t]ὁ προ-
φήτης, [v]λέγων· [18] "Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές
μου." Ὄντως γὰρ σηπεδόνος χείρων ἐστὶ καὶ δυσωδεστέρα
ἡ ἁμαρτία. Τί γάρ, εἰπέ μοι, πορνείας δυσωδέστερον; [w]μὴ

18 Psal. xxxvii. 6.

[z] δὴ om. L. [a] ὑπὸ C.I. [b] καλὸν om. B.K. Mox ἀπελαύνειν B.K. Sav. cet. [c] ἡδίω C.I.L. Statim χρησίμη omnes. χρησιμωτέρα Edd. [d] αὐτὸ] + οὐδὲν ἕτερον ἀλλ' ἢ B.K. Mox ἡ τοῦ πνεύματος χ. L. [e] τοῦτο I. Post ἀποπνεῖν add. καὶ τοὺς ἁγίους πρὸς ἑαυτοὺς ἐπιστρέφειν B.K. Sav. cet. [f] καὶ καθ.] καθ. γὰρ B.K. [g] ἐπικεχρωσμένοι I. Statim τῆς εὐωδίας B.I.K.L. ταῖς εὐωδίαις Edd. [h] κἂν] καὶ κἂν B.K. [i] ὁ τοῦτο ἀποπνέων, πάντες αὐτοῦ ἐξ. B.K. Sav. cet. πνέουσα pro ἀποπνέουσα Veron. [k] ὑπεξίστανται Edd. ἐξανίστανται Codd. [l] προελθεῖν K. [m] προτίθησιν C.I.L. Mox ἀνδρίας C. [n] τοῦτο χριόμενοι L. Mox τότε τοῦτο τὸ καλὸν B.K. [o] καὶ om. C.I.L. [p] τοῦτο C.I. τούτου om. B.K. δεῖται pro ἐστι B.K. [q] μῦρον L. [r] διδόντες] οἶμαι, καὶ δηλοῦντες B.K. ἱερωμένον pro ἱερέα K. [s] διαγράφοι I.L. [t] ὁ] καὶ ὁ B.K. [v] λέγων assumtum ex C.I.K.L. [w] μὴ—πόρνος] εἰ δὲ μὴ αἰσθάνῃ ἐργαζομένης, ἐννόησόν μοι τίς ἡ ἁμαρτία μετὰ τὴν ἐργασίαν B.K. Sav. cet.

κατεχομένης, ἀλλὰ μετὰ τὴν τῆς ἁμαρτίας ἐργασίαν ἐννόησόν
μοι τίς ὁ πόρνος, καὶ τότε αὐτῆς ὄψει τὴν δυσωδίαν, τότε τὴν
προστριβεῖσαν ἀκαθαρσίαν, τότε τὸ ἄγος, τότε τὸ μύσος.
Τοιαύτη πᾶσα ἁμαρτία· πρὶν ἢ [x]μὲν ἐργασθῆναι, ἔχει τινὰ
ἡδονήν· μετὰ δὲ τὸ τελεσθῆναι [y]καὶ ἀπαρτισθῆναι, τὸ μὲν ἡδὺ E
παύεται καὶ μαραίνεται, τὸ δὲ λυπηρὸν καὶ κατηφὲς ἐπεισέρ-
χεται. Ἡ δὲ δικαιοσύνη τοὐναντίον· παρὰ μὲν τὴν ἀρχὴν ἔχει
τοὺς πόνους, πρὸς δὲ τῷ τέλει τὴν ἡδονὴν καὶ τὴν ἀνάπαυσιν.
[z]Οὐδὲ ἐκεῖ μὲν οὖν ἡ ἡδονὴ ἡδονὴ γίνεται, τῇ προσδοκίᾳ τῆς
αἰσχύνης καὶ τῆς τιμωρίας· καὶ ἐνταῦθα δὲ πάλιν οὐδὲ ὁ πόνος
πόνος τῇ ἐλπίδι τῶν ἀμοιβῶν. Τί δὲ ἡ μέθη, εἰπέ μοι; οὐκ ἐν
τῷ πίνειν μόνον ἔχει τὴν ἡδονήν; μᾶλλον δὲ [a]αὕτη οὐδ' ἐν τῷ
πίνειν. Ὅταν γὰρ εἰς ἀναισθησίαν ἐμπέσῃ, καὶ μηδένα τῶν
παρόντων βλέπῃ, ἀλλὰ τῶν μαινομένων χεῖρον [b]διάκειται, ποία F
λοιπὸν ἡδονή; Μᾶλλον δὲ οὐδὲ ἐν αὐτῇ τῇ πορνείᾳ ἡδονή τις
ἐστίν. Ὅταν γὰρ ὑπὸ πάθους ἡ ψυχὴ κατεχομένη τὴν κρίσιν
ἀφαιρῆται, ποία [c]αὕτη ἡδονή; Εἰ δὲ τοῦτο, καὶ ψώρα ἡδονή.
Ἡδονὴν δὲ ἐκείνην [d]εἴποιμι ἂν ἔγωγε τὴν ἀληθῆ, ὅταν μὴ ᾖ ἐν
πάθει ἡ ψυχὴ [e]κατατεινομένη καὶ διασπωμένη. Ποία γὰρ αὕτη
ἡδονὴ, τρίζειν ὀδόντας, διαστρέφειν ὀφθαλμοὺς, γαργαλίζεσθαι 561
καὶ θερμαίνεσθαι πέρα τοῦ δέοντος; Οὕτω [f]δὲ οὐκ ἔστιν ἡδονὴ,
ὅτι σπεύδομεν αὐτῆς ἀπαλλαγῆναι ταχέως, καὶ ἀπαλλαγέντες
ἀλγοῦμεν. Εἰ ἡδονή ἐστι, μὴ ἀπαλλάττου [g]αὐτῆς, μένε ἐν τῇ
ἡδονῇ. Ὁρᾷς ὅτι ὄνομά ἐστι μόνον [h]ἡδονῆς; Ἀλλ' οὐ τὰ παρ'
ἡμῖν τοιαῦτα, ἀλλ' ὄντως ἐστὶν ἡδέα, οὐ μετὰ φλογὸς ἔχοντα
τὴν ἡδονὴν, ἀλλ' ἐλευθέραν ἀφιέντα τὴν ψυχὴν, καὶ [i]εὐφραί-
νοντα καὶ διαχέοντα. Τοιαύτη ἦν ἡ Παύλου ἡδονὴ λέγοντος,
[19] "[k]Καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι·" καὶ, "Χαίρετε B
ἐν κυρίῳ πάντοτε." Ἐκείνη γὰρ καὶ αἰσχύνην ἔχει, [l]ἐκείνη καὶ
κατάγνωσιν, ἐκείνη καὶ λάθρα γίνεται, καὶ μυρίων ἐμπέπλησται

19 Philipp. i. 18. iv. 4.

[x] μὲν] + γὰρ B.K.L. [y] καὶ ἀπαρτισθῆναι om. B.I.K. Sav. cet. [z] οὐδὲ—οὖν] ἐκεῖ μὲν οὖν οὐδ' I. Statim ἡ ἡδονὴ om. C.I. ἡδονὴ alterutrum om. L. Post ἀνάπαυσιν sic pergunt B.K. καὶ τί λέγω ὅτι ἡδονὴν ἔχει; οὐδὲ ἐκεῖ (+ἡ ἡδονὴ K.) ἡδονὴ γίνεται ἀληθὴς τῇ προσδοκίᾳ (+τῆς τιμωρίας καὶ K.) τῆς αἰσχύνης· ἐνταῦθα δὲ (+πάλιν K.) ὁ πόνος οὐδὲ πόνος ἐστὶ τῇ ἐλ. τ. ἀ. [a] αὐτὴ L. αὕτη om. B.K. Sav. cet. Statim οὐδὲ ἐν C.I. [b] διακέηται B.K. Sav. cet. [c] αὕτη ἡ.] λοιπὸν ἡ. αὕτη C. Sequentia εἰ δὲ—ἡδονὴ om. I. [d] εἴποιμι ἂν ἔγωγε pro ἐγὼ εἴποιμι ἂν omnes. Statim τὴν om. B.K. [e] κατατεινομένη] + ἀπὸ (ὑπὸ Sav. cet.) τοῦ σώματος B.K. Sav. cet. [f] δὲ om. B.K. ὅτι καὶ σπ. iidem. [g] αὐτῆς om. C.I.L. Statim ἀλλὰ μένε B.K. Sav. cet. [h] ἡδονῆς] + ἡ ἀπὸ τῶν παθῶν B.K. [i] εὐφραίνουσαν καὶ διαχέουσαν C. εὐφραίνουσα καὶ διαχέουσα I. εὐφραινομένην καὶ διαχέουσαν L. [k] καὶ om. B.K. Sav. cet. [l] ἐκείνη om. iidem.

ἀηδιῶν· αὕτη δὲ πάντων τούτων ἀπήλλακται. Ταύτην οὖν [m]μεταδιώκωμεν, ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς [n]τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C

ΛΟΓΟΣ Γ.

[1]Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, [a]τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ· ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ κυρίου [b]ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν
D Χριστῷ Ἰησοῦ.

ΤΗΝ ταπεινοφροσύνην [c]πολὺ μὲν ἔχουσαν κέρδος ὁρῶμεν, οὐδαμοῦ δὲ ταχέως εὑρισκομένην, ἀλλὰ ταπεινορρημοσύνην μὲν [d]πολλὴν, καὶ πέρα τοῦ δέοντος, ταπεινοφροσύνην δὲ οὐδαμοῦ. Ὁ δὲ μακάριος [e]οὕτως αὐτὴν μετεδίωκε Παῦλος, ὡς καὶ ἐπινοεῖν πολλὰς πανταχοῦ προφάσεις πρὸς τὸ ταπεινοῦν αὐτοῦ τὴν διά-
E νοιαν. Ἐπειδὴ γὰρ μάλιστα ἐκείνους εἰκὸς κάμνειν βουλομένους ταπεινοφρονεῖν τοὺς μεγάλα συνειδότας ἑαυτοῖς κατορθώματα, [f]πολλὴν εἰκὸς [g]αὐτὸν βίαν πάσχειν, ὑπὸ τοῦ συνειδότος τοῦ ἀγαθοῦ, καθάπερ ὑπό τινος [h]ῥεύματος, ὀγκούμενον. Ὅρα τοίνυν καὶ ἐνταῦθα τί ποιεῖ. Εἶπεν, ὅτι "Ἐπιστεύθην ἐγὼ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ θεοῦ·" εὐαγγέλιον, οὗ μετέχειν θέμις οὐκ ἔνι τοὺς ἔτι νόμῳ χρωμένους· ἀντίκειται γὰρ αὐτῷ, [i]ὅτι καὶ (260)
τοσοῦτον αὐτοῦ τὸ μέσον, ὡς τοὺς ὑπ' ἐκείνου φερομένους μη-
F δέπω ἀξίους εἶναι [k]τούτου μετέχειν· ὥσπερ ἂν εἴ τις λέγοι, ὅτι τοὺς δεσμῶν δεομένους καὶ δίκης οὐ θέμις εἰς φιλοσόφων [l]εἰσφέρειν χορόν. Ἐπεὶ οὖν [m]ἐφυσήθη, καὶ μέγα ἐφθέγξατο, ἅμα καὶ ἑαυτὸν καταστέλλει, καὶ [n]τοὺς ἄλλους [o]πείθει τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν· [p]γράφων, ὅτι ἐπιστεύθην ἐγὼ, ταχέως ἐπελάβετο

[1] Cap. I. v. 12—14.

[m] μεταδ. ἐνταῦθα διηνεκῶς, ἵνα καὶ τῶν B.K. [n] τοὺς]+ἀτελευτήτους L. Hom. III. [a] τὸν] τὸ ter L. [b] ἡμῶν om. L. Mox τῆς om. I. [c] πολλὴν I.L. invita Cat. [d] πολλὴν] ἐν πολλοῖς μᾶλλον B.K. [e] Παῦλος οὕτως αὐτὴν μ. hoc ord. L. Cat. Π. αὐτὴν μ. οὕτως I. [f] πολλὴν]+δὲ B.K. Sav. cet. [g] αὐτὸν] καὶ αὐτὸν B.C.K. Sav. cet. [h] ὀγκ. ῥεύμ. inverso ord. B.K. Mox τοίνυν om. iidem. [i] ὅτι καὶ] ἔτι, καὶ B.K. Sav. cet. [k] τούτων K. Post μετέχειν add. τοῦτο (τοιοῦτο K.) γοῦν ἐνταῦθα δηλοῖ οὕτως εἰπὼν B.K. [l] φέρειν L. [m] ἐφυσσήθη C. Veron. ἐπήρθη Cat. [n] τοὺς ἄλλους om. C.I.L. Mox ποιεῖ pro ποιεῖν iidem. Vulgatum tuentur Cat. Vet. [o] πείθει] καὶ πείθει B.K. [p] γράφων]+τε Sav. cet. invitis libris. ὁ pro ὅτι B.K. Sav. cet.

[q]ἑαυτοῦ, ἵνα μὴ νομίσῃς ὅτι ἐξ ὑπερηφανίας τοῦτό φησιν. Ὅρα 562
τοίνυν ποίᾳ κέχρηται [r]διορθώσει ἐπάγων καὶ λέγων· "Χάριν
ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι
πιστόν με ἡγήσατο, θέμενος [s]εἰς διακονίαν." Ὁρᾷς πῶς παν-
ταχοῦ τὸ ἑαυτοῦ κατόρθωμα κρύπτει, καὶ τὸ πᾶν ἀνατίθησι τῷ
θεῷ, [t]ἐπὶ τοσοῦτον, ἐφ' ὅσον τὸ αὐτεξούσιον μὴ λυμήνασθαι;
Ἔφη γὰρ ἂν ἴσως ὁ ἄπιστος, εἰ τὸ πᾶν τοῦ θεοῦ ἐστι, καὶ
οὐδὲν παρ' ἡμῶν εἰσφέρεται, ἀλλ' ὡς ξύλα καὶ λίθους μετακινεῖ
πρὸς φιλοσοφίαν ἀπὸ κακίας, τί δήποτε Παῦλον μὲν τοιοῦτον B
εἰργάσατο, τὸν δὲ Ἰούδαν οὐκέτι; Ταύτην οὖν ἀναιρῶν τὴν ἀν-
τίθεσιν, ὅρα πῶς μετὰ συνέσεως τῷ λόγῳ κέχρηται. "Ἐπι-
στεύθην, φησὶν, ἐγώ." Τοῦτο αὐτοῦ κατόρθωμα καὶ ἀξίωμα,
ἀλλ' [v]οὐκ αὐτοῦ ὅλον· ὅρα γὰρ τί φησι· "[w]Καὶ χάριν ἔχω τῷ
ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ." Τοῦτο τοῦ θεοῦ· εἶτα
πάλιν τὸ [x]αὐτοῦ· "ὅτι πιστόν με ἡγήσατο" πάντως ἐπειδὴ
ἔμελλεν ἀφ' ἑαυτοῦ χρησιμεύειν. "Θέμενος, φησὶν, εἰς διακο-
νίαν, [y]τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν·
ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ." Ὅρα πῶς καὶ C
τὸ αὐτοῦ τίθησι, καὶ τὸ τοῦ [z]θεοῦ, τὸ πλέον νέμων τῇ τοῦ θεοῦ
προνοίᾳ, τὸ δὲ [a]αὐτοῦ συστέλλων, [b]πλὴν ὅσον μὴ λυμήνασθαι,
ὡς ἔφθην εἰπὼν, [c]τῷ αὐτεξουσίῳ. [d]Τί ἐστι, "τῷ ἐνδυναμώ-
σαντί με;" Φορτίον [e]ὑπῆλθε μέγα, καὶ πολλῆς ἐδεῖτο τῆς
ἄνωθεν ῥοπῆς. Ἐννόησον γὰρ ὅσον ἦν πρὸς καθημερινὰς
ὕβρεις, λοιδορίας, ἐπιβουλὰς, κινδύνους, σκώμματα, ὀνείδη, θα-
νάτους ἵστασθαι, καὶ μὴ ἀποκάμνειν, [f]μηδὲ ὀλισθαίνειν μηδὲ
περιτρέπεσθαι, ἀλλὰ πάντοθεν βαλλόμενον μυρίοις καθ' ἑκά-
στην ἡμέραν [g]τοῖς βέλεσιν, ἀτενὲς ἔχοντα τὸ ὄμμα ἑστάναι D
καὶ ἀκατάπληκτον. Τοῦτο οὐκ ἦν ἀνθρωπίνης ἰσχύος, ἀλλ' οὐδὲ
τῆς τοῦ θεοῦ ῥοπῆς μόνον, ἀλλὰ καὶ τῆς αὐτοῦ προαιρέσεως.
Ὅτι γὰρ προειδὼς αὐτὸν τίς ἔσται, εἵλετο αὐτὸν, ἄκουσον
τί φησι, πρὶν ἢ ἅψασθαι αὐτὸν τοῦ κηρύγματος· [2]"Σκεῦος
ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον
ἐθνῶν καὶ βασιλέων." Ὥσπερ [h]γὰρ οἱ βαστάζοντες τὸ σημεῖον
τὸ βασιλικὸν ἐν πολέμῳ, [τὸ λεγόμενον [i]τῇ συνηθείᾳ λάβουρον,]

2 Act. ix. 15.

[q] αὐτοῦ B.I.K.L. Mox νομισθῇ B.K. νομίσῃ I. [r] ἐπιδιορθώσει Cat. Mox καὶ χάριν B. [s] εἰς τὴν δ. K. [t] ἐπὶ] ἀλλ' ἐπὶ B.K. Sav. cet. Post ὅσον add. ἦν B.K. [v] οὐχὶ C. [w] καὶ accessit ex omnibus. Post Ἰησοῦ add. τῷ κ. ἡμῶν C. [x] ἑαυτοῦ L. [y] τὸν] τὸ I.L. [z] θεοῦ] + μᾶλλον B.K. [a] αὐτοῦ] πᾶν K. [b] πλὴν ὅσον] καὶ οὕτω διδοὺς ὥστε B.K. [c] Vid. Annot. [d] τί] + δὲ B.C.K. Sav. cet. Post με add. ἄκουε B.K. Sav. cet. [e] ἐπῆλθε C.I.L. invita Cat. [f] μηδὲ ὀλισθαίνειν om. C.K. Vet. inclusum a Sav. [g] τοῖς om. K. [h] γὰρ om. B.K. [i] λάβουρον τῇ συν. hoc ord. I. Haec τὸ λ. τῇ συν. λάβουρον, quae desunt in B.C.K. post Sav. inclusimus.

E πολλῆς δέονται τῆς ἰσχύος καὶ τῆς ἐμπειρίας, ὥστε αὐτὸ μὴ προδοῦναι τοῖς πολεμίοις· οὕτω καὶ οἱ τὸ ὄνομα τοῦ Χριστοῦ βαστάζοντες οὐκ ἐν πολέμῳ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ, πολλῆς δέονται τῆς δυνάμεως, ὥστε τοῖς κατηγόροις [k]αὐτὸ μὴ ἐκδοῦναι στόμασιν, ἀλλὰ βαστάζειν [l]καλῶς καὶ φέρειν τὸν σταυρόν. Πολλῆς γὰρ ὄντως δεῖ τῆς ἰσχύος, ὥστε βαστάσαι τὸ ὄνομα τοῦ Χριστοῦ. Ὁ γὰρ ἀνάξιόν τι [m]ἢ λέγων, ἢ πράττων, ἢ φρονῶν, οὐκ ἐβάστασε τὸ ὄνομα, οὐκ ἔχει τὸν Χριστὸν ἐν
F ἑαυτῷ. Πομπεύει δὲ ὁ βαστάζων, οὐ δι' ἀγορᾶς, ἀλλὰ διὰ τῶν οὐρανῶν, καὶ πάντες πεφρίκασιν ἄγγελοι δορυφοροῦντες καὶ θαυμάζοντες. "Χάριν ἔχω, φησὶ, τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν." Ὅρα πῶς καὶ τῶν αὐτοῦ χάριν αὐτῷ [n]εἰδέναι λέγει. [o]Ὅτι σκεῦος ἐκλογῆς [p]ἐστι, φησὶν αὐτῷ χάριν εἰδέναι. [q]Καίτοι τοῦτο σὸν γέγονεν, ὦ μακάριε Παῦλε·
563 οὐ γὰρ προσωπολήπτης ὁ θεός. [r]Τουτέστιν, ὅτι κατηξίωσέ με τῆς διακονίας ταύτης· τοῦτο γάρ [s]με τοῦ πιστὸν εἶναι νομίζειν σημεῖον. Καθάπερ γὰρ ἐν οἰκίᾳ οὐ τῷ πιστευθῆναι μόνον ὁ οἰκονόμος χάριν ἔχει τῷ δεσπότῃ, ἀλλὰ καὶ [t]σημεῖον τίθησι [v]τοῦτο, ὅτι αὐτὸν τῶν ἄλλων ἡγεῖται πιστότερον· τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα.

Εἶτα σκόπει πῶς ἐπαίρει τὸν ἔλεον τοῦ θεοῦ καὶ τὴν φιλανθρωπίαν, τὸν [w]πρότερον αὐτοῦ βίον ἐξηγούμενος. "[x]Τὸν πρό-
B τερον, φησὶν, ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν." Καὶ ὅταν μὲν περὶ Ἰουδαίων διαλέγηται τῶν ἔτι ἀπίστων, μεθ' ὑποστολῆς κέχρηται τῷ λόγῳ· [3]"Μαρτυρῶ γὰρ αὐτοῖς, [y]φησὶν, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν·" περὶ δὲ ἑαυτοῦ φησι, "βλάσφημον ὄντα καὶ [z]διώκτην." Ὁρᾷς τὴν [a]καταφορὰν αὐτοῦ, [b]πῶς οὐκ ἔστι φίλαυτος, πῶς συνεσταλμένην κέκτη- (261) ται τὴν διάνοιαν; Οὐκ [c]ἤρκει εἰπεῖν, "βλάσφημον ὄντα," [d]ἀλλὰ
C καὶ διώκτην· καὶ πάλιν ἐπίτασις τῆς διώξεως. Οὐ μόνον [e]γάρ,

3 Rom. x. 2.

[k] αὐτὸ—στόμασιν] στόμασι μὴ ἐκδοῦναι L. [l] καλῶς καὶ] καὶ καλῶς K. Mox ἀεὶ pro τὸν σταυρὸν B.K. [m] ἢ om. B.K. [n] εἰδέναι λέγει] Sic L. Veron. λέγει εἰδέναι C.I. οἶδεν B.K. Sav. cet. [o] ὅτι]+γὰρ B. Sav. cet. γὰρ post σκεῦος add. K. [p] ἐστι]+εἶπεν B.K. [q] καίτοι] καὶ ὅτι C. τοῦτο σὸν] οὕτω vel οὕτως C.L. καίτοι—γέγονεν] καὶ τοιοῦτος γέγονας I. [r] τουτέστιν] ἀλλὰ χάριν ἔχω, φησὶν B.K. Sav. cet. [s] με om. L. [t] τὸ σημεῖον Edd. τὸ om. C.L. [v] τοῦτο—ἄλλων] ἐκεῖνο ᾧ B.K. [w] πρότερον] πρὶν K. [x] τὸν] τὸ I. φησὶν, ὄντα pro ὄντα, φησὶ C.K.I.L. [y] φησὶν om. K. [z] διώκτην]+καὶ ὑβριστὴν B.K. Sav. cet. [a] καταφ. καὶ πῶς δείκνυσιν ὅτι οὐκ ἔστι φ. ἀλλὰ συνεστ. B.K. [b] πῶς] ὅτι I.L. invita Cat. Mox καὶ πῶς συν. I. [c] ἤρκει] ἤρκεσεν αὐτῷ B.K. Statim ἑαυτὸν pro ὄντα iidem. [d] ἀλλὰ om. I. καὶ διώκτην om. Veron. ἀλλὰ—διώξεως] καὶ διώκτην, ἀλλ' ὅτι καὶ μετ' ἐπιτάσεως τοῦτο ἔπραττε B.K. Sav. cet. Post ἔπραττε haec inserunt B.K. προστίθησι· καθ' ὑπερβολὴν γὰρ ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ πάντας ἤμην φυλακίζων ἁγίους. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. [e] γὰρ om. B.K.

φησὶ, μέχρις ἐμοῦ ἵστων τὸ φαῦλον, οὐδὲ ἠρκούμην αὐτὸς βλασφημῶν, ἀλλὰ καὶ τοὺς βουλομένους [f]εὐσεβεῖν ἐδίωκον. Πολλὴ τῆς βλασφημίας ἡ μανία. "Ἀλλ' ἠλεήθην, [g]ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ." Τίνος οὖν ἕνεκεν καὶ ἄλλοι Ἰουδαῖοι οὐκ ἠλεήθησαν; Ὅτι οὐκ ἐξ ἀγνοίας, ἀλλὰ καὶ εἰδότες καὶ σφόδρα [h]ἐπιστάμενοι. Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ εὐαγγελιστοῦ λέγοντος, [i]ὅτι [4]"Πολλοὶ ἐκ τῶν Φαρισαίων καὶ Ἰουδαίων ἐπίστευον [k]μὲν, οὐχ ὡμολόγουν δέ· ἠγάπησαν [l]γὰρ τὴν δόξαν τῶν D
ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ." Καὶ πάλιν ὁ Χριστός [m]φησι· "Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ [n]ἀλλήλων λαμβάνοντες;" καὶ πάλιν, "Ταῦτα εἶπον, φησὶν, οἱ γονεῖς τοῦ τυφλοῦ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται." Καὶ [o]αὐτοὶ δὲ οἱ Ἰουδαῖοι πάλιν ἔλεγον, "Ὁρᾶτε ὅτι οὐδὲν ὠφελοῦμεν; [p]ὅτι πᾶς ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ." Πανταχοῦ γὰρ αὐτοῖς τὸ τῆς φιλαρχίας πάθος ἠνώχλει. Καὶ μὴν αὐτοὶ εἶπον, ὅτι [5]"Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός·" καὶ εὐθέως ἐποίησε τοῦτο, ὅπερ ἔφησαν εἶναι E
σημεῖον θεοῦ. Οὐκ ἦν οὖν ταῦτα ἀγνοίας. Ποῦ δὲ ὁ Παῦλος ἦν τότε; ἴσως ἄν τις εἴποι. Παρὰ τοὺς πόδας [q]Γαμαλιὴλ, οὐδὲν κοινὸν μετὰ τῶν ὄχλων ἔχων τῶν στασιαστῶν. [r]Ποῦ δὲ Γαμαλιήλ; Ἀνήρ τις ἦν οὐ φιλαρχίας ἕνεκέν τι ποιῶν. Πῶς οὖν μετὰ ταῦτα εὑρίσκεται μετὰ τοῦ ὄχλου ὁ Παῦλος; Ἑώρα αὐξανόμενον τὸ δόγμα καὶ κρατοῦν λοιπὸν, καὶ πάντας αὐτοὺς [s]πειθομένους. Ἐπὶ μὲν γὰρ τοῦ Χριστοῦ ποτὲ μὲν αὐτῷ συνήεσαν, ποτὲ δὲ τοῖς διδασκάλοις· [t]τότε δὲ τέλεον ἀπεσχίσθησαν. Τότε λοιπὸν, οὐχ ὡς οἱ λοιποὶ φιλαρχίας ἕνεκεν F
[v]ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ ζήλου. Τίνος [w]γὰρ ἕνεκεν εἰς Δαμασκὸν ἐπορεύετο; Λύμην τὸ πρᾶγμα ἐνόμιζε, καὶ ἐδεδοίκει μὴ πανταχοῦ διαδοθῇ τὸ κήρυγμα. Οἱ δὲ Ἰουδαῖοι οὐχ 564
οὕτως· [x]οὐ τῆς προστασίας τῶν πολλῶν ἕνεκεν, ἀλλὰ φιλαρχίας χάριν πάντα ἔπραττον. Ὅρα [y]γοῦν τί φασιν· [6]"Ἀροῦσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν." Ποῖος αὐτοὺς [z]κατέσεισε φόβος; Ἀνθρώπινος. Ἐκεῖνο δὲ ἄξιον ἐξετάσαι, πῶς ἀκριβὴς

[4] Joan. xii. 42, 43. v. 44. ix. 22. xii. 19. [5] Luc. v. 21. [6] Joan. xi. 48.

[f] εὐσεβεῖν] βλασφημεῖν K. Apud eundem recens manus correxit τοὺς μὴ β. [g] ὅτι] φησὶν, ὅτι L. [h] ἐπιστάμενοι] + ἔπραττον ἅπερ ἔπραττον B.K. Sav. cet. [i] ὅτι om. B.K. καὶ Ἰουδαίων om. C. [k] μὲν] + φησὶν B.K. [l] γὰρ] + φησὶν I. [m] φησι om. B. [n] ἀλλήλων] ἀνθρώπων K.L. [o] αὐτοὶ δὲ οἱ] οἱ αὐτοὶ δὲ I. [p] ὅτι om. B.K. [q] Γαμαλιήλου I. [r] ποῦ δὲ] Sic C.I. Vet. τίς δὲ ὁ L. ὁ δὲ Edd. [s] πειθ.] μὴ πειθ. C.I.L. [t] τότε] ὅτε B.K. Sav. cet. Mox ἀπεσχίσθησαν pro ἀπεσχοινίσθησαν omnes. [v] ἔπραττεν] ἐποίει bis B.K. ἔπραττεν ὁ Παῦλος L. [w] γὰρ] οὖν B.K. [x] οὐ] + γὰρ B.K. Sav. cet. [y] γοῦν] γὰρ L. [z] κατέσειε I.

ὢν περὶ τὸν νόμον, οὐδὲν ἔγνω· αὐτὸς γὰρ ἦν ὁ λέγων· [7] "[a]Ὃ
προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ." Πῶς οὖν οὐκ
[a]οἶδε ζηλωτὴς ὑπάρχων τοῦ πατρῴου νόμου, παρὰ τοὺς πόδας
[b]Γαμαλιήλου παιδευόμενος; ἀλλ' οἱ μὲν ἐν λίμναις καὶ ποτα-
B μοῖς διατρίβοντες καὶ [c]τελωνίοις [d]προσέδραμον καὶ ἐδέξαντο,
σὺ δὲ διώκεις ὁ νομομαθής; Διὰ τοῦτο [e]κατεγίνωσκεν ἑαυτοῦ,
λέγων, [8] "Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος·" διὰ τοῦτο
τὴν ἄγνοιαν ὁμολογεῖ, ἣν [f]ἀπιστία ἔτικτε· διὰ τοῦτό [g]φησιν
ἐλεηθῆναι. Τί ἐστι, "Πιστόν με ἡγήσατο;" Οὐδὲν τῶν δε-
σποτικῶν προεδίδου· πάντα [h]αὐτοῦ ἔλεγεν εἶναι, καὶ τὰ ἴδια·
οὐκ ἐσφετερίζετο τὴν τοῦ θεοῦ δόξαν. Ἄκουε γὰρ αὐτοῦ καὶ
ἀλλαχοῦ λέγοντος, [9] "Ἄνδρες, τί ἡμῖν προσέχετε; [i]ἡμεῖς ὁμοιο-
C παθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι." Τοῦτό ἐστι, "πιστόν με ἡγή-
σατο." Καὶ [k]γὰρ καὶ ἀλλαχοῦ, [10] "Περισσότερον αὐτῶν πάντων
ἐκοπίασα, φησίν· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ [l]χάρις ἡ σὺν ἐμοί·" καὶ
πάλιν, "Ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ [m]τὸ θέλειν καὶ τὸ ἐνεργεῖν."
Δείκνυσιν [n]ἑαυτὸν τιμωρίας ἄξιον· ὁ γὰρ ἔλεος ἐπὶ τούτοις γί-
νεται. [o]Καίτοι ἀλλαχοῦ φησι· [11] "Πώρωσις ἀπὸ μέρους τῷ
Ἰσραὴλ γέγονεν." "Ἀλλ' ἡ χάρις τοῦ θεοῦ, [p]φησὶν, ὑπερε-
D πλεόνασε μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ."
Τί ἐστι τοῦτο; Ἵνα μὴ ἀκούσας, "ἠλεήθην," τοσοῦτον μόνον
[q]νομίσῃς. Βλάσφημος, φησὶν, ἤμην καὶ διώκτης καὶ ὑβριστής·
οὐκοῦν [r]καὶ κολάσεως ἄξιος· ἀλλ' οὐκ [s]ἐτιμωρήθην· ἠλεήθην γάρ.
Ἆρ' οὖν τοῦτο μόνον, καὶ μέχρι τούτου [t]ὁ ἔλεος, τοῦ μὴ δοῦναι
τιμωρίαν; Οὐδαμῶς, ἀλλὰ καὶ ἕτερα πολλὰ καὶ μεγάλα. Οὐ
γὰρ τῆς ἐπηρτημένης ἡμᾶς δίκης [v]μόνης ἀπήλλαξεν ὁ θεὸς, ἀλλὰ
καὶ δικαίους ἐποίησε καὶ υἱοὺς καὶ ἀδελφοὺς καὶ φίλους [w]καὶ
E κληρονόμους καὶ συγκληρονόμους. Διὰ τοῦτό φησιν, "ὑπερε-
πλεόνασεν ἡ [x]χάρις·" ὑπερέβη καὶ [y]τὸν ἔλεον τὰ μέτρα. Ταῦτα

7 Rom. i. 2. 8 1 Cor. xv. 9. 9 Act. xiv. 15. 10 1 Cor. xv. 10. Philipp. ii. 13. 11 Rom. xi. 25.

[a] οἶδας B.K. Sav. cet. Statim ὁ ζηλωτὴς B. Mox ὁ παρὰ B.K. [b] Γαμαλιὴλ C. [c] τελωνίοις C.L. τελωνίᾳ I. τελωνίῳ Cat. *telonio* Vet. τελῶναι Edd. [d] προσέδραμον]+καὶ ἐσώθησαν L. [e] κατεγίνωσκεν] καὶ καταγινώσκει B.K. [f] ἀπιστία sine artic. C.I.K.L. [g] φησιν]+γοῦν B.K. [h] αὐτοῦ] τοῦ θεοῦ L. [i] ἡμεῖς] καὶ ἡμεῖς B.K. Mox ἐσμεν ὑμῖν C.I.K. ὑμῖν ἐσμεν Edd. ὑμῖν om. L. [k] γὰρ καὶ] πάλιν B.K. Sav. cet. καὶ om. I. Veron. [l] χάρις]+τοῦ θεοῦ Sav. cet. τοῦ θεοῦ om. C.I. Veron. [m] τῷ bis L. [n] ἑαυτὸν]+ἐκ τούτου B.K. Sav. cet. [o] καίτοι] καὶ πάλιν K. Sav. cet. καὶ B. Mox φησιν ὅτι π. B.K. [p] φησὶν om. B.K. Mox τῆς om. C.L. [q] νομίσῃς]+ὅσον ἐπίστευσε B.K. [r] καὶ om. K. [s] ἐτιμ.]+ἀλλ' ἠλεήθην B. Mox γὰρ om. K. [t] ὁ] τὸ B.C.L. ὁ om. I. [v] μόνον L. ἀπήλλαξε ante δίκης transp. idem. [w] καὶ κλ. καὶ συγκλ. om. B.K. καὶ συγκλ. in marg. I. [x] χάρις]+δηλῶν ὅτι B.K. Sav. cet. [y] τὸ ἔλεος Veron. τοῦ ἐλέου I. Statim δῶρα pro μέτρα B.K. Sav. cet.

γὰρ οὐκ ἐλεοῦντός ἐστιν, [z]ἀλλὰ φιλοῦντος, καὶ σφόδρα ἀγα-
πῶντος. Εἰπὼν τοίνυν πολλὰ καὶ μεγάλα περὶ τῆς φιλανθρω-
πίας τοῦ θεοῦ, ὅτι βλάσφημον ὄντα [a]καὶ διώκτην καὶ ὑβριστὴν
(262) ἠλέησε, καὶ ὅτι οὐ μέχρι τούτου ἔστη μόνον, ἀλλὰ καὶ μεγάλων
ἑτέρων ἠξίωσε, πάλιν ἐκεῖνο ἀσφαλίζεται τὸ τῶν ἀπίστων, [b]τὸ
μὴ λέγειν ὅτι ἡ προαίρεσις ἀνῄρηται· ἐπήγαγε γοῦν, "Μετὰ F
πίστεως καὶ ἀγάπης [c]ἐν Χριστῷ Ἰησοῦ." Τοσοῦτον μόνον,
φησὶν, ἡμεῖς εἰσηνέγκαμεν· [d]ἐπιστεύσαμεν, ὅτι δύναται ἡμᾶς
σῶσαι.

[e]Ἀγαπήσωμεν τοίνυν [f]αὐτὸν διὰ τοῦ Χριστοῦ. Τί ἐστι,
"διὰ τοῦ Χριστοῦ;" Ὅτι αὐτὸς ἡμῖν τούτου πρόξενος γέγονεν,
οὐχ ὁ νόμος. Ὁρᾷς τίνων μὲν ὁ Χριστὸς αἴτιος ἡμῖν γέγονεν
ἀγαθῶν, τίνων δὲ ὁ νόμος; [g]Καὶ οὐχ ἁπλῶς εἶπεν, ἐπλεόνασεν 565
ἡ χάρις, ἀλλ', "ὑπερεπλεόνασε." Καὶ γὰρ ὄντως ὑπερεπλεό-
νασε· τοὺς μυρίων κολάσεων ἀξίους, τούτους εἰς υἱοθεσίαν [h]ἤγα-
γεν ἐξαίφνης. Ἰδοὺ πάλιν τὸ, ἐν, διά ἐστιν. Οὐ γὰρ πίστεως
δεῖ μόνον, ἀλλὰ καὶ ἀγάπης. Ἐπεὶ [i]πολλοὶ καὶ νῦν εἰσὶν, ὅτι
μὲν ἔστιν ὁ Χριστὸς θεὸς πιστεύοντες, οὐκ ἀγαπῶντες δὲ αὐ-
τὸν, οὐδὲ τὰ τῶν φιλούντων πράσσοντες· πῶς γὰρ, ὅταν πάντα
αὐτοῦ προτιμῶσι, χρήματα, γένεσιν, εἱμαρμένην, παρατήρησιν,
κληδονισμοὺς, οἰωνισμούς; [k]Ὅταν εἰς ὕβριν αὐτοῦ ζῶμεν, εἰπέ B
μοι, ποία ἀγάπη; Εἴ τις ἔχει φίλον θερμὸν καὶ διάπυρον, [l]κἂν
οὕτω φιλείτω τὸν Χριστόν· κἂν οὕτω φιλείτω τὸν ὑπὲρ τῶν
ἐχθρῶν [m]τὸν υἱὸν αὐτοῦ δεδωκότα, οὐδὲν ἡμῶν κατωρθωκότων.
Τί λέγω, κατωρθωκότων; μεγάλα μὲν οὖν ἐργασαμένων κακὰ,
καὶ τετολμηκότων ἀτόλμητα ἀντ' οὐδενὸς, [n]μετὰ μυρίας εὐερ-
γεσίας καὶ κηδεμονίας, οὐδὲ οὕτως [o]ἔρριψεν, ἀλλὰ τότε μάλιστα
τὸν υἱὸν ἔδωκεν, ὅτε μείζονα ἠδικήσαμεν· ἡμεῖς δὲ μετὰ [p]τὸ
τοσούτων τυχεῖν, μετὰ τὸ γενέσθαι φίλοι, μετὰ [q]τὸ πάντων
τῶν ἀγαθῶν ἀξιωθῆναι δι' αὐτοῦ, [r]οὐδὲ ὡς φίλον ἠγαπήσαμεν.
Καὶ τίς ἡμῖν ἔσται ἐλπίς; Τάχα φρίττετε πρὸς τὸ ῥῆμα· ἀλλ' C

[z] ἀλλὰ καὶ σφόδρα φιλοῦντος. εἰπὼν L. [a] καὶ ὑβρ. καὶ διώ. inverso ord. Edd. [b] τὸ] φημὶ δὴ τὸ L. [c] ἐν] τῆς ἐν B.K. Ben. [d] ἐπιστεύσαμεν] τὸ πιστεῦσαι L. [e] ΗΘΙΚΟΝ. Ὅτι δεῖ τὸν Χριστὸν ὡς φίλον γνήσιον ἀγαπᾷν· νῦν δὲ ὡς ἐχθρὸν μισοῦμεν καὶ ἀποστρεφόμεθα· καὶ ὅτι δεῖ ἡμᾶς τοὺς ἐχθροὺς ἀγαπᾷν καὶ εὐεργετεῖν. Veron. [f] αὐτὸν] τὸν θεὸν L. [g] καὶ om. B.K. Mox καὶ γὰρ ὄ. ὑπερ. om. L. [h] ἤγαγεν] ἀγαγοῦσα B.K. Sav. cet. ἐξ. ἤγαγεν inverso ord. L. [i] πολλοὶ—εἰσιν] καὶ νῦν π. εἰσιν K. καὶ νῦν εἰσι π. L. Mox θεὸς om. B. [k] ὅταν]+δὲ B.K. Sav. cet. Mox ποία τοῦτο ἀγ. B. τοῦτο ποία ἀγ. K. [l] κἂν—κἂν] ἐννοείτω πῶς αὐτὸν φιλεῖ, πῶς αὐτὸν περικαίεται, καὶ τίνα ὑπὲρ αὐτοῦ παθεῖν ἐστι παρεσκευασμένος· καὶ κἂν B.K. [m] τὸν ἑαυτοῦ υἱὸν L. Mox τί λέγω κ. om. I. [n] μετὰ] καὶ ὁ μὲν μετὰ τὰς B.K. Sav. cet. μετὰ τὰς C. μετὰ οὖν L. [o] ἔρριψε]+τὴν ἀγάπην B.K. [p] τὸ] τῶν I. [q] τὸ] τῶν I. [r] οὐδ' ὡς bis K.

[s]εἴθε πρὸς τὰ πράγματα. Καὶ πῶς, φησὶν, οὐδὲ ὡς τοὺς φί-
λους οὕτω [t]φιλήσομεν τὸν θεόν; [v]Ἐγὼ πειράσομαι δεῖξαι· καὶ
εὔχομαι μὲν μηδὲν δόξαι λέγειν, ἀλλὰ ληρεῖν, φοβοῦμαι δὲ μὴ
κατὰ πραγμάτων ᾖ τὰ λεγόμενα [w]ῥήματα. [x]Ὑπὲρ φίλων τῶν
ὄντως φίλων πολλοὶ καὶ ζημιωθῆναι εἵλοντο πολλάκις· τοῦ δὲ
Χριστοῦ ἕνεκεν οὐ [y]λέγω ζημιωθῆναι, ἀλλὰ τοῖς οὖσιν ἀρκεῖ-
σθαι [z]οὐδεὶς ἀνέχεται. Ὑπὲρ φίλου πολλάκις καὶ ὑβρίσθημεν,
D καὶ ἔχθρας ἀνεδεξάμεθα· διὰ δὲ τὸν Χριστὸν οὐδεὶς [a]ἔχθραν
ἀναδέχεται, ἀλλ' εἰκῆ, φησὶ, [b]φιλοῦ, εἰκῆ μὴ μισοῦ. Τὸν φίλον
λιμώττοντα οὐδέποτε [c]περιοψόμεθα· τὸν δὲ Χριστὸν καθ'
ἡμέραν ἡμῖν προσιόντα οὐχ ὑπέρ τινος μεγάλου, ἀλλ' ὑπὲρ
[d]ἄρτου μόνου, οὐδὲ προσιέμεθα· καὶ ταῦτα [e]ἐρευγόμενοι δυσω-
δίας, καὶ διασπώμενοι, καὶ γαστριζόμενοι, καὶ [f]τὸν χθεσινὸν
οἶνον ἀποπνέοντες, καὶ τρυφῶντες, καὶ οἱ μὲν πόρναις, [g]διδόντες,
E οἱ δὲ παρασίτοις, οἱ δὲ κόλαξιν, οἱ δὲ τέρασι καὶ μωροῖς καὶ
[h]νάνοις· καὶ γὰρ τὰ τῆς φύσεως [i]ἁμαρτήματα ταῦτα φέρουσιν
εἰς τέρψιν. [k]Φίλοις τοῖς ὄντως φίλοις οὐδέποτε φθονοῦμεν,
[l]οὐδὲ δακνόμεθα τῇ τούτων εὐπραγίᾳ· ἐπὶ δὲ τοῦ Χριστοῦ
[m]τοῦτο πάσχομεν· καὶ μείζονα ἴδοι τις ἂν τὴν φιλίαν ἰσχύου-
σαν, ἢ τὸν τοῦ θεοῦ φόβον. Καὶ γὰρ ὁ ὕπουλος καὶ ὁ φθονερὸς
μᾶλλον τοῦ θεοῦ τοὺς ἀνθρώπους αἰδεῖται. Πῶς; ἐγὼ λέγω·
F [n]ὅτι τοῦ μὲν θεοῦ ὁρῶντος τὰ κατὰ καρδίαν, οὐκ [o]ἀφίσταται
δόλους ῥάπτων· ἂν δὲ ἄνθρωπον ἴδῃ ἄνθρωπος, ἀπόλωλε, [p]καὶ
566 αἰσχύνεται, καὶ ἐρυθριᾷ. [q]Τί λέγω; πρὸς φίλον μὲν κακού-
μενον ἀπερχόμεθα, κἂν [r]μικρὸν ἀναβαλώμεθα, φοβούμεθα μὴ
καταγνωσθῶμεν· τοῦ δὲ Χριστοῦ πολλάκις ἐν δεσμοῖς ἀποθα-
νόντος, οὐδὲ ἐπεσκεψάμεθα. Καὶ πρὸς τοὺς φίλους δὲ τοὺς
πιστοὺς, οὐκ ἐπειδὴ πιστοί εἰσιν, ἀπερχόμεθα, ἀλλ' ἐπειδὴ φί-

[s] εἴθε]+πρὸς τὸ ῥῆμα, καὶ μὴ B.K. [t] φιλήσωμεν I. φιλοῦμεν C.K. Statim τὸν Χριστὸν B.I. [v] ἐγὼ] πῶς; ἐγὼ B.I.K. Sav. cet. [w] ῥήματα om. B.C.K. inclusum a Sav. [x] ὑπὲρ] σκόπει δέ· ὑπὲρ B.K. Sav. cet. [y] λέγω] Sic C.I.L. μόνον λέγω B.K. μόνον Edd. [z] οὐδεὶς] καὶ οὐδεὶς C.I. Veron. [a] ἔχθρας L. [b] φιλοῦ] φιλοῦμεν L. εἰκῆ μὴ μισοῦ om. C.I.L. [c] περιοψόμεθα] περιόψεσθαι ἀνεχόμεθα B.K. [d] ἄρτου μόνου] ἑνὸς ἄρτου L. ἄρτου μόνον B.C.K. Statim οὐδὲν προϊέμεθα C.I.L. [e] ἐρευγόμενοι—τρυφῶντες] διασπώμενοι καὶ γαστριζόμενοι αὐτοὶ καὶ τρυφῶντες, καὶ δυσωδίας πολλῆς ἀποπνέοντες ἐκ τοῦ χθεσινοῦ οἴνου, ὃν πολὺν καὶ ἄκρατον ἡμῖν ἐνεχέαμεν B.K.
[f] τοῦ χθεσινοῦ οἴνου L. [g] διδόασιν B.K. [h] ναν̆οις (sic) I. νάννοις scripsit Editor Ben. 2dae. [i] ἀρρωστήματα I. Statim ταῦτα πολλάκις φ. B.K. [k] φίλοις] καὶ φίλοις Sav. cet. τῷ δὲ Χριστῷ οὐδὲ εἷς. ἄλλως δὲ, φίλοις B.K. [l] οὐδὲ—εὐπραγίᾳ om. L. [m] τοῦτο] καὶ τοῦτο B.K. Sav. cet. [n] ὅτι τοῦ μὲν] οὐδεὶς τοῦ B.K. [o] ἀφίσταται]+ἄνθρωπος Sav. cet. invitis libris. οὐκ ἀφ. δ. ῥ.] τοῦ δόλους ῥάπτειν ἀφ. B.K. [p] καὶ αἰσχύνεται assumtum ex B.C.I.K. [q] τί]+τοῦτο B.K. Sav. cet. [r] μικρὸν]+τι iidem. Statim ἀναβαλλ. I.L.

λοι. Ὁρᾷς οὐδὲν φόβῳ θεοῦ γινόμενον, οὐδὲ τῷ περὶ αὐτὸν φίλτρῳ, ἀλλὰ τὰ μὲν [s]φιλίᾳ, τὰ δὲ συνηθείᾳ; Ὁρῶντες φίλον ἀποδημοῦντα, κλαίομεν, στένομεν· ἂν δὲ καὶ ἀποθανόντα ἴδωμεν, ὀλοφυρόμεθα, καίτοιγε εἰδότες ὅτι οὐ διαπαντὸς ἡμῶν δια- B
στήσεται, [[t]καὶ ἐν τῇ ἀναστάσει]· τοῦ δὲ Χριστοῦ χωριζομένου ἡμῶν καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ τὸν Χριστὸν καθ' ἑκάστην ἡμέραν ἀπελαύνοντες ἀφ' ἡμῶν, οὐκ ἀλγοῦμεν, οὐδὲ δεινόν τι [v]πάσχειν νομίζομεν, ἀδικοῦντες, λυποῦντες, παροξύνοντες, [w]τὰ μὴ δοκοῦντα αὐτῷ πράσσοντες. Ἀλλ' οὔπω τοῦτο φρικτὸν, εἰ [x]μηδὲ ὡς φίλῳ αὐτῷ κεχρήμεθα· ἐγὼ γὰρ δείξω, ὅτι
(263) [y]ὡς ἐχθρῷ αὐτῷ χρώμεθα. Πῶς; [12]"Τὸ φρόνημα τῆς σαρκὸς, [z]φησὶν, ἔχθρα εἰς θεόν." [a]Καὶ τοῦτο ἀεὶ περιφέρομεν, C
[b]τὸν δὲ Χριστὸν βουλόμενον ἐπιτρέχειν ἡμῖν διώκομεν· αἱ γὰρ πονηραὶ πράξεις τοῦτο ἐργάζονται· [c]ποιοῦμεν αὐτὸν ὑβρίζεσθαι καθ' ἑκάστην ἡμέραν διὰ τὰς πλεονεξίας ἡμῶν, διὰ τὰς ἁρπαγάς. Δοξάζεταί τις εὐδοκιμῶν, καὶ τὰ [d]αὐτοῦ φθεγγόμενος, καὶ τὴν ἐκκλησίαν ὠφελῶν· καὶ ἡμεῖς τούτῳ φθονοῦμεν, ὅτι τὰ τοῦ θεοῦ ἐργάζεται· καὶ δοκοῦμεν [e]μὲν φθονεῖν ἐκείνῳ, ὁ δὲ φθόνος δια- D
βαίνει εἰς [f]ἐκεῖνον. [g]Καὶ οὐ βουλόμεθα δι' ἑτέρων, ἀλλὰ δι' ἡμῶν τὴν ὠφέλειαν [h]γίνεσθαι· οὐ διὰ τὸν Χριστὸν, ἀλλὰ δι' ἡμᾶς· ἐπεὶ εἰ διὰ τὸν Χριστὸν, ἀδιάφορον [i]ἦν ἡμῖν τὸ καὶ δι' ἑτέρων καὶ δι' ἡμῶν ταῦτα γίνεσθαι. Εἰπὲ γάρ μοι, εἴ τις ἰατρὸς παῖδα [k]ἔχων τυφλοῦσθαι μέλλοντα, [l]αὐτὸς μὲν ἐξασθενήσει πρὸς τὴν ἰατρείαν, ἕτερον δὲ εὕροι δυνάμενον τοῦτο ἐργάζεσθαι, ἆρα ἂν ἀπήλασεν αὐτόν; Οὐδαμῶς· ἀλλὰ [m]μονονουχὶ ἐρεῖ πρὸς αὐτόν· εἴτε διὰ σοῦ, εἴτε δι' ἐμοῦ, τὰ τῆς ὠφελείας E
γινέσθω. Τί δήποτε; Ὅτι οὐ τὸ ἑαυτοῦ ὁρᾷ, ἀλλὰ τὸ τῷ

12 Rom. viii. 7.

[s] τῇ φιλίᾳ ... τῇ συν. C. [t] καὶ ἐν τῇ ἀ.] Sic C. Veron. ἀλλ' αὐτὸν ἐν τῇ ἀ. ἀποληψόμεθα B.K. Sav. cet. ἀλλὰ καὶ ἡμεῖς μετὰ μικρὸν ἀπελθόντες ἐκεῖ ὀψώμεθα (sic) πάλιν αὐτὸν καὶ ἐν τῇ ἀ. I. Clausula non legitur in L. [v] πάσχειν] ποιεῖν B.K. Sav. cet. [w] τὰ] καὶ τὰ L. [x] μηδ' ὡς K. [y] ὡς] καὶ ὡς B.K. Sav. cet. [z] φησὶν] + ὁ Παῦλος B.C.K. Sav. cet. φησὶν in marg. I. Post θεὸν add. ἐστιν L. [a] καὶ τοῦτο] ἡμεῖς δὲ τοῦτο μὲν B.K. Sav. cet. [b] τὸν δὲ Χριστὸν om. C.I. Veron. *illum* Vet. Statim ἀεὶ βουλ. Edd. ἀεὶ om. C.L. Vet. ἐπιτρ. ἡμῖν pro ἡμῖν ἐπιτρ. C.I.K.L. Post ἐπιτρέχειν add. καὶ πρὸς τὰς θύρας ἡμῶν ἐρχόμενον B.K. Sav. cet. Post διώκομεν add. πρὸς τ. θ. ἡ. ἐρχόμενον διώκομεν I. [c] ποιοῦμεν] καὶ ποιοῦμεν B.K. Sav. cet. [d] αὐτοῦ] τοῦ Χριστοῦ L. [e] μὲν om. B.K. [f] ἐκεῖνον] τὸν Χριστὸν L. Χριστὸν B.K. Sav. cet. [g] καὶ οὐ—δι' ἡμῶν] οὐ, φησὶν, ἀλλὰ β. οὐ δι' ἑτέρων, ἀλλὰ δι' ἡμῶν Sav. cet. οὐ, φησὶν, ἀλλὰ β. δι' ἡμῶν καὶ οὐ δι' ἑτέρων B.K. [h] γίνεσθαι] + ὥστε καὶ τὸ φθονεῖν ἐστι διὰ τὸν Χριστὸν B.K. [i] ἦν] ἂν ἦν B. Sav. cet. ἂν K. [k] ἔχοι C.I.K.L. [l] αὐτὸς] εἶτα αὐτὸς B.K. Mox ἐργάσασθαι L. [m] μονονουχὶ ἐρεῖ] καὶ προσελάβετο ἂν, καὶ μισθὸν ὑπέσχετο· καὶ τοιαῦτα εἶπε μονονουχὶ B.K.

παιδὶ συμφέρον. [n]Οὕτω καὶ ἡμεῖς, εἰ τὸ τοῦ Χριστοῦ ἑωρῶμεν, [o]εἴπομεν ἄν, εἴτε δι' ἡμῶν, εἴτε δι' ἑτέρου τινὸς τὸ λυσιτελὲς γινέσθω. [13] "Εἴτε ἀληθείᾳ, εἴτε προφάσει, φησὶ, Χριστὸς καταγγέλλεται." Ἄκουε [p]γὰρ τοῦ Μωϋσέως λέγοντος πρὸς τοὺς παροξῦναι αὐτὸν βουλομένους, ἡνίκα οἱ περὶ Ἐλδὰδ καὶ Μωδὰδ προεφήτευον· [14] "Μὴ ζηλοῖς σὺ [q]ἐμοί; τίς δῴη πάντα τὸν λαὸν κυρίου προφήτας εἶναι;" Ταῦτα [r]δὲ πάντα ἀπὸ
F φιλοδοξίας γίνεται. [s]Ἆρα οὐκ ἐχθρῶν ταῦτα καὶ πολεμίων; Εἶπέ [t]σε τις κακῶς; ἀγάπησον αὐτόν. Καὶ πῶς [v]δυνατόν; [w]Δυνατὸν, ἐὰν θέλῃς· ἂν δὲ καλῶς εἰπόντα φιλήσῃς, [x]οὐκέτι σοι χάρις· οὐ γὰρ διὰ τὸν κύριον, ἀλλὰ διὰ τὴν εὐφημίαν τοῦτο
567 πεποίηκας. Ἔβλαψέ σε τις; εὐεργέτησον· ἂν δὲ ὠφελήσαντα ὠφελήσῃς, οὐδὲν μέγα πεποίηκας. Ἠδικήθης καὶ ἐζημιώθης [y]τὰ μεγάλα; τοῖς ἐναντίοις ἀμείψασθαι σπούδασον. Ναὶ, παρακαλῶ, οὕτω διοικῶμεν τὰ καθ' ἑαυτούς· [z]παυσώμεθα τοῦ ἀδικεῖν καὶ μισεῖν τοὺς ἐχθρούς. [a]Αὐτὸς τοὺς ἐχθροὺς κελεύει φιλεῖν, ἡμεῖς δὲ καὶ αὐτὸν φιλοῦντα διώκομεν. Μὴ γένοιτο, φησί. [b]Τῷ ῥήματι τοῦτο πάντες φθεγγόμεθα, διὰ δὲ τῶν ἔργων οὐ [c]πάντες. Τοσαύτη ἡ τῆς ἁμαρτίας [d]σκότωσις, ὅτι ἅπερ οὐκ ἔστι λόγῳ φορητὰ, ταῦτα δι' ἔργων φορητά ἐστιν.
B Ἀποστῶμέν [e]ποτε τῶν βλαπτόντων καὶ λυμαινομένων ἡμῶν τὴν σωτηρίαν, ἵνα τύχωμεν ὧν τοὺς φίλους εἰκὸς τυχεῖν. [15] "Θέλω γὰρ, φησὶν, [f]ἵνα, ὅπου εἰμὶ ἐγὼ, ὦσι καὶ [g]οἱ μαθηταί μου, ἵνα τὴν δόξαν ὁρῶσι τὴν ἐμήν." Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, [h]ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13 Philipp. i. 18. 14 Num. xi. 29. 15 Joan. xvii. 24.

[n] οὕτω καὶ] οὕτως C. [o] εἴποιμεν L. Mox τὸ λυσιτελοῦν idem. [p] γὰρ om. B.K. Mox ἐπροφήτευον C. [q] μοι C. Statim καὶ τίς B.K. Sav. cet. [r] δὲ om. B.K. [s] ἆρ' οὐκ K. ἔργα pro ταῦτα B.K. Post πολεμίων add. ἂν δὲ νήφωμεν, οὐ μόνον οὐδενὶ τῶν ἐναντίων οὐχ ἁλωσόμεθα, ἀλλὰ καὶ κατὰ τὴν δεσποτικὴν ἐντολὴν βιοῦντες ἐσόμεθα. πῶς ἔσται δὲ τοῦτο; ἂν οὕτω ποιήσῃς· οἷον iidem. [t] σοι C.L. Post αὐτὸν add. σὺ B.C.K. Sav. cet. [v] δυνατὸν] + ἀγαπᾶν τὸν τοιοῦτον B.K. [w] δυνατὸν] + καὶ σφόδρα δυνατὸν B.K. Sav. cet. δυνατὸν om. C.I.L. Veron. [x] οὐκέτι] οὐκ ἔστι B.C.K.I. [y] τὰ om. B.K. [z] παυώμεθα I. [a] αὐτὸς] μᾶλλον δὲ αὐτὸς B.K. Post δὲ, εἰ a rec. man. superscript. in K. Mox ἡμεῖς κἂν τὸν φ. μὴ διώκωμεν iidem. [b] τῷ om. B. τούτῳ pro τοῦτο C.I. [c] πάντως L. [d] σκότωσις] + ἐστιν L. [e] ποτε] ὀψὲ γοῦν ποτε B.K. Sav. cet. [f] ἵν' ὅπου B.L. Sav. cet. [g] οἱ μ. μου] οὗτοι B.K. [h] ἐν (+ αὐτῷ L.) Χριστῷ κ. τ. ἑ.] Sic B.I.K.L. χάριτι καὶ φιλανθρωπίᾳ κ. τ. ἑ. Ben.

ΛΟΓΟΣ Δ. C

[1]Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται [a]Ἰησοῦς Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον.

ΟΥΤΩ μεγάλαι εἰσὶν [b]αἱ εὐεργεσίαι τοῦ θεοῦ, καὶ πᾶσαν D
ἀνθρωπίνην ὑπερβαίνουσαι προσδοκίαν [c]καὶ ἐλπίδα, ὡς πολλαχοῦ καὶ ἀπιστεῖσθαι. Ἃ γὰρ μήτε ἐνενόησε, μήτε προσεδόκησε νοῦς ἀνθρώπινος, ταῦτα ἡμῖν ἐχαρίσατο· [d]ὡς πολὺν τοὺς ἀποστόλους ποιεῖσθαι πόνον, ὥστε πιστευθῆναι τὰ δῶρα τὰ παρὰ τοῦ [e]θεοῦ παρασχεθέντα. Καθάπερ γὰρ ἐπὶ τῶν [f]μεγάλων ἀγαθῶν τοῦτο πάσχομεν, ἆρα μὴ ὄναρ ἐστί; λέγοντες, [g]τῷ
ἀπιστεῖν· οὕτω καὶ ἐπὶ τῶν τοῦ θεοῦ δωρεῶν. Τί οὖν [h]ἦν τὸ E
ἀπιστούμενον; Εἰ οἱ ἐχθροὶ, εἰ οἱ ἁμαρτωλοὶ, εἰ οἱ ἐν νόμῳ μὴ
(264) δικαιωθέντες, μηδὲ δι᾽ ἔργων, οὗτοι ἐξαίφνης διὰ πίστεως μόνης ἔμελλον τῶν πρωτείων τεύξεσθαι. Πολλὰ μὲν οὖν καὶ ἐν τῇ πρὸς Ῥωμαίους [i]ὑπὲρ τούτου διαλέγεται τοῦ κεφαλαίου, πολλὰ δὲ καὶ ἐνταῦθα. "Πιστὸς, φησὶν, ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ." Ἐπειδὴ γὰρ Ἰουδαῖοι τούτῳ
μάλιστα ἐφείλκοντο, πείθει αὐτοὺς τῷ νόμῳ [k]προσέχειν, ὡς F
οὐκ ἐνὸν [l]χωρὶς ἐκείνου σωθῆναι πίστεως χωρίς. Πρὸς τοῦτο
τοίνυν μάχεται. Ἄπιστον γὰρ εἶναι ἐδόκει, εἰ δὴ ἄνθρωπος 568
πάντα τὸν ἔμπροσθεν [m]βίον καταδαπανηθεὶς εἰκῇ καὶ μάτην ἐν πονηραῖς πράξεσι καταναλώσας, ἔμελλε σώζεσθαι ὕστερον ἀπὸ πίστεως μόνης. Διὰ τοῦτό φησι, "Πιστὸς ὁ λόγος." Ἀλλά τινες οὐκ ἠπίστουν μόνον, ἀλλὰ καὶ ἐνεκάλουν, ὃ καὶ νῦν ποι-

[1] Cap. I. v. 15, 16.

Hom. IV. [a] Ἰησοῦς Χριστὸς om. C. τὴν πᾶσαν C. et ante corr. K. [b] αἱ om. L. [c] καὶ ἐλπίδα om. B.C.K. inclusum a Sav. [d] ὡς—πόνον] διὰ τοῦτο καὶ πολὺν οἱ ἀπόστολοι λόγον ὑπὲρ τούτου ποιοῦνται B.K. Sav. cet. [e] θεοῦ] + ἡμῖν B.I.K. Sav. cet. [f] μεγ. ἀγαθῶν] παρ᾽ ἡμῖν μεγ. πραγμάτων B.K. [g] τῷ] ἐν τῷ L. τὸ (sic) ἀπιστεῖν post πάσχομεν transp. I. [h] ἦν] ἐστι K. [i] ὑπὲρ pro περὶ B.C.I.L. Mox δὲ om. B. [k] προσέχειν] μὴ προσέχειν ex corr. C. Sic Vet. Mor. Ben. [l] χωρὶς] δι᾽ L. Sav. cet. χωρὶς erasum in C. Mox σωθῆναι ὥσπερ οὐδὲ πίστεως χ. B.K. [m] βίον καταδαπανηθεὶς] Sic I.L. βίον om. Veron. καταδαπανηθεὶς (?) erasum in C. βίον καταδαπανήσας B.K. καταδαπανήσας βίον Sav. cet. Mox καταναλώσας om. B.C.K. inclusum a Sav. Post μάτην pergit L. καὶ καταλώσας (sic ?) ἐν αἰσχραῖς πρ. ἔμελλε κ. τ. ἑ.

οὖσι, [n]ποτὲ μὲν λέγοντες, [2]"Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ
ἀγαθά." Ἐπειδὴ γὰρ [o]ἔλεγεν, "Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία,
[p]ὑπερεπερίσσευσεν ἡ χάρις," [q]τί φασι; "Ποιήσωμεν τὰ κακὰ,
ἵνα ἔλθῃ τὰ ἀγαθά." Ταῦτα γὰρ μάλιστα οἱ Ἕλληνές φασι,
διασύροντες τὰ ἡμέτερα. Ὅταν οὖν περὶ γεέννης [r]διαλεγώμεθα
B αὐτοῖς, καὶ ποῦ, [s]φασὶ, ταῦτα ἄξια θεοῦ, εἰ ἄνθρωπος μὲν τὸν
οἰκέτην λαβὼν τὸν ἑαυτοῦ πολλὰ ἡμαρτηκότα, ἀφίησι καὶ συγ-
γνώμης ἀξιοῖ· ὁ δὲ [t]θεὸς ἀθάνατα κολάζει; [v]Καὶ ὅταν περὶ
λουτροῦ πάλιν αὐτοῖς διαλεγώμεθα, καὶ τῆς διὰ τούτου τῶν
ἁμαρτημάτων ἀφέσεως, [w]ποῦ ταῦτα, φασὶν, ἄξια θεοῦ, τὸν
μυρία ἐργασάμενον κακὰ ἀφιέναι τῶν ἁμαρτημάτων; Ὁρᾷς
τὴν ἐνδιάστροφον γνώμην, πῶς πανταχοῦ τὴν οἰκείαν ἐνδείκνυ-
ται φιλονεικίαν; Καὶ μὴν εἰ ἡ ἄφεσις κακὸν, καλὸν ἡ κόλασις·
C εἰ δὲ [x]ἡ κόλασις οὐ καλὸν, ἡ ἄφεσις καλόν· κατὰ τὸν ἐκείνων
φημὶ λόγον· κατὰ γὰρ τὸν ἡμέτερον ἀμφότερα καλά· καὶ πῶς,
ἐν ἑτέρῳ δείξομεν καιρῷ· οὐ γὰρ τοῦ παρόντος ἂν εἴη· [y]βαθὺ
γὰρ ὂν καὶ πολλῆς δεόμενον τῆς ἐπεξεργασίας, ἐν καιρῷ δεῖ
[z]τοῦτο προθεῖναι ἐπὶ τῆς [a]ὑμῶν ἀγάπης. [b]Πόθεν τοίνυν πι-
στὸς ὁ λόγος; Καὶ ἀπὸ τῶν [c]προαγόντων, καὶ ἀπὸ τῶν μετὰ
ταῦτα. [d]Ὅρα πῶς καὶ προκατασκευάζει, καὶ μετὰ τὸ κατα-
D σκευάσαι αὐτῷ ἐνδιατρίβει. Τὸ γὰρ εἰπεῖν, ὅτι βλάσφημον
ὄντα καὶ διώκτην ἠλέησε, τοῦτο κατασκευάζοντος ἦν. Καὶ οὐκ
ἠλέησε, φησὶ, μόνον, ἀλλὰ καὶ πιστὸν ἐποίησε· [e]τοσοῦτον οὐ
χρὴ, φησὶν, ἀπιστεῖν ὅτι ἠλέησεν. Οὐδεὶς γὰρ ὁρῶν τὸν δε-
σμώτην [f]ἐν βασιλείοις στρεφόμενον, ὅτι ἠλεήθη ἀμφιβάλλει
[g]ποτέ· ὅπερ ἐπὶ τοῦ Παύλου ἦν ἰδεῖν. [h]Καὶ πάλιν πόθεν;
Ἀφ' ἑαυτοῦ ποιεῖται τὸ σημεῖον· [i]οὐ γὰρ αἰσχύνεται καλῶν

[2] Rom. iii. 8. v. 20.

[n] ποτὲ μὲν] Ἕλληνες B.K. Sav. cet. [o] ἔλεγεν] ἤκουσαν λέγοντος iidem. [p] ὑπερεξεπερίσσευσεν Sav. cet. invitis libris. [q] τί φασι (φησι I.)—ὅταν οὖν] διασύροντες τὰ ἡμέτερα ἐκεῖνοι ἔλεγον τοῦτο. οὕτω καὶ ὅταν B.K. Sav. cet. [r] αὐτοῖς διαλ. inverso ord. B.K. [s] φησὶ I.K. [t] θεὸς] κύριος L. [v] καὶ ὅταν] ἂν δὲ B.K. Mox διαλεχθῶμεν B. [w] ποῦ ταῦτα, φασὶν (φησὶν I.)] ἐπιπηδῶσι, π. τ. λέγοντες B.K. [x] οὐ καλὸν ἡ κ. hoc ord. I.L. Statim καλὸν ἡ ἄφ. I. [y] βαθὺ pro βαθὺν B.I.K.L. ὂν pro ὄντα B.K.L. γὰρ om. I. [z] τοῦτο pro τοῦτον C.I.L. Statim προσθ. I.L. [a] ὑμῶν] ὑμετέρας B.I.K. Sav. cet. τῇ ὑ. ἀγάπῃ pro ἐπὶ τῆς ὑ. ἀγάπης L. Post ἀγάπης add. τέως δὲ τῶν προκειμένων ἐχώμεθα B.K. Sav. cet. [b] πόθεν—λόγος;] πιστὸς, φησὶν, ὁ λόγος. πόθεν πιστός; iidem. [c] προλεχθέντων B.K. Iidem post ταῦτα add. λεγομένων. [d] ὅρα]+γὰρ L. Statim προπαρασκ. idem. [e] τοσοῦτον] οὕτως (et om. φησὶν) B.K. [f] ἐν τοῖς β. L. Mox ὅτι καὶ ἠλ. idem. [g] ποτέ·—σημεῖον] τοῦτο καὶ ἐπὶ τοῦ Π. ἐστὶν ἰδεῖν· ἑαυτὸν γὰρ ποιεῖται τούτου σημεῖον B.K. [h] καὶ πάλιν πόθεν; om. Sav. cet. Post ἑαυτοῦ add. γὰρ iidem, invitis libris. [i] οὐ γὰρ] καὶ οὐκ B.K. Sav. cet. Mox ἐναβρύνεται Cat. εὐφραίνεται Edd. Vid. Annot.

ἑαυτὸν ἁμαρτωλὸν, ἀλλὰ καὶ μᾶλλον ἐναβρύνεται, [k]ὅτι τοσαύ-
της φιλανθρωπίας ἠξιώθη· ὅτι οὕτω μάλιστα [l]δύναται δεῖξαι
τὸ μέγα [m]τῆς κηδεμονίας τοῦ θεοῦ. Καὶ πῶς ἀλλαχοῦ [n]λέγων E
περὶ ἑαυτοῦ, "[3]Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμ-
πτος," ἐνταῦθά φησιν [o]ἁμαρτωλὸν εἶναι, καὶ πρῶτον τῶν
ἁμαρτωλῶν; Ὅτι πρὸς τὴν δικαιοσύνην, ἣν ὁ θεὸς εἰργάσατο,
[p]καὶ τὴν [q]ὄντως ζητουμένην, ἁμαρτωλοὶ καὶ οἱ ἐν τῷ νόμῳ·
[4]"Πάντες γὰρ [r]ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ."
[s]Ταύτην δὲ οὐχ ἁπλῶς εἶπε δικαιοσύνην, ἀλλὰ, "τὴν ἐν νόμῳ."
Ὥσπερ γὰρ ὁ ἀργύριον πολὺ κεκτημένος, καθ' ἑαυτὸν μὲν πλού-
σιος φαίνεται, κατὰ δὲ τὴν σύγκρισιν τῶν θησαυρῶν τῶν βασι- F
λικῶν σφόδρα πένης, καὶ πρῶτος πένης· οὕτω δὴ καὶ ἐνταῦθα,
πρὸς τοὺς ἀγγέλους κρινόμενοι, [t]ἁμαρτωλοὶ οἱ ἄνθρωποι, καὶ
[v]οἱ δίκαιοι. Εἰ δὲ Παῦλος ὁ τὴν ἐν νόμῳ δικαιοσύνην ἐργασά-
μενος [w]πρῶτος ἁμαρτωλὸς, τίς ἄρα τῶν ἄλλων δίκαιος ἂν κλη- 569
θείη; Οὐ γὰρ διαβάλλων [x]αὐτοῦ τὸν βίον [y]φησὶν, ὡς ἀσελγῆ
καὶ πόρνον καὶ πλεονέκτην, μὴ γένοιτο, ἀλλὰ τὴν δικαιοσύνην
ἐκείνην πρὸς ταύτην συγκρίνων, [z]τὸ μηδὲν εἶναι δείκνυσιν· ἀλλὰ
καὶ ἁμαρτωλοὺς τοὺς ἔχοντας αὐτὴν ἀποφαίνει. "Ἀλλὰ διὰ
τοῦτο ἠλεήθην, [a]φησὶν, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς
Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελ-
λόντων πιστεύειν [b]ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον."

[c]Ὁρᾷς πῶς πάλιν ταπεινοῖ καὶ καταστέλλει ἑαυτὸν, ἑτέραν
εὐτελεστέραν λέγων αἰτίαν; Τὸ μὲν γὰρ δι' [d]ἄγνοιαν ἐλεηθῆ- B
ναι, οὐ σφόδρα δείκνυσιν ἁμαρτωλὸν τὸν ἐλεούμενον, [e]οὐδὲ ἄγαν
κατεγνωσμένον· τὸ δὲ διὰ τοῦτο ἐλεηθῆναι, ἵνα μηδεὶς ἀπαγο-
ρεύῃ λοιπὸν τῶν ἡμαρτηκότων, [f]ὅτι καὶ αὐτὸς τῶν αὐτῶν τεύ-
(265) ξεται, [g]σφόδρα μέγα καὶ μεθ' ὑπερβολῆς. Ὥστε φθεγξάμενος,

[3] Philipp. iii. 6. [4] Rom. iii. 23.

[k] ὅτι τοσαύτης—θεοῦ.] οὕτω γὰρ μάλιστα δύναται δ. τ. μ. τῆς τοῦ θ. κηδεμονίας (τῆς κηδ. τοῦ θ. K.) θαῦμα, καὶ ὅτι φιλ. ἠξιώθη τοσαύτης. B.K. Sav. cet. [l] δύναται] βούλεται L. [m] τῆς κ. τοῦ θ.] τῆς τοῦ θ. φιλανθρωπίας Veron. [n] λέγων] φάσκων L. φησὶν I. [o] ἁμαρτ.]+ἑαυτὸν B. [p] καὶ om. L. [q] ὄντως] παρὰ τοῦ νόμου B.K. [r] ἥμαρτον]+φησὶ L. [s] ταύτην δὲ] διὰ τοῦτο B.K. Sav. cet. οὐ γὰρ pro ταύτην δὲ οὐχ Cat. [t] ἁμαρτωλοὶ—δίκαιοι] οἱ ἄνθρωποι καὶ οἱ δ. ἁμαρτωλοί εἰσιν L. [v] οἱ] Sic Codd. εἰ Edd. εἰ superscript. in K. [w] πρ. ἁμαρτ. in marg. habet I. [x] ἑαυτοῦ L. [y] φησὶν—πλεονέκτην] ὡς ἀσελγῆ, τοῦτό φησι B.K. Sav. cet. Post πλεονέκτην add. φησὶ τοῦτο L. [z] τὸ—δείκνυσιν] οὐ τὸ μηδὲν εἰδέναι δείκνυσι μόνον L. Post δείκνυσιν add. οὐ μόνον δὲ τοῦτο B.K. Sav. cet. [a] φησὶν om. B.K. Mox Ἰησ. ὁ Χρ. C. [b] ἐπ' αὐτῷ omnes. εἰς αὐτὸν Edd. [c] ὁρᾷς om. L. [d] ἄγνοιαν]+λέγειν B.K. Sav. cet. [e] οὐδὲ ἄ. κ. om. I. [f] ὅτι] ἀλλὰ θαρρῇ ὅτι B.K. Sav. cet. [g] σφόδρα—ἐφθέγξατο.] σφ. τοῦτο θαυμαστόν. καὶ ἄλλα γοῦν μεθ' ὑπερβολῆς εὐτελῆ φθεγξάμενος· ἐσχάτης γὰρ εὐτελείας τὸ λέγειν ἑαυτὸν πρῶτον τῶν ἁμ. καὶ βλάσφημον καὶ δ. καὶ ὑ. καὶ ὅτι οὐκ εἰμὶ ἱ. κ. ἀ. ὅμως οὐδὲν οὔ. τ. εἴρηκεν. B.K. ὅμως ante οὐδὲν receperunt Sav. cet.

"[h]Πρῶτός εἰμι ἐγὼ τῶν ἁμαρτωλῶν, καὶ βλάσφημος καὶ διώκτης καὶ ὑβριστής," καί, [5]"Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος," καὶ ὅσα εἴρηκεν, οὐδὲν οὕτω ταπεινὸν ἐφθέγξατο. [i]Καὶ
C ἐπὶ ὑποδείγματος δὲ τοῦτο σαφὲς ἔσται. Ἔστω γὰρ πόλις πολυάνθρωπος πάντας τοὺς πολίτας ἔχουσα φαύλους, τοὺς μὲν [k]πλέον, τοὺς δὲ ἔλαττον, πάντας μέντοι κατεγνωσμένους· εἷς δέ τις ἐν τοῖς πολλοῖς ἐκείνοις πάντων μᾶλλον ἔστω κολάσεως [l]ἄξιος καὶ τιμωρίας, καὶ πᾶν ἐπελθὼν εἶδος κακίας· [m]ἂν τοίνυν λέγῃ τις, ὅτι [n]πᾶσιν ἀφεῖναι βούλεται ὁ βασιλεύς, οὐχ οὕτω πιστεύσουσι τῷ λόγῳ, [o]ἕως ἂν ἴδωσι τὸν πάντων φαυλότερον αὐτῶν τούτου τυχόντα· οὐκ ἔστι γὰρ λοιπὸν ἀμφισβήτησις.
D Τοῦτο καὶ Παῦλός φησιν, ὅτι βουλόμενος ὁ θεὸς πληροφορῆσαι τοὺς ἀνθρώπους, [p]ὅτι πάντα αὐτοῖς ἀφίησι, τὸν πάντων ἁμαρτωλότερον εἵλετο. Οὐ γὰρ ἄν, ἐμοῦ τυχόντος συγχωρήσεως, φησὶ, περὶ τῶν ἄλλων ἀμφισβητήσειέ [q]τις· ὡς ἂν εἰ ἔλεγέ τις καὶ ἐν τῇ συνηθείᾳ, [r]ἐὰν τῷδε ὁ θεὸς συγχωρήσῃ, [s]οὐδένα κολάσει. Καὶ [t]δείκνυσι διὰ τούτου οὐδὲ ἄξιον αὐτὸν ὄντα συγχωρήσεως, ἀλλὰ διὰ τὴν εἰς ἑτέρους σωτηρίαν [v]ταύτης ἀπολαύσαντα. Μηδεὶς τοίνυν ἀμφιβαλλέτω, [w]φησὶ, ὁπότε ἐγὼ
E ἐσώθην. Καὶ ὅρα τοῦ μακαρίου [x]τούτου τὴν ταπεινοφροσύνην. Οὐκ ἔφη, ἵνα ἐνδείξηται ἐν ἐμοὶ τὴν μακροθυμίαν, ἀλλά, "τὴν πᾶσαν μακροθυμίαν·" ὡς ἂν εἰ [y]φησι· μᾶλλον ἐμοῦ ἐπ' ἄλλῳ οὐκ [z]ἔχει μακροθυμῆσαι, οὐδὲ εὑρεῖν οὕτως ἁμαρτωλὸν, παντὸς δεόμενον αὐτοῦ τοῦ [a]ἐλέους, πάσης τῆς μακροθυμίας, οὐ μέρους, καθάπερ οἱ ἐπὶ μέρους ἁμαρτάνοντες. "Πρὸς ὑποτύπωσιν, [b]φησὶ, τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον·" τουτέστι, πρὸς παράκλησιν, πρὸς [c]προτροπήν. Ἐπειδὴ δὲ μέγα τι περὶ τοῦ υἱοῦ ἐφθέγξατο, καὶ ὅτι τοσαύτην ἀγάπην
F [d]ἐπεδείξατο, ἵνα μή τις [e]νομίσῃ ἀπεστερῆσθαι τὸν πατέρα,

[5] 1 Cor. xv. 9.

[h] ὅτι πρῶτος...καὶ ὅτι βλ....καὶ ὅτι οὐκ L. [i] καὶ—ἔσται] ἐπὶ ὑπ. (+δὲ K.) τοῦτο ποιήσω φανερὸν B.K. Mox γὰρ et πάντας om. iidem. [k] πλέον] Sic C. Cat. πλείω I. ἧττον Edd. Mox ἔλαττον omnes. μᾶλλον Edd. [l] ἄξιος κ. τ. pro κ. τ. ἄξιος C.I.L. Cat. Statim ὡς pro καὶ B.K. [m] ἂν—Παῦλος] ἂν τοίνυν ἐλθὼν εἴπῃ τις ὅτι πᾶσιν ὑμῖν ἀφῆκεν ὁ β. οὕτως αὐτοὺς οἴει πιστεῦσαι τῷ λ. ἁπλῶς, ἂν μὴ καὶ τὸν αὐτῶν φ. ἴδωσι τούτου τυχόντα; οὐκ ἔστιν εἰπεῖν· διατί; ὅτι λοιπὸν ἀπὸ τούτου καὶ περὶ αὐτῶν ἀμφισβήτησις συγγνώμης οὐκ ἔσται· τοῦτο τοίνυν καὶ Παῦλος B.K. [n] πᾶσαν L. [o] ἕως ἂν] ὡς ἐὰν Cat. Mox αὐτὸν pro αὐτῶν I. [p] ὅτι] ὡς B.K. [q] τις]+ταὐτὸ λέγων B.K. [r] ἐὰν] + δὲ K. Sav. cet. [s] οὐδένα]+τῶν ἄλλων B.K. Sav. cet. Statim κολάζει C.I.K. Veron. [t] ἐδείκνυε K. Mox ἑαυτὸν B.K. Sav. cet. [v] ταύτης]+πρότερον iidem. [w] φησὶ]+περὶ σωτηρίας iidem. [x] τούτου τὴν] τὴν σύνεσιν καὶ L. [y] φησι] ἔλεγε B.K. Sav. cet. [z] ἔσχε B.K. εἶχε Cat. [a] ἐλέου B.C. [b] φησὶ om. C.I.K. [c] προτροπὴν] ἐπιστροφὴν C.I.L. invita Cat. [d] ἐπεδ. pro ἐνεδ. omnes. [e] νομίσῃ]+ταύτης B.K. Sav. cet. Statim ἀποστερεῖσθαι B.K.

ἀναφέρει καὶ αὐτῷ δόξαν ἐπάγων, καί [f]φησι· [6]“Τῷ δὲ βασιλεῖ
τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, [g]μόνῳ θεῷ τιμὴ καὶ δόξα εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.” Ὑπὲρ δὴ τούτων, φησὶν, οὐ
τὸν υἱὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα [h]δοξάζομεν. Ἐρώμεθα 570
οὖν τοὺς αἱρετικούς· ἰδοὺ, “μόνῳ θεῷ,” [i]εἴρηκεν· [k]ἆρα οὐ θεὸς ὁ
υἱός; [l]καὶ, “μόνῳ ἀφθάρτῳ·” ἆρα οὐκ ἄφθαρτος [m]ὁ υἱός; καὶ
ὃ δίδωσιν ἡμῖν μετὰ ταῦτα, αὐτὸς οὐκ ἔχει; Ναὶ, φησὶ, καὶ
θεὸς, καὶ ἄφθαρτος, ἀλλ' οὐ τοιοῦτος οἷος ὁ πατήρ. Τί φῄς;
οὐ τοιοῦτος; [n]Ἐλάττονος, φησὶν, οὐσίας ἐστίν. Οὐκοῦν καὶ
ἀφθαρσίας ἐλάττονος. Τί [o]δέ ἐστιν [p]ἐλάττων καὶ μείζων
ἀφθαρσία; ἡ γὰρ ἀφθαρσία οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ μὴ δια- B
φθείρεσθαι. Δόξα μὲν γὰρ μείζων καὶ ἥττων ἐστὶν, ἀφθαρσία
δὲ μείζων καὶ ἥττων οὐκ ἔστιν, ὥσπερ [q]οὖν οὐδὲ ὑγεία ἥττων
καὶ πλείων· ἢ γὰρ φθείρεσθαί τι δεῖ, ἢ [r]μηδόλως. Τί οὖν,
[s]φησίν; [t]ἡμεῖς καὶ ὁ θεὸς ὡσαύτως; Μὴ γένοιτο· οὐδαμῶς.
Διὰ [v]τί; Ὅτι αὐτὸς μὲν φύσει τοῦτο ἔχει, ἡμεῖς δὲ ἐπεισά-
κτως. Ἆρ' οὖν καὶ ἐπὶ τοῦ υἱοῦ οὕτως; Οὐδαμῶς· ἀλλὰ καὶ
αὐτὸς φύσει. Τίνος οὖν ἕνεκεν ἡ διαφορά; Ὅτι αὐτὸς μὲν,
φησὶ, παρ' οὐδενὸς ἐγένετο τοιοῦτος, ὁ δὲ υἱὸς παρὰ τοῦ πα-
τρός. Καὶ ἡμεῖς τοῦτο ὁμολογοῦμεν· οὐδὲ γὰρ ἡμεῖς ἀρνού- C
μεθα, ὅτι ἐκ [w]τοῦ πατρὸς ὁ υἱὸς [x]ἄφθαρτος γεγέννηται.
[y]Ὑπὲρ τούτων, φησὶ, τὸν πατέρα [z]δοξάζομεν, ὅτι τοιοῦτον
αὐτὸν ἐγέννησεν. Ὁρᾷς ὅτι τότε μάλιστα δοξάζεται ὁ πατὴρ,
ὅταν μεγάλα ᾖ κατωρθωκὼς ὁ παῖς; εἰς αὐτὸν γὰρ ἀναφέρεται
τὰ τοῦ υἱοῦ. Οὐκοῦν [a]καὶ ὅταν δυνατὸν ᾖ γεγεννηκὼς, καὶ τοι-
οῦτον [b]οἷον αὐτὸς, ἡ δόξα τοῦ υἱοῦ μᾶλλόν ἐστιν ἢ τοῦ πατρός;
ὅταν αὐτάρκη, ὅταν ἑαυτῷ ἀρκοῦντα, ὅταν μὴ ἀσθενῆ; Τῷ δὲ
[c]βασιλεῖ τῶν αἰώνων, καὶ περὶ τοῦ υἱοῦ εἴρηται, [7]“Δι' οὗ καὶ D
τοὺς αἰῶνας ἐποίησε.” [d]Τὸ αὐτό ἐστιν ἐνταῦθα. Παρὰ μὲν

6 v. 17. 7 Hebr. i. 2.

[f] φησι] λέγων B.K. [g] μόνῳ]+σοφῷ Edd. σοφῷ om. C.L. [h] δοξάζωμεν L. [i] εἴρηκε]+περὶ (+τοῦ B.K.) πατρὸς λέγων B.K. Sav. cet. [k] ἆρα] ἆρα οὖν B. ἆρ' οὖν K. Cat. [l] καὶ μ. ἀ.] ἀλλὰ καὶ ἀφθάρτῳ εἶπεν. τί δέ (δαί K.); B.K. [m] ὁ] καὶ ὁ B.K. [n] ἐλ. φησὶν] καὶ ἐλ. interrogando B.K. Sav. cet. [o] δὲ] δαὶ K. Cat. οὖν C. [p] ἐλ. καὶ μείζων] Sic C.L. ἐλ. καὶ ἥττων I. Cat. μείζων καὶ ἥττων Edd. [q] οὖν om. L. [r] μηδὲ ὅλως C.I. [s] φησὶν om. B.K. [t] ἡμεῖς καὶ ὁ θ.] Sic C.I.L. Cat. ἄφθαρτοι ἡμεῖς καὶ ὁ θ. B.K. ἡμεῖς καὶ (sic) Veron. ἡμεῖς καὶ ἄφθαρτοι Sav. cet. [v] τί]+οὐδαμῶς B.K. [w] τοῦ om. C.I.L. Cat. [x] ἄφθαρτος γεγ.] Sic L. ἄφθαρτός ἐστιν Cat. ἀχρόνως γεγ. C. ἀφθάρτως γεγ. I.K. Edd. ἀφθάρτως γεγένηται B. [y] ὑπὲρ] διὸ καὶ Παῦλος, ὑπὲρ B.K. Statim τοῦτον L. [z] δοξάζωμεν L. δοξάσομεν ante corr. C. [a] καὶ accessit ex B.C.K.L. Vet. [b] οἷος ex corr. C. Haec ἡ δόξα τοῦ υἱοῦ ἢ τοῦ πατρὸς μᾶλλόν ἐστιν (hoc ord.) post ἀρκοῦντα transp. L. omissis verbis ὅταν μὴ ἀσθενῆ. [c] βασιλεῖ]+φησὶ L. [d] τὸ] καὶ τὸ B.K. Post ἐνταῦθα add. δηλοῦν iidem.

γὰρ ἡμῖν διῄρηται ἀμφότερα, [e] ἡ δημιουργία, καὶ ἡ [f] κτῆσις· [g] καὶ ἕτερος μὲν κατασκευάζει καὶ [h] πονεῖται καὶ ταλαιπωρεῖ, ἕτερος δὲ κρατεῖ. Διὰ τί; Ὅτι ὁ κατασκευάζων ἐλάττων ἐστίν. Ἐκεῖ δὲ οὐδαμῶς· [i] οὐχ ἑτέρου μὲν ἡ δεσποτεία, ἑτέρου δὲ ἡ δημιουργία. Οὐδὲ γὰρ, ἐπειδὰν ἀκούσω, "δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν," ἀφαιρῶ τὸν πατέρα τὸ δημιουργικόν· [k] οὐδὲ ὅταν (266) ἀκούσω, ὁ πατὴρ βασιλεὺς τῶν αἰώνων, ἀφαιρῶ τὸν υἱὸν τὴν
E δεσποτείαν· κοινὰ γὰρ καὶ ἐκείνου καὶ τούτου ταῦτα· ἀμφότερα [l] γὰρ, ἔκτισεν ὁ πατὴρ τῷ [m] δημιουργὸν γεγεννηκέναι· βασιλεύει ὁ υἱὸς τῷ [n] κύριος εἶναι τῶν κτισμάτων. Οὐ γὰρ μισθοῦ ἐργάζεται, καθάπερ οἱ παρ' ἡμῖν, οὐδὲ ἑτέρῳ ὑπακούων, καθάπερ οὗτοι, ἀλλὰ δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν. Τί δέ; ὁ υἱὸς ὡράθη ποτέ; Οὐκ ἄν τις ἔχοι λέγειν. Τί οὖν ἐστι [o] τὸ, "Ἀφθάρτῳ, ἀοράτῳ, [p] μόνῳ θεῷ;" τί δὲ ὅταν λέγῃ, [8] "Οὐδὲ
F γάρ ἐστιν ὄνομα ἕτερον, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς;" [q] καὶ, "Οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ [r] ἡ σωτηρία;" "Τιμὴ καὶ δόξα, φησὶν, εἰς τοὺς αἰῶνας. Ἀμήν." Τιμὴ καὶ δόξα οὐ διὰ ῥημάτων γίνεται· [s] ἐπεὶ καὶ αὐτὸς οὐ διὰ ῥημάτων ἡμᾶς ἐτίμησεν, ἀλλὰ καὶ διὰ
571 πραγμάτων καὶ δι' ἔργων· οὕτω καὶ ἡμεῖς αὐτὸν [t] τιμήσωμεν δι' ἔργων. [v] Καίτοι αὕτη μὲν ἡ τιμὴ ἡμῶν ἅπτεται, ἐκείνη δὲ αὐτοῦ οὐδαμῶς· οὐ γὰρ δεῖται [w] τῶν παρ' ἡμῶν, ἡμεῖς δὲ τῆς παρ' αὐτοῦ δεόμεθα. Ὥστε [x] κἂν τιμήσωμεν αὐτὸν, πάλιν [y] ἡμᾶς αὐτοὺς ἐτιμήσαμεν. Ὥσπερ γὰρ ὁ τοὺς ὀφθαλμοὺς ἀνοίξας, ἵνα τὸ ἡλιακὸν ἴδῃ φῶς, ἑαυτὸν πάλιν ὤνησε, [z] θαυμάζων τὸ κάλλος τοῦ ἄστρου, οὐκ ἐκείνῳ τι κεχάρισται· οὐ γὰρ λαμπρότερον
B αὐτὸ [a] πεποίηκεν, ἀλλὰ μένει τὸ αὐτό· οὕτω, καὶ πολλῷ μᾶλλον, ἐπὶ τοῦ θεοῦ· ὁ θαυμάζων τὸν θεὸν καὶ τιμῶν, ἑαυτὸν ἔσωσε, καὶ ὠφέλησεν ὠφέλειαν μεγίστην. Πῶς; [b] Ὅτι τὴν ἀρετὴν [c] μετέρχεται, παρ' αὐτοῦ δοξάζεται· [9] "Τοὺς [d] γὰρ δοξάζοντάς με, φησὶ, δοξάσω." Πῶς οὖν αὐτὸς δοξάζεσθαί

8 Act. iv. 12. 9 1 Reg. ii. 30.

[e] ἡ] καὶ ἡ L. Post δημιουργία add. λέγω B.K. Sav. cet. [f] κτῆσις] Sic L. Edebatur κτίσις. [g] καὶ ἕ. μὲν] ἕ. μὲν γὰρ L. [h] πονεῖ L. ποιεῖται Sav. cet. invitis libris. Mox ταλαιπωρεῖται L. [i] οὐχ] ἀλλ' C. [k] οὐδὲ C.I.L. οὐδ' B.K. οὔτε δὲ Edd. Mox ἀφ. τὸν υἱὸν pro τὸν υἱὸν ἀφ. C.I.K.L. [l] γὰρ] +ἑκατέροις ἐστίν B.K. Sav. cet. γὰρ erasum in C. [m] δημ.]+υἱὸν B.K. Sav. cet. [n] κυρίως B. [o] τὸ assumtum ex C.L. τῷ pro τὸ I. [p] μόνῳ] +σοφῷ B.K. Sav. cet. [q] καὶ]+πάλιν iidem. [r] ἡ om. I. [s] ἐπεὶ]+οὖν B.K. Sav. cet. [t] τιμήσωμεν]+καὶ διὰ ῥημάτων καὶ iidem. [v] καίτοι αὕτη] καὶ τοιαύτη L. [w] τῶν omnes. τῆς Edd. Mox τῶν παρ' αὐτοῦ L. [x] κἂν] ἂν L. [y] ἡ. αὐτοὺς] ἡ. αὐτὸς I. αὐτὸς ἡ. L. Statim ἐτίμησεν C.I.L. [z] θαυμ.] +δὲ I. τοῦ ἄστρου] τὸ ἡλιακὸν C. [a] ἐποίησεν L. [b] ὅτι]+καὶ L. Idem mox καὶ παρ' αὐτοῦ δ. [c] μετερχόμενος B.K. [d] γὰρ om. C. [e] δοξάζεσθαι] Sic C.I.K.L. δοξάζεται Edd.

φησιν, [e]οὐδὲν ἀπὸ τῆς δόξης ἀπολαύων τῆς ἡμετέρας; Ὥσπερ οὖν καὶ πεινῆν [f]λέγει καὶ διψῆν· πάντα γὰρ οἰκειοῦται τὰ ἡμέτερα, ἵνα κἂν οὕτως ἡμᾶς ἐφελκύσηται, καὶ τὰς τιμὰς καὶ τὰς ὕβρεις, ἵνα κἂν οὕτω φοβηθῶμεν· καὶ [g]οὐδ' οὕτως ἐφελκόμεθα.

10 “[h]Δοξάσωμεν δὴ τὸν θεὸν, [i]ἄρωμεν τὸν θεὸν ἐν τῷ σώματι καὶ ἐν τῷ [k]πνεύματι ἡμῶν.” Καὶ [l]πῶς τις ἐν τῷ σώματι δοξά- C
ζει; πῶς δὲ ἐν τῷ πνεύματι; Πνεῦμα ἐνταῦθα τὴν ψυχὴν λέγει, πρὸς ἀντιδιαστολὴν τοῦ σώματος. Πῶς [m]δέ τις δοξάζει ἐν τῷ σώματι; πῶς δὲ ἐν τῇ ψυχῇ; [n]Σώματι δοξάζει ὁ μὴ πορνεύων, ὁ μὴ μεθυσκόμενος, ὁ μὴ γαστριζόμενος, ὁ μὴ καλλωπιζόμενος, ὁ τοσαύτην αὐτοῦ ποιούμενος πρόνοιαν, [o]ὅσον πρὸς ὑγείαν ἀρκεῖν μόνον, ὁ μὴ μοιχεύων, ἡ μὴ μυριζομένη, ἡ μὴ [p]χρώμασι διαγράφουσα τὸ πρόσωπον, ἡ [q]ἀρκουμένη τῇ πλάσει τοῦ θεοῦ, καὶ μηδὲν ἐπιτεχνωμένη. Τί γὰρ, εἰπέ μοι, προσάγεις τὰ παρὰ D
σαυτῆς τῇ ἀπηρτισμένῃ παρὰ τοῦ θεοῦ δημιουργίᾳ; [r]Οὐκ αὐτάρκης σοι γέγονεν ἡ διάπλασις· ὡς βελτίων τοίνυν [s]τεχνῖτις ἐπιχειρεῖς ῥυθμίσαι τὸ ἔργον, [t]καὶ καλλωπίζεις, καὶ ὑβρίζεις [v]τὸν δημιουργὸν, [w]ἵνα μυρίους ἐραστὰς ἐπισπάσῃ. Καὶ τί πάθω, φησίν; οὐδὲ γὰρ ἐγὼ βούλομαι, ἀλλὰ διὰ τὸν ἄνδρα [x]ταῦτα ποιεῖν ἀναγκάζομαι. Οὐκ ἔνι μὴ βουλομένην ἐρᾶσθαι. Καλήν σε ὁ θεὸς ἐποίησεν, ἵνα θαυμάζηται [y]καὶ ἐπὶ τούτῳ, οὐχ E
ἵνα ὑβρίζηται· μὴ τούτοις αὐτὸν ἀμείβου τοῖς δώροις, ἀλλὰ σωφροσύνῃ καὶ κοσμιότητι. Καλήν σε ὁ θεὸς ἐποίησεν, ἵνα [z]σοι τοὺς τῆς κοσμιότητος ἄθλους [a]αὐξήσῃ. Οὐ γάρ ἐστιν ἴσον ἐπέραστον οὖσαν σωφρονεῖν, καὶ ὑπ' οὐδενὸς γενομένην περιμάχητον. Ἀκούεις τί φησιν ἡ γραφὴ περὶ τοῦ Ἰωσὴφ, 11 ὅτι ἦν ὡραῖος καὶ καλὸς τῇ ὄψει; τί ἡμᾶς τοῦτο ἀκούοντας ὠφελεῖ, ὅτι καλὸς ἦν Ἰωσήφ; [b]Ἵνα μᾶλλον αὐτοῦ τὸ κάλλος [c]θαυμάζωμεν καὶ τὴν κοσμιότητα. Ἐποίησέ σε καλὴν ὁ θεός; τί

10 1 Cor. vi. 20. 11 Gen. xxxix. 6.

[e] οὐδὲ K. οὐδὲν—ἡμετέρας hoc ord. C.I.K.L. ἀπὸ τ. δ. τ. ἡ. οὐδὲν ἀπολαύων Edd. [f] λέγει C.I.L. λέγεται Edd. [g] οὐδὲ οὕτως C.I. [h] ΗΘΙΚΟΝ. Τὸ ὀρθῶς βιοῦν ἡμᾶς δόξαν προξενεῖ θεῷ· καὶ κατὰ καλλωπιζομένων γυναικῶν. Veron. [i] ἄρωμεν τὸν θ. om. B.K. [k] πν. ἡμῶν] στόματι ἡμῶν καὶ ἐν τῷ πν. L. [l] πῶς]+ἂν C. Mox δοξάσῃ idem. τις post δοξάζει transp. K. Post δοξάζει add. φησὶ B.K. Sav. cet. [m] δὲ] οὖν B.K. Sav. cet. Mox καὶ πῶς pro πῶς δὲ B.K. [n] ἐν σώματι Edd. ἐν om. B.I.K.L. ἐν τῷ σ. C. [o] ὅσον] ὡς K. Mox ἀρκεῖ C.I.L. [p] χρώματι Ben. Sic, ut videtur, L. [q] ἀρκουμένη]+τοῦ προσώπου αὐτῆς κάλλει, ἤγουν L. [r] οὐκ αὐτάρκης σοι] οὐ κατασκευή (-ῆς I. Veron.) σου C.I.L. Veron. *non tibi sufficit* Vet. [s] τεχνίτης C.I. τεχνίταις L. Statim ἐπιχειρεῖς pro ἐπιχειρῇ omnes. [t] καὶ] οὐκ ἔστι τοῦτο, ἀλλὰ διὰ τοῦτο B.K. Sav. cet. Statim καλλωπίζεις C.I.L. καλλωπίζῃ Edd. [v] τὸν δημ.] τὸ ἔργον τοῦ θεοῦ L. [w] ἵνα] ὅταν C.I. [x] τοῦτο K. [y] καὶ om. L. [z] σοι om. C.L. [a] αὐξήσῃς C. [b] ἵνα] ἀλλ' ἵνα B.K. [c] θαυμάσωμεν B.I.K. Post h. v. add. καὶ τὴν ὡραιότητα L.

τοίνυν κατασκευάζεις ἄμορφον σαυτήν; Ὥσπερ γὰρ ἂν εἴ [d]τις
F χρυσῷ ἀνδριάντι [e]ἐπιχρώσειε πηλὸν βορβόρου, οὕτως εἰσὶν αἱ
τοῖς ἐπιτρίμμασι κεχρημέναι· γῆν [f]καταπάσσεις σαυτὴν, τὴν
μὲν φοινικῆν, τὴν δὲ λευκήν. [g]Ἀλλ' αἱ ἄμορφοι, φησὶν, εἰκό-
τως τοῦτο πράττουσι. Τίνος ἕνεκεν, [h]εἰπέ μοι; ἵνα τὴν ἀμορ-
572 φίαν κρύψωσιν; ἀλλὰ ἀνόνητα πονοῦσι. [i]Πότε γὰρ, εἰπέ μοι,
τὸ φυσικὸν ὑπὸ τοῦ [k]τεχνικοῦ καὶ ἐπιτετηδευμένου νικᾶται;
Τί δὲ ὅλως ἡ ἀμορφία λυπεῖ, ὅταν ψόγον μὴ ἔχῃ; Ἄκουε γὰρ
σοφοῦ τινος λέγοντος· [12] "Μὴ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ,
μηδὲ αἰνέσῃς ἄνδρα [l]ἐν κάλλει αὐτοῦ·" [m]τὸν μὲν οὖν θεὸν θαύ-
μασον τὸν ἀριστοτέχνην, ἐκεῖνον δὲ [n]μηκέτι· οὐ γὰρ αὐτοῦ κα-
τόρθωμα τὸ [o]γενόμενον. Ποῖον γὰρ κέρδος ἀπὸ [p]κάλλους; (267)
Οὐδὲν, ἀλλ' [q]ἀγῶνες πλείους, [r]μείζους αἱ ἐπήρειαι καὶ οἱ κίνδυνοι
B καὶ αἱ ὑποψίαι. Τὴν μὲν γὰρ οὐ τοιαύτην οὐδ' ἂν ὑποπτεύσειέ
τις· ἐκείνη δὲ, ἂν μὴ πολλῇ τῇ κοσμιότητι καὶ μεθ' ὑπερβολῆς
ᾖ κεχρημένη, εὐθέως δέξεται δόξαν [s]πονηράν· καὶ ὁ [t]ἀνὴρ μεθ'
ὑποψίας συνοικεῖ, οὗ τί γένοιτ' ἂν χαλεπώτερον; οὐ [v]τοσαύτην
ἀπὸ τῆς θέας κτώμενος τὴν ἡδονὴν, [w]ὅσην ἀπὸ τῆς ὑπονοίας
καρποῦται τὴν λύπην. [x]Ἐκείνη μὲν γὰρ τῇ συνηθείᾳ μαραί-
νεται, [y]βλακείας, διαχύσεως, ἀσελγείας δόξαν λαμβανούσης, αὐ-
τῆς τῆς ψυχῆς βαναύσου γινομένης, ἀπονοίας πολλῆς πληρου-
μένης· πρὸς ταῦτα γὰρ πάντα μᾶλλον ἡ εὐμορφία ἕλκει. Τὴν
C δὲ οὐ τοιαύτην οὐκ ἂν εὕροιμεν πολλὰ τὰ κωλύματα ἔχουσαν·
οὔτε γὰρ οἱ ἐπιπηδῶντες κύνες εἰσὶν, ἀλλὰ καθάπερ τις ἀμνὰς
ἐν ἡσυχίᾳ πολλῇ βόσκεται, οὐδενὸς ἐνοχλοῦντος λύκου οὐδὲ
ἐπιπηδῶντος [z]αὐτῇ, [a]ἀλλὰ τοῦ ποιμένος παρακαθημένου. Οὐκ
ἔστι πλεονεξία τὸ ἑτέραν μὲν εἶναι καλὴν, ἑτέραν δὲ μὴ τοιαύ-
την· πλεονεξία ἐστὶ τὸ ἑτέραν μὲν πορνεύειν καὶ καλὴν μὴ οὖ-
σαν, ἑτέραν δὲ [b]μὴ εἶναι πονηράν. Εἰπὲ γάρ μοι, τίς ἀρετὴ
ὀφθαλμῶν; ἆρα [c]τὸ ὑγροὺς εἶναι καὶ εὐστρόφους καὶ στρογγύ-

12 Sirac. xi. 2.

[d] τις] τινι B.K. ἀνδριάντι] + ἕτερος B.K. et a prima m. C. + κατασκευάσας ἕτερος I. [e] ἐπιχρώσειε B.I.K.L. ἐπιχρίσειε Edd. [f] καταπάσσῃ L. [g] ἀλλ' αἱ ἄ. φ.] οὐχὶ, φησὶν, ἀλλ' αἱ ἄ. B.K. [h] εἰπέ μοι] καὶ διὰ τί B.K. [i] πότε—μοι] οὐδέποτε γὰρ B.K. [k] τεχνητοῦ B. τεχνιτοῦ K. et sic tacite Ben. Statim ἐπιτηδευμένου L. [l] ἐν τῷ κ. B.K. Sav. cet. [m] τὸν] μᾶλλον iidem. [n] μηκέτι] μηδαμῶς B.K. [o] γιν. I. [p] κάλλους] + εἰπέ μοι B.K. Sav. cet. [q] ἀγῶνες] οἱ ἀγῶνες C. ἀγῶνες μάλιστα B.K. [r] μείζους pro μείζονες C.I.K.L. Statim αἱ ἐπ. B.C.K. αἰπερεῖαι (sic) I. Articulus aberat. [s] πονηρὰν] + παρὰ τοῦ παντὸς B.K. [t] ἀνὴρ] + δὲ B.K. Sav. cet. [v] τοσαύτην] + γὰρ B.K. Mox ἔχει pro κτώμενος iidem. [w] ὅσην B.C.K. ὅσιν (sic) I. ὅσον Edd. [x] ἐκείνη μὲν γὰρ] ἄλλως δέ· ἐκείνη μὲν καὶ B.K. [y] βλ. διαχ. in marg. I. [z] αὐτῇ post παρακαθημένου transp. B.K. Sav. cet. [a] ἀλλὰ] ἅτε iidem. Neutrum habet I. [b] μὴ assumtum ex C. [c] τὸ] τοῦ I.

λους καὶ κυανοῦς, ἢ τὸ ὀξεῖς καὶ διορατικούς; Ἐγὼ [d]μὲν τοῦτό D
φημι, καὶ δῆλον ἐκεῖθεν· τίς ἀρετὴ λύχνου; τὸ λαμπρὰ φαίνειν
καὶ πᾶσαν καταυγάζειν τὴν οἰκίαν, ἢ τὸ καλῶς πεπλάσθαι καὶ
στρογγύλον εἶναι; Ἐκεῖνο [e]πάντως ἂν εἴποιμεν· τοῦτο μὲν
[f]γὰρ ἀδιάφορον, τὸ δὲ ζητούμενον ἐκεῖνο. Διὰ τοῦτο καὶ, σα-
πρὸν λύχνον ἐποίησας, πρὸς τὴν ἐγκεχειρισμένην θεραπαινίδα
ἀεὶ λέγομεν· οὕτω λύχνου τὸ φωτίζειν ἐστίν. Οὐκοῦν καὶ
ὀφθαλμὸς, ἐάν τε τοιόσδε [g]ἐάν τε τοιόσδε ᾖ, οὐδέν ἐστιν, ἕως
ἂν [h]μετὰ πάσης αὐταρκείας τὴν χρείαν πληροῖ· ὥσπερ οὖν καὶ
σαπρὸς λέγεται, ἐὰν ἀμβλυωπῇ, καὶ τὴν σύνθεσιν μὴ ἔχῃ πᾶσαν E
ἀπηρτισμένην· καὶ γὰρ τοὺς [i]ἀνεῳγμένων τῶν ὀφθαλμῶν μὴ
βλέποντας σαπροὺς ἔχειν [k]ὀφθαλμούς φαμεν. Πᾶν γὰρ ὃ μὴ
τὴν [l]ἰδίαν χρείαν πληροῖ, σαπρὸν [m]λέγομεν· καὶ τοῦτο ὀφθαλ-
μοῦ κακία. [n]Τί δέ; ῥινὸς, εἰπέ μοι, ποία ἀρετή; ἆρα τὸ εὐ-
θεῖαν εἶναι, καὶ ἀπεξεσμένην ἑκατέρωθεν, καὶ τὴν ἀναλογίαν
σύμμετρον ἔχειν; ἢ τὸ πρὸς τὴν ὄσφρησιν ἐπιτηδείαν εἶναι,
καὶ δυναμένην ταχέως ἀντιλαμβάνεσθαι καὶ [o]παραπέμψαι τῷ
ἐγκεφάλῳ; Τοῦτο δὴ παντὶ [p]σαφές ἐστι· [q]καὶ γὰρ ὑποδεί-
γματι χρήσομαι. Εἰπὲ γάρ μοι, τοὺς ἅρπαγας, τὰ σκεύη, F
ποῖα φήσομεν κατεσκευάσθαι καλῶς, τὰ δυνάμενα ἁρπάζειν
μετὰ ἀκριβείας καὶ κατέχειν, ἢ τὰ διαπεπλασμένα [r]καλῶς;
Δῆλον ὅτι ἐκεῖνα. Τί δὲ ὀδόντας, ποίους [s]εἶναι φήσομεν κα- 573
λούς; τοὺς τμητικοὺς καὶ εὐκόλως διατέμνοντας τὴν [t]τροφὴν, ἢ
τοὺς καλῶς συγκειμένους; Δῆλον ὅτι ἐκείνους. Καὶ ὅλως ἐπὶ
παντὸς τοῦ σώματος τούτῳ προσάγοντες τῷ λόγῳ τὴν ζήτησιν,
εὑρήσομεν [v]πάντας τοὺς ὑγιεῖς καλοὺς, ἕως ἂν τὰ οἰκεῖα ἐνεργῇ
τῶν μελῶν ἕκαστον μετὰ ἀκριβείας. Οὕτω καὶ σκεῦος ἕκαστον
λέγομεν [w]καλὸν, καὶ ζῶον καὶ φυτὸν, οὐκ ἀπὸ τῆς διαπλάσεως,
οὐδ' ἀπὸ τοῦ χρώματος, ἀλλ' ἀπὸ τῆς διακονίας· [x]οὕτω καὶ
οἰκέτην καλοῦμεν καλὸν τὸν ἐπιτήδειον ἡμῖν πρὸς διακονίαν, οὐ
τὸν ὡραῖον καὶ βλᾶκα. Ὁρᾷς πῶς ἔστιν εἶναι καλήν; Ὅταν B
τοίνυν τῶν μεγίστων καὶ θαυμαστῶν ὁμοίως ἀπολαύωμεν, οὐδὲν

[d] μὲν] μέντοι L. [e] πάντες K. [f] γὰρ] + καὶ B. [g] ἐάν τε] ἢ B.K. καὶ Mor. Ben. invitis libris. [h] Sic C.I.K.L. τὴν χρ. μετὰ π. αὐτ. inverso ord. Edd. [i] ἀνεῳγμένους C.I.L. Veron. τῶν ὀφθ. om. C. Statim καὶ μὴ βλ. C.I.L. [k] τοὺς ὀφθ. L. [l] ἰδίαν] οἰκείαν L. [m] λέγεται· τοῦτο δὲ ὀ. κ. B.K. [n] τί δέ;] τῆς δὲ B.K. Sav. cet. [o] παραπέμπειν B. παραπέμψαι τῷ ἐγκ. καὶ ταχ. ἀντιλαμβάνεσθαι inverso ord. C.I.L. Veron. [p] σαφὲς] που δῆλον B.K. Sav. cet. [q] καὶ—χρήσομαι] φέρε δὴ, καὶ ἐπὶ ὑποδείγματι τὸ πρᾶγμα προσεξετάσωμεν iidem. Statim Τὰς ἅρπαγας, τὰ σκεύη, εἰπέ μοι, ποῖα B.K. [r] καλῶς] μόνον καλῶς B.K. [s] φήσομεν εἶναι hoc ord. K.L. [t] τροφὴν] + καὶ καλῶς καταλεαίνοντας B.K. [v] πάντας—καλοὺς (καλῶς C.I.L.)] πάντα τὰ ὑγιῆ καὶ καλὰ Sav. cet. invitis nostris omnibus. Statim ἕως ἂν ἐνεργῇ μετὰ ἀ. τὰ οἰ. τῶν μ. ἕκαστον hoc ord. Edd. repugnantibus libris. [w] καλῶς C.I.L. Veron. [x] οὕτω καὶ] οὕτως K. καλοῦμεν om. L.

πλεονεκτούμεθα. Οἷόν τι λέγω· τὸν κόσμον τοῦτον ὁμοίως ὁρῶμεν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς ἀστέρας, τὸν ἀέρα [y]ὁμοίως ἕλκομεν, τοῦ ὕδατος, [z]τῆς τροφῆς ὁμοίως μετέχομεν, ἄν τε εὔμορφοι ὦμεν, ἄν τε μή. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τῶν εὐμόρφων αἱ μὴ τοιαῦται μᾶλλον ὑγιεινότεραι. Ἐκεῖναι μὲν γὰρ ὡς δὴ τὴν ὥραν διαφυλάττουσαι, καμάτοις ἑαυτὰς οὐ διδόασιν, ἀλλ' ἀργίᾳ καὶ σκιατροφίᾳ, ὑφ' ὧν μάλιστα αἱ τῶν
C μελῶν ἐνέργειαι ἀμβλύτεραι γίνονται· αὗται δὲ ἁπλῶς καὶ [a]ἄδην, ἅτε οὐδεμίαν περὶ ταῦτα ἔχουσαι τὴν σπουδὴν, ἐκεῖ τὸ πᾶν ἀναλίσκουσι. "Δοξάσωμεν τοίνυν τὸν θεὸν, ἄρωμεν αὐτὸν ἐν τῷ σώματι ἡμῶν," μὴ καλλωπιζώμεθα· περιττὴ αὕτη ἡ σπουδὴ καὶ ἀνόνητος. Μὴ παιδεύωμεν τοὺς ἄνδρας [b]μόνας ὄψεις φιλεῖν· ἂν γὰρ ᾖς οὕτω κοσμουμένη, ταχέως ὑπὸ τῆς ἡταιρηκυίας, [c]μελετήσας ἐν τῇ ὄψει τῇ σῇ, ἁλίσκεται· ἂν μέν-
D τοι διδάξῃς αὐτὸν τρόπους φιλεῖν καὶ κοσμιότητα, οὐ ταχέως (268)
πορνεύσει· οὐδὲ γὰρ εὑρίσκει ταῦτα παρὰ τῇ πόρνῃ, ἀλλὰ τὰ τούτοις ἐναντία. [d]Μὴ διδάξῃς αὐτὸν ὑπὸ γέλωτος ἁλίσκεσθαι, μηδὲ ὑπὸ σχήματος ἐκκεχυμένου, ἵνα μὴ κατὰ σαυτῆς ἀρτύσῃς τὰ φάρμακα· παίδευε αὐτὸν κοσμιότητι χαίρειν· δυνήσῃ δὲ τοῦτο, ὅταν καὶ τὸ σχῆμα τοιοῦτον ᾖ· ἐπεὶ ἐὰν [e]ἀνεπτερωμένη καὶ ἄσωτος [f]ᾖς, πῶς δυνήσῃ [g]προενεγκεῖν ῥῆμα σεμνόν; τίς δέ σε οὐ [h]γελάσεται καὶ χλευάσει; Πῶς δὲ ἔστι καὶ ἐν τῷ [i]πνεύματι ἆραι τὸν θεόν; Ἀρετὴν ἀσκοῦντα, τὴν ψυχὴν καλλωπί-
E ζοντα· καὶ γὰρ [k]οὐδὲ τοῦτο κεκώλυται. Οὕτω [l]δοξάζομεν τὸν θεὸν, ὅταν πάντοθεν ὦμεν ἀγαθοὶ, [m]καὶ δοξαζόμεθα καὶ ἡμεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, [n]οὐχ ὁμοίως, ἀλλὰ πολλῷ μειζόνως. [13] "Λογίζομαι γὰρ, φησὶν, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς." Ἧς γένοιτο πάντας ἡμᾶς [o]μετασχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13 Rom. viii. 18.

[y] ὁμοίως] ἐπίσης B.K. [z] τὴν τροφὴν C.I. [a] ἄδην] Sic I. ἄδην B. ἄδδην C. Veron. Sav. ἄρδην K. Mor. Ben. καὶ ἄδην om. L. [b] μ. ὄψεις] ὄψεις μ. B.K. [c] μελετῆς C. μελέτης I.L. [d] μὴ] + τοίνυν B.K. Sav. cet. [e] ἀνεπτ.] Sic B.C.K. ἀναπτερωμένη I. Edebatur ἐπτερωμένη. [f] ᾖς] Sic B.C.(?).K. Ben. οὖσα I.L. ᾖς οὖσα Veron. Sav. Mor. [g] ἐνεγκεῖν K. προσενεγκεῖν L. (ut videtur) Mor. Ben. [h] γελάσεται καὶ χλευάσει] Sic B.K. γελάσεται καὶ γελάσει C.I.L. χλευάσεται καὶ γελάσει Edd. *rideat atque subsannet* Vet. [i] πνεύματι] σώματι B.K. receptum a Ben. Statim ἆραι omnes. Ante Ben. legebatur ἀρέσαι. *in spiritu portare* Vet. [k] οὐδὲ τοῦτο] ἐπ' αὐτὴν (αὐτῆς ex corr. B.) τοῦτο οὐ B.K. Sav. cet. [l] δοξάσωμεν I. [m] καὶ δ.] δ. δὲ B.K. [n] οὐχ] πλὴν οὐχ B. πλὴν ἀλλ' οὐχ K. [o] ἐπιτυχεῖν I.

ΛΟΓΟΣ Ε. 574

[1] Ταύτην τὴν παραγγελίαν [a] παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν.

ΤΟ τῆς διδασκαλίας καὶ [b] τῆς ἱερωσύνης ἀξίωμα μέγα ἐστὶ καὶ B
θαυμαστὸν, καὶ ὄντως τῆς τοῦ θεοῦ δεόμενον ψήφου, ὥστε τὸν
ἄξιον εἰς μέσον παραγαγεῖν. Οὕτω [c] τὸ παλαιὸν ἐγίνετο, οὕτω
καὶ νῦν [d] γίνεται, ὅταν χωρὶς πάθους ἀνθρωπίνου τὰς αἱρέσεις ποιώμεθα, ὅταν πρὸς μηδὲν ὁρῶντες βιωτικὸν, μὴ πρὸς φιλίαν, μὴ πρὸς
ἀπέχθειαν. Εἰ γὰρ [e] καὶ μὴ τοσούτου πνεύματος μετέχομεν,
[f] ἀρκεῖ πρόθεσις [g] ἀγαθὴ τοῦ θεοῦ τὴν χειροτονίαν ἐπισπάσασθαι.
Ἐπεὶ οὐδὲ οἱ ἀπόστολοι πνεύματος μετεῖχον, ὅτε τὸν Ματθίαν
ἐξελέξαντο, ἀλλ' εὐχῇ τὸ πρᾶγμα ἐπιτρέψαντες, ἐγκατέλεξαν C
αὐτὸν τῷ τῶν ἀποστόλων ἀριθμῷ· οὐ γὰρ πρὸς φιλίαν ἀνθρωπίνην ἑώρων. [h] Οὕτω δὴ καὶ ἐφ' ἡμῶν γίνεται· ὅταν δὲ τὰ δῆλα
παρορῶμεν, πῶς τὰ ἄδηλα ἡμῖν ὁ θεὸς ἐκκαλύψει; [2] "[i] Εἰ ἐν
τῷ μικρῷ, φησὶν, οὐκ ἐγένεσθε πιστοὶ, τὸ μέγα καὶ ἀληθινὸν
τίς ὑμῖν ἐγχειρίσει;" Τότε [k] δὲ, ἐπεὶ οὐδὲν ἀνθρώπινον ἐγίνετο,
καὶ ἀπὸ προφητείας ἐγίνοντο οἱ ἱερεῖς. [l] Τί ἐστιν, ἀπὸ προ- D
φητείας; Ἀπὸ πνεύματος ἁγίου. Προφητεία γάρ ἐστιν, οὐ
τὸ τὰ μέλλοντα λέγειν, ἀλλὰ καὶ τὸ τὰ παρόντα, ἐπεὶ καὶ ὁ
Σαοὺλ κατὰ προφητείαν ἐδείχθη ἐν τοῖς σκεύεσι κρυπτόμενος·
ὁ γὰρ θεὸς τοῖς δικαίοις ἀποκαλύπτει. Προφητεία ἦν καὶ τὸ
λέγειν, [3] " Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν·"
οὕτω καὶ ὁ Τιμόθεος [m] ᾑρέθη. Προφητείας δὲ ἐνταῦθά [n] φησι
τὰς πολλὰς, ἴσως ἐκείνην μεθ' ἧς αὐτὸν [o] ἔλαβεν, ὅτε περιέτεμε,
καὶ ὅτε ἐχειροτόνει, [p] καθὼς καὶ αὐτὸς γράφων φησί· [4] "Μὴ E
ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος." Διανιστὰς τοίνυν αὐτὸν, καὶ
νήφειν παρασκευάζων καὶ ἐγρηγορέναι, ἀναμιμνήσκει τοῦ ἑλομένου καὶ χειροτονήσαντος· ὡς ἂν εἰ ἔλεγεν· ὁ θεός [q] σε ἐξε-

[1] Cap. I. v. 18, 19. [2] Luc. xvi. 11. [3] Act. xiii. 2. [4] 1 Tim. iv. 14.

Hom. V. [a] παρατίθημι bis L. [b] τῆς] τὸ τῆς Edd. τὸ om. B. Cat. [c] τὸ] καὶ τὸ Edd. καὶ om. I.L. Cat. [d] γίνεται]+πῶς οὕτω φησίν; B.K. [e] καὶ om. C.I.L. [f] ἀρκεῖ] ἀλλ' ἀρκεῖ B.K. Sav. cet. [g] ἀγαθὴ]+ἂν προσῇ B.K. [h] οὕτω—γίνεται] οὕτως ἔδει καὶ νῦν ἐφ' ἡμῶν γίνεσθαι. ἀλλ' ἡμεῖς πρὸς ἔσχατον ῥαθυμίας ἐληλακότες, καὶ τὰ φανερὰ πρὸς ἀκρίβειαν προϊέμεθα B.K. Sav. cet. [i] εἰ om. C.I.L. [k] δὲ] δὴ I.L. et ante corr. C. [l] τί ἐστιν ἀπὸ πρ.] τουτέστιν L. et ante corr. C. τί ἐστιν I. [m] ηὑρέθη I. [n] φ. τὰς πολλὰς] φ. τὰς προαγούσας L. πληθυντικῶς εἶπεν B.K. [o] ἔλ. ὅτε πε.] πε. ὅτε ἔλ. L. [p] καθὰ C. [q] σε om. I.

λέξατο, αὐτός σοι ἐνεπίστευσεν, οὐκ ἀνθρωπίνῃ γέγονας ψήφῳ·
μὴ ὑβρίσῃς μηδὲ καταισχύνῃς τοῦ θεοῦ τὴν ψῆφον. Εἶτα
ἐπειδὴ παραγγελίαν ἔφησε, καὶ [r] φορτικώτερον ἦν, τί φησι;
"Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε."
F Ὡς τέκνῳ [s] καὶ γνησίῳ παραγγέλλει. Οὐ γὰρ αὐθεντικῶς οὐδὲ
δεσποτικῶς, [t] οὐ μετ' ἐξουσίας, ἀλλά, "τέκνον, φησὶ, Τιμόθεε."
Τὸ δὲ παραθέσθαι τῆς φυλακῆς τὸ ἀκριβὲς δηλοῖ, καὶ τὸ οὐχ
ἡμέτερον· οὐ γὰρ ἡμεῖς αὐτὸ ἐκτησάμεθα, ἀλλ' ὁ θεὸς ἡμῖν ἐχα-
ρίσατο, [v] καὶ πίστιν καὶ ἀγαθὴν συνείδησιν. Ἅπερ οὖν ἔδωκε,
ταῦτα [w] φυλάττωμεν. Εἰ μὴ αὐτὸς ἦλθεν, [x] οὔτε ἡ πίστις αὐτὴ
εὑρίσκετο, οὔτε ὁ βίος ὁ καθαρὸς, ὃν ἐκ παιδείας λαμβάνομεν.
Ὡς ἂν εἰ ἔλεγεν· οὐκ ἐγώ εἰμι ὁ παραγγέλλων, ἀλλ' ὁ [y] ἐλό- (269)
μενος· τὸ [z] μὲν γὰρ, "κατὰ τὰς [a] προαγούσας προφητείας,"
τοῦτό ἐστιν. Ἐκείνων ἄκουσον, ἐκείναις πείθου. Τί [b] δὲ πα-
ρήγγειλεν; "Ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν."
[c] Ἐκεῖναί σε εἵλοντο· εἰς ὃ εἵλοντό [d] σε, στρατεύου. "Τὴν
καλὴν στρατείαν." [e] Ἔστι γὰρ καὶ κακὴ στρατεία, περὶ ἧς
φησιν· [5] "Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν [f] ὅπλα τῇ
B ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ." Ἐκεῖνοι ὑπὸ [g] τυράννῳ στρα-
τεύονται, σὺ δὲ ὑπὸ βασιλεῖ. Διὰ τί δὲ καλεῖ στρατείαν τὸ
πρᾶγμα; Δηλῶν ὅτι πόλεμος [h] ἐγήγερται σφοδρὸς, πᾶσι μὲν,
μάλιστα δὲ τῷ διδασκάλῳ· ὅτι ὅπλων ἡμῖν ἰσχυρῶν δεῖ, ὅτι
νήψεως, ὅτι [i] ἐγρηγόρσεως, ὅτι διηνεκοῦς ἀγρυπνίας, ὅτι [k] πρὸς
αἷμα καὶ μάχας παρεσκευάσθαι ὀφείλομεν, ὅτι παρατάττεσθαι,
καὶ μηδὲν ἔχειν χαῦνον. "Ἵνα στρατεύῃ ἐν αὐταῖς," φησί.
Καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων οὐ πάντες εἰς ἓν εἶδος
στρατεύονται, ἀλλ' ἐν διαφόροις τάγμασιν· οὕτω καὶ ἐν τῇ
ἐκκλησίᾳ, ὁ μὲν εἰς διδασκάλου τάξιν, ὁ δὲ εἰς [l] μαθητοῦ, ὁ δὲ
C εἰς ἰδιώτου· [m] σὺ δὲ ἐν τούτῳ. Εἶτα, ἵνα μή [n] τις νομίσῃ ἀρκεῖν

5 Rom. vi. 19.

[r] φορτικώτερος L. φορ. ἦν, τί φ.] φορτικὸν ἐδόκει, λεαίνει τὸν λόγον, καὶ ἐπάγει εὐθὺς B.K. [s] καὶ om. B.K. [t] οὐ] οὐδὲ B.K.L. Sav. cet. Mox ἀλλὰ πατρικῶς, τέκνον B.K. Sav. cet. [v] καὶ] οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ B.K. Sav. cet. [w] φυλάττομεν C. Veron. [x] οὐδὲ I. Mox αὕτη C.L. Cat. [y] ἐρχόμενος C.I.L. Veron. invita Cat. *qui te elegit* Vet. [z] μὲν om. B.K. γὰρ om. L. [a] προαγ.] + ἐπὶ σὲ Edd. ἐπὶ σὲ om. C.I.L. [b] δὴ I.L. Cat. Statim παρήγγελλεν C. παραγγέλλει Cat. παραγγέλλεις, εἰπὲ B.K. Sav. cet. [c] ἐκεῖναι—στρατείαν om. C. inclusum a Sav. [d] σε om. B.K. [e] ἔστι γὰρ] καλὴν εἶπεν, ἐπειδή ἐστι B.K. καλὴν εἶπεν, ἔστι γὰρ Sav. cet. Statim καὶ om. C. Cat. Ben. [f] ὅπλα] δοῦλα L. [g] τυράννων I. Mox δὲ om. I. Cat. Veron. [h] ἐγείρεται B.K.L. et ex corr. C. invita Cat. [i] γρηγορήσεως B.C.I.L. [k] πρὸς αἷμα καὶ] ἀεὶ ὡς πρὸς B.K. Statim παρασκευάζεσθαι L. [l] μαθητοῦ] + τάττεται B.K. [m] σὺ δὲ ἐν τούτῳ] Sic Edd. *tu vero doctoris fungeris munere* Vet. ὁ δὲ ἐν τούτῳ C. ὁ δὲ οὐδὲ ἐν τούτῳ I. [σὺ δὲ ἐν τούτῳ] Sav. Haec desunt in B.K.L. [n] τις om. K.

τοῦτο, [o]τί φησιν; "[q]Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν."
Τὸν γὰρ διδάσκαλον [p]πρότερον ἑαυτοῦ χρὴ εἶναι διδάσκαλον.
Ὥσπερ γὰρ ὁ στρατηγὸς, ἐὰν μὴ πρότερον ᾖ στρατιώτης
ἄριστος, οὐδὲ στρατηγὸς ἔσται ποτὲ, οὕτω καὶ ὁ διδάσκων.
Τοῦτο καὶ ἀλλαχοῦ φησι· [6]"Μή πως ἄλλοις κηρύξας, αὐτὸς
ἀδόκιμος γένωμαι." "[q]Ἔχων, φησὶ, πίστιν καὶ ἀγαθὴν συνεί-
δησιν," [r]ἵνα οὕτω τῶν ἄλλων προΐστασαι. Ταῦτα ἀκούοντες,
μὴ [s]ἀπαξιώσωμεν τὰς τῶν μειζόνων παραινέσεις, κἂν διδάσκαλοι D
ὦμεν. Εἰ γὰρ Τιμόθεος, οὗ πάντες οὐκ ἐσμὲν ἀντάξιοι, δέχεται
παραγγελίας καὶ διδάσκεται, καὶ ταῦτα ἐν τάξει διδασκάλου
ὢν, πολλῷ μᾶλλον ἡμεῖς. "Ἥν τινες, [t]φησὶν, ἀπωσάμενοι,
περὶ τὴν πίστιν ἐναυάγησαν." Εἰκότως. Ὅταν γὰρ ᾖ βίος
ἀπεγνωσμένος, καὶ δόγμα τίκτεται τοιοῦτον· καὶ ἔστιν ἰδεῖν
πολλοὺς ἐκ τούτου [v]καταπεσόντας εἰς βυθὸν κακῶν, καὶ εἰς
Ἑλληνισμὸν ἐκτραπέντας. Ἵνα γὰρ μὴ τῷ φόβῳ τῶν μελλόν-
των βασανίζωνται, σπουδάζουσι πεῖσαι τὴν ψυχὴν, ὅτι ψευδῆ
πάντα τὰ παρ' ἡμῖν. [w]Καὶ πίστεώς τινες ἐκτρέπονται, οἱ E
λογισμοῖς τὸ πᾶν ζητοῦντες. Ναυάγιον γὰρ ἐργάζεται ὁ
λογισμὸς, καὶ ὥσπερ πλοῖον ἀσφαλές ἐστιν ἡ πίστις· τοὺς
ἐκτραπέντας τοίνυν ἐκεῖθεν ἀνάγκη ναυαγεῖν. [x]Καὶ δείκνυσι
τοῦτο ἀπὸ τοῦ ὑποδείγματος· [7]"Ὧν ἐστιν Ὑμέναιος, [y]φησὶ,
καὶ Ἀλέξανδρος·" καὶ ἀπὸ τούτων ἡμᾶς σωφρονίζει. Ὁρᾶτε
πῶς [z]ἐξ ἐκείνων τῶν χρόνων ἦσαν [a]οἱ παραδιδάσκοντες, οἱ πο-
λυπραγμονοῦντες, οἱ τῆς πίστεως ἀπεχόμενοι, οἱ ζητοῦντες λο- F
γισμοῖς οἰκείοις; Ὁ ναυαγῶν γυμνὸς καὶ πάντων ἐστὶν ἔρημος·
[b]οὕτως ὁ τῆς πίστεως ἐκπεσὼν οὐδὲν ἔχει λοιπὸν, [c]οὐχ ὅπου
στῇ, οὐχ ὅπου κατάσχῃ· οὐ βίον ἔχει, δι' οὗ [d]κερδαίνῃ τι ἐκεῖ-
θεν· τῆς γὰρ κεφαλῆς διεφθαρμένης, τί τοῦ λοιποῦ σώματος 576
ὄφελος; Εἰ γὰρ [e]πίστις βίου χωρὶς οὐδέν ἐστι, πολλῷ μᾶλλον
τοὐναντίον. Εἰ τῶν αὐτοῦ καταφρονεῖ ὁ θεὸς δι' ἡμᾶς, πολλῷ
μᾶλλον ἡμᾶς τῶν ἡμετέρων δι' αὐτὸν χρὴ καταφρονεῖν. Οὕτω
γάρ ἐστιν, ὅταν τις ἐκπέσῃ τῆς πίστεως· οὐδαμοῦ ἵσταται, ἀλλὰ
ἄλλην ἄλλως νήχεται, ἕως ἂν καταποντισθῇ πάλιν. "Οὓς παρ-
έδωκα, [f]φησὶ, τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν."

[6] 1 Cor. ix. 27. [7] v. 20.

[o] τί om. L. τί φησιν] ἐπήγαγε B.K. [p] πρῶτον I. [q] ἔχων] ὃ δὲ λέγει τοῦτό ἐστιν· ἔχε B.K. Statim φησὶ om. K. [r] ἵν' οὕτω δύνῃ καὶ τῶν ἄλλων προΐστασθαι B.K. [s] ἀπαξιῶμεν B.K. [t] φησὶν om. B.K. [v] καταπεσεῖν C.I. [w] καὶ om. B.K. Mox ἐκτρέπουν; (sic) I. [x] καὶ πῶς δείκνυσι τοῦτο καὶ ἀπὸ B.K. [y] φησὶ om. B.K. [z] ἐξ] ἀπ' I. [a] οἱ om. B. [b] οὕτως] οὕτω καὶ B.K. Sav. cet. [c] οὐχ ὅπου—ἔχει] οὐ κόπων ἀμοιβὰς ἐλπίζει· οὐ γὰρ ἔχει βίον ὀρθὸν L. [d] κερδαίνει C.L. Veron. [e] πίστις sine artic. C.I.L. [f] φησὶ om. B.K.

Ὁρᾷς ὅτι βλασφημία ἐστὶ τὸ λογισμοῖς ζητεῖν τὰ θεῖα; Εἰ-
κότως· τί γὰρ ἂν ἔχοι κοινὸν λογισμὸς ἀνθρώπινος πρὸς ἐκεῖνα;
B Πῶς δὲ ὁ Σατανᾶς αὐτοὺς παιδεύει μὴ βλασφημεῖν; [g]καὶ εἰ
τοὺς ἄλλους παιδεύει μὴ βλασφημεῖν, [h]πολλῷ μᾶλλον ἑαυτὸν
ἐχρῆν· εἰ δὲ ἑαυτὸν [i]μέχρι τοῦ νῦν οὐ δύναται παιδεῦσαι, οὐδὲ
τοὺς ἄλλους. Οὐκ εἶπεν, ἵνα παιδεύσῃ αὐτοὺς μὴ βλασφημεῖν,
[k]ἀλλ', "ἵνα παιδευθῶσι μὴ βλασφημεῖν." Οὐκ [l]ἐκεῖνος τοῦτο
ἐργάζεται, ἀλλὰ τοῦτο ἐκβαίνει· ὥσπερ οὖν καὶ ἀλλαχοῦ φησιν
ἐπὶ τοῦ πεπορνευκότος· [8]"[m]Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ
εἰς ὄλεθρον τῆς σαρκός·" οὐχ ἵνα σώσῃ τὸ [n]πνεῦμα, ἀλλ', "ἵνα
τὸ πνεῦμα σωθῇ·" τοῦτο δὲ ἀπρόσωπόν ἐστι. Πῶς οὖν τοῦτο
C γίνεται; [o]Ὥσπερ οἱ δήμιοι, μυρίων γέμοντες κακῶν, τοὺς ἄλ-
λους σωφρονίζουσιν, οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πονηροῦ δαίμο-
νος. Καὶ διὰ τί μὴ σὺ αὐτοὺς ἐκόλασας, ὥσπερ ἐκεῖνον τὸν
[p]Βαριησοῦν, ὥσπερ Κηφᾶς Ἀνανίαν, ἀλλὰ τῷ Σατανᾷ [q]παρέ- (270)
δωκας; Οὐχ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα παιδευθῶσι. Καίτοι
[r]οὗτος ἔχει ἰσχὺν, ὡς ὅταν λέγῃ· [9]"Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω
πρὸς ὑμᾶς;" [s]καὶ πάλιν· "Οὐχ ἵνα ἡμεῖς δόκιμοι ὦμεν, ἀλλ' ἵνα
ὑμεῖς τὸ καλὸν ποιῆτε·" καὶ πάλιν· "Οὐκ εἰς καθαίρεσιν, ἀλλ'
εἰς οἰκοδομήν." Τί οὖν τὸν Σατανᾶν [t]καλεῖς πρὸς τὴν [v]τιμω-
D ρίαν; Ἵνα μετὰ τῆς σφοδρότητος καὶ τῆς κολάσεως καὶ ἡ
[w]ὕβρις ᾖ μείζων· μᾶλλον δὲ τοὺς μὲν ἀπίστους αὐτοὶ ἐπαίδευον,
τοὺς δὲ ἐκτραπέντας τῷ Σατανᾷ παρεδίδουν. Τί δήποτε δὲ
[x]τοὺς ἀπίστους; Καὶ γὰρ ὁ Ἀνανίας ἄπιστος ἦν ἔτι πειράζων.
Ἵνα μάθωσι τοίνυν οἱ ἄπιστοι, ὅτι οὐ δύνανται λαθεῖν, διὰ
τοῦτο δι' ἑαυτῶν αὐτοὺς ἐτιμωροῦντο· τοὺς δὲ τοῦτο μαθόντας
λοιπὸν, εἶτα [y]ἐκτραπέντας, τῷ Σατανᾷ παρεδίδουν, [z]δεικνύντες
ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ αὐτῶν φυλακῇ συνείχοντο καὶ
E [a]περιεγίνοντο ὅσοι εἰς ἀπόνοιαν ἤρθησαν· καθάπερ [b]οὖν ἐπὶ
τῶν βασιλέων, τοὺς μὲν πολεμίους καὶ οἰκείαις [c]σφάττουσι

8 1 Cor. v. 5. 9 Ibid. iv. 21. 2 Cor. xiii. 7, 10.

g καὶ εἰ] Sic Veron. Cat. εἰ γὰρ B.K. Sav. cet. καὶ εἰ—βλασφημεῖν om. C.I.L. h πολλῷ] + οὖν L. Idem post ἐχρῆν add. παιδεύειν. i μέχρι τοῦ νῦν om. C. k ἀλλ' ἵνα—βλασφημεῖν om. C.I.L. l ἐκεῖνος] + γὰρ I. m παράδοτε] + γὰρ, φησὶ L. n πνεῦμα] Sic C. Cat. Vet. Edebatur σῶμα. Statim ἵνα τὸ πν. σωθῇ pro ἵνα σωθῇ τὸ πν. C. Cat. o ὥσπερ] + οὖν Edd. οὖν om. B.I.L. Cat. p βὰρ ἰησοὺς (sic) L. q παρέδωκεν L. παρέδωκες (?) C. r οὗτος] Sic Veron. οὕτως C.I.L. καὶ οὗτος B.K. Sav. cet. s καὶ πάλιν—ποιῆτε om. L. Cat. t καλεῖς B.I.K.L. Vet. καλεῖ Edd. v τιμωρίαν] + ναὶ, φησί· διὰ τί; B.K. w ὕβρις ᾖ] τιμωρία ᾖ, φησὶν L. x τοὺς ἀπίστους] τοὺς πίστους (sic?) C. Πέτρος τὸν Ἀνανίαν B.K. Sav. cet. Statim ὅτι ἄπ. pro καὶ γὰρ ὁ Ἀ. ἄπ. B.K. y ἐκτραπέντας] + τῆς εὐθείας ὁδοῦ L. z δεικνὺς C.L. a παρεδίδοντο B.K. Sav. cet. b οὖν] + καὶ B.K. οὖν eras. in C. c σφάττομεν ... ὑφ' ἡμᾶς ... παραδιδόαμεν C.L.

χερσὶ, τοὺς δὲ ὑφ' ἑαυτοὺς τοῖς δημίοις [d]παραδιδόασιν. [e]Δεί-
κνυσι δὲ, ὅτι διὰ τὴν τῶν ἀποστόλων φυλακὴν τοῦτο ἐγίνετο.
Ἄλλως δὲ οὐδὲ μικρὸν ἦν τὸ δύνασθαι ἐπιτάττειν τῷ διαβόλῳ·
[f]τοῦτο γὰρ δεικνύντος ἦν, ὅτι δουλεύει καὶ [g]εἴκει καὶ ἄκων τοῖς
ἀποστόλοις ὁ διάβολος. Ὥστε οὐκ [h]ἔλαττον τοῦτο ἦν. Πῶς
δὲ παρέδωκεν, ἄκουσον. "Συναχθέντων ὑμῶν, φησὶ, καὶ τοῦ
ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, F
παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ." [i]Ἐξεβάλλετο τοῦ κοινοῦ
συνεδρίου, ἀπεσχίζετο τῆς ἀγέλης, ἐγίνετο ἔρημος καὶ γυμνὸς,
παρεδίδοτο τῷ λύκῳ. Ὥσπερ γὰρ ἡ νεφέλη τὸ στρατόπεδον
τῶν Ἑβραίων, οὕτω τὴν ἐκκλησίαν τὸ πνεῦμα ἐγνώριζεν. Εἴ 577
τις τοίνυν ἐκτὸς ἐγίνετο, κατεκαίετο· ἐγίνετο δὲ ἐκτὸς τῇ κρίσει
τῶν ἀποστόλων. Οὕτω καὶ ὁ κύριος παρέδωκε τὸν Ἰούδαν τῷ
Σατανᾷ· εὐθέως γὰρ μετὰ τὸ ψωμίον [k]εἰσῆλθεν εἰς ἐκεῖνον ὁ
Σατανᾶς. Ἔστι [l]δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι οὓς μὲν διορθώσασθαι
ἐβούλοντο, οὐκ ἐκόλαζον αὐτοί· τοὺς δὲ ἀδιορθώτους αὐτοὶ ἐτι-
μωροῦντο· ἢ εἰ μὴ τοῦτο, [m]ὅτι φοβερώτεροι μᾶλλον ἦσαν, ἑτέ-
ροις ἐκδιδόντες αὐτούς. Οὕτω καὶ ὁ Ἰὼβ παρεδόθη τῷ Σατανᾷ·
ἀλλ' ἐκεῖνος [n]οὐχ ὑπὲρ ἁμαρτημάτων, ἀλλ' ὑπὲρ πλείονος εὐ- B
δοκιμήσεως.

[o]Πολλὰ τοιαῦτα γίνεται καὶ νῦν. Ἐπειδὴ γὰρ οἱ ἱερεῖς οὐ
[p]πάντας ἴσασι τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίως τῶν μυστηρίων
μετέχοντας, ὁ θεὸς πολλάκις τοῦτο ποιεῖ, καὶ παραδίδωσιν αὐ-
τοὺς τῷ Σατανᾷ. Ὅταν γὰρ νόσοι, ὅταν ἐπιβουλαὶ, ὅταν πένθη
καὶ συμφοραὶ [q]συμβαίνωσιν, ὅταν ἄλλα τινὰ τοιαῦτα, διὰ τοῦτο
γίνεται. Καὶ τοῦτο ὁ Παῦλός [r]φησιν, οὕτω λέγων· [10]"Διὰ
τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται
ἱκανοί." Καὶ πῶς, [s]φησὶν, ὅταν ἅπαξ δι' ἐνιαυτοῦ προσερχώ-
μεθα; Τοῦτο γὰρ [t]τὸ δεινὸν, ὅτι οὐ καθαρότητι διανοίας, C
[v]ἀλλὰ διαστήματι χρόνου τὴν ἀξίαν διορίζεις τῆς προσόδου·
καὶ τοῦτο εὐλάβειαν εἶναι νομίζεις, τὸ μὴ πολλάκις προσελθεῖν,
οὐκ εἰδὼς ὅτι τὸ ἀναξίως προσελθεῖν, κἂν ἅπαξ [w]γένηται, ἐκη-
λίδωσε· τὸ δὲ ἀξίως, κἂν πολλάκις, ἔσωσεν. Οὐκ ἔστι τόλμα

10 1 Cor. xi. 30.

[d] παραδ.] + οὕτω καὶ οὗτοι B.K. + οὕτω καὶ ἐνταῦθα Edd. [e] δείκνυσι δὲ] Sic Veron. δεικνὺς δὲ C.I.L. δείκνυται δὲ ἀπὸ τούτου B.K. Sav. cet. [f] τούτῳ B.K. [g] ἥκει I.L. [h] ἔλαττον] + εἰς χάριν B.K. Sav. cet. [i] ἐξεβάλλετο] + οὖν εὐθέως B.K. Sav. cet. [k] εἰσῆλθε] + φησὶν L. [l] δὲ] μὲν οὖν L. [m] ὅτι om. K. [n] ὑπὲρ πλ. εὐδ. οὐχ ὑπὲρ ἁμ. hoc ord. (om. ἀλλ') L. [o] ΗΘΙΚΟΝ. Κατὰ τῶν σπανίως προσιόντων τοῖς ἁγίοις μυστηρίοις. Veron. [p] πάντες C.I.L. πάντας om. Cat. Vet. [q] συμβαίνουσαι I. [r] φησιν] δηλοῖ B.K. Sav. cet. οὕτω om. K. [s] φησὶν] + ἔνι B.K. τοῦ pro δι' K. [t] τὸ om. L. [v] ἀλλὰ] + καὶ K. [w] προσγένηται K.

τὸ πολλάκις προσιέναι, ἀλλὰ τὸ ἀναξίως, κἂν ἅπαξ τις τοῦ
παντὸς χρόνου προσέλθῃ. Ἡμεῖς δὲ οὕτως ἀνοήτως διακείμεθα
καὶ ἀθλίως, ὅτι μυρία διὰ παντὸς ἐργαζόμενοι τοῦ ἐνιαυτοῦ
D κακὰ, τοῦ μὲν ἀποδύσασθαι ἐκεῖνα οὐδεμίαν ποιούμεθα φρον-
τίδα, νομίζομεν δὲ [x] ἡμῖν ἀρκεῖν τὸ μὴ συνεχῶς κατατολμᾶν καὶ
ἐπιπηδᾶν ὑβριστικῶς τῷ σώματι τοῦ Χριστοῦ, οὐκ ἐννοοῦντες
[y] ὅτι οἱ τὸν Χριστὸν σταυρώσαντες ἅπαξ ἐσταύρωσαν· ἆρ' οὖν,
ἐπειδὴ ἅπαξ, ἔλαττον τὸ ἁμάρτημα; Καὶ [z] ὁ Ἰούδας δὲ ἅπαξ
προέδωκε· τί οὖν; τοῦτο αὐτὸν ἐξείλετο; Διὰ τί [a] γὰρ χρόνῳ
τὸ πρᾶγμα μετερχόμεθα; χρόνος προσόδου ἔστω ἡμῖν τὸ κα-
θαρὸν συνειδός. Οὐδὲν πλέον ἔχει τὸ ἐν τῷ πάσχα μυστήριον
τοῦ νῦν τελουμένου· ἕν ἐστι καὶ τὸ αὐτὸ, ἡ αὐτὴ τοῦ πνεύματος
E χάρις, ἀεὶ πάσχα ἐστίν· ἴστε, οἱ μύσται, τὸ εἰρημένον· καὶ ἐν
παρασκευῇ, καὶ ἐν σαββάτῳ, καὶ ἐν κυριακῇ, καὶ ἐν ἡμέρᾳ μαρ-
τύρων ἡ αὐτὴ θυσία ἐπιτελεῖται. [11] "Ὁσάκις γὰρ ἂν ἐσθίητε
τὸν [b] ἄρτον τοῦτον, [c] ἢ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον (271)
τοῦ κυρίου καταγγέλλετε." Οὐχ ὅρῳ καιροῦ περιέγραψε τὴν
θυσίαν. Πῶς οὖν τότε, φησὶ, πάσχα λέγεται; Ὅτι τότε ἔπαθεν
ὁ Χριστὸς ὑπὲρ ἡμῶν. [d] Μηδεὶς τοίνυν ἑτέρως ἐκείνῳ προσίτω,
καὶ τούτῳ [e] ἄλλως· μία δύναμίς ἐστι, μία ἀξία, μία χάρις, ἓν
σῶμα καὶ τὸ αὐτὸ, οὐκ ἐκεῖνο τούτου ἁγιώτερον, οὐδὲ τοῦτο
F ἐκείνου ἔλαττον. Καὶ τοῦτο [f] καὶ ὑμεῖς ἴστε, οὐδὲν καινότερον
ὁρῶντες, πλὴν τῶν κοσμικῶν τούτων παραπετασμάτων [g] καὶ τοῦ
λαμπροῦ πλήθους. Ἔχουσι δέ τι πλέον αἱ ἡμέραι ἐκεῖναι τοῦτο,
578 ὅτι ἀπ' αὐτῶν ἀρχὴν ἔλαβεν ἡ σωτήριος ἡμῶν ἡμέρα, ὅτι ἐν
αὐτῇ ἐτύθη [h] ὁ Χριστὸς, λοιπὸν δὲ κατὰ τὰ μυστήρια οὐδεμίαν
προτέρησιν ἔχουσι. [i] Καὶ τροφῇ μὲν προσβάλλων, [k] εἰπέ μοι,
αἰσθητῇ, [l] νίπτῃ τὸ στόμα; τροφῇ δὲ μέλλων προσιέναι πνευ-
ματικῇ, οὐ [m] νίπτῃ τὴν ψυχὴν, ἀλλὰ γέμων ἀκαθαρσίας [n] προσ-
έρχῃ; [o] Οὐκ ἀρκοῦσι, φησὶν, αἱ τῶν τεσσαράκοντα ἡμερῶν νη-
στεῖαι τὸν πολὺν [p] φορυτὸν καθᾶραι τῶν ἁμαρτημάτων; [q] Τί
τὸ ὄφελος, εἰπέ μοι; [r] ὅταν τις μύρον ἀποθέσθαι θέλων [s] καθάρῃ

[11] 1 Cor. xi. 26.

[x] ἡμῖν accessit ex omnibus. [y] ὅτι] + καὶ B.K. Sav. cet. [z] ὁ et δὲ om. L. Mox ἐξείλατο I. [a] γὰρ] δὲ καὶ B.K. [b] ἄρτον] + φησὶ B.K. Sav. cet. [c] ἢ] καὶ I. [d] μηδεὶς] μὴ K. [e] ἄλλως· μία] ἀλλ' ὡς μία L. ἄλλως μία C. [f] καὶ om. K. [g] καὶ om. C.I. Veron. [h] ὁ om. C.I.L. [i] καὶ τρ. μὲν] σκόπει δέ· τροφῇ B.K. Statim προσβαλὼν C.I.L. Veron. [k] εἰπέ μοι om. B.K. Sav. cet. [l] νίπτῃ] Sic C. νίπτει I. νίπτεις Edd. Post νίπτεις add. τὰς χεῖρας, πλύνεις B.K. Sav. cet. [m] νίπτῃ C.L. νίπτει I. νίπτεις Edd. [n] προσέρχῃ] Sic L. Edd. προσίεις I. προσίῃς B.K. προΐῃς C. [o] οὐκ ἀρκοῦσι, φ.] καὶ τί, φησίν; οὐκ ἀρκοῦσι B.K. Sav. cet. [p] φόρτον I. [q] τί] καὶ τί B.K. Sav. cet. Mox εἰπὲ γάρ μοι B. [r] ὅταν] ἂν B.K. Sav. cet. [s] καθάρῃ τὸν τ.] τὸν τ. ἐκκαθάρῃ L.

τὸν τόπον, εἶτα πάλιν μικρὸν μετὰ τὸ ἐμβαλεῖν [t]καὶ κόπρον
ἐπιβάλῃ, οὐκ ἀπέπτη ἡ εὐωδία; Τοῦτο [v]γίνεται καὶ ἡμῖν· ἐγε- B
νόμεθα ἄξιοι προσερχόμενοι κατὰ δύναμιν [w]ἡμετέραν· εἶτα πά-
λιν μολύνομεν [x]ἑαυτούς. Τοῦτο καὶ περὶ τῶν δυναμένων ἐν ταῖς
τεσσαράκοντα ἡμέραις ἀπονίπτεσθαί φαμεν. Μὴ δὴ ἀμελῶμεν
τῆς [y]ἡμετέρας σωτηρίας, [z]παρακαλῶ· [12] "Ἄνθρωπος γάρ, φησίν,
ἀποστρέφων ἀπὸ ἁμαρτίας αὐτοῦ, καὶ πάλιν πορευόμενος καὶ
τὰ αὐτὰ ποιῶν, ὥσπερ κύων ἐστὶν ἐπὶ τὸν ἴδιον ἔμετον ἐπι-
στρέφων·" [a]ἵνα μὴ γένηται κενὸς ὁ κόπος ἡμῶν. Οὕτω γὰρ
δυνησόμεθα τῶν βραβείων ἀξιωθῆναι ἐκείνων· ὧν γένοιτο πάντας
ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ C
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ S.

[1] Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς,
[a]ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασι- D
λέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, [b]ἵνα ἤρεμον καὶ
ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.
Τοῦτο γὰρ καλὸν καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν
θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν
ἀληθείας ἐλθεῖν.

ὭΣΠΕΡ κοινός τις ἐστὶ πατὴρ τῆς οἰκουμένης [c]ἁπάσης ὁ
ἱερεύς. Πάντων τοίνυν ἄξιον [d]αὐτὸν κήδεσθαι, καθάπερ καὶ ὁ E
θεός, [e]ᾧ ἱερᾶται. Διὰ τοῦτό φησι, "Παρακαλῶ οὖν πρῶτον
[f]πάντων ποιεῖσθαι δεήσεις, προσευχάς." Δύο γὰρ ἐντεῦθεν
γίνεται τὰ ἀγαθά, τό τε ἔχθος ὃ πρὸς τοὺς ἔξω ἔχομεν κατα-
λύεται· οὐδεὶς γὰρ πρὸς τοῦτον ἀπεχθῶς ἔχειν δυνήσεται, ὑπὲρ
οὗ δεήσεις ποιεῖται· αὐτοί τε ἐκεῖνοι βελτίους γίνονται, τῷ τε
εὐχὰς ὑπὲρ αὐτῶν γίνεσθαι, τῷ τε μὴ ἐκθηριοῦσθαι πρὸς ἡμᾶς.
Οὐδὲν γὰρ οὕτω πρὸς διδασκαλίαν ἐπαγωγόν, ὡς τὸ φιλεῖν καὶ F
φιλεῖσθαι. Ἐννόησον [g]δὲ ὅσον ἦν ἀκούειν τοὺς ἐπιβουλεύοντας,

12 Sirac. xxxiv. (xxxi.) 26. Prov. xxvi. 11. 1 Cap. II. v. 1—4.

t καὶ] + ῥύπον ἢ C. Mox ἀπέστη idem. v γίνεται] συμβαίνει B.K. Mox γινόμεθα iidem. w τὴν ἡμ. Edd. Articulus abest ab omnibus. x ἑαυτοὺς] + τί οὖν τὸ κέρδος; B.K. Sav. cet. y ἡμετέρας] ἑαυτῶν I. z παρακαλῶ] + ἵνα μὴ γένηται (+ μηδὲ B.K.) κενὸς ὁ κόπος ἡμῶν B.K. Sav. cet. a ἵνα μ. γ. κενὸς ὁ κ. ἡμῶν (ὁ κ. ἡμῶν κενὸς Veron.) οὕτω γὰρ] ἂν οὕτω ποιῶμεν καὶ οὕτω προσέχωμεν B.K. Sav. cet. Hom. VI. a ἐντεύξεις om. B.K. b ἵνα] + ἐν τῇ γαλήνῃ αὐτῶν K. c ἁπάσης om. L. Cat. d αὐτοῦ B.K. e ᾧ om. I.L. invita Cat. f ἁπάντων C. g δὲ om. B.K.

τοὺς μαστίζοντας, τοὺς ἐλαύνοντας, τοὺς ἀποκτιννύντας, ὅτι οἱ
τὰ τοιαῦτα πάσχοντες ὑπὲρ τῶν [h]ταῦτα δρώντων προσευχὰς
579 πρὸς τὸν θεὸν ποιοῦνται ἐκτενεῖς. Ὁρᾷς πῶς ἀνώτερον [i]εἶναι
βούλεται τὸν Χριστιανὸν πάντων; Καθάπερ γὰρ ἐπὶ τῶν παίδων
τῶν νηπίων, κἂν βασταζόμενον τὸ παιδίον τύπτῃ τοῦ πατρὸς
[k]τὴν ὄψιν, οὐδὲν ὑποτέμνεται τῆς φιλοστοργίας· οὕτω κἂν
τυπτώμεθα παρὰ τῶν ἔξωθεν, οὐδὲν ὀφείλομεν ἐλαττοῦν [l]τῆς
εὐνοίας τῆς πρὸς αὐτούς. Τί δέ ἐστι [m]τὸ, "πρῶτον πάντων;"
Τουτέστιν, ἐν τῇ λατρείᾳ τῇ καθημερινῇ. Καὶ τοῦτο ἴσασιν
οἱ μύσται πῶς καθ' ἑκάστην ἡμέραν γίνεται, καὶ ἐν ἑσπέρᾳ καὶ
B [n]ἐν πρωΐᾳ· πῶς ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ βασιλέων, καὶ πάν-
των τῶν ἐν ὑπεροχῇ ὄντων ποιούμεθα τὴν δέησιν. Ἀλλ' ἴσως
ἐρεῖ τις, [o]ὅτι, "ὑπὲρ ἁπάντων," οὐ πάντων εἶπεν, [p]ἀλλὰ τῶν (272)
πιστῶν. Τί οὖν ὅταν λέγῃ, "ὑπὲρ βασιλέων;" οὐ γὰρ δὴ τότε
θεοσεβεῖς ἦσαν [q]βασιλεῖς, ἀλλὰ μέχρι πολλοῦ προῆλθον, [r]ἀσε-
βεῖς ἀσεβεῖς διαδεχόμενοι. Εἶτα, ἵνα μὴ κολακεία τὸ πρᾶγμα
ᾖ, προλαβὼν εἶπεν, "ὑπὲρ πάντων," καὶ τότε, "ὑπὲρ βασι-
λέων." Εἰ [s]γὰρ ὑπὲρ βασιλέων μόνων, ἴσως ἄν τις τοῦτο
ὑπέλαβεν. Εἶτα, ἐπειδὴ εἰκὸς ἦν τὴν τοῦ Χριστιανοῦ ψυχὴν
C ναρκᾶν ταῦτα ἀκούουσαν, καὶ μὴ προσίεσθαι τὴν παραίνεσιν,
εἴγε ὑπὲρ τοῦ Ἕλληνος ἐν τῷ τῶν μυστηρίων [t]καιρῷ δεῖ δεήσεις
προσφέρειν, ὅρα τί φησι, [v]πῶς τίθησι τὸ κέρδος, ἵνα κἂν οὕτω
[w]δέξῃ τὴν παραίνεσιν. "Ἵνα ἤρεμον, [x]φησὶ, καὶ ἡσύχιον βίον
διάγωμεν." Τουτέστιν, ἡ ἐκείνων σωτηρία ἡμῶν ἀμεριμνία ὑπάρ-
χει· ὥσπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους [y]ἐπιστολῇ, προτρέπων
αὐτοὺς πείθεσθαι τοῖς ἄρχουσι, φησίν· [2] "Εἰ μὴ διὰ τὴν ἀνάγ-
κην, ἀλλὰ διὰ τὴν συνείδησιν." Ὁ γὰρ θεὸς εἰς τὸ κοινῇ χρή-
D σιμον τὰς ἀρχὰς διετάξατο. Πῶς οὖν οὐκ ἄτοπον αὐτοὺς μὲν
ὑπὲρ τούτου στρατεύεσθαι, καὶ τὰ ὅπλα τίθεσθαι, [z]ἵνα ἡμεῖς ἐν
ἀδείᾳ ὦμεν· ἡμᾶς δὲ μηδὲ ὑπὲρ τῶν κινδυνευόντων καὶ στρατευο-
μένων ποιεῖσθαι δεήσεις; Ὥστε οὐ κολακεία ἐστὶ τὸ πρᾶγμα,

2 Rom. xiii. 5.

[h] ταῦτα] τὰ τοιαῦτα K. Sav. cet. [i] εἶναι β.] β. εἶναι I.K. εἶναι om. L. post πάντων transp. C. [k] τὴν ὄψιν] τὸ πρόσωπον L. [l] τῆς πρὸς αὐτοὺς εὐνοίας C. [m] τὸ om. B. Mox ἁπάντων C.I.L. Cat. τί δὲ—πάντων; om. K. [n] ἐν om. I.L. Veron. Statim πρωῒ I. [o] ὅτι ὑπὲρ ἁπάντων (πάντων C.)—εἶπεν] Sic C. Cat. ὅτι ὑπὲρ ἁπάντων εἶπεν I. ὅτι οὐχ ὑπὲρ ἁπ. εἶπεν L. ὅτι οὐχ ὑπὲρ πάντων λέγει B.K. ὅτι οὐχ ὑπὲρ π. εἶπεν Edd. [p] ἀλλὰ] ἀλλὰ μόνον B.K. ἀλλ' ὑπὲρ Edd. reclamantibus libris et Cat. [q] οἱ βασ. C. Mox διῆλθον I. Cat. [r] ἀσ. διαδ. ἀσ. hoc ord. B.K. ἀσεβεῖς alterum om. C.I.L. Cat. [s] γὰρ]+εἶπεν B.K. Sav. cet. Mox μόνον B.K. [t] καιρῷ δεῖ] Sic K. Cat. δεῖ καιρῷ Edd. δεῖ om. C.I.L. qui mox προσφέρει legunt. [v] πῶς] καὶ πῶς B.K. Sav. cet. [w] δέξωνται L. [x] φησὶ om. K. [y] ἐπιστολῇ om. K. [z] ἵνα C.I.K. Veron. ἵν' Sav. cet.

ἀλλὰ κατὰ τὸν τοῦ δικαίου [a] γίνεται λόγον. Εἰ γὰρ μὴ ἐσώ-
ζοντο, μηδὲ εὐδοκίμουν ἐν τοῖς πολέμοις, ἀνάγκη καὶ τὰ ἡμέτερα
ἐν ταραχαῖς εἶναι καὶ θορύβοις· ἢ γὰρ καὶ αὐτοὺς ἡμᾶς στρα-
τεύεσθαι ἔδει, κατακοπέντων ἐκείνων, ἢ φεύγειν πανταχοῦ καὶ E
πλανᾶσθαι. Καθάπερ γὰρ πρόβολοί τινές εἰσι, [b] φησὶ, προ-
βεβλημένοι, καὶ τοὺς ἔνδον ἐν εἰρήνῃ φυλάττοντες. "Δεήσεις,
φησὶ, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας." Δεῖ γὰρ εὐχαριστεῖν
τῷ θεῷ καὶ ὑπὲρ τῶν εἰς ἄλλους γενομένων ἀγαθῶν, οἷον ὅτι
τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, ὅτι βρέχει ἐπὶ
δικαίους καὶ ἀδίκους. Ὁρᾷς ὅτι οὐ μόνον διὰ τῆς εὐχῆς, ἀλλὰ
καὶ διὰ τῆς εὐχαριστίας ἑνοῖ καὶ συγκολλᾷ ἡμᾶς; Ὁ γὰρ ἀναγ-
καζόμενος εὐχαριστεῖν τῷ θεῷ ὑπὲρ τῶν τοῦ πέλας ἀγαθῶν, F
ἀναγκάζεται καὶ φιλεῖν αὐτὸν, καὶ οἰκείως πρὸς αὐτὸν διακεῖ-
σθαι. Εἰ δὲ ὑπὲρ τῶν τοῦ πέλας εὐχαριστεῖν δεῖ, πολλῷ μᾶλ-
λον ὑπὲρ τῶν εἰς ἡμᾶς [c] καὶ τῶν λάθρα γινομένων, καὶ ἑκόντων 580
καὶ ἀκόντων, καὶ ὑπὲρ τῶν δοκούντων εἶναι λυπηρῶν· καὶ γὰρ
πρὸς τὸ ἀγαθὸν ὁ θεὸς ἡμῖν ἅπαντα οἰκονομεῖ.

[d] Πᾶσα τοίνυν ἡμῖν εὐχὴ εὐχαριστίαν ἐχέτω. Εἰ δὲ [e] καὶ
ὑπερεύχεσθαι τῶν πέλας οὐχὶ πιστῶν μόνον, ἀλλὰ καὶ ἀπίστων
προσταττόμεθα, ἐννόησον ὅσον ἐστὶ κακὸν κατεύχεσθαι τῶν
ἀδελφῶν. Τί λέγεις; ἐκεῖνός σε ὑπὲρ ἐχθρῶν ἐκέλευσεν εὔχε-
σθαι, σὺ δὲ τοῦ ἀδελφοῦ κατεύχῃ; Οὐκ ἐκείνου κατεύχῃ, ἀλλὰ
σαυτοῦ· τὸν γὰρ θεὸν παροξύνεις, ἐκεῖνα τὰ ἀνόσια φθεγγό-
μενος ῥήματα· οὕτω δεῖξον αὐτῷ, οὕτω ποίησον αὐτῷ, [f] βάλε
αὐτὸν, ἀνταπόδος αὐτῷ. Πόῤῥω ταῦτα τῶν [g] τοῦ Χριστοῦ B
μαθητῶν, [h] τῶν ἐπιεικῶν καὶ προσηνῶν, τοῦ στόματος τοῦ ἠξιω-
μένου τοιαύτης μυσταγωγίας. Μηδὲν πικρὸν ἐκβαλλέτω, μηδὲν
ἀηδὲς, ἡ τῷ θείῳ σώματι προσομιλοῦσα γλῶσσα· καθαρὰν αὐ-
τὴν φυλάττωμεν, μὴ ἀρὰς προσφέρωμεν δι' αὐτῆς. Εἰ γὰρ
λοίδοροι οὐ κληρονομήσουσι βασιλείαν, πολλῷ μᾶλλον οἱ κα-
τευχόμενοι· ἀνάγκη [i] γὰρ καὶ ὑβρίζειν τὸν κατευχόμενον· ὕβρις
[k] δὲ καὶ εὐχὴ ἀλλήλων ἀπεσχοίνισται· ἀρὰ καὶ εὐχὴ πολὺ τὸ
μέσον ἔχει· κατηγορία καὶ εὐχὴ [l] πολὺ τὸ μέσον ἔχουσι. Προσ- C
εύχῃ τὸν θεὸν [m] ἵλεων ποιῆσαι, καὶ ἑτέρου κατεύχῃ; Ἐὰν μὴ
ἀφῇς, οὐκ ἀφεθήσεταί [n] σοι· καὶ [o] οὐ μόνον αὐτὸς οὐκ ἀφίῃς,

[a] γίνεται om. K. [b] φησὶ om. B.K. φησὶν, εἰσὶ inverso ord. L. [c] καὶ τῶν λάθρα om. B.K. inclusum a Sav. Statim γενομένων K. [d] ΗΘΙΚΟΝ. Περὶ τοῦ μὴ ἀρᾶσθαι καὶ κατεύχεσθαι τῶν ἐχθρῶν, ἀλλὰ μᾶλλον ὑπερεύχεσθαι· τούτῳ γὰρ ἑαυτούς τε εὐεργετοῦμεν, καὶ θεὸν μιμούμεθα. Veron. [e] καὶ om. K. [f] βάλε] βασιλέα L. [g] τοῦ om. I.L. [h] τῶν om. L. [i] γὰρ] δὲ B.K. [k] δὲ om. iidem. ἀλλήλων ἀπ. ἀρὰ καὶ εὐχὴ om. L. [l] πολὺ τὸ μ.] οὐκ ὀλίγον τὸ διάφορον B.K. [m] ἵλεω C.I.L. [n] σοι] + φησὶν ὁ Χριστὸς B.K. [o] οὐ μ. αὐτὸς] αὐτὸς οὐ μ. B.K. Sav. cet. αὐτὸς om. C. Statim ἀφεῖς I. ἀφῇς ante corr. C.

ἀλλὰ καὶ τὸν θεὸν μὴ ἀφεῖναι παρακαλεῖς. Εἶδες ὑπερβολὴν
κακίας; Εἰ τῷ μὴ ἀφιέντι οὐκ ἀφίεται, τῷ καὶ τὸν δεσπότην
παρακαλοῦντι μὴ ἀφεῖναι, πῶς ἀφεθήσεται; Οὐκ ἐκεῖνον βλά-
πτεις, ἀλλὰ σαυτόν. Τί δήποτε; Εἰ γὰρ καὶ ἀκούεσθαι ἔμελλες
D ὑπὲρ τῶν σαυτοῦ, διὰ ταῦτα οὐδέποτε [p]ἀκουσθήσῃ, ὅτι μιαρῷ
στόματι τὰς εὐχὰς ποιῇ· μιαρὸν γὰρ ὄντως τὸ τοιοῦτον στόμα
καὶ ἀκάθαρτον, πάσης δυσωδίας ἐμπεπλησμένον, πάσης ἀκαθαρ-
σίας. Δέον [q]σε ὑπὲρ τῶν σῶν τρέμειν ἁμαρτημάτων, καὶ τὸν
ἀγῶνα πάντα ὑπὲρ [r]τούτου ποιεῖσθαι, [s]προσέρχῃ τὸν θεὸν κι-
νήσων κατὰ τοῦ ἀδελφοῦ; Οὐ [t]γὰρ δέδοικας καὶ μεριμνᾷς τὰ
σαυτοῦ; οὐχ ὁρᾷς τί διαπράττῃ; Μίμησαι κἂν τὰ παιδία τὰ (273)
εἰς διδασκαλεῖον φοιτῶντα, ἅπερ ἐπειδὰν τὴν ἑαυτῶν συμμορίαν
E ἔνδον ἴδῃ τῶν μαθημάτων ἀπαιτουμένην τὰς εὐθύνας, καὶ διὰ
τὴν ῥᾳθυμίαν [v]ἅπαντας τυπτομένους, καὶ καθ' ἕνα ἕκαστον
[w]ἐξεταζομένους πικρῶς, καὶ [x]κοπτομένους ὑπὸ τῶν πληγῶν,
[y]ἀποτέθνηκεν ὑπὸ τοῦ δέους· κἂν μυρία τις [z]αὐτὰ πλήξῃ, τῶν
συμφοιτητῶν, οὐκ ἀνέχεται ὀργισθῆναι, τοῦ φόβου τὴν ψυχὴν
κατέχοντος, οὐδὲ ἐντυχεῖν τῷ διδασκάλῳ, ἀλλ' εἰς ἓν μόνον ὁρᾷ,
τὸ εἰσελθεῖν καὶ ἀπαλλαγῆναι πληγῶν χωρὶς, καὶ πρὸς ἐκεῖνον
τὸν καιρὸν σκοπεῖ· κἂν ἐξέλθῃ, [a]εἴτε πληγὰς λαβὼν εἴτε μὴ
λαβὼν, οὐδὲ εἰς νοῦν ἐκεῖνα λοιπὸν βάλλεται ὑπὸ τῆς ἡδονῆς.
F Σὺ δὲ ἑστὼς καὶ μεριμνῶν ὑπὲρ τῶν ἁμαρτημάτων τῶν σῶν, οὐ
φρίττεις τῶν ἑτέρων μνημονεύων; καὶ πῶς τὸν θεὸν παρακαλεῖς;
Δι' ὧν γὰρ αὐτὸν κατ' ἐκείνου ἀξιοῖς, διὰ τούτων καὶ τὰ σαυτοῦ
[b]πικρότερα ἐργάζῃ, οὐκ [c]ἀφιεὶς αὐτὸν συγγνώμην δοῦναι τοῖς
581 σοῖς. Πῶς γὰρ, εἰ θέλεις με γίνεσθαι, φησὶν, ἐξεταστὴν ἀκριβῆ
τῶν εἰς σὲ πεπλημμελημένων, πῶς τῶν παρὰ σοῦ εἰς ἐμὲ γεγε-
νημένων ἀξιοῖς γενέσθαι τὴν συγχώρησιν; Μάθωμέν ποτε εἶναι
Χριστιανοί. Εἰ εὔχεσθαι οὐκ ἴσμεν, ὅπερ ἐστὶν εὔκολον καὶ
σφόδρα ῥᾴδιον, τί τῶν ἄλλων εἰσόμεθα; Μάθωμεν εὔχεσθαι
ὡς Χριστιανοί. Ἑλλήνων εἰσὶν ἐκεῖναι αἱ εὐχαὶ, Ἰουδαίων
ἐκεῖναι αἱ δεήσεις· τοῦ Χριστιανοῦ δὲ [d]ἐναντίαι, ἄφεσιν καὶ
ἀμνηστίαν αἰτεῖν τῶν εἰς ἡμᾶς [e]πεπλημμελημένων. [3]"Λοιδο-
B ρούμενοι, φησὶν, εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφη-

[3] 1 Cor. iv. 12, 13.

[p] εἰσακουσθήσῃ Edd. repugnantibus libris. Mox ποιῇ B.C.K.L. ποιεῖ I. Edebatur ποιεῖς. [q] σε om. B.K. [r] τούτου B.C.I.K. σοῦ L. τούτων Edd. [s] προσεύχῃ C.I.L. Veron. *accedis* Vet. σὺ δὲ προσέρχῃ B.K. Sav. cet. [t] γὰρ om. L. [v] ἅπαντας om. L. [w] ἐξεταζομένους] Sic C.L. ἐξεταζόμενον Edd. [x] κοπτομένους pro κοπτόμενον omnes. [y] ἐναποτ. B.K. [z] αὐτὸ C.I.L. [a] εἴτε] τις B.K. Statim λαβὸν ante corr. bis C. [b] χαλεπώτερα B.K. [c] ἀφίῃς C.L. [d] αἱ ἐναντίαι B.K. αἰτοῦσαι pro αἰτεῖν iidem. [e] πεπλ.] + δεδιδάγμεθα I.

μούμενοι παρακαλοῦμεν." Ἄκουε [f]τοῦ Στεφάνου λέγοντος·
[4] "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην." Οὐ μόνον
οὐ κατηύχετο, ἀλλὰ καὶ ὑπερηύχετο· σὺ δὲ οὐ μόνον [g]οὐχ ὑπερ-
ηύξω, ἀλλὰ καὶ κατηύξω. Ὥσπερ οὖν [h]ἐκεῖνος θαυμάσιος, οὕτω
σὺ κάκιστος. Τίνα θαυμάζομεν, εἰπέ μοι; τοὺς ὑπὲρ ὧν ηὔξατο,
ἢ τὸν [i]ὑπερευχόμενον; Τοῦτον δηλονότι· εἰ δὲ ἡμεῖς, πολλῷ
μᾶλλον ὁ θεός. Βούλει πλήττεσθαι τὸν ἐχθρόν; εὖξαι ὑπὲρ
αὐτοῦ, ἀλλὰ μὴ τοιαύτῃ διανοίᾳ, [k]μὴ ὡς πλήττων· τοῦτο μὲν
[l]γὰρ γίνεται, σὺ δὲ μὴ τούτῳ ποίει τῷ σκοπῷ. Καίτοι ὁ C
μακάριος ἐκεῖνος ἀδίκως πάντα ἔπασχε, [m]καὶ ὑπερηύχετο· ἡμεῖς
δὲ πολλὰ καὶ δικαίως πάσχομεν παρὰ τῶν ἐχθρῶν. Εἰ δὲ ὁ
ἀδίκως παθὼν οὐκ ἐτόλμησε [n]κατεύξασθαι, μᾶλλον δὲ οὐκ
ἐτόλμησε μὴ ὑπερεύξασθαι, οἱ [o]δίκαια πάσχοντες, καὶ μὴ μόνον
[p]οὐχ ὑπερευχόμενοι, ἀλλὰ καὶ κατευχόμενοι, τίνος οὐκ ἐσμὲν
ἄξιοι τιμωρίας; Δοκεῖς [q]μὲν ἐκείνῳ διδόναι τὴν πληγὴν, τὸ δὲ
ἀληθὲς κατὰ [r]σαυτοῦ τὸ ξίφος ὠθεῖς, [s]οὐκ ἀφιεὶς τὸν δικαστὴν
ἐν τοῖς σοῖς ἁμαρτήμασι γενέσθαι ἥμερον, δι' ὧν αὐτὸν κατὰ D
ἑτέρων παροξύνεις. [5] "Ὧι γὰρ μέτρῳ μετρεῖτε, [t]μετρηθήσεται
ὑμῖν, φησὶ, καὶ ᾧ κρίματι κρίνετε, κριθήσεσθε." [v]Γενώμεθα
συγγνωμονικοὶ, ἵνα [w]τοιούτου [x]τύχωμεν τοῦ θεοῦ.

Ταῦτα οὐκ ἀκούειν ὑμᾶς [y]μόνον βούλομαι, ἀλλὰ καὶ φυλάτ-
τειν. Νῦν δὲ μέχρι ῥημάτων ἡ μνήμη μόνον· τάχα δὲ οὐδὲ μέχρι
τούτων, ἀλλὰ διαλυθέντων ἡμῶν, ἂν ἐρωτήσῃ τις τῶν μὴ παρα-
γεγονότων, τί διελέχθημεν, οἱ μὲν οὐδὲ ἐροῦσιν, [z]οἱ δὲ εἰδότες E
ἐροῦσι τὴν ὑπόθεσιν εἰς ἣν εἰρήκαμεν μόνον, ὅτι ὡμίλησεν εἰς
τὸ μὴ δεῖν μνησικακεῖν, ἀλλὰ καὶ ὑπερεύχεσθαι, εἶτα ἀφέντες
εἰπεῖν τὰ λεχθέντα πάντα· οὐ γὰρ οἷόν τε μεμνῆσθαι· [a]οἱ δὲ
μικρῶν μέμνηνται, [b]ἀλλ' ἐνίων. Διὸ παρακαλῶ, εἰ μηδὲν κερδαί-
νετε ἐκ τῶν λεγομένων, [c]μηδὲ προσέχειν τῇ ἀκροάσει. Τί γὰρ
τὸ ὄφελος; μεῖζον τὸ κρίμα γίνεται, χαλεπωτέρα ἡ τιμωρία,

4 Act. vii. 60. 5 Matth. vii. 2.

[f] τοῦ om. B.K. [g] οὐχ om. L. [h] ἐκεῖνος θ. pro θ. ἐκεῖνος omnes. [i] ὑπερευξάμενον I. [k] μὴ] ἀλλὰ μὴ B.K. [l] γὰρ]+καὶ μὴ κατευχομένου σου B.K. [m] καὶ] ἀλλ' L. καὶ ante δικαίως om. C. [n] Vid. Annot. [o] δικαίως B.K. [p] οὐχ om. ante corr. I. [q] μὲν] οὕτω ποιῶν B.K. [r] σαυτοῦ] σοῦ K. [s] οὐκ ἀφιεὶς (ἀφίῃς C. Veron.)—παροξύνεις.] ἀφ' ὧν γὰρ τὸν δικαστὴν κατὰ ἑτέρων παροξύνεις, διὰ τούτων οὐκ ἀφίῃς αὐτὸν ἐν τ. σ. ά. γ. ἥμερον L. [t] μετρ. pro ἀντιμετρ. B.I.K.L. [v] γενώμεθα]+τοίνυν B.K. Sav. cet. Post συγγν. add. πρὸς τοὺς λυπήσαντας ἡμᾶς B.K. [w] τοιούτων L. [x] τύχωμεν]+καὶ αὐτοὶ B.K. Statim παρὰ τοῦ θ. C.I.L. κριτοῦ pro θεοῦ K. [y] βούλομαι μόνον inverso ord. C.I. [z] οἱ δὲ εἰδ. ἐροῦσι om. C.I.L. [a] οἱ δὲ] οὐδὲ I.L. Veron. [b] ἀλλ'] καὶ B.K. [c] μηδὲ προσέχειν] τί καὶ πρόσιτε
σθ
(προσίετε (sic) K.) B.K.

ὅτι μετὰ μυρίας παραινέσεις τοῖς αὐτοῖς ἐπιμένομεν. Διὰ τοῦτο
F εὐχὴν ἡμῖν ὥρισεν ὁ θεὸς, ἵνα μηδὲν βιωτικὸν [d]μηδὲ ἀνθρώπινον
αἰτῶμεν. [e]Ἴστε οἱ πιστοὶ τίνα δεῖ εὔχεσθαι, πῶς πᾶσα κοινή
ἐστιν ἡ εὐχή. Ἀλλ' οὐκ εἴρηται, φησὶν, ὑπὲρ τῶν ἀπίστων
582 εὔχεσθαι ἐκεῖ. Ἐπειδὴ [f]μηδὲ ἴστε τῆς εὐχῆς τὴν δύναμιν, [k]μηδὲ
τὸ βάθος καὶ τὸν θησαυρὸν αὐτῆς [l]ἐπιγινώσκετε· εἰ γάρ τις αὐ-
τὴν ἀναπτύξειεν, εὑρήσει καὶ τοῦτο κείμενον ἐν αὐτῇ. Ὅταν
[m]γὰρ λέγῃ ὁ εὐχόμενος, "Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐ-
ρανῷ, καὶ ἐπὶ τῆς γῆς·" οὐδὲν ἄλλο ἢ τοῦτο αἰνίττεται. Πῶς;
Ὅτι ἐν οὐρανῷ οὐδεὶς ἄπιστος, οὐδεὶς προσκρούων. Εἰ τοίνυν
περὶ τῶν πιστῶν [n]μόνων ἦν, οὐκ εἶχε λόγον τὸ λεγόμενον. Εἰ
γὰρ οἱ πιστοὶ ἔμελλον τὸ θέλημα αὐτοῦ ποιεῖν, οἱ δὲ ἄπιστοι (274)
[o]οὐκέτι, οὐκέτι ὡς ἐν οὐρανῷ τὸ θέλημα αὐτοῦ ἦν. Ἀλλὰ τί;
B Ὥσπερ ἐν οὐρανῷ, φησὶν, οὐδεὶς πονηρὸς, οὕτω μηδὲ ἐπὶ τῆς
γῆς ἔστω· ἀλλὰ πάντας, φησὶν, εἰς τὸν φόβον ἕλκυσον τὸν
σαυτοῦ, πάντας ἀγγέλους ποίησον τοὺς ἀνθρώπους, κἂν ἐχθροὶ
[p]ἡμῶν ὦσι, κἂν πολέμιοι. Οὐχ ὁρᾷς πόσα καθ' ἑκάστην ἡμέραν
ὁ θεὸς βλασφημεῖται; πόσα ὑβρίζεται [q]καὶ παρὰ τῶν ἀπίστων
καὶ παρὰ τῶν πιστῶν, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων;
Τί οὖν; ἔσβεσε διὰ τοῦτο τὸν ἥλιον; [r]ἐκοίμισε τὴν σελήνην;
κατέρραξε [s]τὸν οὐρανόν; ἀνετάραξε τὴν γῆν; ἐξήρανε τὴν θά-
λασσαν; ἠφάνισε τῶν ὑδάτων τὰς πηγὰς, συνέχεε τὸν ἀέρα;
Οὐδαμῶς, [t]ἀλλὰ ἅπαν τοὐναντίον· ἀνατέλλει τὸν ἥλιον, βρέχει
C τὸν ὑετὸν, δίδωσι καρποὺς, δίδωσι τροφὰς ἐτησίους, τοῖς βλα-
σφήμοις, τοῖς ἀνοήτοις, τοῖς μιαροῖς, τοῖς διώκταις, οὐ μίαν
ἡμέραν οὐδὲ δευτέραν οὐδὲ τρίτην, ἀλλὰ πάντα τὸν βίον. Τοῦ-
τον [v]μίμησαι, τοῦτον ζήλωσον κατὰ δύναμιν ἀνθρωπίνην. Οὐ
δύνασαι τὸν ἥλιον [w]ἀνατεῖλαι; μὴ κακηγορήσῃς. Οὐ δύνασαι
ὑετὸν δοῦναι; μὴ λοιδορήσῃς. Οὐ δύνασαι θρέψαι; μὴ παροι-
νήσῃς. Ἀρκεῖ ταῦτα παρὰ σοῦ [x]τὰ δῶρα. Παρὰ τοῦ θεοῦ δι'
ἔργων γίνεται εἰς τοὺς ἐχθροὺς ἡ εὐεργεσία· σὺ κἂν διὰ λόγων
D ποίησον, ὑπέρευξαι [y]τοῦ ἐχθροῦ· οὕτως ἔσῃ ὅμοιος τῷ πατρί
[z]σου τῷ ἐν οὐρανοῖς. Μυριάκις ὑπὲρ τούτων διελέχθημεν, [a]καὶ
διαλεγόμενοι οὐ παυόμεθα· [b]μόνον γινέσθω τι πλέον. Ἡμεῖς οὐ

[d] μηδὲν B.K. [e] ἴστε] + δὲ B.K. + δὴ Edd. invitis libris. [f] μηδὲ] μηδ' I. μὴ B.K. Sav. cet. [k] οὐδὲ B.K. [l] γινώσκετε C.I.L. [m] γὰρ om. C.L. [n] μόνον B.K. [o] οὐκέτι] οὐχὶ B.K. Sav. cet. οὐκέτι alterutrum om. I. [p] ἡμῶν om. L. [q] καὶ om. L. [r] ἐκοίμησε I.K.L. [s] τὸν οὐρανὸν, ἀνετάραξε om. L. [t] ἀλλὰ ἅπαν] Sic C.L. ἀλλ' ἅπαν I. ἀλλὰ πᾶν Edd. [v] μίμησαι] + καὶ σὺ B.K. Sav. cet. [w] ἀνατεῖλαι om. C.L. [x] τὰ assumtum ex B.C.I.K. [y] τῶν ἐχθρῶν C.L. τοὺς ἐχθροὺς I. [z] σου om. I. [a] καὶ] τί λέγω, διελέχθημεν; B.K. [b] μόνον] οὐκοῦν B.K. Statim γενέσθω iidem.

ναρκῶμεν, οὐδὲ ἀποκάμνομεν, [c]ἡμεῖς οὐ περικακοῦμεν λέγοντες·
μόνον ὑμεῖς μὴ ἀκούοντες δόξητε ἐνοχλεῖσθαι. [d]Δοκεῖ δέ τις
ἐνοχλεῖσθαι, ὅταν μὴ ποιῇ τὰ λεγόμενα· ὁ γὰρ ποιῶν, συνεχῶς
βούλεται [e]τὰ αὐτὰ ἀκούειν, ὥσπερ οὐκ ἐνοχλούμενος, ἀλλ'
ἐγκωμιαζόμενος. Ὥστε [f]οὐδαμόθεν τοῦτο γίνεται, ἀλλ' ἐκ τοῦ
μὴ ποιεῖν τὰ λεγόμενα· ἐκεῖθεν καὶ ὁ λέγων φορτικός ἐστιν. E
Ἐάν τις ἐλεημοσύνην, εἰπέ μοι, [g]ποιῇ, εἶτα ἄλλος περὶ ἐλεη-
μοσύνης διαλέγηται, [h]οὐ μόνον οὐκ ἀποκνεῖ πρὸς τὴν ἀκρόασιν,
[i]ἀλλὰ καὶ γάννυται, [k]ἅτε ἀκούων τῶν οἰκείων κατορθωμάτων
λεγομένων καὶ ἀνακηρυττομένων. Οὕτως οὖν καὶ ἡμεῖς, ἐπειδὴ
οὐδὲν πρὸς ἀνεξικακίαν ἔχομεν κοινὸν, οὐδὲ κατώρθωται ἡμῖν
τοῦτο, διὰ τοῦτο δοκοῦμεν εἶναι καὶ πρὸς τὰ ῥήματα δυσχερεῖς·
εἰ δὲ τὰ πράγματα ἦν, οὐκ ἂν [l]λόγος ἡμᾶς ἐλύπησεν. Εἰ τοίνυν
μὴ βούλεσθε ἡμᾶς φορτικοὺς εἶναι μηδὲ ἐπαχθεῖς, οὕτω ποιή- F
σατε, δι' ἔργων ἐπιδείξασθε τὸ πρᾶγμα· ὡς οὐδέποτε παυσό-
μεθα ὑπὲρ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι, ἕως ἂν κατορθωθῇ ἐν
ὑμῖν. Μάλιστα μὲν γὰρ καὶ κηδεμονίᾳ καὶ φιλοστοργίᾳ τῇ
πρὸς ὑμᾶς τοῦτο πράττομεν· ἔπειτα δὲ καὶ διὰ τὸν ἐπικείμενον 583
ἡμῖν κίνδυνον. [m]Τὸν γὰρ σαλπίζοντα, κἂν μηδεὶς εἰς πόλεμον
[n]ἐξίῃ, σαλπίζειν δεῖ, τὸ αὐτοῦ πληροῦντα. Οὐ τοίνυν μείζονα
ὑμῖν τὴν κόλασιν ἐργάσασθαι βουλόμενοι, τοῦτο πράττομεν,
ἀλλὰ τὸ καθ' ἑαυτοὺς ἀποδύσασθαι. Μετὰ δὲ τούτου, καὶ ἡ
ὑμετέρα ἡμᾶς ἀγάπη κατέχει· σπώμεθα γὰρ τὰ σπλάγχνα καὶ
δακνόμεθα, εἴ τι [o]τοιοῦτο συμβαίη. Ἀλλὰ μὴ γένοιτο. Οὐκ
ἔστι [p]δαπάνης, ὅπερ εἴπομεν νῦν, οὐκ ἔστιν ὁδοῦ μακρᾶς, [q]οὐκ
ἔστιν ἐπιθυμίας χρημάτων· θελῆσαι δεῖ μόνον, ῥῆμά ἐστι, προ- B
αίρεσίς ἐστι. Φυλάττωμεν ἡμῶν τὸ στόμα, θύραν καὶ μοχλὸν
ἐπιθῶμεν, ἵνα μηδὲν τῶν μὴ δοκούντων [r]τῷ θεῷ φθεγγώμεθα.
Ὑπὲρ ἡμῶν αὐτῶν [s]γίνεται τοῦτο, οὐχ ὑπὲρ ὧν [t]εὐχόμεθα.
Τοῦτο ἀεὶ λογιζώμεθα, ὅτι καὶ ὁ εὐλογῶν τὸν ἐχθρὸν, ἑαυτὸν
εὐλογεῖ, καὶ ὁ καταρώμενος, ἑαυτὸν καταρᾶται, καὶ ὁ [v]εὐχόμενος

[c] ἡμεῖς οὐ π. λέγοντες om. C.I.L. Veron. *neque haec vobis dicere defatigamur* Vet. [d] δοκεῖ δέ τις ἐνοχλεῖσθαι om. C.I.L. Veron. invito Vet. Mox ποιῆτε C.I.L. ποιεῖτε Veron. [e] τὰ αὐτὰ] ταῦτα L. [f] οὐδαμόθεν]+ἄλλοθεν B.K. Sav. cet. [g] ποιεῖ L. Mox διαλέγεται I.L. ἄλλως pro ἄλλος I. [h] οὐ μόνον οὐκ] ἄρα B.K. Statim ἀποκνεῖ B.C.I.L. ἀποκναίει Edd. [i] ἀλλὰ καὶ] ἀλλ' οὐχὶ μᾶλλον B.K. Statim γάνυται K. [k] ἅτε] Sic B.C.K.L. ὥστε I. ἅτε deest in Edd. [l] ὁ λόγος C.I. Statim ὑμᾶς B.I.L. [m] τὸν] τὸ L. [n] ἔξεισι C.L. ἔξειση (sic) I. [o] τοῦτο B. [p] δαπάνης]+χρεία B.K. [q] οὐκ—χρημάτων] οὐκ ἔστιν ἐνταῦθα καταβαλεῖν χρήματα B.K. Haec οὐκ ἔστιν ἐπιθυμίας (ἐπιζημίας Sav. cet.) χρημάτων vulgo post εἴπομεν νῦν leguntur, reclamantibus libris. [r] τῷ om. I. [s] γ. τοῦτο] τοῦτο γ. B.K. [t] εὐχόμεθα] φθεγγόμεθα C.L. Veron. *preces effundimus* Vet. [v] εὐχόμενος]+τοίνυν B.K.

ὑπὲρ τοῦ ἐχθροῦ, ὑπὲρ ἑαυτοῦ εὔχεται, οὐχ ὑπὲρ ἐκείνου. [w]Καὶ οὕτω δυνησόμεθα τὸ κατόρθωμα τοῦτο εἰς ἔργον ἀγαγεῖν, καὶ
C τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, [x]ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ζ. (275)

[1]Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ
D σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

ΕΙ τοὺς κοινοὺς βούλεται λύεσθαι πολέμους [a]καὶ τὰς μάχας καὶ τὰς ταραχὰς, καὶ διὰ τοῦτο [b]καὶ ὑπὲρ βασιλέων καὶ ὑπὲρ ἀρχόντων παρακαλεῖ τὸν ἱερώμενον εὐχὰς ποιεῖσθαι, πολλῷ
E μᾶλλον καὶ τοὺς ἰδιώτας τοῦτο χρὴ ποιεῖν. Τῶν πολέμων γὰρ ἔστιν εἴδη τρία [c]τὰ χαλεπώτερα· εἷς μὲν οὗτος ὁ κοινὸς, ὅταν οἱ παρ' ἡμῖν στρατιῶται πολεμῶνται παρὰ βαρβάρων· δεύτερος, ὅταν, καὶ εἰρήνης οὔσης, ἡμεῖς πρὸς ἀλλήλους πολεμῶμεν· τρίτος, ὅταν ἕκαστος πρὸς ἑαυτὸν πολεμῇ. Οὗτος δὴ καὶ [d]πάντων ἐστὶ χαλεπώτατος, ὁ τρίτος. Ἐκεῖνος μὲν γὰρ ὁ παρὰ τῶν βαρβάρων οὐδὲν μέγα [e]ἡμᾶς βλάψαι δυνήσεται. Τί γὰρ, εἰπέ μοι; ἔσφαξε καὶ ἀνεῖλεν, ἀλλ' οὐδὲν τὴν ψυχὴν ἐλυ-
F μήνατο. Ἀλλ' οὐδὲ ὁ δεύτερος, [f]ἐὰν βουλώμεθα, βλάψαι τι ἡμᾶς δυνήσεται. Κἂν [g]γὰρ ἕτεροι πρὸς ἡμᾶς πολεμῶσιν, ἔξεστιν ἡμῖν εἶναι εἰρηνικοῖς· ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, [2]"Ἀντὶ τοῦ ἀγαπᾶν με, [h]ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην·" καὶ πάλιν, "Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός·" καὶ [i]πάλιν, "'Ἐπολέμουν με δωρεάν." Τὸν δὲ τρίτον
584 οὐκ ἔνι ἀκινδύνως διαφυγεῖν. Ὅταν γὰρ ἡμῖν διαστασιάζῃ τὸ σῶμα πρὸς τὴν ψυχὴν, καὶ χαλεπὰς ἐπιθυμίας [k]ἐγείρῃ, καὶ τὰς ἡδονὰς ὁπλίζῃ, τῶν σωμάτων, τῆς ὀργῆς, τοῦ φθόνου, οὐκ ἔνι, μὴ τοῦ πολέμου τούτου λυθέντος, ἐπιτυχεῖν τῶν ἐπηγγελμένων

1 Cap. II. v. 2—4. 2 Psal. cviii. 4. cxix. 6, 7.

[w] καὶ οὕτω] ἂν οὕτω ταῦτα ποιῶμεν B.K. Sav. cet. [x] Haec ὧν—μετασχεῖν desunt in Edd. Hom. VII. [a] καὶ τὰς μάχας om. L. [b] καὶ om. K. Sav. cet. [c] τὰ om. K. [d] πάντων] τῶν ἄλλων B.K. ὁ τρίτος om. B.C.K. Sav. cet. [e] ἡμᾶς βλ.] βλ. ἡμᾶς C.K.L. [f] ἐὰν]+μὴ B.K. Sav. cet. Mox τι om. B.K. [g] γὰρ om. K. Mox εἰρηνικοὺς L. [h] ἐνδιέβαλλον pro ἐνδιέβαλον omnes. [i] πάλιν]+ὅταν ἐλάλουν αὐτοῖς B.K. Sav. cet. [k] διεγείρῃ B.K.

ἀγαθῶν· ἀλλ' ἀνάγκη τὸν μὴ καταστέλλοντα ταύτην τὴν ταρα-
χὴν, πεσεῖν καὶ τραύματα λαβεῖν, ἐκεῖνον τὸν θάνατον τίκτοντα
τὸν ἐν τῇ γεέννῃ. Δεῖ τοίνυν ἡμῖν καθ' ἑκάστην ἡμέραν μερίμνης
καὶ φροντίδος πολλῆς, ὥστε μήτε ἐγείρεσθαι ἐν ἡμῖν τοῦτον
τὸν πόλεμον, μήτε διεγερθέντα μένειν, ἀλλὰ καταστέλλεσθαι B
καὶ κοιμίζεσθαι. Τί γὰρ ἂν ὄφελος γένοιτο, ὅταν ἡ μὲν οἰκου-
μένη βαθείας ἀπολαύῃ εἰρήνης, σὺ δὲ πρὸς [l]ἑαυτὸν πολεμῇς;
Ταύτην δεῖ τὴν εἰρήνην ἔχειν· ἂν ταύτην ἔχωμεν, οὐδὲν ἡμᾶς τῶν
ἔξωθεν βλάψαι δυνήσεται. Συντελεῖ δέ [m]τι πρὸς ταύτην οὐ
μικρὸν καὶ ἡ κοινὴ εἰρήνη· διὰ τοῦτό φησιν, "Ἵνα ἤρεμον καὶ
ἡσύχιον βίον διάγωμεν." Εἰ δέ τις, ἡσυχίας οὔσης, ταράττεται,
σφόδρα ἄθλιός ἐστιν. Ὁρᾷς ὅτι ταύτην λέγει τὴν εἰρήνην, ἣν
ἐγώ φημι [n]τὴν τρίτην; Διὰ τοῦτο εἰπὼν, "Ἵνα ἤρεμον καὶ
ἡσύχιον βίον διάγωμεν," οὐκ [o]ἔστη μέχρι τούτου, ἀλλὰ προσέ- C
θηκεν, "ἐν πάσῃ [p]εὐσεβείᾳ καὶ σεμνότητι." [q]Ἐν δὲ εὐσεβείᾳ
καὶ σεμνότητι εἶναι οὐκ ἔνι, μὴ τῆς εἰρήνης ἐκείνης κατορθωθεί-
σης. Ὅταν γὰρ λογισμοὶ ζητητικοὶ ταράσσωσιν ἡμῶν τὴν
πίστιν, ποία εἰρήνη; ὅταν ἀσελγείας πνεύματα, ποία εἰρήνη;
Ἵνα γὰρ μὴ νομίσῃς [r]ὅτι ταύτην φησὶν, εἰπὼν, "ἵνα ἤρεμον
καὶ ἡσύχιον βίον διάγωμεν·" [s]ἐπειδὴ ἔνεστι τὸν ἤρεμον καὶ ἡσύ-
χιον βίον διάγειν καὶ Ἕλληνας, καὶ ἀκολάστους καὶ σπαταλῶν- D
τας καὶ τρυφῶντας εὕροις ἂν τοῦτον τὸν βίον ζῶντας· [t]ἀλλ'
ἵνα μάθῃς ὅτι οὐ [v]τοῦτόν φησιν, [w]ἀλλὰ τὸν ἐν εὐσεβείᾳ καὶ
σεμνότητι· [x]ἐκεῖνος γὰρ ὁ βίος ἐπιβουλὰς ἔχει καὶ μάχας, τῆς
ψυχῆς καθ' ἑκάστην ἡμέραν τιτρωσκομένης ὑπὸ τῶν θορύβων
[y]τῶν ἐν τοῖς λογισμοῖς· [z]οὐ δὴ τοῦτόν φησι τὸν βίον, ἀλλὰ
τὸν [a]ἐν πάσῃ εὐσεβείᾳ. "[b]Πάσῃ," μὴ τῇ τῶν δογμάτων μόνον,
ἀλλὰ καὶ τῇ τοῦ βίου· καὶ γὰρ ἐκεῖ τὴν εὐσέβειαν δεῖ ζητεῖν.
Τί γὰρ ὄφελος ἐν τῇ πίστει εὐσεβοῦντας διὰ τοῦ βίου ἀσεβεῖν; E

[l] σαυτὸν C.I.L. [m] τι om. K. Ben. [n] τὴν τρίτην om. C. [o] ἔστι I.L. [p] εὐσεβείᾳ] + λέγων B. λέγων post σεμνόνητι add. K. [q] ἐν δὲ—σεμνότητι] ἐν οἷς C. εὐσ. δὲ pro δὲ εὐσ. B.K. [r] ὅτι ταύτην φησὶν, εἰπὼν] Sic C. Vet. φησὶν, ὅτι ταύτην εἶπον I.L. Veron. ὅτι τοῦτον ἁπλῶς λέγει τὸν βίον, ὃν πάντες ζῶσιν ἄνθρωποι, εἰπὼν B.K. Sav. cet. Iidem cum Vet. post διάγωμεν add. ἐπάγει, ἐν π. εὐ. κ. σεμ. [s] ἐπειδὴ—διάγειν om. I.L. Veron. invito Vet. Mox εὕροις ἂν τοῦτον τὸν βίον ζῶντας om. C. Vet. [t] ἀλλ' ἵνα] ἵνα C. ἵνα οὖν B.K. Sav. cet. [v] τοῦτον] τὸν τοιοῦτον βίον C. [w] ἀλλὰ τὸν] προστίθησι τὸ B.K. Sav. Statim ἐν πάσῃ εὐσ. Edd. πάσῃ om. B.I.L. Veron. [x] ἐκεῖνος] οὗτος K. [y] τῶν om. C. [z] οὐ δὴ] Sic C. Vet. οὐδὲ I. Veron. οὐ δὴ—βίον] καὶ οὐδὲ τὸν ἐν εὐσ. βίον L. οὐ δὴ—ἐκεῖ] ὅτι δὲ τὸν βίον τοῦτον δηλοῦν βούλεται, δῆλον μὲν (+ καὶ B.K.) ἀπὸ τῆς ἐπαγωγῆς, δῆλον δὲ καὶ ἀπὸ τοῦ μὴ ἁπλῶς ἐν εὐσ. εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης τοῦ, πάσῃ. τοῦτο γὰρ εἰπὼν, ἔοικεν οὐ τὴν ἀπὸ τῶν δογμάτων μόνον ἀπαιτεῖν πολιτείαν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ βίου ἀσφαλιζομένην· καὶ γὰρ ἐν ἀμφοτέροις B.K. Sav. cet. [a] ἐν om. C. [b] πάσῃ om. Veron.

Ὅτι γὰρ ἔστι διὰ τοῦ βίου ἀσεβεῖν, ἄκουε τοῦ μακαρίου τούτου (276)
[c]πάλιν ἀλλαχοῦ λέγοντος· [3] "Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς
δὲ ἔργοις ἀρνοῦνται·" καὶ πάλιν, "Τὴν πίστιν ἤρνηται, καὶ
ἔστιν ἀπίστου χείρων·" καὶ πάλιν, "Ἐάν τις ἀδελφὸς ὀνομα-
F ζόμενος [d]ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ὁ τοιοῦτος
οὐ τιμᾷ τὸν θεόν·" καὶ πάλιν, "Ὁ τὸν ἀδελφὸν αὐτοῦ μισῶν,
τὸν θεὸν ἀγνοεῖ." Ὁρᾷς πόσοι [e]ἀσεβείας τρόποι; Διὰ τοῦτό
φησιν, "Ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι." [f]Ἄσεμνος γὰρ
οὐκ ἔστιν ὁ πόρνος μόνον, ἀλλὰ καὶ [g]ὁ πλεονέκτης ἄσεμνος ἂν
585 λέγοιτο καὶ ἀκόλαστος· καὶ γὰρ καὶ [h]τοῦτο ἐπιθυμία οὐχ ἧτ-
των τῆς τῶν σωμάτων. Ὁ τοίνυν μὴ κολάζων αὐτὴν, ἀκόλαστος
λέγεται· διὰ γὰρ [i]τὸ μὴ κολάζειν τὴν ἐπιθυμίαν ἀκόλαστοι λέ-
γονται. Ὥστε καὶ τὸν ὀργίλον ἀκόλαστον ἂν εἴποιμι ἔγωγε,
καὶ τὸν βάσκανον, καὶ τὸν φιλάργυρον, καὶ τὸν ὕπουλον, καὶ
πάντα [k]τὸν ἐν ἁμαρτίᾳ ὄντα ἀκόλαστον εἶναι καὶ ἄσεμνον καὶ
ἀσελγῆ. "Τοῦτο γὰρ καλὸν καὶ ἀποδεκτὸν, [l]φησὶν, ἐνώπιον
τοῦ σωτῆρος ἡμῶν θεοῦ." [m]Ποῖον; Τὸ εὔχεσθαι ὑπὲρ πάντων·
B τοῦτο ἀποδέχεται ὁ θεὸς, τοῦτο θέλει· "[n]Ὃς πάντας γὰρ
ἀνθρώπους θέλει σωθῆναι, [o]φησὶ, καὶ εἰς ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν."

Μιμοῦ τὸν θεόν. Εἰ [p]πάντας θέλει σωθῆναι, εἰκότως ὑπὲρ
[q]ἁπάντων δεῖ εὔχεσθαι· [r]εἰ πάντας [s]αὐτὸς ἠθέλησε σωθῆναι,
θέλε καὶ σύ· εἰ δὲ θέλεις, εὔχου· τῶν γὰρ τοιούτων ἐστὶ τὸ
εὔχεσθαι. Ὁρᾷς πῶς [t]πάντοθεν τὴν ψυχὴν ἔπεισεν, ὥστε καὶ
ὑπὲρ Ἑλλήνων εὔχεσθαι; Καὶ τὸ κέρδος [v]δεικνὺς ὅσον ἐκ τού-
C του τίκτεται, "Ἵνα ἤρεμον, φησὶ, καὶ ἡσύχιον βίον διάγωμεν·"
καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι [w]τῷ θεῷ τοῦτο δοκεῖ, καὶ ὅτι
ὅμοιοι αὐτῷ κατὰ τοῦτο γινόμεθα, κατὰ τὸ τὰ αὐτὰ [x]αὐτῷ θέ-
λειν. Ἱκανὰ ταῦτα δυσωπῆσαι καὶ θηρίον. Μὴ τοίνυν φοβηθῇς
ὑπὲρ Ἑλλήνων εὐχόμενος· [y]καὶ αὐτὸς τοῦτο βούλεται· φοβήθητι
τὸ κατεύξασθαι μόνον· τοῦτο γὰρ οὐ βούλεται. Εἰ δὲ ὑπὲρ
Ἑλλήνων εὔχεσθαι χρὴ, καὶ ὑπὲρ αἱρετικῶν δηλονότι· ὑπὲρ

[3] Tit. i. 16. 1 Tim. v. 8. 1 Cor. v. 11. 1 Joan. ii. 9.

[c] πάλιν] αὐτὸ τοῦτο B.K. [d] ᾖ] ἢ I. Veron. [e] εὐσεβείας B.K. ὁρᾷς—τρόποι om. C. [f] σεμνὸς γὰρ οὐκ ἔ. ὁ μὴ πόρνος μ. C.I.L. [g] ὁ om. L. Mox καὶ ὁ ἀκ. B.K. [h] τοῦτο] τούτου ἡ L. Mox ἢ pro τῆς idem. [i] τὸ] τοῦ B.I.K.L. [k] τὸν om. C.I.L. Post ὄντα add. ἀνάγκη B.K. [l] φησὶν om. B.K. [m] ποῖον]+τοῦτο B.K. Sav. cet. [n] ὃς est in libris omnibus, non in Edd. Mox γὰρ om. B.K.L. [o] φησὶ om. B.K. φησὶ—σωθῆναι om. C. [p] πάντας] + ἀνθρώπους Sav. cet. invitis libris. [q] πάντων I.K. [r] εἰ] καὶ εἰ B.K. [s] αὐτὸς ἠθ.] θέλει B. αὐτὸς θέλει K. [t] πανταχόθεν K. Sav. cet. [v] δείκνυσι C. Statim καὶ ὅσον I.L. Mox φησὶν ante ἵνα transp. B.K. [w] καὶ τῷ θεῷ Edd. καὶ om. B.C.I.K. τῷ om. L. [x] αὐτῷ θέλειν] αἰτεῖν L. [y] καὶ αὐτὸς τ. βούλεται om. C.

[z]γὰρ πάντων ἀνθρώπων εὔχεσθαι [a]δεῖ, οὐ διώκειν. Τοῦτο δὲ
καὶ ἄλλως καλὸν [b]ἀπὸ τοῦ τῆς αὐτῆς ἡμᾶς φύσεως κοινωνεῖν·
καὶ ὁ θεὸς δὲ ἐπαινεῖ καὶ ἀποδέχεται τὴν εὔνοιαν, [c]τὴν φιλο- D
στοργίαν τὴν πρὸς ἀλλήλους. Εἰ τοίνυν [d]αὐτὸς θέλει, [e]φησὶν,
ὁ κύριος, τί δεῖ εὐχῶν τῶν παρ' ἐμοῦ; Πολὺ τοῦτο [f]ἐκείνοις
συμβάλλεται, πρὸς ἀγάπην αὐτοὺς ἕλκει, [g]σὲ πάλιν οὐκ ἀφίη-
σιν ἐκτεθηριῶσθαι· ἱκανὰ δὲ ταῦτα πρὸς πίστιν ἐπισπάσασθαι.
Πολλοὶ γὰρ τῶν ἀνθρώπων διὰ φιλονεικίαν τὴν πρὸς [h]ἀνθρώ-
πους ἀπέστησαν τοῦ θεοῦ. Σωτηρίαν [i]δὲ νῦν ταύτην λέγει·
"Ὃς [k]γὰρ πάντας ἀνθρώπους, [l]φησὶ, θέλει σωθῆναι· ἐπειδὴ καὶ
αὕτη ὄντως ἐστὶν ἡ σωτηρία· ταύτης γὰρ χωρὶς [m]οὐδὲν μέγα ἡ E
ἄλλη ἐστὶν, ἀλλ' ὄνομα σωτηρίας [n]ἐστὶ καὶ προσηγορία μόνον.
"Καὶ εἰς ἐπίγνωσιν ἀληθείας, [o]φησὶν, ἐλθεῖν." "[p]Ἀληθείας,"
τῆς εἰς αὐτὸν πίστεως. [q]Ἐπειδὴ προλαβὼν εἶπε, παράγγελλε
μὴ ἑτεροδιδασκαλεῖν· [r]ἵνα μὴ ὡς ἐχθροῖς αὐτοῖς προσέχῃ, μηδὲ
μάχας ἀπὸ τούτου πλέκῃ, [s]τί φησι; "Πάντας ἀνθρώπους θέλει
σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν." [t]Τί δὴ τοῦτο,
ἐπήγαγεν· [4]"Εἷς γὰρ [v]θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώ-
πων." Εἶπεν, "εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν," δεικνὺς ὅτι οὐκ F
ἔστιν ἡ οἰκουμένη ἐν ἀληθείᾳ· [w]καὶ πάλιν, "εἷς γὰρ θεὸς," [x]οὐ
πολλοὶ, καθὼς [y]οὗτοι νομίζουσιν, δεικνὺς ὅτι σωθῆναι θέλει
πάντας. Εἶπεν ὅτι καὶ μεσίτην [z]τὸν υἱὸν πέπομφε. Τί οὖν; 586
ὁ υἱὸς οὐ θεός; Καὶ σφόδρα. Πῶς οὖν φησιν, "[a]εἷς;" Πρὸς
ἀντιδιαστολὴν τῶν εἰδώλων, οὐ πρὸς τὸν υἱόν· περὶ γὰρ ἀλη-
θείας καὶ πλάνης ἦν αὐτῷ ὁ λόγος. Ὁ δὲ μεσίτης ὀφείλει ἀμ-
φοτέροις κοινωνεῖν, ὧν ἐστι μεσίτης· μεσίτου γὰρ τοῦτό ἐστι,
τὸ ἑκατέρων [b]ἐχόμενον κοινωνεῖν· ἐὰν δὲ τοῦ μὲν ἑνὸς ἔχηται,
τοῦ δὲ ἑνὸς ἀπεσχοινισμένος ᾖ, οὐκέτι μεσίτης ἐστίν. Εἰ τοίνυν
μὴ ἔχεται τῆς τοῦ πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης, ἀλλ' ἀπε- B

[4] v. 5.

[z] γὰρ om. L. Cat. πάντων pro ἁπάντων omnes. [a] δεῖ] χρὴ L. [b] ἀπὸ] καὶ γὰρ ἐνδεικτικόν ἐστι B.K. [c] τὴν—ἀλλήλους] τὴν πρὸς ἀλλήλους καὶ τὴν φ. L. [d] αὐτὸς θ. om. L. [e] φησὶ]+δοῦναι Edd. repugnantibus libris. [f] ἐκείνοις]+καὶ σοὶ B.K. Sav. cet. [g] σὲ]+δὲ L. [h] ἀνθρώπους omnes. ἀλλήλους Edd. [i] δὲ om. C. σωτηρίαν—λέγει] τοῦτο σωτηρίαν νῦν θεοῦ καλεῖ B.K. Sav. cet. [k] γὰρ assumtum ex I.L. [l] φησὶ om. B.K. Sav. cet. Mox εἰπὼν post σωθῆναι add. iidem. [m] οὐδὲ μεγάλη C. [n] ἐστὶ om. L. Statim καὶ προσηγορίας I.L. [o] φησὶν om. B.K. [p] ἀληθείας]+ποίας; B.K. Sav. cet. [q] ἐπειδὴ] Sic B.I.K.L. Cat. ἐπειδὴ γὰρ C. καὶ δὴ Edd. [r] ἵνα]+δὲ Sav. cet. invitis libris. Statim μή τις ὡς B.K. Sav. cet. [s] τί om. iidem. [t] τί δὴ τοῦτο] εἶτα τοῦτο εἰπὼν B.K. Sav. cet. [v] ὁ θεὸς K. [w] καὶ] εἶπε B.K. Sav. cet. [x] οὐ] δεικνὺς ὅτι οὐ iidem. [y] οὗτοι] τινες iidem. Haec δεικνὺς ὅτι σ. θ. π. post πέπομφε transp. iidem. [z] τὸν υἱὸν] Sic C. Cat. Vet. καὶ υἱὸν Edd. [a] εἷς]+θεὸς C. [b] ἐχόμενον] ἔχεσθαι καὶ C. Post ἐχόμενον add. ὧν ἐστι μεσίτης Edd. invitis nostris C.I.L.

σχοίνισται. Ὥσπερ γὰρ τῆς τῶν ἀνθρώπων ἔχεται φύσεως,
ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο, οὕτω καὶ τῆς τοῦ θεοῦ, ἐπειδὴ
παρὰ θεοῦ ἤρχετο. Ἐπειδὴ γὰρ δύο φύσεων μέσος γέγονεν,
ἐγγὺς τῶν δύο φύσεων [c]αὐτὸν εἶναι δεῖ. Ὥσπερ γὰρ τὸ τόπου
τινὸς μέσον ἑκατέρων ἐστὶ τῶν τόπων ἐγγὺς, οὕτω καὶ τὸ τῶν
φύσεων μέσον ἑκατέρων ὀφείλει εἶναι [d]τῶν φύσεων ἐγγύς. Ὥσ-
περ οὖν ἄνθρωπος γέγονεν, οὕτω καὶ θεὸς ἦν. Ἄνθρωπος οὐκ (277)
C ἂν ἐγένετο μεσίτης· [e]ἔδει γὰρ [f]καὶ τῷ θεῷ διαλέγεσθαι· θεὸς
οὐκ ἂν ἐγένετο μεσίτης· [g]οὐ γὰρ ἂν ἐδέξαντο αὐτὸν οἷς ἐμεσί-
τευσεν. Ὥσπερ ἐκεῖ φησιν, [5]"Εἷς θεὸς ὁ πατὴρ, καὶ εἷς κύριος
Ἰησοῦς Χριστός·" οὕτω καὶ ἐνταῦθα, [h]εἷς καὶ εἷς. Οὐ τίθησι
δύο· ἐπειδὴ γὰρ περὶ πολυθεΐας διελέγετο, ἵνα μή τις ἁρπάσῃ
τῶν δύο τὸν ἀριθμὸν εἰς πολυθεΐαν, εἷς καὶ εἷς, τέθεικεν. Ὁρᾷς
πῶς ἡ γραφὴ μετὰ πολλῆς τῆς [i]ἀκριβείας κέχρηται τῷ λόγῳ;
Τὸ γὰρ, εἷς καὶ εἷς, δύο· ἀλλ' οὐκ ἐροῦμεν τοῦτο, καίτοι τοῦ
D [k]λογισμοῦ ὑποβάλλοντος. Ἐνταῦθα οὐ λέγεις, εἷς καὶ εἷς, δύο·
ὅπερ δὲ οὐδὲ ὁ λογισμὸς ὑποβάλλει, [l]τοῦτο λέγεις· εἰ ἐγέννη-
σεν, ἔπαθεν. "Εἷς [m]γὰρ θεὸς, φησὶν, εἷς καὶ μεσίτης θεοῦ καὶ
ἀνθρώπων, [n]ἄνθρωπος Ἰησοῦς Χριστὸς, [6]ὁ δοὺς ἑαυτὸν ἀντί-
λυτρον ὑπὲρ [o]πάντων." Τί οὖν; [p]καὶ Ἑλλήνων, εἰπέ [q]μοι;
Καὶ ὁ μὲν Χριστὸς [r]καὶ ἀπέθανεν ὑπὲρ Ἑλλήνων, σὺ δὲ [s]εὔ-
ξασθαι οὐκ ἀνέχῃ; Πῶς οὖν, φησὶν, οὐκ ἐπίστευσαν; Ὅτι οὐκ
ἠθέλησαν· τὸ δὲ αὐτοῦ μέρος [t]ἐγένετο. "Μαρτύριον·" τὸ πάθος
E φησίν. Ἦλθε γὰρ μαρτυρήσων, [v]φησὶ, τῇ ἀληθείᾳ τοῦ πατρὸς,
καὶ ἐσφάγη. Ὥστε οὐχ ὁ πατὴρ αὐτῷ μαρτυρεῖ μόνον, ἀλλὰ
καὶ αὐτὸς τῷ πατρί. [7]"Ἐγὼ [w]γὰρ ἦλθον ἐν τῷ ὀνόματι τοῦ
πατρός μου," φησί· καὶ πάλιν, "[x]Τὸν θεὸν οὐδεὶς ἑώρακε πώ-
ποτε·" καὶ πάλιν, "Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν
θεόν·" [y]καὶ, "Πνεῦμα ὁ θεός." Μέχρι θανάτου τοίνυν ἐμαρτύ-
ρησε. "[z]Καιροῖς ἰδίοις," [a]τουτέστι, τοῖς προσήκουσιν. [8]"Εἷς ὁ

[5] 1 Cor. viii. 6. [6] v. 6. [7] Joan. v. 43. i. 18. xvii. 3. iv. 24. [8] v. 7.

[c] *αὐτὸν* om. K. [d] *τῶν φύσεων* om. C. [e] *ἔδει—μεσίτης* om. I.L. [f] *καὶ* om. B.K. [g] *οὐ*] *οὐδὲ* C. Mox *ἐμεσίτευεν* K. [h] *εἷς—δύο*] *εἷς θεὸς καὶ εἷς μεσίτης. οὐκ εἶπεν δύο, ἀλλ' εἷς* K. [i] *ἀκριβείας*] *εὐλαβείας* C. *ἀκριβείας καὶ εὐλαβείας* L. [k] *λογισμοῦ*]+*τοῦτο* C. [l] *τοῦτο λέγεις*] *πῶς τολμᾷς λέγειν;* K. [m] *γὰρ* om. K. Statim *ὁ θεὸς* Edd. *ὁ* om. C.K. [n] *ἄνθρωπος* accessit ex B.C.I.L. [o] *πάντων*]+*ἡμῶν* C. Post *πάντων* vulgo addunt *τὸ μαρτ. καιροῖς ἰδίοις*, quae desunt in nostris omnibus. [p] *καὶ*] *οὐ καὶ* C. [q] *μοι*]+*ναὶ* K. Sav. cet. [r] *καὶ ἀπέθ.*] *ἀπέθ. καὶ* B.C. Cat. *καὶ ὑπὲρ Ἑ. ἀπέθανε* hoc ord. K. [s] *εὔξ. οὐκ*] *οὐδὲ εὔξ.* K. [t] *ἐγένετο*]+*τὸ μαρτ. καιροῖς ἰδίοις* K. Statim *τὸ μαρτ.* C. Cat. [v] *φησὶ* om. K. [w] *γὰρ* om. B. *φησὶν* post *γὰρ*, non post *πατρός μου*, habet K. [x] *τὸν* om. C.K. [y] *καὶ*]+*πάλιν* I.K. Sav. cet. [z] *καιροῖς*] *τὸ δὲ καιροῖς* K. Sav. cet. [a] *τουτέστι τοῖς πρ.*] *ἀντὶ τοῦ πρ. ἐστιν* K.

ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος· ἀλήθειαν λέγω, οὐ ψεύδομαι· F
διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ." [b]Ἐπειδὴ τοίνυν [c]καὶ αὐτὸς ὑπὲρ ἐθνῶν ἔπαθε, καὶ ἐγὼ διδάσκαλος ἐθνῶν ἀφωρίσθην, [d]τίνος ἕνεκεν σὺ οὐκ εὔχῃ ὑπὲρ αὐτῶν; [e]Καλῶς ἐνταῦθα [f]τοῦ ἀξιοπίστου δεῖται, ὅτι ἐθνῶν διδάσκαλος, φησὶν, ἀφωρίσθην· [g]πάνυ γὰρ ἐνάρκων πρὸς τοῦτο οἱ ἀπόστο- 587
λοι. Εἶτα ἐπήγαγε, "Διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ." "Ἐν πίστει," πάλιν· ἀλλὰ μὴ νομίσῃς, ἐπειδὴ, "ἐν πίστει," ἤκουσας, ὅτι ἀπάτη τὸ πρᾶγμά ἐστι· καὶ γὰρ, "ἐν ἀληθείᾳ," [h]φησίν· οὐκ ἔστι ψεῦδος. Ὁρᾷς τὴν χάριν ἐκτεταμένην; [i]τοῖς γὰρ Ἰουδαίοις αἱ εὐχαὶ οὐχ ὑπὲρ [k]τοιούτων ἐγίνοντο, νῦν δὲ ἡ χάρις ἐκτέταται. [l]"Διδάσκαλος ἐθνῶν, φησὶν, ἐν πίστει καὶ ἀληθείᾳ." "[m]Ὁ δοὺς, φησὶν, ἑαυτὸν ἀντίλυτρον." B
Πῶς οὖν παρεδόθη ὑπὸ τοῦ πατρός; Ἄρα οὖν τῆς αὐτοῦ ἀγαθότητος γέγονεν. Ἀντίλυτρον τί ἐστιν; Ἔμελλε τιμωρεῖσθαι [n]αὐτούς· ἀπόλλυσθαι ἔμελλον· ἀλλ' ἀντ' ἐκείνων τὸν αὐτοῦ ἔδωκεν [o]υἱὸν, ὥστε κηρύττειν τὸν σταυρόν.

[p]Ἱκανὰ ταῦτα ἐπισπάσασθαι πάντας, καὶ τὴν ἀγάπην ἐνδείξασθαι τοῦ Χριστοῦ· ὄντως [q]γὰρ μεγάλα καὶ [r]ἀνεκδιήγητα. Κατέθυσεν ἑαυτὸν ὑπὲρ τῶν ἐχθρῶν, τῶν μισούντων, τῶν ἀπο- C
στρεφομένων αὐτόν. Ὃ οὐδὲ ὑπὲρ φίλων, οὐδὲ ὑπὲρ παίδων ποιήσειεν ἄν τις, οὐδὲ ὑπὲρ ἀδελφῶν, δεσπότης ὑπὲρ δούλων ἐποίησε, δεσπότης οὐ τοιοῦτος, οἷος οἱ δοῦλοι, ἀλλὰ θεὸς ὑπὲρ [s]ἀνθρώπων, οὐδὲ [t]εὐδοκιμούντων. Ὃ γὰρ [v]ἐπὶ ἀνθρώπων [w]τῶν ὁμοουσίων οὐ γίνεται, τοῦτο [x]ἐγένετο· καὶ τοσαύτης ἀπολαύ- D
σαντες ἀγάπης, [y]ἀκκιζόμεθα, καὶ οὐ φιλοῦμεν τὸν Χριστόν. Αὐτὸς κατέθυσεν ἑαυτὸν ὑπὲρ ἡμῶν· ἡμεῖς δὲ αὐτὸν καὶ τῆς ἀναγκαίας τροφῆς ἀποροῦντα περιορῶμεν, καὶ νοσοῦντα καὶ

[b] ἐπεὶ I. [c] καὶ αὐτὸς] καὶ Χριστὸς K. ὁ Χριστὸς Sav. cet. [d] τίνος—ἀφωρίσθην om. L. [e] καλῶς om. K. [f] τοῦ ἀξ.—ἀφωρίσθην] τὸ ἑαυτοῦ ἀξιόπιστον δεικνὺς, τὸ, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ, φησὶ, τουτέστιν, ἀφωρίσθην K. Sav. cet. [g] πάνυ] πάλιν (sed in marg. εἰς πάντα) C. πάντα I. πάντες L. [h] φησὶν]+εἰ δὲ ἀλήθεια K. Sav. cet. [i] τοῖς]+μὲν L. [k] τῶν τοιούτων C. Statim ἐγένοντο L. [l] διδάσκαλος—ἀληθείᾳ] διὰ τοῦτο καὶ διδάσκαλον ἐθνῶν ἑαυτὸν εἶπεν ἀφωρίσθαι, τὴν πανταχοῦ τῆς οἰκουμένης χυθεῖσαν αἰνιττόμενος χάριν K. Sav. cet. [m] ὁ δοὺς—ἄρα οὖν] τί οὖν φησι; πῶς ὑπὸ τοῦ πατρὸς παρεδόθη; ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον. ἄρα οὐ K. [n] αὐτοὺς]+τοῦτο οὐκ ἐποίησεν K. Sav. cet. [o] υἱὸν]+καὶ κήρυκας ἡμᾶς ἔπεμψεν K. Sav. cet. [p] ΗΘΙΚΟΝ. Κατὰ πλουτούντων καὶ καλλωπιζομένων γυναικῶν. Veron. [q] γὰρ om. K. [r] ἀνεκδ.]+τὰ παρὰ θεοῦ εἰς ἡμᾶς ἐπιδεδειγμένα K. Sav. cet. [s] ἀνθρώπων]+καὶ ἀνθρώπων iidem. [t] εὐδοκιμούντων]+εἰ γὰρ εὐδοκιμηκότες ἦσαν, εἰ γὰρ εὐηρεστηκότες, οὐ τοσοῦτον ἦν θαυμαστόν· νῦν δὲ τοῦτό ἐστι τὸ πᾶσαν διάνοιαν ἐκπλῆττον, τὸ ὑπὲρ τοιούτων ἀχαρίστων καὶ ἀγνωμόνων ἀποθανεῖν iidem. [v] ἐπὶ] ἀπὸ iidem. [w] τῶν ὁμοουσίων] πρὸς ὁμοφύλους iidem. [x] ἐγένετο]+ἀπὸ θεοῦ εἰς ἡμᾶς iidem. Mox ἀπολαύοντες I. [y] ἀκκ.]+ἔτι K. Sav. cet.

γυμνητεύοντα οὐκ ἐπισκεπτόμεθα. Πόσης ὀργῆς ταῦτα ἄξια,
πόσης κολάσεως, πόσης γεέννης; Εἰ [z]γὰρ μηδὲν ἕτερον, τοῦτο
γοῦν αὐτὸ μόνον, [a]ὅτι κατηξίωσε τὰ τῶν ἀνθρώπων πάθη οἰκει-
οῦσθαι, καὶ λέγειν ὅτι πεινῶ καὶ διψῶ, οὐχ ἱκανὸν [b]ἦν πάντας
προτρέψαι; Ἀλλ' ὦ τῆς τῶν χρημάτων τυραννίδος, μᾶλλον
E *δὲ, ὦ τῆς τῶν [c]ἑκόντων δεδουλωμένων αὐτοῖς μοχθηρίας· οὐκ*
ἐκεῖνα ἔχει μεγάλην τὴν ἰσχὺν, ἀλλ' ἡμεῖς σφόδρα ἐσμὲν ἔκλυτοι
καὶ [d]διαλελυμένοι, ἡμεῖς ταπεινοὶ καὶ γεώδεις, ἡμεῖς σαρκικοὶ, (278)
ἡμεῖς ἀνόητοι· οὐ γὰρ ἐκείνων μεγάλη ἡ ἰσχύς. Τί γὰρ [e]δύ-
ναται, εἰπέ μοι; κωφά ἐστι καὶ ἀναίσθητα. [f]Εἰ ὁ διάβολος
οὐδέν [g]ἐστιν, ὁ μιαρὸς δαίμων, ὁ οὕτω πονηρὸς καὶ πάντα κυ-
κῶν, τὰ χρήματα [h]τίνα ἔχει ἰσχύν; Ἐὰν ἴδῃς ἄργυρον, νόμισον
εἶναι κασσίτερον. Ἀλλ' οὐ δύνασαι; [i]Ὅπερ ἐστὶν ἀληθὲς,
τοῦτο νόμισον, ὅτι γῆ ἐστι· [k]γῆ γάρ ἐστιν. Ἀλλ' οὐδὲ τοῦτον
F *δέχῃ τὸν λογισμόν; Ἐννόησον ὅτι [l]ἀπολλύμεθα καὶ ἡμεῖς, ὅτι*
πολλοὶ τῶν κεκτημένων οὐδὲν σχεδὸν [m]αὐτῶν ἀπώναντο, ὅτι
588 *μυρίοι κομπάσαντες ἐν [n]αὐτῷ, τέφρα ἐγένοντο καὶ κόνις, [o]καὶ*
νῦν δίκην τίνουσι τὴν ἐσχάτην, τῶν ἐν [p]ὀστράκῳ καὶ ὑέλῳ διαι-
τηθέντων πολλῷ τυγχάνοντες πτωχότεροι, τῶν ἐν κοπρίᾳ πολ-
λάκις οἱ ἐπὶ [q]τῶν κλινῶν τῶν ἐλεφαντίνων ἀπορώτεροι. Ἀλλὰ
τέρπει τὰς ὄψεις; Ἀλλὰ [r]τούτων πολλὰ τέρπειν δύναται
μᾶλλον. Καὶ γὰρ καὶ τὰ ἄνθη, καὶ ὁ ἀὴρ καθαρὸς ὢν, καὶ ὁ
οὐρανὸς, καὶ ὁ ἥλιος πολλῷ μᾶλλον τέρπει. Οὗτος μὲν γὰρ καὶ
ἰὸν ἔχει πολὺν, ὅθεν [s]πολλοὶ καὶ μέλανα αὐτὸν εἶναι ἀπεφή-
B *ναντο· καὶ δῆλον ἀπὸ τῶν ἐκμαγείων τῶν μελαινομένων· ἐν δὲ*
ἡλίῳ [t]μέλαν οὐδὲν, ἐν οὐρανῷ, ἐν ἄστροις. Πολλὴ ἐν τούτοις
τοῖς ἄνθεσιν ἡ ἀπόλαυσις, ἢ ἐν ἐκείνῳ τῷ χρώματι. Οὐ τὸ
ἄνθος τοίνυν ἐστὶ [v]τὸ τέρπον, ἀλλ' ἡ πλεονεξία, ἡ ἀδικία· τοῦτο
τέρπει τὰς ψυχὰς, οὐχ ὁ ἄργυρος. Ἔκβαλε ταύτην ἀπὸ τῆς
ψυχῆς, καὶ ὄψει πηλοῦ τὸ δοκοῦν εἶναι τίμιον ἀτιμότερον· ἔκ-
βαλε τὸ πάθος· ἐπεὶ καὶ οἱ πυρέττοντες, κἂν βόρβορον ἴδωσιν,
ὡς [w]πηγὰς ἐπιποθοῦσιν· [x]οἱ ὑγιαίνοντες δὲ ὡς χρὴ, οὐδὲ ὕδατος

[z] *γὰρ*] + *καὶ* K. Mox *ἕτερον ἦν* idem. [a] *ὅτι κατηξ.*] *ὃ κατηξ.* I.L. *τὸ καταξιῶσαι* K. [b] *ἦν* om. K. [c] *ἑκόντων*] Sic C.I. *ἑκόντως* L. *ἑκοντὶ* Edd. [d] *διαλελυμένοι* omnes. Edebatur *δεδουλωμένοι*. [e] *δύνανται* I. [f] *εἰ*] + *γὰρ* L. [g] *ἐστιν*] + *οὐδὲ δύναται* C. [h] *τίνα ἔχει*] *ἔχει τινὰ* I.L. [i] *ὅπερ*] *οὐκοῦν ὅπερ* K. Sav. cet. [k] *γῆ γάρ ἐστιν* om. C. [l] *ἀπολλύμεθα* I.K.L. *ἀπολούμεθα* Edd. [m] *αὐτῶν*] *ἐξ αὐτῶν* K. [n] *αὐτοῖς* C. [o] *καὶ*] *ὅτι καὶ* K. Sav. cet. Mox *τίσουσι* B.C.I.L. Veron. [p] *ὀστρακίνοις καὶ ὑελίνοις* C.I.L. Statim *πονουμένων* pro *διαιτηθέντων* K. [q] *τῶν ἐλ. κλινῶν ἀπ.* C. [r] *τούτων*] + *ἕτερα* K.L. Sav. cet. Mox *δύναται* omnes. *δύνανται* Veron. Sav. Mor. [s] *πολλοὶ* om. L. [t] *μέλαν οὐδὲν* post *ἄστροις* transp. L. [v] *τὸ τέρπον*] *τερπνὸν* L. [w] *πηγὴν* C. [x] *οἱ* om. K.

ἐπιθυμοῦσι πολλάκις. Ἔκβαλε τὴν νόσον, καὶ ὄψει τὰ πρά- C
γματα ὡς ἔστι. Καὶ ἵνα μάθῃς ὅτι οὐ ψεύδομαι, πολλοὺς ἔχω
[y]δεῖξαι τοῦτο πεποιηκότας. Σβέσον τὸ πῦρ, καὶ ὄψει ὅτι ἀν-
θέων ταῦτά ἐστιν εὐτελέστερα. Καλὸν τὸ χρυσίον· ἀλλ' εἰς
ἐλεημοσύνην καλὸν, εἰς ἐπικουρίαν πενήτων καλὸν, [z]οὐκ εἰς τὴν
ἀνόνητον χρῆσιν, [a]ἵνα ἔνδον [b]ἀποκέηται, ἵνα εἰς γῆν κατορύτ-
τηται, ἵνα [c]ἐπὶ χεῖρας καὶ πόδας καὶ κεφαλὰς περικέηται. Διὰ
τοῦτο [d]εὑρέθη, οὐχ ἵνα τὴν εἰκόνα τοῦ θεοῦ καταδεσμῶμεν
τούτῳ, ἀλλ' ἵνα λύωμεν τοὺς δεδεμένους· εἰς τοῦτο κέχρησο τῷ D
[e]χρυσῷ· λῦσον τὸν δεδεμένον, μὴ δήσῃς τὴν [f]λελυμένην. Τίνος
γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν [g]οὐδαμινὴν πάντων προτίθῃς; μὴ γὰρ,
ἐπειδὴ [h]χρυσός ἐστιν, [i]οὐκέτι δεσμὸν ποιεῖ; μὴ γὰρ ἡ ὕλη [k]τὸν
δεσμὸν ποιεῖ; [l]Ἄν τε χρυσὸς ᾖ, ἄν τε σίδηρος, ταὐτόν ἐστι·
[m]καίτοι τοῦτο ἐκείνου καὶ βαρύτερον. Ἀλλὰ τί ποιεῖ κοῦφον
τὸ πρᾶγμα; Ἡ κενοδοξία, καὶ τὸ παρὰ πάντων ὁρᾶσθαι δεδε-
μένην, ἐφ' ᾧ ἐχρῆν μᾶλλον αἰσχύνεσθαι. Ὅτι γὰρ τοῦτο ἀληθές
[n]ἐστι, κατάδησον, καὶ ἄφες ἐν ἐρημίᾳ, ἔνθα οὐδεὶς ὁ θεωρῶν, καὶ
βαρύνεται τὸν δεσμὸν καὶ ἐπαχθῆ νομίζει. Φοβηθῶμεν, ἀγα- E
πητοὶ, μὴ ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ ῥήματα, [9]"Δήσατε αὐ-
τοῦ χεῖρας καὶ πόδας." Τί ἤδη τοῦτο σαυτῇ [o]ποιεῖς; οὐδεὶς
δεσμώτης χεῖρας καὶ πόδας δέδεται. Τί καὶ τὴν κεφαλὴν δε-
σμεῖς; οὐ γὰρ ἀρκεῖ χεῖρας καὶ πόδας; τί καὶ τὸν τράχηλον
μυρίοις δεσμοῖς περιβάλλεις; Τὴν γὰρ ἀπὸ τούτων φροντίδα
παρίημι, τὸ δέος, τὴν ἀγωνίαν, τὴν μάχην τὴν ὑπὲρ αὐτῶν
[p]πρὸς τὸν ἄνδρα, εἴποτε αὐτῶν δεηθείη, τὸν θάνατον ὃν ὑπομέ-
νουσιν, [q]εἴποτε ἐκπέσοι τι τούτων. [r]Ταῦτα οὖν ἡδονὴ, εἰπέ F
μοι; Ἵνα ἕτερος [s]τερφθῇ τὰς ὄψεις, [t]σὺ δὲ καὶ δεσμοῖς καὶ
φροντίσι καὶ κινδύνοις καὶ ἀηδίαις καὶ μάχαις καθημεριναῖς
[v]ὑποβάλλεις σαυτήν; [w]Ἆρ' οὐ πάσης κατηγορίας καὶ κατα-
γνώσεως ἄξιον [x]ἂν εἴη τοῦτο; Μὴ, παρακαλῶ, μὴ ταῦτα ποιῶ-

[9] Matth. xxii. 13.

[y] δεῖξαι τ.] τ. δεῖξαι I.L. [z] οὐκ] ἀλλ' οὐκ I. [a] ἵνα] οὐδ' ἵνα vel οὐδ' ἵν' ter C. [b] ἀπόκειται B.C.I. Veron. Mox περίκειται C.I. [c] ἐπὶ C.I.K.L. περὶ Edd. [d] ηὑρέθη C.I. [e] χρυσίῳ C.I. Mox τοὺς δεδεμένους C. [f] λελυ-μένην] ἐλεημοσύνην I.L. [g] οὐδαμινὴν] + γῆν C. [h] χρυσὸς] οὐ χρυσὸς I.L. [i] οὐκέτι δ. π.] οἷον αὐτὸν δεσμὸν μὴ ποιεῖν K. οὐκ ἔστι δεσμὸν ποιεῖν L. [k] τὸν om. K. μὴ γὰρ ἡ ὕλη τ. δ. ποιεῖ om. C.I.L. [l] ἂν] ἐὰν bis L. Post ᾖ add. ὁ δεσμὸς K. [m] καίτοι] καὶ C.I.L. Mox καὶ om. L. [n] ἐστι om. K. [o] ποιεῖς] + γύναι C. (?) K. Sav. cet. [p] πρὸς—δεηθείη] δέθητι I. δέδηθι (sic) L. Clausula deest in C. invito Vet. [q] εἴποτε] + αὐτῶν B. Veron. [r] ταῦτ' οὖν K. [s] τερφθῇ pro τέρπῃ C.I.L. [t] σὺ δὲ] Sic C.L. Veron. σὺ B.I. σεαυτὴν K. σαυτὴν Sav. cet. [v] ὑποβάλλοις L. Statim σαυτὴν C.I.L. ἑαυτὸν B. Veron. σαυτὴν om. K. Sav. cet. [w] ἆρ' οὐ] ἆρ' οὖν οὐ K. ἄρα οὖν C.I.L. κατηγορίας καὶ om. L. [x] ἂν εἴη om. K. Sav. cet.

589 μεν, ἀλλὰ [y]λύωμεν πάντα σύνδεσμον ἀδικίας, διαθρύπτωμεν πεινῶντι τὸν ἄρτον, πάντα τὰ ἄλλα πράττωμεν, ἃ τὴν πρὸς τὸν θεὸν [z]παρρησίαν προξενῆσαι ἡμῖν δύναται, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η. (279)

B [1]Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ [a]διαλογισμοῦ. Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν [b]πλέγμασιν, ἢ [c]χρυσίῳ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' [d]ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν.

C [2]"ΟΤΑΝ προσεύχησθε, [e]φησὶ, μὴ γίνεσθε ὡς οἱ ὑποκριταὶ, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, [f]ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ [g]κλείσας [h]τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ." Τί οὖν [i]ὁ Παῦλός φησι, "Βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας [k]ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ;" [l]Ἀλλ' οὐκ ἔστιν
D ἐναντίον ἐκείνοις τοῦτο, μὴ γένοιτο, ἀλλὰ [m]καὶ σφόδρα [n]συνᾷδον. Πῶς καὶ τίνι τρόπῳ; [o]Δεῖ δὲ πρότερον εἰπεῖν, τί ἐστιν, "Εἴσελθε εἰς τὸ ταμιεῖόν σου" καὶ τί δήποτε [p]τοῦτο προστάττει, εἰ ἐν παντὶ τόπῳ δεῖ εὔχεσθαι· καὶ εἰ ἐν ἐκκλησίᾳ μὴ δεῖ εὔχεσθαι, [q]καὶ εἰ ἐν ἄλλῳ μηδενὶ τῆς οἰκίας μέρει, ἀλλ' ἐν

[1] Cap. II. v. 8—10. [2] Matth. vi. 5, 6.

[y] λύε I.L. [z] παρρ. πρ. ἡμῖν] Sic I.K.L. ἡμῖν om. C. ἡμῖν παρρ. πρ. Edd. Mox δυνήσεται L. Hom. VIII. [a] διαλογισμῶν L. [b] πλέγματι Veron. Statim ἢ om. B. Veron. [c] χρυσίῳ C.I.L. χρυσῷ Edd. ἢ ἱμ. πολ. om. K. et ante corr. I. [d] ὃ] ἃ B. ᾧ L. [e] φησὶν] + ὁ κύριος L. + ὁ Χριστὸς K. Sav. cet. [f] ὅτι ἀπ. Edd. ὅτι om. I.K.L. [g] ἀποκλείσας K. [h] τὴν θ. σου] Sic C.I.K.L. Cat. τὰς θύρας Edd. [i] ὁ Π. φησι] οὕτω τοῦ Χριστοῦ λέγοντος, ὁ Π. προτρέπει K. [k] ἐν π. τ. om. I. [l] ἀλλ' οὐκ—τοῦτο] οὐκ ἐναντιούμενος ἐκείνῳ τοῦτο λέγει K. [m] καὶ om. I.L. [n] συνᾷδον] Sic Cat. et Edd. συνᾴδων K. συνᾴδων ταῦτά φησι B. συνᾴδοντα ταῦτά φησι (φασι L.) C.I.L. [o] δεῖ—εἰπεῖν] εἴπωμεν πρότερον K. [p] τοῦτο] + τοῖς ἄλλοις B.I. Veron. Παῦλος pro τοῦτο C.L. Pergunt, προστάττει ἐν παντὶ τόπῳ εὔχεσθαι C.I.L. Haec εἰ ἐν π. τ. δεῖ εὔχεσθαι desunt in K. [q] καὶ εἰ—μόνον (μόνῳ L.)] ἢ ἐν ἄλλῳ τ. οἰ. μ. ἀλλὰ μόνον ἐν τῷ ταμείῳ; καὶ τότε ἐροῦμεν τί ἐστιν ἐν παντὶ τόπῳ K.

τῷ ταμείῳ μόνον. Τί οὖν ἐστι τὸ λεγόμενον; [r]Τὸ ἀκενόδοξον
δεικνὺς ἐνταῦθα ὁ Χριστός φησι, μὴ λάθρα ἁπλῶς, [s]ἀλλὰ κε-
κρυμμένως τὰς εὐχὰς ποιοῦ. Ὥσπερ γὰρ λέγων, [3] "Μὴ γνώτω
ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου," οὐ περὶ χειρῶν [t]διαλέγε-
ται ἁπλῶς, ἀλλὰ τὴν ὑπερβολὴν [v]τῆς ἀκενοδοξίας παρίστησιν,
οὕτω δὴ καὶ ἐνταῦθα τοῦτο αἰνίττεται. Οὐ τοίνυν [w]εἰς τόπον E
περιώρισε τὴν εὐχὴν, ἀλλ' ἓν μόνον ἐπέταξε, τὸ ἀκενόδοξον. Ὁ
δὲ Παῦλος ταῦτά φησι πρὸς ἀντιδιαστολὴν τῆς Ἰουδαϊκῆς εὐ-
χῆς. Ὅρα γὰρ τί φησιν· "Ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους
χεῖρας·" ὅπερ τοῖς Ἰουδαίοις θέμις [x]οὐκ ἦν. Οὐδὲ γὰρ ἐξῆν
[y]ἀλλαχοῦ προσιέναι τῷ θεῷ, καὶ θύειν, καὶ τὰς λατρείας [z]ἐπι-
τελεῖν, ἀλλ' εἰς ἕνα τόπον [a]τοὺς πανταχόθεν [b]τῆς οἰκουμένης
συντρέχοντας ἅπαντα τὰ τῆς [c]ἁγιστείας ἐν τῷ ναῷ ἐπιτελεῖν
[d]ἔδει. Τούτων ἀντίρροπον [e]τὴν παραίνεσιν [f]εἰσάγει, καὶ τῆς F
ἀνάγκης ἀπαλλάξας ἐκείνης, [g]οὐκ ἔστι [h]τοιαῦτα τὰ ἡμέτερα,
φησὶν, οἷα τὰ Ἰουδαϊκά. Ὥσπερ γὰρ τὰς εὐχὰς ὑπὲρ πάντων
κελεύει ποιεῖν· ὑπὲρ [i]γὰρ πάντων καὶ ὁ Χριστὸς [k]ἔπαθε, καὶ 590
ὑπὲρ πάντων, φησὶ, ταῦτα κηρύττω· οὕτω καὶ [l]πανταχοῦ καλὸν
εὔχεσθαι· ἡ δὲ παρατήρησις λοιπὸν μὴ περὶ τόπον ἔστω, ἀλλὰ
περὶ τὸν τρόπον τῆς εὐχῆς. Πανταχοῦ [m]μὲν εὔχου, φησὶ, παν-
ταχοῦ δὲ ὁσίους χεῖρας ἔπαιρε· [n]τοῦτό ἐστι τὸ ζητούμενον.
[o]Ὁσίους δὲ τί ἐστι; καθαράς· καθαρὰς δὲ [p]τί ἐστιν; οὐχ ὕδατι
νιπτομένας, ἀλλὰ [q]φιλαργυρίας, ἁρπαγῆς, φόνων, πληγῶν κα-
θαράς. "Χωρὶς ὀργῆς καὶ διαλογισμοῦ." Τί [r]δὴ τοῦτό ἐστι;
τίς [s]γὰρ εὐχόμενος ὀργίζεται; [t]Τουτέστι, χωρὶς μνησικακίας.

[3] Matth. vi. 3.

[r] τὸ ἀκ.—ποιοῦ] ἀκενοδόξους ἡμᾶς εἶναι βούλεται ὁ Χριστὸς, καὶ χωρὶς ἐπιδείξεως ποιεῖν τὰς εὐχάς. τοῦτο τοίνυν αἰνιττόμενος τοῖς ἀκούουσιν, εἴσελθε, φησὶν, εἰς τὸ ταμιεῖόν σου· οὐχ ἵνα τοῦτο ποιῶμεν προηγουμένως, ἀλλ' ἵνα κεκρυμμένως τὰς εὐχὰς ποιεῖσθαι σπουδάζωμεν K. [s] ἀλλὰ]+καὶ C.L. Mox ποιεῖ L. [t] διαλέγεται om. K. [v] Vid. Annot. [w] εἰς τὸν τόπον Edd. τὸν om. B.C.K.L. οὐ τοίνυν—ταῦτά φησι] διδάσκων παντὶ τρόπῳ σπουδάζειν εὐχομένους λανθάνειν. ἀλλ' οὐδὲ εἰς τόπον τοῦτο εἰπὼν περιώρισε τὴν εὐχὴν, ἀλλ' ἓν μόνον τὸ ἀκενόδοξόν τινα τρόπον ὑπέδειξε κατορθοῦν. ὁ Χριστὸς τοίνυν οὕτως· ὁ δὲ Π. τοῦτο κελεύει K. [x] οὐκ ἦν] ἦν οὐδαμῶς L. [y] ἀλλ. πρ. τῷ θ.] Sic C.I.K.L. Cat. τῷ θ. πρ. ἀλλαχοῦ Edd. [z] τελεῖν C. [a] τοὺς om. K. [b] ἐκ τῆς οἰκ. Edd. ἐκ om. I.K. [c] ἁγιαστίας B.I. νηστείας L. [d] ἔδει. τούτων] ἔδει τούτων I. ἔδει οὖν τούτων C.L. ἔδει οὖν (om. τούτων) K. [e] τὴν om. K. [f] εἰσάγειν I.L. εἰσαχθῆναι K. Mox ἀπαλλάξαι I. [g] οὐκ ἔστι—Ἰουδαϊκὰ] τοῦτο δὴ καὶ ποιεῖ οὗτος, εἰπὼν, ἐν παντὶ τόπῳ K. [h] φησὶ τοιαῦτα τὰ ἡ. et mox ὑπὲρ π. τὰς εὐχὰς inverso ord. Edd. [i] γὰρ πάντων] Sic C.I.K.L. πάντων γὰρ Edd. [k] ἔπαθε omnes. ἀπέθανε Edd. [l] πανταχοῦ]+κελεύει εὔχεσθαι· πανταχοῦ τοίνυν φησὶ K. [m] μὲν, φησὶ, et δὲ om. K. [n] τοῦτο]+γὰρ L. [o] ὁσίας C.I.L. Veron. Statim τί om. K. [p] τί ἐστιν] φησιν K. [q] φιλαργυρίας pro πλεονεξίας C.I.K.L. Statim ἁρπ. φ. pro φ. ἁρπ. iidem. [r] δὴ] δὲ B. Veron. *oro* Vet. [s] γὰρ] Sic B.L. Cat. Vet. δὲ Edd. Neutrum est in K. [t] τουτέστι χ. μν.] χ. μν. φησὶ K.

B Καθαρὰ ἔστω τοῦ εὐχομένου ἡ διάνοια, [v]πάθους παντὸς ἀπηλ-
λαγμένη· μηδεὶς μετὰ ἔχθρας προσίτω τῷ θεῷ· μηδεὶς μετὰ
ἀηδίας καὶ διαλογισμοῦ. Τί [w]ἐστι, "διαλογισμοῦ;" [x]Ἐπα-
κούσωμεν. Ἆρα οὐ δεῖ ὅλως ἀμφιβάλλειν ὅτι [y]ἀκουσθησόμεθα.
[4]"Ὅσα γὰρ ἂν αἰτήσητε, φησὶ, πιστεύοντες, λήψεσθε·" καὶ
πάλιν, "Ὅταν [z]στήκητε εὐχόμενοι, [a]ἀφίετε, [b]καὶ ἀφεθήσεται
ὑμῖν." Τοῦτό ἐστι, "χωρὶς ὀργῆς καὶ διαλογισμοῦ." Καὶ πῶς,
φησὶ, δυνήσομαι πιστεύειν, ὅτι [c]ἐπιτεύξομαι τῆς αἰτήσεως; Ἂν
μηδὲν ἐναντίον αἰτῇς, ὧν δοῦναί ἐστιν ἕτοιμος· ἂν μηδὲν ἀνάξιον
τοῦ βασιλέως, ἂν μηδὲν βιωτικὸν, ἂν πάντα πνευματικὰ, [d]ἂν
C χωρὶς ὀργῆς προσίῃς, ἂν καθαρὰς ἔχων τὰς χεῖρας, ἂν ὁσίας.
Ὅσιαί εἰσιν αἱ ἐλεημοσύνας ἐργαζόμεναι. Ἂν οὕτω προσίῃς,
πάντως [e]ὅτι ἐπιτεύξῃ τῆς αἰτήσεως. [5]"Εἰ γὰρ ὑμεῖς, φησὶ,
πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, (280)
πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς;" Διαλογισμὸν
[f]τί φησι; τὴν ἀμφιβολίαν λέγει. "Ὡσαύτως καὶ τὰς γυναῖκας,"
βούλομαι, [g]φησὶ, χωρὶς ὀργῆς, χωρὶς διαλογισμοῦ, [h]ὁσίους χεῖ-
ρας ἔχειν, μὴ ταῖς ἐπιθυμίαις ταῖς ἑαυτῶν ἐξακολουθεῖν, μὴ ἁρ-
D πάζειν, μὴ πλεονεκτεῖν. Τί γὰρ, [i]ἂν καὶ αὐτὴ μὴ ἁρπάζῃ, διὰ
δὲ τοῦ ἀνδρὸς [k]τοῦτο ἐργάζηται; Παρὰ δὲ τῶν γυναικῶν καὶ
πλέον τι [l]ἀπαιτεῖ ὁ Παῦλος. Ποῖον δὴ τοῦτο; "[m]Μετὰ αἰδοῦς,
φησὶ, καὶ σωφροσύνης ἐν καταστολῇ [n]κοσμίῳ κοσμεῖν ἑαυτὰς,
μὴ ἐν πλέγμασιν, ἢ [o]χρυσίῳ, ἢ μαργαρίταις, ἀλλ' [p]ὃ πρέπει
γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν." Κα-
ταστολὴν τί φησι; Τουτέστι, [q]τὴν ἀμπεχόνην πάντοθεν περι-
εστάλθαι καλῶς, κοσμίως, μὴ περιέργως· ἐκεῖνο γὰρ κόσμιον,
τοῦτο δὲ ἄκοσμον.

[r]Τί λέγεις; προσέρχῃ δεομένη τοῦ θεοῦ, καὶ περίκεισαι χρυ-
E σία καὶ ἐμπλέγματα; μὴ γὰρ χορεῦσαι ἦλθες; μὴ γὰρ γάμων

[4] Matth. xxi. 22. Marc. xi. 25. [5] Matth. vii. 11.

[v] παθ. παντὸς pro παντὸς παθ. C.I.K.L. Cat. [w] ἐστι] + χωρὶς K. Sav. cet. [x] ἀκούσωμεν K. Statim ἄρα post ἀμφιβάλλειν transp. idem. [y] ἀκουσθ. pro ἐπακουσθ. omnes. [z] στήκετε I.L. Statim εὐχόμενοι pro προσευχόμενοι C.I.K.L. [a] ἄφετε B. Veron. [b] καὶ ἀφ. ὑμῖν] εἴ τι ἔχετε κατά τινος K. Sav. cet. [c] τεύξομαι L. [d] ἂν ὀργῆς χωρὶς προσέλθῃς L. ἂν ante καθαρὰς om. I.L. [e] ὅτι accessit ex I.K.L. Vid. Annot. ad p. 495 B. Statim τεύξῃ I. [f] τί φησι om. K. Sav. cet. [g] φησὶ, χωρὶς ὀργῆς] τουτέστι· τί βούλει εἰπέ; χωρὶς ὀργῆς θεῷ προσιέναι K. φησὶ, θεῷ προσιέναι χ. ὀ. Sav. cet. invitis libris. [h] ὁσίας χ. αἴρειν, μὴ L. Mox ταῖς ἑ. ἐξ. pro ἐξ. ταῖς ἑ. omnes. [i] ἂν καὶ] Sic C.I.K.L. κἂν Edd. [k] τοῦτο] καὶ τοῦτο B.I.L. Statim ἐργάζεται B. [l] ἀπαιτεῖ C.I.K.L. αἰτεῖ Edd. [m] μετὰ—σωφροσύνης] Sic C.I.K.L. τὸ μετὰ αἰδοῦς καὶ σ. φησὶν Edd. [n] κοσμίῳ I.K. κοσμίᾳ Edd. [o] χρυσίῳ pro χρυσῷ C.I.L. Post μαργαρίταις add. ἢ ἐν ἱματισμῷ πολυτελεῖ C. [p] ὃ] ᾧ B.L. [q] τὴν ἀμπεχόνην om. C.I.L. invita Cat. [r] ΗΘΙΚΟΝ. Κατὰ καλλω-πιζομένων γυναικῶν, καὶ ἐκκλησιαστικῶν παρθένων.

μεθέξουσα; μὴ γὰρ εἰς πομπὴν παρεγένου; Ἐκεῖ τὰ χρυσία,
ἐκεῖ τὰ ἐμπλέγματα, ἐκεῖ τὰ πολυτελῆ [s]ἱμάτια ἔχει καιρόν· νῦν
δὲ οὐδενὸς τούτων χρεία. Ἦλθες παρακαλέσαι, δεηθῆναι ὑπὲρ
ἁμαρτημάτων, ἐντευξομένη [t]ὑπὲρ ὧν προσέκρουσας, αἰτουμένη
τὸν δεσπότην, [v]ἵλεω καταστήσουσα αὐτόν· τί κοσμεῖς σαυτήν;
Οὐκ ἔστι ταῦτα ἱκετευούσης τὰ σχήματα. Πῶς [w]δύνασαι στε-
νάξαι, [x]πῶς δακρῦσαι, πῶς μετὰ ἐκτενείας εὔξασθαι, τοιοῦτον
σχῆμα περικειμένη; Κἂν δακρύσῃς, γέλως ἔσται τὰ δάκρυα τοῖς F
ὁρῶσιν· οὐ γὰρ χρυσοφορεῖν τὴν δακρύουσαν δεῖ· ἐπεὶ σκηνή
ἐστι καὶ [y]ὑπόκρισις, ὅταν ἀπ' αὐτῆς τῆς διανοίας, ἀφ' ἧς ἡ το-
σαύτη πολυτέλεια [z]καὶ φιλοτιμία ἐτέχθη, ἀπὸ τῆς αὐτῆς καὶ δά- 591
κρυα προχέηται; Περίελε πᾶσαν ἐκείνην τὴν ὑπόκρισιν· [a]θεὸς
οὐ παίζεται. Ταῦτα τῶν μίμων καὶ τῶν ὀρχηστῶν ἐστι, τῶν
ἐν ταῖς [b]σκηναῖς· γυναικὶ δὲ [c]κοσμίᾳ οὐδὲν τούτων [d]ἁρμόζει.
"Μετὰ αἰδοῦς, φησὶ, καὶ σωφροσύνης." Μὴ τοίνυν τὰς ἑταιρι-
ζομένας μιμοῦ· διὰ γὰρ [e]τούτου τοῦ σχήματος ἐκεῖναι πολλοὺς
ἐπισπῶνται [f]τοὺς ἐραστὰς, κἀντεῦθεν πολλαὶ πονηρὰν ἔλαβον
ὑποψίαν πολλάκις, καὶ οὐδὲν ἐκ τοῦ κόσμου τούτου ἀπώναντο·
πολλοὺς [g]γὰρ διὰ τῆς δόξης ταύτης ἔβλαψαν. Ὥσπερ [h]γὰρ ἡ
πεπορνευμένη, κἂν ἔχῃ σώφρονος δόξαν, οὐδὲν τῆς δόξης [i]ἀπώ- B
νατο, τοῦ τὰ κρύφια δικάζοντος τότε πάντα εἰς μέσον ἄγοντος·
οὕτως οὐδὲ ἡ σώφρων, [k]ἂν [l]ἐπιτηδεύσῃ διὰ τοῦ σχήματος μοι-
χείας δόξαν λαβεῖν, [m]ἀπώνατό τι τῆς σωφροσύνης· πολλοὶ γὰρ
[n]διὰ τῆς δόξης ταύτης ἐβλάβησαν. Τί οὖν ἐγὼ πάθω, φησὶν,
ἂν ἕτερος ὑποπτεύσῃ; Σὺ δίδως τὴν ἀφορμὴν διὰ τοῦ σχήματος,
διὰ τοῦ βλέμματος, διὰ τῶν κινημάτων. Διὰ τοῦτο [o]πολὺς τῷ
Παύλῳ λόγος τῆς ἀμφιάσεως, πολὺς τῆς αἰδοῦς. [p]Εἰ δὲ ἃ
πλούτου μόνον ἐστὶ τεκμήρια ταῦτα περιεῖλε, χρυσὸν, [q]μαργα-
ρίτας, ἱμάτια πολυτελῆ, [r]πολλῷ μᾶλλον ἃ περιεργίας ἐστὶν, C
οἷον ἐπιτρίμματα, ὑπογραφὰς ὀφθαλμῶν, [s]διατεθρυμμένην βά-

[s] ἱμάτια] + ἴσως L. Mox τούτων χρ. pro χρ. τούτων omnes. [t] ὑπὲρ—αἰτουμένη om. K. [v] ἵλεων K. Statim καταστῆναί σοι· τί L. [w] δύνῃ C.I. [x] πῶς + δύνασαι Edd. δύνασαι om. C.I.K.L. [y] ὑπόκρισις] + πῶς γὰρ οὐ σκηνὴ (σκηνῆς K.) K. Sav. cet. Statim ὅταν ἀπὸ τῆς αὐτῆς δ. C.I.K.L. [z] καὶ ἡ φ. C. καὶ φ. om. L. [a] ὁ θεὸς C.I.L. [b] σκηναῖς] + διημερευόντων K. Sav. cet. [c] κοσμίῳ C. τοιοῦτον pro τούτων L. [d] ἁρμόζει] Sic C.I.K.L. *congruit* Vet. Edebatur πρέπει. [e] τούτου om. C.I.L. [f] τοὺς om. B.I.K. Statim καὶ ἐντεῦθεν C.I.L. ἐντεῦθεν K. [g] γὰρ om. K. [h] γὰρ] καὶ K. [i] ἀπώνατο] ἀπόνασθαι δυνήσεται K. [k] ἂν] κἂν C.I.L. Veron. [l] ἐπιτηδεύσει I. ἐπιτηδεύσηται L. τῇ ἐπιτηδεύσει (–σῃ ante corr.) C. Idem om. διὰ, et λάβῃ pro λαβεῖν habet. μοιχείας δόξαν δ. τ. σ. λ. hoc ord. I.K.L. [m] ἀπ. τι τῆς] οὐδὲν ὀνήσεταί τι ἀπὸ τῆς K. [n] διὰ] ἀπὸ K. [o] πολὺς om. K. [p] εἰ δὲ] καὶ εἰκότως· εἰ γὰρ K. [q] μαργαρίτας] ἐσθῆτας L. [r] πολλῷ] πῶς οὐ πολλῷ K.Sav. cet. Mox περιεργία I.L. [s] διατεθορυβημένην L.

δισιν, διακεκλασμένην φωνὴν, ὄμμα ὑγρὸν καὶ πάσης πορνείας
γέμον, περίεργον ἀναβολὴν τοῦ φάρους, τοῦ χιτωνίσκου, ζώνην
περιεργοτέραν, ὑποδήματα [t]ἀπηρτισμένα; [v]Ἅπαντα γὰρ ταῦτα
διὰ τοῦ εἰπεῖν, "ἐν καταστολῇ [w]κοσμίῳ," ἠνίξατο, [x]καὶ τοῦ
εἰπεῖν, "μετὰ αἰδοῦς·" [y]ταῦτα γὰρ ἀναιδείας ἐστὶ καὶ ἀσχη-
μοσύνης. [z]Ἀνάσχεσθε, παρακαλῶ· γυμνότερον γὰρ ὁ λόγος
τὸν ἔλεγχον [a]προάγει, οὐχ ἵνα πλήξῃ, οὐδ' ἵνα λυπήσῃ, ἀλλ'
D ἵνα τὸ ἀλλότριον τῆς ἀγέλης ἅπαν περιέλῃ. Εἰ ταῖς ἄνδρας
ἐχούσαις, [b]εἰ ταῖς τρυφώσαις, εἰ ταῖς πλουτούσαις ταῦτα ἀπα-
γορεύει, πολλῷ μᾶλλον ταῖς παρθενίαν ἀναδεδεγμέναις. Καὶ
τίς, φησὶ, παρθένος χρυσία [c]περιτίθεται; τίς δὲ ἐμπλέγματα;
Τοσαύτη ἡ τοῦ [d]λιτοῦ σχήματός ἐστι περιεργία, ὡς ταῦτα
μηδὲν εἶναι πρὸς [e]ἐκεῖνα. [f]Ἔνεστι γὰρ καὶ δι' εὐτελῶν ἱματίων
μᾶλλον καλλωπίζεσθαι τῶν τὰ χρυσία περικειμένων. Ὅταν γὰρ
σφόδρα [g]ᾖ κυανὸς ὁ χιτὼν, καὶ τῇ ζώνῃ συνεσταλμένος μετὰ
πολλῆς [h]τῆς ἀκριβείας περὶ τὸ στῆθος, καθάπερ τούτων τῶν
E [i]ἐπὶ σκηνῆς ὀρχουμένων, ὥστε μήτε εἰς πλάτος ἐκβαίνειν ἐξωγ-
κωμένον, μήτε εἰς [k]ἰσχνότητα συστέλλεσθαι, ἀλλ' [l]ἀμφοτέρων
εἶναι μέσον, καὶ πολλὰς ἔχειν περὶ τὰ στέρνα τὰς ῥυτίδας, πό- (281)
σων σηρικῶν οὐχ ἱκανὸν τοῦτο δελεάσαι μᾶλλον; Τί [m]δὲ, ὅταν
τὸ ὑπόδημα ἐν τῷ μέλανι σφόδρα ἀποστίλβῃ [n]δι' αὐτοῦ, λῆγον
εἰς ὀξὺ, καὶ τὴν ἐν ταῖς ζωγραφίαις εὐφυΐαν ᾖ μιμούμενον, ὥστε
[o]μήτε τὸν ταρσὸν ἀνέχειν [p]πολύ; τί δὲ, ὅταν τὴν ὄψιν ἐπι-
τρίμμασι μὲν μὴ καλλωπίζῃς, ἀπονίπτῃς δὲ μετὰ πολλῆς τῆς
F ἀκριβείας καὶ τῆς σχολῆς, καὶ διατείνῃς [q]μετὰ τοῦ μετώπου
πολὺ τῆς ὄψεως λευκότερον [r]τὸ κάλυμμα, εἶτα ἄνωθεν τὸ φάρος
[s]ἐπιτιθῇς, [t]ὡς ἂν τῷ λευκῷ τὸ μέλαν ἐμπρέπῃ; Τί ἄν τις εἴποι
592 περὶ τῶν ὀφθαλμῶν, τὰς μυρίας ἐκείνας περιστροφάς; περὶ
τῆς [v]δέσεως, τῆς νῦν μὲν κρυπτομένης, νῦν δὲ γυμνουμένης ἐν τῇ
δέσει τῆς περιστηθίδος; καὶ γὰρ καὶ τοῦτο γυμνοῦσι πολλάκις,
ὥστε τοῦ [w]ζώσματος τὴν ἀκρίβειαν φαίνεσθαι, τοῦ φάρους
παντὸς περὶ τὴν κεφαλὴν περιαγομένου. Τὰς δὲ χεῖρας, κα-

[t] ἀπηρτισμένα om. K. [v] ἅπ. γὰρ ταῦτα] ταῦτα γὰρ C.I.L. ταῦτα γὰρ πάντα K. [w] κοσμίῳ pro κοσμίᾳ B.C.I.L. [x] καὶ] + διὰ K. Sav. cet. [y] ἀναιδείας γὰρ καὶ ἀσχ. ταῦτά ἐστι hoc ord. K. [z] ἀνάσχ.] + μου K. Sav. cet. [a] προάγει omnes. Edebatur προσάγει. [b] εἰ ταῖς τρ. om. C. [c] περικεῖται C. [d] λιτοῦ] λοιποῦ C.I.K.L. Vet. [e] ἐκείνην K. [f] ἔν. γὰρ] πλὴν ἔν. K. Statim καὶ om. L. [g] ᾖ] εἴη L. [h] τῆς om. L. [i] ἐπὶ τῆς σκ. Edd. τῆς om. C.I.K.L. [k] στενότητα C. [l] ἀμφότερα L. [m] δὲ] δαὶ I. [n] δι' αὐτοῦ om. C. Statim σφόδρα λῆγον idem. [o] μηδὲ K. μὴ C.L. [p] πολὺν I.L. [q] μετὰ] ἐπὶ K. [r] τὸ om. C.I.K.L. [s] ἐπιτιθεὶς C. [t] ὡς ἂν] ὥστε C.I.L. Mox ἐμπρέποι B. ἐμπρέπειν K.L. ἐπιπρέπειν C. [v] δήσεως C.I.L. (sed p. p. δέσει.) [w] ζώματος C.L. Veron.

θάπερ οἱ τραγῳδοὶ, οὕτω μετὰ ἀκριβείας ἐνδιδύσκουσιν, ὥστε
νομίζειν προσπεφυκέναι μᾶλλον αὐταῖς. Τί ἄν τις εἴποι τὴν
βάδισιν, καὶ τὰ ἄλλα ἐπιτηδεύματα παντὸς χρυσίου [x]μᾶλλον
δυνάμενα τοὺς θεωμένους ἑλεῖν; Φοβηθῶμεν, ἀγαπητοὶ, μὴ ἀκού-
σωμεν καὶ ἡμεῖς, ἅπερ ὁ προφήτης ἔλεγε ταῖς [y]τῶν Ἑβραίων B
γυναιξὶ περὶ τὸν κόσμον τὸν ἔξωθεν ἠσχολημέναις· [6]"Ἀντὶ
ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου φα-
λάκρωμα ἕξεις." Ὥστε ταῦτα μᾶλλον ἐπαγωγὰ τῶν χρυσίων
ἐστὶν, ὡς πολλῶν [z]ἑτέρων καὶ πρὸς τοῦτο ἐπιτετηδευμένων,
πρὸς τὸ ὁρᾶσθαι καὶ αἰχμαλωτίζειν τοὺς θεωμένους. Οὐκ ἔστι
μικρὸν τὸ ἁμάρτημα, ἀλλὰ καὶ σφόδρα μέγα, ἱκανὸν παροξῦναι
τὸν θεὸν, ἱκανὸν παντὶ τῷ πόνῳ τῆς παρθενίας λυμήνασθαι.
Χριστὸν ἔχεις νυμφίον· τί [a]ἐραστὰς ἀνθρώπους ἐπισπᾶσαι;
Μοιχείας σε τότε κρινεῖ. Διὰ τί μὴ κοσμῇ τὸν κόσμον τὸν C
αὐτῷ ἀρέσκοντα, τὸν αὐτῷ φίλον, τὴν αἰδῶ, τὴν σωφροσύνην,
τὴν κοσμιότητα, τὴν σώφρονα καταστολήν; αὕτη [b]πορνική τις
ἐστὶ καὶ αἰσχρά. Οὐκέτι διαγινώσκομεν τὰς πόρνας [c]οὐδὲ τὰς
παρθένους. Ὅρα εἰς πόσην ἀσχημοσύνην ἐξήγαγον ἑαυτάς.
Ἀνεπιτήδευτον εἶναι [d]χρὴ τὴν παρθένον, ἁπλῶς καὶ [e]εἰκῆ [f]κει-
μένην· αὐτὸς γὰρ ὁ κόσμος ὁ ἔξωθεν περικείμενος οὐκ ἀφίησι D
τὸν ἔνδον γενέσθαι καλόν. Ὁ περὶ τοῦτον ἠσχολημένος, [g]τοῦ
ἔνδον καταφρονεῖ, ὥσπερ ὁ τούτου καταφρονῶν, πᾶσαν τὴν
σπουδὴν [h]περὶ τὸν ἔνδον ἐπιδείκνυται. Μή μοι εἴπῃς· οἴμοι,
ἱμάτιον ἐκτετριμμένον φορῶ, ὑπόδημα εὐτελὲς, κάλυμμα οὐδα-
μινόν· ποῖος ταῦτα κόσμος; Μὴ ἀπάτα σαυτήν. Ἔνεστιν, ὅπερ
[i]ἔφην, διὰ τούτων μειζόνως καλλωπίζεσθαι, ἢ δι' ἐκείνων, [k]μά-
λιστα διὰ τῶν ἐκτετριμμένων ἱματίων, [l]ἢ τῶν προσπεπλασμέ-
νων τῷ σώματι, [m]καὶ ἐκτετυπωμένων [n]καλῶς πρὸς τὸ σχῆμα E
τὸ [o]ἀναιδὲς, καὶ στιλβόντων [p]λαμπρόν. Ἐμοὶ ταῦτα λέγεις·
τί δὲ τῷ θεῷ ἐρεῖς τῷ τὴν διάνοιαν εἰδότι, μεθ' ἧς ταῦτα ποιεῖς;

6 Esai. iii. 24.

[x] μᾶλλον om. B.I.K.L. δυνάμενα μᾶλλον hoc ord. C. [y] τῶν om. K. Mox περὶ τὸν ἔξ. κόσμον ἠσχ. L. [z] ἑταιρῶν K. *scorta* Vet. [a] ἀνθρώπους ἐραστὰς inverso ord. B.I.K. [b] πορνική] κοσμική C.I.L. [c] οὐδὲ] καὶ K. Sav. cet. [d] χρὴ] ὀφείλουσαν K. [e] εἰκῆ] ὡς ἔτυχε K. [f] κειμένην] διεσκευασμένην· ἡ δὲ μυρία ἐπιτηδεύει πρὸς τὴν φαινομένην διασκευήν. παῦσαι τῆς μανίας, γύναι, ἐπὶ τὴν ψυχὴν μετάγαγε τὴν τοιαύτην σπουδὴν, ἐπὶ τὴν ἔσω εὐπρέπειαν (ἐμπρ. Sav. cet.) K. Sav. cet. Pergit K. ὁ γὰρ ἔξωθεν περικείμενος κόσμος οὐκ ἀφ. [g] τοῦ ἔ. καταφρονεῖ] οὐκ ἀφίησι τὸν ἔ. γενέσθαι ὡραῖον, ἀλλ' εὐκαταφρόνητον L. [h] περὶ] ἐπὶ I. Mox ἐπιδ. omnes. ἐνδ. Edd. [i] ἔφθην L. [k] μάλ.] ἔνεστι μάλ. K. διὰ τῶν ἐκτ. om. C. [l] ἢ om. C.I. Vet. [m] καὶ ἐκτ.] καὶ ἐντ. C. κατεκτετυπημένων I. [n] καλῶς om. K. [o] ἀναιδὲς] + καὶ διὰ τῶν μελανῶν ὑποδημάτων I. [p] λαμπρὸν] λαμπρῶς. ἀλλ' οὐχ ὥστε πορνεῦσαι, φησὶ, ταῦτα ποιῶ L.

Ἀλλ' οὐχ ὥστε πορνεῦσαι ποιεῖς; Ἀλλὰ τί; ὥστε θαυμασθῆ-
ναι; [q]Οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς ἐπὶ τούτοις βουλομένη θαυ-
μάζεσθαι; Ἀλλ' ἁπλῶς, φησὶ, ταῦτα περίκειμαι, οὐδὲ ἐπὶ
[r]τούτῳ. Οἶδεν ὁ θεὸς ἃ [s]φθέγγῃ πρὸς ἡμᾶς. Μὴ γὰρ ἐμοὶ
F δίδως λόγον; Ἐκείνῳ τῷ παρόντι τοῖς γινομένοις, καὶ τότε ἐξ-
ετάζοντι ταῦτα, [t]ἐκείνῳ ᾧ γυμνὰ καὶ τετραχηλισμένα πάντα.
Διὰ τοῦτο καὶ ἡμεῖς ταῦτα λέγομεν νῦν, ἵνα ὑμᾶς τῶν εὐθυνῶν
ἐκείνων μὴ ποιήσωμεν [v]ἐνόχους. [7]"Καὶ τοῖς ποσὶ, [w]φησὶν,
593 ἅμα παίζουσαι." Ἀνεδέξασθε ἀγῶνα μέγαν, ἔνθα ἀθλήσεως, οὐ
καλλωπισμοῦ [x]δεῖ, πυκτεύειν δεῖ, οὐ βλακεύειν. Οὐχ [y]ὁρᾷς τοὺς
πυκτεύοντας, τοὺς ἀθλοῦντας; ἆρα βαδίσεως αὐτοῖς [z]μέλει καὶ
σχήματος; Οὐδαμῶς· ἀλλὰ ταῦτα πάντα ἀφέντες, ἱμάτιον
ἐλαίῳ διάβροχον [a]ἀναβαλλόμενοι, πρὸς ἓν μόνον ὁρῶσι, τὸ
πλῆξαι, καὶ μὴ πληγῆναι. Ἕστηκεν ὁ διάβολος τρίζων τοὺς
ὀδόντας, πάντοθέν σε βουλόμενος καθελεῖν· σὺ δὲ μένεις ἀπη-
σχολημένη περὶ τὸν κόσμον τοῦτον τὸν [b]σατανικόν; Οὐδὲν
βούλομαι [c]λέγειν περὶ φωνῆς, πῶς πολλαὶ καὶ τοῦτο ἐπιτηδεύ-
B ουσι, περὶ μύρων καὶ τῆς ἄλλης βλακείας. Διὰ ταῦτα γελῶσιν
[d]ὑμᾶς αἱ κοσμικαί. Τὸ σεμνὸν τῆς παρθενίας [e]ἀπόλωλεν· οὐδεὶς (282)
τιμᾷ παρθένον, ὡς τιμᾶν [f]χρή· ἑαυτὰς γὰρ ἀτιμάζεσθαι πεποι-
ήκασιν. Οὐκ ἔδει, ὥσπερ ἐξ οὐρανοῦ [g]παραγενομένας, οὕτως
εἶναι περιβλέπτους ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ; νῦν δὲ καταπε-
φρόνηνται δι' ἑαυτὰς, οὐ διὰ τὰς φρονίμους. Ὅταν γὰρ ἴδῃ σε,
τὴν ἐσταυρωμένην εἶναι ὀφείλουσαν, ἡ ἄνδρα ἔχουσα καὶ παιδία
καὶ οἰκίας προεστῶσα, μᾶλλον αὐτῆς τὸν κόσμον τοῦτον διώ-
C κουσαν, πῶς οὐ καταγελάσεται; πῶς οὐ καταφρονήσει; Ὁρᾷς
πόση ἡ σπουδή; πόση ἡ μελέτη; δι' εὐτελείας νικᾷς τὴν [h]κο-
σμουμένην τὰ πολυτελῆ, μᾶλλον αὐτῆς καλλωπιζομένη τῆς τὰ
χρυσία περικειμένης. Ἃ πρέπει σοι οὐ ζητεῖς, ἃ οὐ πρέπει σοι,
[i]ἐκεῖνα μετέρχῃ, δέον σὲ τὰ ἀγαθὰ ἔργα μετιέναι. Διὰ [k]τοῦτο
τῶν κοσμικῶν ἀτιμότεραι αἱ παρθένοι· οὐ γὰρ ἄξια τῆς παρθε-
νίας [l]τὰ ἔργα ἐπιδείκνυνται. Ταῦτα εἰρήκαμεν οὐ πρὸς πάσας,

[7] Esai. iii. 16.

[q] οὐκ] καὶ οὐκ B.K. Sav. cet. [r] τούτων I. οὐδὲ ἐπὶ τούτῳ om. K. [s] φθέγγεται K. [t] Haec ἐκείνῳ—πάντα post λέγομεν νῦν transp. I.E. [v] ἐνόχους] + φοβηθῶμεν μὴ καὶ ὑμῖν ὀνειδίσῃ, ἃ διὰ τοῦ προφήτου ταῖς Ἰουδαίων γυναιξὶν, ἦλθον ὀφθῆναί μοι θρυπτόμεναι K. Sav. cet. [w] φησὶν om. K. Sav. cet. καὶ τοῖς π. φ. ἅ. παίζουσαι om. C. [x] δεῖ] χρεία K. Mox βλακεύεσθαι idem. [y] ὁρᾶτε L. [z] μέλλει B.I. [a] ἀναλαβόμενοι I. [b] σατανικὸν] + τε καὶ μάταιον L. [c] λέγειν] + νῦν K. Mox πῶς om. idem. [d] ὑμᾶς] Sic C.I. Vet. ἡμᾶς Edd. [e] ἀπόλωμεν I. [f] χρὴ] χρῆν I. δεῖ L. Mox γὰρ om. C.I.K.L. [g] γενομένας K. [h] κοσμουμένην] περιβαλλομένην K. [i] ἐκεῖνα] ταῦτα I. [k] τούτων I. [l] τὰ om. K.

*μᾶλλον δὲ πρὸς πάσας, [m]τὰς μὲν ὑπευθύνους, ἵνα [n]σωφρονῶσι,
τὰς δὲ ἀνευθύνους, ἵνα ἐκείνας σωφρονίζωσιν. Ἀλλ' ὁρᾶτε ὅπως* D
*μὴ εἰς ἔργον ἡ ἐπιτίμησις [o]ἔλθῃ. Οὐ γὰρ ἵνα λυπήσωμεν, [p]εἴ-
πομεν, ἀλλ' ἵνα διορθωσώμεθα, ἵνα καυχησώμεθα ἐν ὑμῖν. Γέ-
νοιτο δὲ πάντας ἡμᾶς τὰ τῷ θεῷ δοκοῦντα ποιεῖν, καὶ εἰς δόξαν
αὐτοῦ ζῆν, ὥστε καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν, χάριτι
καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ΛΟΓΟΣ Θ. 594

[1]*Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. Γυναικὶ δὲ διδά-
σκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυ-
χίᾳ. Ἀδὰμ [a]γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· καὶ Ἀδὰμ
οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε·
σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει* B
[b]*καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.*

ΠΟΛΛΗΝ ἀπαιτεῖ τὴν αἰδῶ παρὰ τῶν γυναικῶν ὁ μακά-
ριος Παῦλος, πολλὴν [c]τὴν κοσμιότητα, [d]οὐ μέχρι [e]σχημάτων,
οὐ μέχρι καταστολῆς, ἀλλὰ καὶ μέχρι [f]φωνῆς. [g]Μηδὲ φθεγ-
γέσθω, φησὶν, ἐν ἐκκλησίᾳ γυνή· ὅπερ καὶ ἐν τῇ πρὸς Κοριν-
θίους ἐπιστολῇ γράφων ἔλεγεν· [2]"Αἰσχρὸν [h]γάρ ἐστι γυναιξὶν C
ἐν ἐκκλησίᾳ λαλεῖν·" [i]καὶ πάλιν ἑτέρωθι, "Ὅτι ὁ νόμος αὐ-
τὰς, φησὶν, ὑπέταξεν. [k]Εἰ δέ τι μανθάνειν [l]ἐθέλουσιν, ἐν οἴκῳ
τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν." [m]Νυνὶ δὲ πολὺς ὁ θόρυβος,
πολλὴ ἡ κραυγὴ, πολλὴ ἡ διάλεξις, [n]οὐδὲ ἀλλαχοῦ τοσαύτη·
[o]πάσας διαλεγομένας ἴδοι τις ἂν, [p]ὅσα οὔτε ἐν ἀγορᾷ, οὔτε ἐν
βαλανείοις· [q]ὥσπερ δι' αὐτὸ τοῦτο παραγενόμεναι, ἵνα ἄνεσιν D

[1] Cap. II. v. 11—15. [2] 1 Cor. xiv. 34, 35.

[m] *τὰς μὲν—σωφρονίζωσιν*] *καὶ τὰς ὑπευθ. καὶ τὰς ἀνευθ. τὰς μὲν, ἵνα σωφρονεῖν πείσωμεν, τὰς δὲ, ἵνα ῥυθμίζειν ἐκείνας παρασκευάσωμεν ταῖς καθημεριναῖς ὁμιλίαις, ταῖς παραινέσεσιν* K. [n] *σωφρονισθῶσι* C. [o] *ἔλθοι* B.I.K.L. [p] *εἴπαμεν* I.L. Hom. IX. [a] *γὰρ* om. B. Mox *Εὔα* K.L. Veron. [b] *καὶ ἀγάπῃ* om. L. [c] *τὴν* om. I.L. [d] *οὐ*] *διὰ τοῦτο οὐ* (et post *καταστολῆς* add. *πρόεισιν*) K. Sav. cet. [e] *σχήματος* C. [f] *φωνῆς*] *σιγῆς* C. Cat. Post *φωνῆς* add. *καὶ τί φησι; γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω. τί ἐστι τοῦτο;* K. Sav. cet. [g] *μηδὲ*] *μὴ* I. [h] *γὰρ* om. C. [i] *καὶ π. ἑτ.*] *τί δήποτε;* K. Sav. cet. [k] *εἰ*] *καὶ πάλιν ἑτέρωθι, εἰ* iidem. [l] *θέλουσιν* B.C. *θέλωσιν* I. [m] *νυνὶ* (*νῦν* B. Veron.) *δὲ*] *ἀλλὰ τότε μὲν αἱ γυναῖκες ἀπὸ τῆς τοιαύτης διδασκαλίας ἐσίγων· νυνὶ δὲ παρ' αὐταῖς* K. Sav. cet. [n] *οὐδὲ* (*οὔτε* L. Veron.) *ἀλλ. τοσαύτη* (*τοσαῦτα* I.L.)] *οὐδαμοῦ ἀλλ. τοσαύτη, ὅση ἐνταῦθα* K. Sav. cet. [o] *πόσας* K. [p] *ὅσα*] + *ἐν τῇ ἐκκλησίᾳ* L. [q] *ὥσπερ*] + *γὰρ* K. Sav. cet. Mox *παραγεν.* pro *παραγιν.* C.I.L.

ἔχωσιν, οὕτω περὶ τὴν τῶν [r]ἀνονήτων διάλεξιν ἠσχόληνται
ἅπασαι. Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε· καὶ οὐκ
ἐννοοῦσιν, ὅτι οὐδὲ [s]ἔστιν ἄλλως μαθεῖν τι τῶν χρησίμων μὴ
ἡσυχαζούσας. Ὅταν γὰρ ἐπείγηται μὲν πρὸς τὴν διάλεξιν
ὁ λόγος, μηδεὶς δὲ προσέχῃ τοῖς λεγομένοις, τί τὸ ὄφελος;
Τοσοῦτον [t]γὰρ αὐτὴν σιγηρὰν εἶναι δεῖ, φησὶν, ὡς μὴ μόνον
περὶ βιωτικῶν, ἀλλὰ μηδὲ περὶ πνευματικῶν φθέγγεσθαι [v]ἐν
ἐκκλησίᾳ. Τοῦτο κόσμος, τοῦτο αἰδὼς, τοῦτο μᾶλλον αὐτὴν
E τῶν ἱματίων κοσμῆσαι δυνήσεται· ἂν οὕτως [w]ἑαυτὴν περιστείλῃ,
δυνήσεται καὶ μετὰ πολλῆς [x]τῆς εὐκοσμίας τὰς εὐχὰς ποιεῖσθαι.
"Γυναικὶ δὲ [y]διδάσκειν οὐκ ἐπιτρέπω," φησί. Ποίαν ἐνταῦθα
τοῦτο ἔχει [z]τὴν ἀκολουθίαν; [a]Καὶ πολλήν. Περὶ ἡσυχίας
διελέγετο, περὶ κοσμιότητος, περὶ αἰδοῦς· εἶπεν ὅτι λαλεῖν αὐ-
τὰς οὐ βούλομαι. Πάντοθεν τοίνυν βουλόμενος αὐτῶν περι-
κόψαι τὴν ἀφορμὴν τῆς λαλιᾶς, μηδὲ διδασκέτωσαν, φησὶν,
ἀλλὰ τὴν τῶν μαθητευομένων ἐχέτωσαν τάξιν· οὕτω γὰρ διὰ
τῆς σιγῆς καὶ τὴν ὑποταγὴν δείξουσι. Λάλον [b]γάρ πως τὸ (283)
F γένος ἐστί· [c]διὰ τοῦτο πάντοθεν αὐτὴν καταστέλλει. "Ἀδὰμ
γὰρ, φησὶ, πρῶτος ἐπλάσθη, εἶτα [d]Εὔα· καὶ Ἀδὰμ οὐκ ἠπα-
τήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε." Τί οὖν
ταῦτα πρὸς [e]τὰς νῦν; Ναὶ, φησί· τῆς πλείονος ἀπέλαυσε τιμῆς
τὸ τῶν [f]ἀνδρῶν γένος· πρῶτον ἐπλάσθη. Ἀλλαχοῦ δὲ καὶ
[g]τὸ μεῖζον ἔδειξεν, οὕτω λέγων· [3]"Οὐ γὰρ ἐπλάσθη ὁ ἀνὴρ
595 διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα." Τί [h]οὖν τοῦτό
[i]φησι; Πρῶτον μὲν ἀπὸ τούτων ἐχέτω τὰ [k]πρωτεῖα· δεύτερον
δὲ ἀπὸ τῶν ἤδη γενομένων. Ἐδίδαξέ ποτε τὸν ἄνδρα, καὶ
πάντα κατέστρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον ἐποίησε. Διὰ
τοῦτο αὐτὴν ὑπέταξεν ὁ θεὸς, ἐπειδὴ τῇ ἀρχῇ, μᾶλλον δὲ τῇ
B ὁμοτιμίᾳ κακῶς ἐχρήσατο. [4]"Πρὸς τὸν ἄνδρα σου, φησὶν, ἡ
ἀποστροφή σου" πρὸ δὲ τούτου οὐκ εἴρητο τοῦτο. Πῶς δὲ
[l]Ἀδὰμ οὐκ ἠπατήθη; οὐκοῦν οὐ παρήκουσεν, εἴγε [m]μὴ ἠπατήθη.
[n]Καὶ ἡ μὲν γυνή φησιν, [5]"Ὁ ὄφις ἠπάτησέ με·" ὁ δὲ Ἀδὰμ

[3] 1 Cor. xi. 9. [4] Gen. iii. 16. [5] Ibid. iii. 13, 12.

[r] ἀνοήτων L. et ante corr. I. διάκεινται pro ἠσχόληνται L. [s] ἔνεστιν K. [t] γὰρ om. K. φημὶ pro φησὶν idem. [v] ἐν τῇ ἐκ. L. [w] αὐτὴν L. σαυτὴν (et mox δυνήσει) I. [x] τῆς om. B. [y] διδ. οὐκ ἐπιτρέπω, φησὶ (φησὶ om. L.)] Sic B.C.I.L. διδ. οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ K. οὐκ ἐπιτρέπω διδάσκειν. οὐκ ἐπιτρέπω, φησὶ Edd. [z] τὴν om. K. [a] καὶ om. K. [b] γὰρ om. K. [c] διὰ] καὶ διὰ L. [d] ἡ Εὔα L. [e] τὰς] τὰ I. [f] ἀνθρώπων I. [g] τὸ μ.] μεῖζον αὐτὸ K. [h] οὖν om. K. Haec τί οὖν—ἐδίδαξέ ποτε τὸν ἄνδρα om. I.L. [i] φησι; πρῶτον μὲν (+ οὖν C.)] λέγει; πολλαχόθεν βουλόμενος τὸν ἄνδρα πρωτεύειν. πρῶτον μὲν γὰρ K. Sav. cet. [k] πρωτεῖα] + φησὶ K. Sav. cet. [l] Ἀδὰμ] + εἶπεν (nisi forte εἶπεν pro Ἀδὰμ) K. [m] μὴ omnes. οὐκ Edd. [n] καὶ ἡ μὲν γ.] πρόσεχε ἀκριβῶς· ἡ γ. K. Sav. cet.

οὐ [o]λέγει, ἡ γυνὴ ἠπάτησέ με, ἀλλ' ὅτι "Αὕτη ἔδωκέ μοι, καὶ
ἔφαγον." Οὐκ ἔστι δὲ ἴσον παρὰ τῆς ὁμοφύλου καὶ συγγενοῦς
δέξασθαι τὴν ἀπάτην, καὶ παρὰ θηρίου, τοῦ δούλου, τοῦ ὑποτε-
ταγμένου· ὥστε ἐκεῖνο ἀπάτης ἐστί. Πρὸς οὖν τὴν σύγκρισιν
τῆς γυναικός φησιν αὐτὸν μὴ ἠπατῆσθαι, ὅτι ἐκείνη μὲν ὑπὸ
τοῦ δούλου καὶ ὑποτεταγμένου, οὗτος δὲ ὑπὸ τῆς ἐλευθέρας. C
Πάλιν δὲ οὐ περὶ τοῦ Ἀδὰμ εἴρηται, ὅτι [6] "Εἶδε τὸ ξύλον ὅτι
καλὸν εἰς βρῶσιν," ἀλλὰ περὶ τῆς γυναικὸς, [p]ὅτι "Ἔφαγε, καὶ
ἔδωκε [q]καὶ τῷ ἀνδρὶ αὐτῆς·" ὥστε οὗτος οὐκ [r]ἐπιθυμίᾳ ἐνδοὺς
παρέβη, ἀλλὰ τῇ γυναικὶ πεισθεὶς ἁπλῶς. Ἐδίδαξεν ἅπαξ ἡ
γυνὴ, καὶ πάντα κατέστρεψε· διὰ τοῦτό φησι, "Μὴ διδασκέτω."
Τί [s]οὖν πρὸς τὰς λοιπὰς, εἰ ἐκείνη τοῦτο ἔπαθε; Καὶ πάνυ· τὸ
γὰρ γένος ἀσθενὲς καὶ κοῦφον. [t]Ἐνταῦθα λοιπὸν περὶ τῆς
φύσεως διαλέγεται· οὐ γὰρ εἶπεν, ἡ δὲ Εὔα ἀπατηθεῖσα, ἀλλ' D
"ἡ γυνὴ," ὅπερ ἐστὶν ὄνομα τοῦ κοινοῦ γένους μᾶλλον ἢ ἐκείνης.
Τί οὖν; πᾶσα ἡ φύσις ἐν παραβάσει γέγονε δι' ἐκείνης; Ὥσπερ
περὶ τοῦ Ἀδάμ [v]φησιν, [7] "Ἐν ὁμοιώματι τῆς παραβάσεως
[w]Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος·" οὕτω καὶ ἐνταῦθα·
[x]τουτέστι, τὸ γυναικεῖον γένος παρέβη, οὐ τὸ [y]ἀνθρώπινον.
Τί οὖν; οὐκ ἔχει σωτηρίαν; [z]Ναὶ, φησί. Ποίαν δὴ ταύτην;
Τὴν διὰ τῶν τέκνων· οὐ γὰρ δὴ περὶ τῆς Εὔας [a]ἔλεγεν· "Ἐὰν E
[b]ἐμμείνωσιν ἐν τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ
σωφροσύνης." [c]Ποίᾳ πίστει; ποίᾳ ἀγάπῃ; ποίῳ ἁγιασμῷ
μετὰ σωφροσύνης; Ὡς ἂν εἰ ἔλεγε· μὴ [d]κατηφεῖς ἔστε, αἱ
γυναῖκες, ὅτι τὸ γένος ὑμῶν διαβέβληται· ἔδωκεν ὑμῖν ὁ θεὸς
καὶ ἑτέραν ἀφορμὴν σωτηρίας, τὴν [e]παιδοτροφίαν· ὥστε μὴ
μόνον δι' ἑαυτῶν, ἀλλὰ καὶ δι' ἑτέρων σώζεσθαι. Ὅρα πόσα
[f]κατὰ ταὐτὸν ζητήματα τίκτεται. "Ἡ [g]δὲ γυνὴ ἀπατηθεῖσα,
φησὶν, ἐν παραβάσει γέγονε." [h]Τίς; Ἡ Εὔα. Αὕτη οὖν F

[6] Gen. iii. 6. [7] Rom. v. 14.

[o] λέγει] + ὅτι L. Statim ἡ δὲ γυνὴ I.K. [p] ὅτι] καὶ ὅτι K. Sav. cet. invita Cat. [q] καὶ om. L. Cat. [r] ἐπιθ. ἐνδοὺς] Sic B.C.L. Cat. *concupiscentiae cedens* Vet. ἐπιθ. δοὺς Veron. ἐπιθ. ἁλοὺς K. Sav. cet. ἐπιθυμίαν δοὺς I. [s] οὖν] + τοῦτο K. Mox τοῦτο om. idem. [t] ἐνταῦθα—διαλέγεται] ἄλλως δὲ, περὶ τῆς φ. ἐνταῦθα πάσης λέγεται K. Sav. cet. [v] φησιν] + ὅτι iidem. [w] τοῦ Ἀδὰμ L. τῆς παραβάσεως—γυναικεῖον] αὐτοῦ πάντες ἀποθνήσκουσιν ἄνθρωποι, οὕτω καὶ ἐνταῦθα τὸ ἐν παραβάσει γέγονεν εἶπεν, δηλῶν ὅτι τὸ οἰκεῖον K. [x] τουτέστι om. Sav. cet. invitis libris et Cat. [y] ἀνθρώπινον] ἀνδρεῖον K. Sav. cet. non Cat. [οὐ τὸ ἀνδρεῖον] Sav. [z] ναὶ, φησί.] φησί; ναί. K. [a] ἐπήγαγεν K. [b] ἐμμείνωσιν] Sic K.L. ἐνμ. I. μείνωσιν Edd. Mox τῇ om. bis K. [c] ποίᾳ ἀγ. ποίᾳ πίστει inverso ord. C.I.K.L. Mox μετὰ σωφρ. om. K. Vet. [d] κατηφεῖς ἔστε] κατηφήσητε K. κατηφιῆτε Cat. [e] παιδοποιίαν C. [f] κατ' αὐτὸν L. Veron. invita Cat. [g] δὲ om. K. Sav. cet. [h] τί C.

[i]σωθήσεται διὰ τῆς τεκνογονίας; Οὐ τοῦτο, [k]ἀλλ' ἡ φύσις,
φησὶν, ἡ γυναικεία σωθήσεται. [l]Αὕτη ἐν παραβάσει [m]γέγονεν·
ἀλλὰ παρέβη μὲν ἡ Εὔα, σωθήσεται δὲ τὸ γυναικεῖον γένος διὰ
τῆς τεκνογονίας. Διὰ τί [n]γὰρ μὴ καὶ διὰ τῆς οἰκείας ἀρετῆς; μὴ
γὰρ [o]ἐκείνη ταῖς ἄλλαις ἐξέκλεισε; Τί οὖν πρὸς τὰς παρθένους;
596 τί δὲ πρὸς τὰς στείρας; τί δὲ πρὸς τὰς χήρας τὰς πρὶν ἢ
τεκεῖν τοὺς ἄνδρας [p]ἀποβαλούσας; ἀπολώλασιν; ἐλπίδα οὐκ
ἔχουσι; καὶ μὴν αἱ παρθένοι εἰσὶν αἱ μάλιστα εὐδοκιμοῦσαι.
Τί ποτε οὖν βούλεται εἰπεῖν; [q]Ὥσπερ τὸ πᾶν γένος ὑπέταξεν
ἀπὸ τῆς διαπλάσεως διὰ τῶν εἰς τὴν πρώτην [r]γενομένων γυ-
ναῖκα· ἐπειδὴ γὰρ ἡ Εὔα δευτέρα [s]ἐπλάσθη, καὶ τὸ λοιπὸν
γένος ὑποτασσέσθω, φησίν· οὕτως ἄρα, ἐπειδὴ καὶ παρέβη, καὶ
B τὸ λοιπὸν [t]γένος ἐν τῇ παραβάσει; Ἀλλ' οὐκ ἔχει λόγον· ἐκεῖ
μὲν [v]οὖν τῆς τοῦ θεοῦ δωρεᾶς γέγονε τὸ πᾶν, [w]τοῦτο δὲ τῆς
ἁμαρτίας τῆς γυναικός. [x]Καὶ μὴν διὰ τοῦτο πάντες ἀπέθανον,
φησὶν, ἐπειδὴ ὁ εἷς ἥμαρτε, τουτέστιν, ἡ γυνή. Μηδὲν οὖν ἀλ-
γείτω· [y]ἔδωκεν αὐτῇ ὁ θεὸς παραμυθίαν [z]οὐ μικρὰν, τὸ τεκεῖν
παιδία. Ἀλλὰ τοῦτο τῆς [a]φύσεως. Καὶ ἐκεῖνο τῆς φύσεως·
οὐ γὰρ μόνον τὸ τῆς φύσεως, ἀλλὰ καὶ τὸ τῆς παιδοτροφίας
κεχάρισται. "[b]Ἐὰν ἐπιμείνωσι, [c]φησὶ, τῇ πίστει καὶ τῇ (284)
C ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης·" τουτέστιν, [d]ἐὰν
αὐτοὺς ἐναγάγῃ μετὰ τὸ τεκεῖν ἐν τούτοις, οὐ μικρὸν [e]ἕξει
[f]τούτου τὸν μισθὸν, ὅτι ἀθλητὰς ἔθρεψε τῷ Χριστῷ. "[g]Ἐὰν
ἐπιμείνωσι, φησὶ, τῇ πίστει καὶ τῇ ἀγάπῃ·" τὸν ὀρθὸν [h]λέγει

[i] σωθ.] οὐ σωθ. L. [k] ἀλλ' ἡ φ. φησὶν] φησὶν, ἀλλ' ὅτι ἡ φ. K. Sav. cet. οὐ τοῦτο—τεκνογονίας om. C. [l] αὕτη] + δὴ οὐκ K. Sav. cet. [m] γέγονεν· ἀλλὰ] Sic I.L. Cat. γέγονεν; οὔ· ἀλλὰ B. Veron. γέγονε; ναὶ, γέγονεν, ἀλλὰ K. Sav. cet. [n] γὰρ om. K. Post ἀρετῆς add. εἶπεν idem. [o] ἐκείνη] + τοῦτο K. Sav. cet. [p] ἀποβαλλούσας B. Veron. [q] ὥσπερ] τινές φασιν ὅτι ὥσπερ K. Sav. cet. invita Cat. [r] γενομένων] γενομένην B. et ante corr. C. εἰρημένων K. [s] ἐπλάσθη] + καὶ ὑπετάγη K. Sav. cet. [t] γένος] + γέγονεν iidem. [v] οὖν] γὰρ iidem. [w] τοῦτο] ἐνταῦθα iidem. Post δὲ add. τοῦτο K. [x] καὶ μὴν—ἡ γυνή.] ὃ οὖν λέγει, τοῦτό ἐστιν· ὅτι ὥσπερ πάντες ἀπέθανον ἄνθρωποι διὰ τοῦ ἑνὸς, ἐπειδὴ ὁ εἷς ἥμαρτεν, οὕτω καὶ πᾶν τὸ γυναικεῖον γένος παρέβη, ἐπειδὴ ἐν παραβάσει γέγονεν ἡ γυνή. K. Sav. cet. [y] ἔδωκεν] + δὲ B. Veron. + οὖν L. [z] οὐ om. B. Veron. Mox τοῦ (sic) τεκεῖν π. ante παραμυθίαν transp. L. [a] φύσεως] + φησὶ K. Sav. cet. [b] ἐὰν] + γὰρ C. Cat. [c] φησὶ, τῇ π.] τῇ π. φησὶ C.I.K.L. φησὶ om. Ver. καὶ τῇ ἀγάπῃ om. C.I.L. [d] ἐὰν αὐτοὺς—ἐν τούτοις, οὐ] Sic Cat. ἐὰν αὐτοὺς ἐν ἀγάπῃ ἐκθρέψῃ μετὰ τὸ τ. καὶ ἐν ἁγνείᾳ διατηρήσῃ. ἐν τούτοις οὐ C. ἐὰν αὐτοὺς (ἑαυτοὺς L. Veron. ἑαυτὰς I.) ἐν ἀγάπῃ μετὰ τὸ τ. καὶ (ἐν pro καὶ B.I.L. Veron.) ἁγνείᾳ διατηρήσωσιν. ἐν τούτοις οὐ B.I.K.L. Veron. Sav. cet. [e] ἕξει] ἔχει Cat. ἕξουσι C.K. Sav. cet. [f] τούτου τὸν μ.] τοῦτο (sic) μ. I. τοῦτον μ. Cat. τὸν ὑπὲρ τούτων μ. K. Sav. cet. Post μισθὸν add. ἀλλὰ καὶ σφόδρα μέγαν K.L. Sav. cet. Mox ἔθρεψαν K. Sav. cet. [g] ἐὰν—κοσμιότητα] ἁγιασμὸν δὲ τὸν ὀρθὸν λέγει βίον, σωφροσύνην δὲ τὴν κ. K. Sav. cet. [h] λέγειν L. Mox καὶ om. C.

βίον· εἶτα τὴν σωφροσύνην καὶ τὴν κοσμιότητα. [8]“ Πιστὸς ὁ
[i]λόγος.” Πρὸς [k]τοῦτο εἴρηται, οὐ πρὸς τὸ, “ Εἴ τις ἐπισκοπῆς
ὀρέγεται.” Ἐπειδὴ γὰρ τοῦτο ἀμφιβαλλόμενον ἦν, διὰ τοῦτο
λέγει, “ Πιστὸς ὁ λόγος,” ὅτι δυνήσονται πατέρες ἀπολαύειν
τῆς τῶν παίδων ἀρετῆς, [l]καὶ μητέρες, ὅταν αὐτοὺς ἐκθρέψωσι D
καλῶς. Τί οὖν, ἂν αὐτὴ μὲν ᾖ μοχθηρὰ καὶ μυρίων κακῶν
[m]μεστή; ἀπὸ τῆς παιδοτροφίας ὠφεληθήσεται; οὐκ [n]εἰκὸς
τοιούτους [o]αὐτοὺς τρέφειν ὁμοίους αὐτῇ; Περὶ τῆς ἐναρέτου
ταῦτά φησιν. [p]Τί οὖν φησι; Πολὺν καὶ τούτων λήψεται
μισθὸν καὶ ἀμοιβήν.

[q]Ἀκούσατε ταῦτα, [r]καὶ πατέρες καὶ μητέρες, [s]ὡς οὐκ ἄμισθος
ὑμῖν ἔσται [t]ἡ παιδοτροφία. Τοῦτο [v]οὖν καὶ προϊὼν φησιν·
[9]“ Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησε·” [w]καὶ E
μετὰ τῶν ἄλλων αὐτὸ τίθησιν. Οὐ γάρ ἐστι τοῦτο μικρὸν, τὸ
τὰ δοθέντα παιδία παρὰ [x]τοῦ θεοῦ, ταῦτα τῷ θεῷ ἀνατιθέναι.
Ἂν γὰρ τὴν κρηπῖδα καὶ τοὺς θεμελίους [y]καλοὺς ἔχοιεν τῆς
καταβολῆς, μέγαν ἕξουσι τὸν μισθόν· ὥσπερ οὖν ἀμελοῦντες,
τὴν κόλασιν. Ἐπεὶ καὶ ὁ Ἠλεὶ διὰ τοὺς παῖδας ἀπώλετο τοὺς
[z]ἑαυτοῦ· ἐχρῆν γὰρ αὐτοὺς νουθετεῖν. Καὶ μὴν ἐνουθέτει· ἀλλ'
οὐχ ὡς ἔδει, ἀλλὰ μὴ [a]βουληθεὶς αὐτοὺς λυπῆσαι, καὶ αὐτοὺς
καὶ ἑαυτὸν προσαπώλεσεν. [b]Ἀκούσατε ταῦτα, οἱ πατέρες· F
παιδεύετε ὑμῶν τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου μετὰ
πολλῆς τῆς ἐπιστροφῆς. Ἄγριον ἡ νεότης, πολλῶν δεομένη
τῶν ἐπιστατούντων, διδασκάλων, παιδαγωγῶν, ἀκολούθων, τρο-
φέων· ἀγαπητὸν γὰρ μετὰ τοσαῦτα [c]δυνηθῆναι κατασχεθῆναι
αὐτήν. Καθάπερ τις ἵππος [d]ἀνήμερος, καθάπερ τι θηρίον [e]ἀτί- 597
θασσον, τοιοῦτόν ἐστιν ἡ νεότης. Ἂν τοίνυν ἄνωθεν καὶ ἐκ
πρώτης ἡλικίας ὅρους αὐτῇ πήξωμεν καλοὺς, οὐ δεησόμεθα πολ-
λῶν μετὰ ταῦτα πόνων, ἀλλ' ἡ συνήθεια [f]νόμος ἔσται λοιπόν.
[g]Μηδὲν ἐῶμεν αὐτοὺς τῶν ἡδέων καὶ βλαβερῶν ποιεῖν, μηδὲ ὡς

8 Cap. III. v. 1. 9 1 Tim. v. 10.

[i] λόγος] + φησὶ L. [k] τοῦτο] + τὸ τοιοῦτον L. [l] καὶ μητέρες post ἀπολαύειν transp. L. [m] μεστὴ omnes. γέμουσα Edd. Statim ἄρα ἀπὸ K. Sav. cet. [n] εἰκὸς] + δὲ μᾶλλον K. Sav. cet. [o] αὐτὴν L. [p] τί οὖν—τούτων] οὐ τῆς τυχούσης, ὅτι πολὺν καὶ τούτου K. Sav. cet. [q] ἀκούετε (om. ταῦτα) K. ΗΘΙΚΟΝ. Παραίνεσις πρὸς γονεῖς περὶ ἀναγωγῆς τέκνων. Veron. [r] καὶ accessit ex B.C.I.L. [s] ὡς οὐκ] οὐχ ὡς I. ὡς om. K. [t] ἡ π.] ἡ τῆς παιδοτροφίας ἀντίδοσις B. [v] οὖν] γὰρ L. [w] καὶ μ. τ. ἄ. pro μ. τ. ἄ. καὶ omnes. [x] τοῦ assumtum ex omnibus. [y] καλῶς ἔχοιε (sic) L. Statim ἐκ τῆς κ. B. [z] αὐτοῦ B. [a] βουληθεὶς] θέλων K. [b] ἀκούετε K. Mox καὶ παιδεύετε idem. [c] δυνηθῆναι, quod aberat, est in libris omnibus. [d] ἀνήμερος] ἀδάμαστος K. Sav. cet. [e] ἀτιθάσσευτον C.L. ἀτιθάσευτον I. τοιοῦτον om. C.K. inclusum a Sav. [f] νόμος] + αὐτοῖς K. Sav. cet. [g] μηδὲν] + τοίνυν K.

παισὶ χαριζώμεθα· ἐν σωφροσύνῃ μάλιστα [h]διατηρῶμεν αὐτούς·
τοῦτο γὰρ πάντων πλέον τὴν νεότητα λυμαίνεται. Πρὸς τοῦτο
πολλῶν ἡμῖν δεῖ τῶν ἀγώνων, πολλῆς τῆς προσοχῆς. Ταχέως
αὐτοῖς γυναῖκας ἄγωμεν, ὥστε καθαρὰ αὐτῶν καὶ ἀνέπαφα τὰ
B σώματα δέχεσθαι τὴν νύμφην· οὗτοι οἱ ἔρωτες θερμότεροι. Ὁ
πρὸ τοῦ γάμου σωφρονῶν, πολλῷ μᾶλλον μετὰ τὸν γάμον· ὁ
δὲ μαθὼν πορνεύειν πρὸ τοῦ γάμου, καὶ μετὰ τὸν γάμον τοῦτο
ποιήσει. [10]"Ἀνδρὶ γάρ, φησί, πόρνῳ πᾶς ἄρτος ἡδύς." Διὰ
τοῦτο [i]στέφανοι ταῖς κεφαλαῖς ἐπιτίθενται, σύμβολον τῆς νί-
κης, [k]ὅτι ἀήττητοι γενόμενοι, οὕτω προσέρχονται τῇ εὐνῇ, ὅτι
μὴ κατηγωνίσθησαν ὑπὸ τῆς ἡδονῆς. Εἰ δὲ ἁλοὺς ὑπὸ τῆς ἡδο-
νῆς πόρναις ἑαυτὸν ἐκδῷ, τίνος ἕνεκεν [l]λοιπὸν στέφανον ἔχει ἐπὶ
C τῆς κεφαλῆς, ἡττημένος; Ταῦτα αὐτοῖς παραινῶμεν, [m]νουθετῶ-
μεν, φοβῶμεν, ἀπειλῶμεν, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιοῦντες.
[n]Μεγάλην παρακαταθήκην ἔχομεν τὰ παιδία. Φροντίζωμεν
τοίνυν αὐτῶν, καὶ πάντα ποιῶμεν, [o]μὴ ὁ πονηρὸς ἡμᾶς αὐτοὺς
ἀφέληται. Νῦν δὲ πάντα ἀπεναντίας γίνεται παρ' ἡμῶν. Ὅπως
μὲν γὰρ ἔσται τὸ χωρίον καλόν, πάντα πράττομεν, καὶ ὅπως
ἀνδρὶ πιστῷ τοῦτο ἐγχειρίσωμεν, καὶ ὀνηλάτην, καὶ [p]ὀρεωκόμον,
καὶ ἐπίτροπον, καὶ λογοθέτην εὐνούστατον ἐπιζητοῦμεν· ὃ δὲ
[q]πάντων ἡμῖν ἐστι τιμιώτερον, ὅπως τὸν υἱὸν [r]ἐπιτρέψωμέν
D τινι τῷ δυναμένῳ αὐτοῦ τὴν σωφροσύνην διατηρῆσαι, οὐ σκο-
ποῦμεν· καίτοι τοῦτο πάντων ἐστὶ τὸ κτῆμα τιμιώτερον, καὶ
[s]ἐκεῖνα διὰ τοῦτο γίνεται. [t]Τῶν μὲν οὖν κτημάτων [v]αὐτοῖς
φροντίζομεν, αὐτῶν δὲ οὐκέτι. Ὁρᾷς τὴν ἀλογίαν; Ἄσκησον
τοῦ παιδὸς τὴν ψυχήν, κἀκεῖνα παρέσται λοιπόν· ταύτης μὲν
γὰρ οὐκ οὔσης ἀγαθῆς, οὐδὲν ὄφελος αὐτῷ τῶν χρημάτων· ταύ-
της δὲ [w]κατωρθωμένης, οὐδὲν βλάβος ἀπὸ τῆς πενίας. Βούλει
καταλιπεῖν αὐτὸν πλούσιον; δίδαξον αὐτὸν εἶναι χρηστόν· οὕτω
E γὰρ καὶ τὰ κτήματα συγκροτῆσαι δυνήσεται, καὶ ἐὰν μὴ κτήση-
ται, τῶν κεκτημένων οὐδὲν ἔλαττον διακείσεται. Ἂν δὲ πονηρὸς
ᾖ, κἂν μυρία καταλίπῃς αὐτῷ, [x]τὸν φύλακα οὐ κατέλιπες, ἀλλὰ (285)
τῶν εἰς ἔσχατον πενίας ἐληλακότων [y]χείρονα ἐποίησας. Τοῖς

10 Sirac. xxiii. 17.

[h] δ. αὐτοὺς] αὐτοὺς δ. C.I.K.L. [i] στέφανος . . . ἐπιτίθεται K. [k] ὅτι] δηλοῦντες ὅτι K. [l] λοιπὸν] + καὶ K. Sav. cet. [m] νουθ.] τούτοις νουθ. K. Sav. cet. [n] μεγάλην—αὐτῶν] φροντίζωμεν τοίνυν τῶν παιδίων· μεγ. γὰρ παρ. ἔχομεν αὐτὰ K. [o] μὴ] ἵνα μὴ C. [p] ὡραιωκόμον K. ὀρεοκόμον B.I. Veron. [q] πάντως B.K. ἡμῖν om. C.I.L. [r] ἐπιτρέψομεν I. [s] ἐκεῖνο L. Statim διὰ τοῦτον I.L. Veron. [t] τῶν μὲν οὖν] ἡμεῖς δὲ τῶν μὲν B.K. [v] αὐτοῦ C.I.L. αὐτῷ Veron. Mox αὐτοῦ δὲ C.L. [w] κατορθουμένης L. [x] τὸν φ. οὐ] οὐχ ὡς φ. τοῦτον L. [y] χ. τε καὶ πενέστερον ἐποίησας L. χείρονας ποιῆσαι I.

γὰρ μὴ ῥυθμισθεῖσι τῶν παίδων καλῶς, [z] βέλτιον πλούτου πε-
νία. Ἐκείνη μὲν γὰρ καὶ ἄκοντας κατέχει [a] ἐν ἀρετῇ· οὗτος δὲ
οὐδὲ βουλομένους ἀφίησι σωφρονεῖν, ἀλλ' ἐξάγει καὶ καταστρέ-
φει, καὶ μυρίοις ἐμβάλλει [b] δεινοῖς. Αἱ μητέρες, τὰς θυγατέρας F
μάλιστα διανείμασθε· εὔκολος ὑμῖν ἡ φυλακὴ αὕτη· [c] περισκο-
πεῖτε, ὥστε οἰκουροὺς εἶναι· [d] πρὸ πάντων εὐλαβεῖς αὐτὰς εἶναι
παιδεύετε, κοσμίας, χρημάτων καταφρονεῖν, ἀκαλλωπίστους 598
[e] εἶναι· οὕτω πρὸς τὸν γάμον ἔκδοτε. [f] Οὐκ αὐτὰς μόνον, ἀλλὰ
καὶ τὸν ἄνδρα [g] διασώσετε τὸν μέλλοντα αὐτὴν [h] ἄγεσθαι· οὐ
τὸν [i] ἄνδρα, ἀλλὰ καὶ τὰ παιδία· οὐ τὰ παιδία, ἀλλὰ καὶ [k] τὰ
ἔγγονα. Τῆς γὰρ ῥίζης γενομένης καλῆς, [l] οἱ κλάδοι ἐπὶ [m] τὸ
βέλτιον ἐκταθήσονται, καὶ πάντων τούτων λήψεσθε τὸν [n] μι-
σθόν. Ὡς οὖν οὐ μίαν ὠφελοῦντες ψυχὴν, ἀλλὰ πολλὰς διὰ
τῆς μιᾶς, οὕτω πάντα πράττωμεν. Οὕτω γὰρ δεῖ ἐκ τῆς πα-
τρικῆς οἰκίας ἐξιέναι πρὸς γάμον, καθάπερ ἀθλητὴν ἐκ παλαί-
στρας, πᾶσαν δι' ἀκριβείας ἔχουσαν τὴν ἐπιστήμην, καθάπερ
ζύμην ὀφείλουσαν τὸ ὅλον φύραμα εἰς τὸ ἑαυτῆς μεταστῆσαι B
κάλλος. Καὶ οἱ παῖδες πάλιν οὕτως ἔστωσαν αἰδέσιμοι, [o] ἀπὸ
τῆς κοσμιότητος καὶ τῆς [p] σωφροσύνης, ἵνα καὶ παρὰ ἀνθρώπων
καὶ παρὰ θεοῦ πολὺν τὸν ἔπαινον ἔχωσι. [q] Μαθέτωσαν γαστρὸς
κρατεῖν, πολυτελείας ἀπέχεσθαι, οἰκονομικοί τινες εἶναι, φιλό-
στοργοι, μαθέτωσαν ἄρχεσθαι. Οὕτω γὰρ δυνήσονται πολὺν
προξενῆσαι [r] μισθὸν τοῖς γονεῦσιν· [s] οὕτω πάντα ἔσται εἰς δόξαν
θεοῦ καὶ εἰς σωτηρίαν [t] ἡμετέραν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ C
ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ι.

[1] Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν
τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, [a] νη-
φάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικὸν, μὴ πάροι- D
νον, μὴ [b] πλήκτην, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ

[1] Cap. III. v. 1—4.

[z] βελτίων (sic ex corr.) τοῦ πλ. K. [a] εἰς ἀρετὴν L. [b] δεινοῖς] κινδύνοις K. [c] περισκοπεῖτε] + διδάσκετε B.K. [d] πρὸ δὲ π. B.K. Sav. cet. [e] εἶναι] μένειν iidem. Statim ἂν οὕτω C. [f] οὐκ] ἂν οὕτως αὐτὰς διαπλάττωμεν B.K. Sav. cet. [g] διασώσατε Veron. διασώσητε ex corr. K. [h] ἀγαγέσθαι I.K. Sav. cet. [i] ἄνδρα] + δὲ μόνον C. [k] τὰ om. L. [l] οἱ] καὶ οἱ C. [m] τὸ om. B.K. Proximum καὶ om. iidem. [n] μισθὸν] + πάντων γὰρ αὐτὴ τὸν μισθὸν λήψῃ C.I.L. Veron. invito Vet. [o] ἀπὸ] ὡς ἀπὸ B.K. Sav. cet. [p] σωφρ.] + μᾶλλον C. + μᾶλλον διαγινώσκεσθαι B.K. Sav. cet. [q] μανθανέτωσαν κρ. γ. L. [r] τὸν μισθὸν C. [s] οὕτω] + καὶ B.K. [t] ἡμετέραν] + τὰ παρ' ἡμῶν σπουδαζόμενα B.K. Hom. X. [a] νηφάλεον passim I. [b] πλήκτην] + μὴ αἰσχροκερδῆ Edd. repugnantibus C.I.L. Vet. Vid. infra p. 599 E.

ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.

E ΜΕΛΛΩΝ [c]καθιέναι εἰς τὸν περὶ τῆς ἐπισκοπῆς λόγον, δείκνυσι καθάπαξ ὁποῖον εἶναι χρὴ τὸν ἐπίσκοπον, οὐκ ἐν τάξει τῆς πρὸς Τιμόθεον αὐτὸ παραινέσεως ποιῶν, ἀλλ' ὡς πᾶσι διαλεγόμενος, καὶ δι' ἐκείνου πάντας ῥυθμίζων. [d]Καὶ τί φησιν; "Εἴ τις ἐπισκοπῆς ὀρέγεται," οὐκ ἐγκαλῶ, φησί· προστασίας γὰρ ἔργον ἐστίν· εἴ τις ταύτην ἔχει τὴν ἐπιθυμίαν, ὥστε [e]μὴ τῆς ἀρχῆς καὶ τῆς αὐθεντίας ἐφίεσθαι μόνον, [f]ἀλλὰ τῆς προστασίας, οὐκ ἐγκαλῶ· "[g]Καλοῦ ἔργου ἐπιθυμεῖ," φησίν. Ἐπεὶ καὶ Μωϋσῆς ἐπεθύμησε [h]τοῦ πράγματος, ἀλλ' οὐ τῆς ἐξουσίας, καὶ οὕτως ἐπεθύμησεν, ὡς ἀκοῦσαι· [2]"Τίς σε κατέστησεν ἄρ-
F χοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;" Εἴ τις οὕτως ἐπεθύμησεν, ἐπιθυμείτω· ἐπισκοπὴ γὰρ εἴρηται παρὰ τὸ ἐπισκοπεῖν ἅπαντας. "Δεῖ οὖν, φησὶ, τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα." Οὐ νομοθετῶν τοῦτό [i]φησιν, ὡς μὴ εἶναι ἐξὸν ἄνευ
599 τούτου [k]γίνεσθαι, ἀλλὰ τὴν ἀμετρίαν κωλύων· ἐπειδὴ ἐπὶ τῶν Ἰουδαίων ἐξῆν καὶ δευτέροις ὁμιλεῖν γάμοις, καὶ δύο ἔχειν κατὰ ταὐτὸν γυναῖκας· [3]"Τίμιον γὰρ ὁ γάμος." Τινὲς δὲ, ἵνα [l]ἐκ μιᾶς γυναικὸς ᾖ, [m]φασὶ τοῦτο εἰρῆσθαι. "[n]Ἀνεπίληπτον." Πᾶσαν [o]εἶπεν ἀρετὴν, ἀνεπίληπτον εἰπών. Ὥστε εἴ τις σύνοιδεν ἑαυτῷ τινα ἁμαρτήματα, οὐ καλῶς ποιεῖ πράγματος ἐπιθυμῶν, οὗ διὰ τῶν ἔργων ἑαυτὸν ἐξέβαλεν· οὐ γὰρ ἄρχειν, ἀλλὰ ἄρχεσθαι δεῖ τὸν τοιοῦτον. Τὸν γὰρ ἄρχοντα παντὸς λαμπτῆρος λαμπρότερον εἶναι δεῖ, καὶ βίον ἔχειν ἀκηλίδωτον, ὥστε
B πάντας πρὸς ἐκεῖνον ὁρᾶν, καὶ πρὸς τὸν αὐτοῦ [p]βίον. Ποιεῖ (286)
δὲ τοῦτο οὐχ ἁπλῶς, τοσαύτῃ κεχρημένος τῇ παραινέσει· ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ἔμελλεν ἐπισκόπους καθιστᾶν, [q]ἅπερ καὶ Τίτῳ γράφων παρῄνει, καὶ ἐπειδὴ εἰκὸς ἦν πολλοὺς τοῦ πράγματος ἐπιθυμεῖν, διὰ τοῦτο ταῦτα παρεγγυᾷ. "Νηφάλιον," [r]φησὶ, τουτέστι, διορατικὸν, μυρίους ἔχοντα πάντοθεν ὀφθαλμοὺς, ὀξὺ

[2] Exod. ii. 14. [3] Hebr. xiii. 4.

[c] καθιέναι B.I.K. κατιέναι Edd. [d] καὶ τί] τί οὖν C. [e] μὴ τῆς ἀρχῆς—προστασίας] μὴ μόνον αὐτὸν αὐθεντεῖν διὰ τῆς ἀρχῆς, ἀλλὰ παντὶ τρόπῳ προνοεῖσθαι τῆς σωτηρίας τῶν ἀρχομένων B.K. [f] ἀλλὰ]+καὶ C. [g] καλοῦ]+γὰρ Edd. γὰρ om. C.L. et ante corr. I. [h] τοῦ πρ. ἀλλ'] ἀλλὰ τοῦ πρ. B.K. [i] φησιν] λέγει B.K. [k] γενέσθαι C.I.L. non Cat. [l] ἐκ μ. γ. ᾖ] Sic C. Cat. Veron. μ. γ. ᾖ I.L. μ. γ. ἀνὴρ ᾖ B.K. Sav. cet. [m] φησὶν I. [n] ἀνεπίληπτον]+εἶναι C. ἀνεπίληπτον—εἰπὼν om. I.L. [o] εἶπεν] περιέλαβεν B.K. Mox ἀν. εἰπὼν om. C. [p] βίον]+τὸν οἰκεῖον χαρακτηρίζειν B.K. Sav. cet. [q] ἅπερ pro ὅπερ omnes. [r] φησὶ om. B.K.

βλέποντα. [s]Πολλὰ γάρ ἐστι τὰ συμπίπτοντα, καὶ ἀμβλύ-
νοντα τὸ τῆς διανοίας ὄμμα, [t]καὶ ἀθυμία, καὶ φροντίδες, καὶ C
πραγμάτων ὄχλος, [v]καὶ πολλὰ πάντοθεν ἐπιρρεῖ. [u]Ἄγρυπνον
τοίνυν [w]αὐτὸν εἶναι χρὴ, [x]τὸν οὐ τὰ ἑαυτοῦ μεριμνῶντα μόνον,
ἀλλὰ καὶ τὰ τῶν λοιπῶν· διεγηγέρθαι χρὴ, καὶ [y]ζεῖν τῷ πνεύ-
ματι, [z]καὶ πῦρ πνέειν, ὡς εἰπεῖν, καὶ μᾶλλον στρατηγοῦ καὶ ἐν
νυκτὶ καὶ ἐν ἡμέρᾳ τὸ στράτευμα περιϊόντος κάμνειν καὶ διακο-
νεῖσθαι, καὶ τὴν ὑπὲρ ἁπάντων ἔχειν φροντίδα καὶ μέριμναν.
"Σώφρονα, κόσμιον, φιλόξενον." [a]Ταῦτα καὶ τῶν ἀρχομένων D
ἔχουσιν οἱ πολλοί· [b]ἐπειδὴ δὲ δεῖ αὐτὸν καὶ τὰ τῶν ἀρχόντων
ἔχειν, διὰ τοῦτο ἐπήγαγε, "διδακτικόν." [c]Τοῦτο οὐκέτι ὁ ἀρ-
χόμενος ἀπαιτεῖται· [d]μάλιστα γὰρ τοῦτο πάντων προσεῖναι
δεῖ τῷ ταύτην τὴν ἀρχὴν ἐγκεχειρισμένῳ. "Μὴ πάροινον." Οὐ
τὸν μέθυσον ἐνταῦθά φησιν, ἀλλὰ τὸν ὑβριστὴν, τὸν αὐθάδη.
"Μὴ πλήκτην." Οὐ τὸν [e]μὴ πλήττοντά φησι ταῖς χερσί. Τί
[f]οὖν ἐστι, "μὴ πλήκτην;" Ἐπειδή [g]εἰσιν ἀκαίρως τινὲς πλήτ-
τοντες τῶν ἀδελφῶν τὴν συνείδησιν, [h]τούτους νῦν [i]αἰνίττεσθαί E
μοι δοκεῖ. "Ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου
οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πά-
σης σεμνότητος." Εἰ τοίνυν ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου,
τὸν δὲ ἐπίσκοπον οὐ δεῖ τὰ τοῦ κόσμου μεριμνᾶν, πῶς φησι,
"μιᾶς γυναικὸς ἄνδρα;" Τινὲς μὲν οὖν φασιν, ὅτι τὸν ἀπὸ
γυναικὸς [k]ἠνίξατο· εἰ δὲ μὴ τοῦτο εἴη, ἔνεστιν [l]ἔχοντα γυναῖκα,
ὡς μὴ ἔχοντα εἶναι. Τότε μὲν γὰρ καλῶς τοῦτο συνεχώρησεν, F
ὡς πρὸς τὴν τοῦ πράγματος φύσιν τὴν τότε οὖσαν· ἔνεστι δὲ
αὐτὸ μεταχειρίσασθαι καλῶς, εἴ τις βούλοιτο. Ὥσπερ γὰρ ὁ
πλοῦτος δυσχερῶς [m]εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, 600

[s] πολλὰ γάρ ἐστι τὰ (τὰ om. C.) σ.—ὄμμα] Sic C. Cat. Vet. καὶ μὴ ἀμβλ. τὸ τ. δ. ὄμμα I.L. Veron. καὶ μὴ ἀμβλ. τὸ τ. δ. ὄμμα. πολλὰ γάρ ἐστι τ. σ. καὶ οὐκ ἐῶντα ὁρᾶν καθαρῶς καὶ ὡς ἔχει τὰ πράγματα B.K. Sav. cet. [t] καὶ] καὶ γὰρ καὶ B.K. κἂν quater L. Veron. Statim ἀθυμίαι B.K. Sav. cet. [v] καὶ] +ἄλλα B.K. Mox ἐπιρρῇ Veron. [w] αὐτὸν] τοῦτον I. [x] τὸν om. B.C.K. Sav. cet. [y] ζῆν I.L. Vet. [z] καὶ om. B.K. Statim πνεῖν C.I.L. [a] ταῦτα] +ἐπειδὴ B.K. Sav. cet. [b] ἐπειδὴ—ἐπήγαγε] δεῖ γὰρ καὶ αὐτοὺς εἰς τὰ τοιαῦτα τοῖς ἄρχουσιν ἴσους εἶναι· δεικνὺς τὸ τῶν ἐπισκόπων ἐξαίρετον, ἐπήγαγε iidem. [c] τοῦτο] +γὰρ iidem. [d] μ. γὰρ] μόνῳ δὲ μ. B.K. μ. δὲ Sav. cet. [e] μὴ om. B.C.K. Statim τύπτοντα C. [f] οὖν] +ὃ λέγει B.K. [g] εἰσί τινες ἀκαίρως I.L. Statim τύπτοντες B.K. [h] τούτους νῦν] τοῦτο τοίνυν C. τούτους μόνον I.L. [i] αἰνίττεσθαί μοι δοκεῖ] αἰνιττόμενος δοκεῖ εἰπεῖν. μὴ αἰσχροκερδῆ B.K. Hinc μὴ αἰσχροκερδῆ admisit Montef. [k] ἠνίξατο] +μένοντα ἐλεύθερον B.K. receptum a Ben. [l] ἔχ. γ. for γ. ἔχ. C.I.L. εἴη, ἔνεστιν—καλῶς] ἐκεῖνο ἐστὶν εἰπεῖν· λέγει γὰρ ὅτι ἔνεστιν ἔχοντα καὶ γυναῖκα, ὡς μὴ ἔ. εἶναι. ἀλλὰ τότε μὲν καλῶς τ. σ. ὡς πρὸς τὴν κατάστασιν τῶν πραγμάτων τὴν τ. οὖσαν. νῦν δὲ οὐκέτι δεῖ συγχωρεῖν, πλὴν ἔνεστι τὸ πρᾶγμα μεταχ. καὶ καλῶς B.K. [m] προσάγει K.

πολλαχοῦ δὲ οἱ πλουτοῦντες εἰσῆλθον, οὕτω καὶ ὁ γάμος. Τί
[n] δὲ λέγεις, εἰπέ μοι; περὶ ἐπισκόπου διαλεγόμενος [o] ἔλεγεν, ὅτι
δεῖ αὐτὸν μὴ μέθυσον εἶναι, ἀλλὰ φιλόξενον, δέον τὰ μείζονα
τούτων εἰπεῖν. Διὰ τί [p] γὰρ οὐκ [q] εἶπε, δεῖ δὲ τὸν ἐπίσκοπον
ἄγγελον εἶναι, [r] μηδενὶ πάθει ἀνθρωπίνῳ ὑποκεῖσθαι; ἐκεῖνα τὰ
μεγάλα, ἃ [s] Χριστὸς εἶπεν, ἃ καὶ τοὺς ἀρχομένους ἔχειν δεῖ,
ἐσταυρῶσθαι, [t] καὶ ἐν ταῖς χερσὶν ἀεὶ ἔχειν τὴν ψυχήν; ὃ καὶ ὁ
B Χριστὸς εἶπεν, [4] "Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν
ὑπὲρ τῶν προβάτων·" καὶ πάλιν, "Ἐὰν μή τις ἄρῃ τὸν σταυ-
ρὸν αὐτοῦ, καὶ [v] ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος."
Ἀλλὰ, "μὴ πάροινον," φησί. Καλαὶ αἱ ἐλπίδες, εἰ περὶ τού-
των ὀφείλει ὁ ἐπίσκοπος παραινεῖσθαι. Διὰ τί γὰρ οὐκ εἶπες,
δεῖ δὲ αὐτὸν [w] ἤδη μεταστῆναι ἐκ τῆς γῆς; ἀλλὰ [x] ἃ τοῖς κοσμι-
κοῖς ἐπέταξας, ταῦτα τῷ ἐπισκόπῳ οὐκ ἐπιτάττεις; Τί δὲ ἐκεί-
νοις φησί; [5] "Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς·" καὶ
C πάλιν, "Ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας·" καὶ
πάλιν, "Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα [y] ἐσταύρωσαν·" καὶ ὁ
Χριστὸς πάλιν [z] φησὶν, "Ἐὰν μή τις ἀποτάξηται αὐτοῦ πᾶσι
τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος." Τίνος οὖν ἕνεκεν ταῦτα
οὐκ εἴρηκεν; Ὅτι τοιούτους ὀλίγους εὑρεθῆναι [a] ἐνῆν, ἐπισκόπων
δὲ [b] ἔδει πολλῶν, [c] καὶ καθ' ἑκάστην πόλιν τῶν προηγησομένων.
[d] Τί οὖν; ἐνεδρεύεσθαι ἔμελλε τὰ τῶν ἐκκλησιῶν. Διὰ τοῦτο
συμμεμετρημένην εἶπεν ἀρετὴν, οὐκ ἐκείνην τὴν [e] ἄνω, τὴν ὑψη-
D λήν· τὸ γὰρ νηφάλιον εἶναι καὶ κόσμιον καὶ σώφρονα [f] πολ-
λῶν ἦν.

"Τέκνα ἔχοντα, φησὶν, ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος." [g] Δεῖ γὰρ οἴκοθεν παρέχεσθαι τὰ παραδείγματα. Τίς [h] γὰρ πιστεύσειεν, ὅτι τὸν ἀλλότριον ὑποτάξει ὁ τὸν υἱὸν [i] μὴ ὑποτάξας; "Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον." Τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι ὁ οἰκονομικὸς καὶ πολιτικὸς ἂν γένοιτο ταχέως. Καὶ γὰρ [k] καὶ τοῦτό ἐστιν ἡ ἐκκλησία, ὡς ἂν εἰ μικρὰ οἰκία·

4 Joan. x. 11. Matth. x. 38.
5 Col. iii. 5. Rom. vi. 7. Gal. v. 24. Luc. xiv. 33.

[n] δὲ om. B.K.L. [o] ἔλεγες I. Mox εἶναι μὴ μ. hoc ord. B.C.I.K. [p] γὰρ] δὲ L. [q] εἶπε] εἶπες I. εἶπεν ὅτι K. Sav. cet. Statim δὲ om. B. [r] καὶ μηδενὶ L. Cat. [s] ὁ Χρ. B.K. Cat. [t] καὶ—ὃ καὶ] πρὸς θάνατον παρεσκευάσθαι, ὑπὲρ τῆς ποίμνης τιθέναι τὴν ψ. ὃ καὶ αὐτὸ B.K. [v] ἀκολουθῇ L. [w] ἤδη superscript. in I. [x] ἃ] + πρῶτον C. [y] ἐσταύρωσαν] + σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις L. [z] φησὶν om. B.K. [a] ἔνι B.C.K. [b] δεῖ I.L. Cat. [c] καὶ om. B.K. Mox προηγησαμένων I.L. [d] τί] ἐπεὶ B.K. Sav. cet. [e] ἀνωτάτω B.K. Mox δὲ pro γὰρ iidem. [f] τῶν πολλῶν ἦν. τὸ δὲ, τέκνα B.K. [g] δεῖ (ἔδει Cat.) γὰρ] δεικνὺς ὅτι δεῖ B.K. [h] γὰρ] + ἂν C. Mox ὑποτάξειε Cat. [i] μὴ ὑποτάξας] ὑποτάξαι μὴ δυνηθεὶς C. [k] καὶ assumtum ex C.I.L.

[l]καὶ ὥσπερ ἐν τῇ οἰκίᾳ παιδία, γυνὴ, οἰκέται, καὶ πάντων ὁ ἀνὴρ
(287) [m]ἀνήρτηται τὴν ἀρχήν· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οὐδὲν ἄλλο ἢ E
τοῦτό ἐστι, παιδία, γυναῖκες, οἰκέται. Εἰ δὲ κοινωνοὺς ἔχει τῆς
ἀρχῆς ὁ τῆς ἐκκλησίας προεστὼς, [n]ἔχει κἀκεῖ ὁ ἀνὴρ τὴν [o]γυ-
ναῖκα. Ἀλλὰ τὰ πρὸς διατροφὴν ἐνταῦθα [p]τῶν χηρῶν καὶ τῶν
παρθένων φροντίζειν δεῖ; Ἔχει κἀκεῖ ὁ ἀνὴρ [q]τοὺς δούλους,
τὰς θυγατέρας· [r]εὐκολώτερον δὲ τῆς οἰκίας ἄρχειν. Ὁ τοίνυν
ταῦτα καλῶς οὐκ οἰκονομήσας, πῶς τὰ τῆς ἐκκλησίας οἰκονομῆ- F
σαι δυνήσεται. [6] "[s]Εἰ δέ τις, φησὶ, τοῦ ἰδίου οἴκου προστῆναι
οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται;" [7] "[t]Μὴ νεόφυτον,"
φησίν. Οὐ τὸν νεώτερον ἐνταῦθα [v]λέγει, ἀλλὰ τὸν νεοκατήχη-
τον· [8] "Ἐγὼ γὰρ, φησὶν, ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ'
ὁ θεὸς [w]ηὔξανε." [x]Τί γὰρ ἐκώλυεν εἰπεῖν, μὴ νεώτερον; [y]Τίνος
οὖν ἕνεκεν αὐτὸς τὸν [z]Τιμόθεον ἐποίει, [a]λέγων· [9] "Μηδείς σου 601
τῆς νεότητος [b]καταφρονείτω;" Ἐπειδὴ [c]γὰρ ἐξ Ἑλλήνων
προσῄεσαν τότε καὶ ἐβαπτίζοντο, μὴ εὐθέως, φησὶ, [d]νεόφυτον
εἰς τὸν τῆς ἀρχῆς ὄγκον [e]ἄγετε, τουτέστι, νεοκατήχητον. Εἰ
γὰρ, πρὶν ἢ γενέσθαι μαθητὴς, διδάσκαλος γένοιτο, ταχέως
[f]καὶ εἰς ἀπόνοιαν [g]αἴρεται· εἰ, πρὶν ἢ [h]μαθεῖν ἄρχεσθαι, τῶν
ἀρχόντων γένοιτο, φυσᾶται. Διὰ τοῦτο ἐπήγαγεν· "Ἵνα μὴ
τυφωθεὶς εἰς κρίμα [i]ἐμπέσῃ τοῦ διαβόλου·" τουτέστιν, εἰς τὴν
καταδίκην τὴν αὐτὴν, ἣν ἐκεῖνος ἀπὸ τῆς ἀπονοίας ὑπέμεινε. B
[10] "Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν,

[6] v. 5. [7] v. 6. [8] 1 Cor. iii. 6. [9] 1 Tim. iv. 12. [10] v. 7.

[l] καὶ ὥσπερ] ὥσπερ οὖν B.K. Post οἰκίᾳ add. εἰσὶ B.K. Sav. cet. [m] ἀνήρτηται] Sic C.I.L. ἐξήρτηται B.K. ἀνῄρηται Edd. [n] ἔχει κ. ὁ ἀ.] ἀλλ' ἔχει κ. ὁ ἀ. κοινωνὸν B.K. Sav. cet. [o] γυναῖκα]+τὰς θυγατέρας B.K. [p] τῶν om. K. Alterum τῶν om. B.K. [q] τὰς δούλας I. ἔχει—θυγατέρας] ἀλλ' ἔχει κ. ὁ ἀ. συνεργοὺς τῶν φροντίδων τοὺς δούλους, τὰς δούλας B.K. [r] εὐκ. δὲ τ. οἰ. ἄρχειν (ἄρχει L.)] Sic C.I.L. Veron. ἄλλως δὲ καὶ εὐκ. οἰκίας δύναταί τις ἄρχειν B.K. ἄλλως δὲ καὶ εὐκ. τ. οἰ. ἄρχειν Sav. cet. [s] εἰ δέ τις, φησὶ] εἶτα εἰπὼν, εἰ δέ τις B.K. Sav. cet. Mox οἰκείου pro ἰδίου K. [t] μὴ ν. φησὶν] ἐπήγαγε, μὴ ν. B.K. [v] λέγει] δηλῶν B.K. [w] ηὔξησε B.K. [x] τί γὰρ] τοῦτον οὖν δηλῶσαι βουλόμενος, τοῦτο εἶπεν. ἐπεὶ τί B.K. Sav. cet. Statim ἐκώλυσεν L. [y] τίνος οὖν] καὶ τίνος B.K. Post αὐτὸς add. φησὶ iidem. [z] Τιμ.]+νεώτερον ὄντα B.K. Sav. cet. Statim ποιεῖ B.K. [a] λέγων] καὶ μαρτυρεῖ τοῦτο, πρὸς αὐτὸν λέγων B.K. Sav. cet. [b] καταφρονείτω]+ὅτι πολλὴν τὴν ἀρετὴν αὐτῷ συνῄδει, ὅτι μεγάλην τὴν περὶ τὸν βίον ἀκρίβειαν· ὃ δὴ καὶ εἰδὼς, ἐκ βρέφους, φησὶ γράφων, τὰ ἱερὰ γράμματα ἔμαθες (ἔμαθε K.). ὅτι δὲ καὶ ἐπιτεταμένην εἶχε νηστείαν, δηλοῖ τὸ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὰς πυκνάς σου ἀσθενείας, μετὰ τῶν ἄλλων καὶ περὶ τούτου γράψας αὐτῷ, ὡς εἰ μὴ ταῦτα ὑπ' (παρ' K.) αὐτοῦ κατωρθωμένα ᾔδει, οὔτε ἂν ἔγραψεν, οὔτε τῷ μαθητῇ τοιαῦτα παρήγγειλεν (παρήγγελλεν K.) B.K. [c] γὰρ] οὖν B.K. πολλοὶ post Ἑλλήνων et φοβῶν post ἐβαπτίζοντο add. iidem. [d] νεώτερον I.L. Veron. [e] ἄγε C. ἄγαγε B.K. [f] καὶ om. B.K. ταχέως—γένοιτο om. C. [g] αἴρεται] Sic Cat. ἔρχεται C.I.L. Edd. ἥξει B.K. [h] μαθεῖν] φησὶν I.L. Mox φυσσᾶται C. Veron. [i] ἐμπέσῃ]+καὶ παγίδα K. Cat.

ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου·" [k]μέλ-
λει γὰρ ὀνειδίζεσθαι παρ' αὐτῶν. [l]Διὰ τοῦτο εἶπε, "Μιᾶς
γυναικὸς ἄνδρα·" καίτοι λέγων ἀλλαχοῦ, [11] "Θέλω πάντας ἀν-
θρώπους εἶναι, ὡς καὶ ἐμαυτὸν, [m]ἐν ἐγκρατείᾳ." Ἵνα οὖν μὴ εἰς
στενὸν περικλείσῃ τὸ πρᾶγμα, ἐὰν ἠκριβωμένην [n]ἀρετὴν ἀπαι-
τήσῃ, διὰ τοῦτο συμμεμετρημένην ἐζήτησεν ἀρετήν. Ἔδει
C [o]γὰρ καθίστασθαι καθ' ἑκάστην πόλιν τὸν προηγούμενον· ἄκουε
γὰρ αὐτοῦ γράφοντος [p]τῷ Τίτῳ, [12] "Ἵνα καταστήσῃς κατὰ
πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην." Τί [q]οὖν, ἂν μαρ-
τυρίαν ἔχῃ καλὴν καὶ δόξαν ἀγαθὴν, μὴ [r]ᾖ δὲ τοιοῦτος; Μά-
λιστα μὲν [s]γὰρ δύσκολον τοῦτο· ἀγαπητὸν γὰρ τοὺς ὀρθοὺς
ὀρθὴν ἔχειν δόξαν παρὰ τοῖς ἐχθροῖς· νῦν δὲ οὐδὲ τοῦτο μόνον
εἴασεν· [t]οὐ γὰρ εἶπε, δεῖ δὲ αὐτὸν μαρτυρίαν ἔχειν, ἀλλὰ, "Δεῖ
[v]δὲ αὐτὸν καὶ μαρτυρίαν ἔχειν," ὡς μετὰ τῶν ἄλλων καὶ ταύτην·
[w]οὐ γὰρ δὴ ταύτην μόνον. Τί οὖν, ἂν κακῶς λέγοιεν αὐτὸν
D εἰκῇ [x]καὶ βασκαίνοντες, καὶ μάλιστα ἐπειδὴ Ἕλληνές εἰσιν;
Οὐκ ἔστι τοῦτο· τὸν γὰρ ἄληπτον ἔχοντα βίον κἀκεῖνοι
αἰδοῦνται. Πῶς, φησίν; Ἄκουε [y]αὐτοῦ λέγοντος, [13] "Διὰ
δυσφημίας καὶ εὐφημίας." [z]Οὐ γὰρ τοῦ βίου [a]αὐτοῦ ἐπε-
λαμβάνοντο, ἀλλὰ τοῦ κηρύγματος· διὰ τοῦτό φησι, "διὰ
δυσφημίας." Ὡς [b]πλάνοι καὶ γόητες διεβάλλοντο διὰ τὸ κή-
ρυγμα· [c]οὐ γὰρ δὴ τοῦ βίου αὐτῶν ἐπελαμβάνοντο. Διὰ [d]τί
μηδεὶς εἶπε περὶ τῶν ἀποστόλων, ὅτι πόρνοι καὶ [e]ἀσελγεῖς καὶ
E πλεονέκται, ἀλλὰ πλάνοι, ὃ τοῦ κηρύγματος ἦν [f]μόνου; Ὁ
[g]μέντοι βίον λάμποντα ἔχων, κἀκείνοις ἐστὶν αἰδέσιμος· ἡ γὰρ
ἀλήθεια καὶ τοὺς ἐχθροὺς ἐπιστομίζει. Εἰς παγίδα δὲ πῶς
ἐμπίπτει; Τοῖς αὐτοῖς ἁμαρτήμασι πολλάκις περιπίπτων, οἷς
κἀκεῖνοι. Εἰ γὰρ εἴη τοιοῦτος, [h]ταχέως αὐτῷ καὶ ἄλλην παγίδα
τίθησιν ὁ διάβολος, ταχέως αὐτὸν ἀναιροῦσιν ἐκεῖνοι. Εἰ [i]δὲ

11 1 Cor. vii. 7. 12 Tit. i. 5. 13 2 Cor. vi. 8.

[k] μέλλει] καλῶς· μέλλει B.K. Sav. cet. [l] διὰ] τάχα καὶ διὰ iidem. [m] ἐν] τουτέστιν ἐν iidem. [n] ἀρετὴν] πολιτείαν iidem. [o] γὰρ om. C.I. [p] τῷ om. B.K. [q] οὖν] δὲ Edd. repugnantibus libris. οὖν, φησὶν B.K. [r] ᾖ] εἴη L. [s] γὰρ] Sic omnes. οὖν Edd. Cat. [t] οὐ] οὐδὲ B. Ben. Mox δὲ om. B.K. Sav. cet. superscript. in I. Post ἔχειν add. ἁπλῶς B.K. [v] δὲ om. K. Sav. cet. ἀλλὰ—ἔχειν om. L. [w] οὐ γὰρ δὴ (δεῖ C.I.L.) τ. μ.] οὐ μόνον ταύτην B.K. [x] καὶ om. B.K. [y] αὐτοῦ] + περὶ ἑαυτοῦ B.K. Sav. cet. [z] οὐ γὰρ] ἐπεὶ γὰρ οὐ B.K. [a] αὐτοῦ omnes. αὐτῶν Edd. Statim ἐπελαμβάνετο C.I.L. [b] πλάνοι] + γὰρ L. [c] οὐ γὰρ—ἐπελαμβάνοντο] καὶ τοῦτο ἐποίουν, ἐπεὶ μὴ εἶχον τοῦ β. αὐτῶν ἐπιλαμβάνεσθαι B.K. Sav. cet. [d] τί] + γὰρ B.I.K. Sav. cet. [e] ἀσεβεῖς I.L. [f] μόνου B.K.L. μόνον Edd. Post h. v. add. ἆρα οὐχ ὅτι βίον ἄληπτον εἶχον; εὔδηλον ὅτι. οὕτω τοίνυν καὶ ἡμεῖς ζῶμεν, καὶ οὐδεὶς ἡμᾶς ἐρεῖ κακῶς, κἂν ἐχθρὸς ᾖ, κἂν ἄπιστος. B.K. Sav. cet. [g] μέντοι] γὰρ iidem. [h] ταχέως—διάβολος om. B.K. Cat. [i] δὲ] + καὶ B.

τὴν παρ' ἐχθρῶν δεῖ μαρτυρίαν ἔχειν, πολλῷ μᾶλλον [k]καὶ τὴν
παρὰ τῶν φίλων. Ὅτι γὰρ οὐκ ἔνι κακῶς ἀκοῦσαι τὸν ἀνεπι-
λήπτῳ βίῳ κεχρημένον, ἄκουε τοῦ Χριστοῦ λέγοντος· [14] "Λαμ- 602
ψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, [l]ὅπως ἴδωσι τὰ
καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς
οὐρανοῖς." Τί οὖν, ἂν συκοφαντῆται, φησὶ, καὶ ἐκ περιστάσεως
τὴν διαβολὴν [m]ὑπομένῃ; Ἐγχωρεῖ μὲν καὶ τοῦτο· δεῖ δὲ [n]μηδὲ
(288) τοῦτον εἰς τὸ μέσον ἄγεσθαι· καὶ γὰρ πολὺ τὸ δέος. Δεῖ τοί-
νυν, [o]φησὶ, καὶ καλὴν μαρτυρίαν ἔχειν αὐτόν· λαμψάτω [p]γὰρ
τὰ ἔργα ὑμῶν. [q]Ὥσπερ οὐκ ἄν τις εἴποι τὸν ἥλιον σκοτεινὸν,
οὐδὲ αὐτὸς ὁ τυφλός· αἰσχύνεται γὰρ ταῖς πάντων μάχεσθαι
δόξαις· οὕτω τὸν σφόδρα καλὸν οὐκ ἄν τις [r]μέμψαιτο· ἀλλὰ B
τῶν μὲν δογμάτων ἕνεκεν πολλάκις [s]ἂν αὐτοὺς διαβάλλοιεν
Ἕλληνες, βίου δὲ ὀρθοῦ οὐκ ἂν [t]ἐπιλάβοιντο, ἀλλὰ καὶ μετὰ
τῶν ἄλλων θαυμάζουσι καὶ ἐκπλήττονται.

[v]Οὕτω τοίνυν ζῶμεν, ὥστε μὴ βλασφημεῖσθαι τὸ ὄνομα τοῦ
θεοῦ. Μήτε οὖν πρὸς δόξαν ἀνθρωπίνην βλέπωμεν, [w]μήτε ὥστε
πονηρὰν λαμβάνειν δόξαν, [x]καὶ ἐν ἑκατέρῳ τὴν συμμετρίαν τι-
μῶμεν. [15] "Ἐν οἷς [y]φαίνεσθε, φησὶν, ὡς φωστῆρες ἐν κόσμῳ."
Διὰ τοῦτο γὰρ ἡμᾶς εἴασεν, [z]ἵνα ὡς φωστῆρες ὦμεν, [a]ἵνα ὡς
ζύμη γενώμεθα, ἵνα διδάσκαλοι τῶν ἄλλων καταστῶμεν, ἵνα ὡς C
ἄγγελοι μετὰ τῶν ἀνθρώπων περιπολῶμεν, ἵνα ὡς ἄνδρες μετὰ
τῶν παίδων τῶν μικρῶν, ὡς πνευματικοὶ [b]μετὰ ψυχικῶν, ἵνα
κερδαίνωσιν ἐκεῖνοι, ἵνα σπέρματα ὦμεν, ἵνα καρπὸν πολὺν φέ-
ρωμεν. Οὐκ ἔδει λόγων, εἰ τοσοῦτον ἡμῶν ὁ βίος [c]ἔλαμπεν· οὐκ
ἔδει διδασκάλων, εἰ ἔργα ἐπεδεικνύμεθα. Οὐδεὶς ἂν ἦν Ἕλλην,
εἰ ἡμεῖς ἦμεν Χριστιανοὶ, ὡς δεῖ· εἰ τὰ τοῦ Χριστοῦ ἐφυλάττο-
μεν, εἰ ἠδικούμεθα, εἰ ἐπλεονεκτούμεθα, εἰ λοιδορούμενοι [d]ηὐλο-
γοῦμεν, εἰ κακῶς πάσχοντες εὐηργετοῦμεν· οὐδεὶς οὕτω θηρίον D
ἦν, [e]ὡς μὴ ἐπιδραμεῖν τῇ εὐσεβείᾳ, εἰ παρὰ πάντων ταῦτα
ἐγίνετο. Καὶ ἵνα μάθητε, εἷς ἦν [f]Παῦλος, καὶ τοσούτους ἐπε-

14 Matth. v. 16. 15 Philipp. ii. 15.

[k] καὶ om. B.K. [l] ὅπως pro ἵνα omnes. Mox δοξάσωσι B.L. Cat. δοξά-ζωσι Edd. [m] ὑπομένει I. Veron. [n] μηδὲ] μὴ Veron. [o] φησὶ om. B.K. [p] γὰρ om. C.I.L. Post ὑμῶν add. φησὶν ὁ Χριστὸς B.K. [q] ὥσπερ] + οὖν B.K. Sav. cet. Mox οὐδὲ αὐτὸς ὁ τυφλὸς om. B.K. [r] μέμψοιτο C.I. Veron. [s] ἂν om. C. [t] ἐπιλάβοιντο] + πώποτε B.K. [v] ΗΘΙΚΟΝ. Περὶ ἀρίστης πολιτείας καὶ τῆς μελλούσης κρίσεως. Veron. [w] μὴ ὥστε I. μήτε ὡς B. [x] καὶ] ἀλλ' B.K. Sav. cet. [y] φαίνεσθε—τοῦτο γὰρ] ἂν ὦμεν, ὡς φωστῆρες γάρ φησιν ἐν κ. φαίνοντες. διὰ τοῦτο B.K. [z] ἵνα—ὦμεν] ἵνα ὡς φῶς λάμψωμεν B.K. ἵν' pro ἵνα quater L. Sav. cet. [a] ἵνα ὡς ζ. γ. om. I.L. post καταστῶμεν transp. Edd. invitis B.C.K. Vet. [b] μετὰ τῶν ψ. B.K.L. Sav. cet. [c] ἔλαμψεν L. [d] ηὐλ. pro εὐλ. C.K.L. εἰ κ. π. εὐηργετοῦμεν om. C. [e] ὡς om. I.L. [f] Παῦλος sine artic. B.I.K.L.

*σπάσατο· εἰ πάντες ἦμεν τοιοῦτοι, πόσας οἰκουμένας οὐκ ἂν
ἐπεσπασάμεθα; Ἰδοὺ πλείους εἰσὶν οἱ Χριστιανοὶ τῶν ἐθνικῶν.
Καὶ ἐν μὲν ταῖς ἄλλαις τέχναις εἷς ἑκατὸν ὁμοῦ παῖδας διδάξαι
δύναται· ἐνταῦθα δὲ τῶν διδασκάλων* [g]*πολλῶν ὄντων, καὶ τῶν
μαθητῶν* [h]*πολλῷ πλειόνων,* [i]*οὐδεὶς πρόσεισιν. Οἱ γὰρ διδασκό-
μενοι πρὸς τὴν τῶν διδασκάλων ἀρετὴν ὁρῶσι·* [k]*καὶ ὅταν ἴδωσι*
E *καὶ ἡμᾶς τῶν αὐτῶν ἐπιθυμοῦντας, τῶν αὐτῶν ἐφιεμένους, τοῦ
ἄρχειν, τοῦ τιμᾶσθαι, πῶς δυνήσονται θαυμάσαι τὸν Χριστια-
νισμόν; Ὁρῶσι βίους ἐπιληψίμους, ψυχὰς γηΐνας· τὰ χρήματα
ὁμοίως αὐτοῖς θαυμάζομεν, πολλῷ δὲ* [l]*καὶ πλέον· τὸν θάνατον
ὁμοίως αὐτοῖς πεφρίκαμεν, πενίαν* [m]*ὁμοίως φοβούμεθα, πρὸς
νόσους ὁμοίως δυσχεραίνομεν, ὁμοίως δόξης ἐρῶμεν καὶ δυνα-
στείας, ὑπὲρ φιλαργυρίας* [n]*κατακόπτοντες ἑαυτούς,* [o]*τοὺς και-
ροὺς θεραπεύομεν.* [p]*Πόθεν ἔχουσι πιστεῦσαι; ἀπὸ σημείων;*
F *ἀλλ' οὐ γίνεται ταῦτα· ἀλλ' ἀπὸ τῆς ἀναστροφῆς; ἀλλ'* [q]*ἀπό-
λωλεν· ἀλλ' ἀπὸ τῆς ἀγάπης; ἀλλ' οὐδαμοῦ οὐδὲ* [r]*ἴχνος ὁρᾶται.
Διὰ τοῦτο οὐ τῶν ἡμετέρων μόνον ἁμαρτημάτων, ἀλλὰ καὶ τῆς*
603 *ἑτέρων βλάβης ἡμεῖς λόγον ὑφέξομεν. Ἀνανήψωμέν ποτε,
γρηγορήσωμεν, δείξωμεν* [s]*ἐπὶ γῆς πολιτείαν οὐράνιον, λέγωμεν
ὅτι* [16]*"Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει,"* [t]*ἐν τῇ γῇ
τὴν ἄθλησιν ἐπιδεικνύμενοι. Ἀλλ' ἐγένοντο, φησὶ, παρ' ἡμῖν
ἄνδρες μεγάλοι. Πόθεν πιστεύσω,* [v]*φησὶν ὁ Ἕλλην; οὐ γὰρ
ὁρῶ ὑμᾶς τὰ αὐτὰ πράσσοντας ἐκείνοις. Ἐπεὶ εἰ δεῖ ταῦτα*
[w]*διηγεῖσθαι, ἔχομεν καὶ ἡμεῖς, φησὶ, μεγάλους φιλοσόφους, καὶ*
[x]*θαυμαστοὺς βίου ἕνεκεν. Ἀλλὰ δεῖξόν μοι Παῦλον ἕτερον καὶ*
B [y]*Ἰωάννην. Νῦν γὰρ ὑπὲρ ὀβολοῦ ἑνὸς καὶ ἀναιρεῖσθαι καὶ ἀναι-
ρεῖν* [z]*ἕτοιμοι ἕκαστος· ὑπὲρ κυάθου γῆς μυρία δικαστήρια* [a]*συνι-
στᾷς· ὑπὲρ θανάτου παιδίου τὰ ἄνω κάτω ποιεῖς. Τὰ γὰρ ἄλλα
ἀφίημι τὰ πολλοῦ πένθους ἄξια, οἷον οἰωνισμοὺς* [b]*καὶ κληδο-*

16 Philipp. iii. 20.

[g] *πολλῶν*] Sic B.K. *πλειόνων* Edd. [h] *πολλῷ πλ.*] Sic B.K. Sav. cet. *ὀφειλόντων πολλῷ πλ. εἶναι* C.I.L. *πολλῷ πλ. ὀφειλόντων εἶναι* Veron. [i] *οὐδεὶς*] + *αὐτῶν* B.K. [k] *καὶ ὅταν*] *ὅταν οὖν* B.K. Mox *τῶν αὐτῶν ἐφιεμένους, τῶν αὐτῶν ἐπιθυμοῦντας* iidem. [l] *καὶ* om. I. [m] *ὁμοίως*] + *αὐτοῖς* C.L. [n] *κατακόπτοντας* L. *κατακόπτομεν* B.K. [o] *τοὺς μακαρίζοντας θ.* L. *τοὺς ἐν ἐνδείᾳ οὐ θ.* I. [p] *πόθεν*] + *οὖν* B.K. Sav. cet. [q] *ἀπολώλαμεν* K. [r] *ἴχνος*] + *αὐτῆς* B.K. Sav. cet. Post *ὁρᾶται* add. *νῦν* B.K. [s] *ἐπὶ γῆς π.* pro *π. ἐπὶ γῆς* C.I.K.L. [t] *ἐν τῇ γῇ τὴν ἄ. ἐπιδεικνύμενοι*] Sic C.I.L. *εἰ καὶ ἐν τῇ γῇ τὴν ἄ. ἐπιδεικνύμεθα* B.K. *καὶ ἐπὶ γῆς τὴν ἄ. ἐπιδειξώμεθα* Edd. [v] *φησὶν*] *τάχα ἐρεῖ* B.K. [w] *διηγήσασθαι* B.K. *ἐπεὶ—διηγεῖσθαι*] *ἐπειδὴ ταῦτα διηγεῖσθε* L. [x] *θαυμαστοῦ* K. [y] *Ἰωάννην*] + *ἀλλ' οὐκ ἂν ἔχοις* L. + *ἀλλ' οὐκ ἂν ἔχοις. πῶς οὖν οὐχὶ καὶ γελάσειεν οὕτω διαλεγομένων ἡμῶν; πῶς οὐχὶ καὶ ἔτι καθῆσθαι ἐν ἀγνοίᾳ ἀνέξεται ὁρῶν οὐκ ἐν ἔργοις, ἀλλ' ἐν λόγοις φιλοσοφοῦντας ἡμᾶς;* B.K. Sav. cet. [z] *ἕτοιμος* C.I.L. [a] *καθιστᾷς* L. [b] *καὶ* om. B. *καὶ κληδ.* om. K.

νισμοὺς, παρατηρήσεις, γενέσεις, σύμβολα, περιάμματα, μαν-
τείας, ἐπῳδὰς, [c]μαγγανείας. [d]Ὄντως μεγάλα ταῦτα, καὶ ἱκανὰ
τὴν ὀργὴν ἐκκαλέσασθαι τοῦ θεοῦ, ὅτι καὶ μετὰ τὸ τὸν υἱὸν ἀπο- C
στεῖλαι τὸν ἑαυτοῦ, τοιαῦτα τολμῶμεν. Τί [e]ἐστιν ἄρα; Οὐδὲν
ἕτερον, ἢ πενθεῖν χρή· τὸ γὰρ πολλοστὸν τοῦ κόσμου μόλις
διασώζεται. Ἀλλ' οἱ [f]ἀπολλύμενοι ἀκούοντες χαίρουσιν, ὡς
οὐκ αὐτοὶ μόνοι [g]ἀπολλύμενοι, ἀλλὰ μετὰ πλειόνων τοῦτο ὑπο-
μένοντες. [h]Καὶ ποίας ταῦτα χαρᾶς; καὶ [i]γὰρ αὐτῆς τῆς χαρᾶς
τίσουσι δίκην. Μὴ γὰρ, ὡς ἐνταῦθα, νομίσῃς, τὸ κοινωνοὺς
(289) [k]εἶναι τῶν συμφορῶν φέρει παραμυθίαν, οὕτω κἀκεῖ. Πόθεν
τοῦτο δῆλον; Ἐγὼ ποιήσω φανερόν. Εἰπὲ [l]γάρ μοι· εἴ τις
κελευσθείη [m]καυθῆναι, εἶτα καὶ τὸν παῖδα [n]συγκαιόμενον ἴδοι, D
καὶ κνῖσαν ἀπὸ τῶν κρεῶν ἀνιοῦσαν, οὐκ [o]ἀποθανεῖται; Εἰ γὰρ
οἱ [p]ὑγιαίνοντες, ὁρῶντες ταῦτα γινόμενα, ναρκῶσι καὶ ἐκλύονται,
πολλῷ μᾶλλον οἱ κακούμενοι τοῦτο πείσονται. Καὶ μὴ θαυ-
μάσῃς· ἄκουε [q]γάρ τινος σοφοῦ λέγοντος, [17]"Καὶ σὺ ἑάλως
ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης." Ἔχει γάρ [r]πως
τὸ συμπαθὲς τὸ ἀνθρώπινον, καὶ ταῖς [s]τῶν ἑτέρων κατακλώ-
μεθα συμφοραῖς. [t]Ἐπεὶ μὴ ἄρα ὁ πατὴρ τὸν υἱὸν ὁρῶν ἐν τῇ
αὐτῇ κείμενον δίκῃ, παραμυθίαν [v]ἢ προσθήκην λήψεται τῶν δει- E
νῶν; τί δὲ [w]ἀνὴρ τὴν γυναῖκα; τί δὲ ἄνθρωποι τὸν ἄνθρωπον;
οὐχὶ τότε μᾶλλον κατακλώμεθα; [x]Οὐκ ἔστι γὰρ ταῦτα ἐκεῖ
τὰ πάθη, ἀλλ' ἕτερα· [y]κλαυθμὸς ἔσται ἀπαραμύθητος, πάν-
των ἀλλήλους ὁρώντων, πάντων κοπτομένων. Οἱ ἐν [z]λιμῷ
ὄντες ἄρα παραμυθίαν [a]λήψονται τῶν οἰκείων κακῶν ἐκ τῆς
ἑτέρων κοινωνίας; Τί [b]δὲ, ὅταν [c]ᾖ καὶ παῖς, [d]καὶ πατὴρ, καὶ

17 Esai. xiv. 10.

[c] μαγγανείας omnes. μαγείας Edd. [d] ὄντως] ἄρα B.K. [e] ἐστιν] εἶπον B. εἴπω K. [f] ἀπηλγημένοι C. [g] ἀπολλύμενοι—ὑπομένοντες] Sic omnes. τοῦτο ὑπομένοντες, ἀλλὰ μετὰ πλειόνων Edd. [h] καὶ ποίας—πόθεν] ταῦτα ποιεῖς χαρᾶς ἀφορμάς; καὶ τίνος τεύξῃ συγγνώμης; πλὴν (πολλὴν K.) καὶ αὐτοῦ τοῦ χαίρειν τίσουσι δίκην. ἀλλὰ μὴ ὡς ἐνταῦθα νομίσῃς τὸ κοινωνοὺς ἔχοντάς τινας τῶν συμφορῶν φέρειν αὐτοῖς παραμυθίαν, οὕτως εἶναι κἀκεῖ. καὶ πόθεν B.K. [i] γὰρ] + καὶ L. [k] εἶναι] ἔχειν C. [l] γὰρ om. I.L. εἰπὲ γάρ μοι om. Veron. [m] καηθῆναι ex corr. C. [n] συγκ.] + αὐτῷ B.K. Sav. cet. Mox κνίσαν I.K.L. κνίσσαν Edd. [o] ἀποθανεῖται;] + σφόδρα γε· καὶ πῶς, ἐγὼ λέγω B.K. Sav. cet. [p] ὑγιαίνοντες ὁρ. ταῦτα] μὴ πάσχοντες ταῦτα ὁρ. B.K. Sav. cet. [q] γὰρ] + προφήτου C.I.L. Veron. invito Vet. [r] πως] + φύσει B.K. Sav. cet. [s] τῶν om. C. [t] ἐπεὶ μὴ] Sic I. ἐπειδὴ μὴ L. εἰπὲ δή μοι Edd. [v] ἢ] ἀλλ' οὐχὶ B.K. [w] ὁ ἀνὴρ B.K. [x] οὐκ—ἕτερα] ναὶ, φησίν· ἀλλ' οὐκ ἔστι ταῦτα ἐκεῖ (ἐκεῖ ταῦτα Sav. cet.) τὰ πάθη. οἶδα κἀγὼ, ἀλλ' ἕτερα πολλῷ χαλεπώτερα B.K. Sav. cet. [y] κλ. γὰρ ἔσται ἀπ. τότε, πάντων ἀ. ὁ. (+ ἐν τῇ φλογὶ B.K.) π. κ. iidem. [z] λοιμῷ C. Post ὄντες add. εἰπὲ B.K. Sav. cet. [a] λαμβάνουσι B.K. Sav.cet. [b] δὲ om. C. [c] ᾖ] εἰ L. Ceteri cum Editis ᾖ. Post παῖς add. καὶ μήτηρ L. [d] ἢ καὶ πατὴρ Edd. ἢ om. C.I.L.

F γυνή, καὶ [e]ἔγγονα τὴν αὐτὴν [f]τιννύντα δίκην; τί δὲ, ὅταν φίλους ὁρῶμεν, ἆρα παραμυθίαν ἔχομεν; Οὐκ ἔστιν, οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ἐπιτείνεται ἡμῖν τὰ δεινά. Χωρὶς δὲ τούτων ἐστὶ κακὰ, [g]ἃ μὴ ἔχει παραμυθίαν ἀπὸ τῶν κοινῶν διὰ τὴν χαλεπό-
604 τητα. Οἷόν τι λέγω· ἔστω τις [h]ἐν πυρὶ κείμενος, [i]καὶ ἄλλος πάλιν· πῶς ἀλλήλους παραμυθήσονται; Εἰπέ μοι, παρακαλῶ, εἴ ποτε ἐν πυρετῷ γεγόναμεν σφοδρῷ, οὐχὶ πάντα τὰ τῆς παραμυθίας [k]ἡμῖν ἐξέλιπεν; Εἰκότως· ὅταν γὰρ ἐπικρατῇ τὰ δεινὰ, οὐκέτι ἂν ἔχοι σχολὴν παραμυθεῖσθαι ἡ ψυχή. [l]Ἢ οὐχ ὁρᾷς τὰς τοὺς ἄνδρας ἀποβαλούσας, πόσας ἔχουσιν [m]ἀριθμεῖν ἑτέρας γυναῖκας τὸ αὐτὸ παθούσας; ἀλλ' οὐδὲν ἀπὸ τούτου [n]τὸ πένθος ἔλαττον γίνεται. [o]Μὴ δὴ ταύτῃ τρεφώμεθα τῇ ἐλπίδι,
B ἀλλὰ μίαν εὕρωμεν παραμυθίαν, τὸ μετανοεῖν ἐπὶ τοῖς ἡμαρτημένοις, καὶ ἔχεσθαι τῆς ἀγαθῆς ὁδοῦ τῆς ἐπὶ τὸν οὐρανὸν [p]φερούσης, ἵνα τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ.

C [1]Διακόνους ὡσαύτως σεμνοὺς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.

ΔΙΑΛΕΓΟΜΕΝΟΣ περὶ ἐπισκόπων, καὶ χαρακτηρίσας αὐτοὺς, καὶ εἰπὼν τίνα μὲν ἔχειν, τίνων δὲ [a]ἀπέχεσθαι χρὴ, καὶ
D τὸ τῶν πρεσβυτέρων τάγμα ἀφεὶς, εἰς τοὺς διακόνους μετεπήδησε. Τί δήποτε; Ὅτι οὐ πολὺ τὸ [b]μέσον. Καὶ γὰρ [c]καὶ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς ἐκκλησίας· καὶ ἃ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ [d]περὶ πρεσβυτέρων ἁρμόττει. [e]Τῇ γὰρ χειροτονίᾳ μόνον [f]αὐτῶν ἀναβεβήκασι, καὶ [g]τούτῳ μόνον δοκοῦσι πλεονεκτεῖν τοὺς πρεσβυτέρους. "Δια-

[1] Cap. III. v. 8—10.

[e] ἔκγονα B.K. [f] τιννύντα] τίνοντα C. τινοιυται (sic) I. τιννύωσι B.K. τίννυνται L. Edd. Vid. Annot. [g] ἃ om. I.L. Statim ἔχειν L. [h] ἐν om. K. [i] καὶ] ἔστω δὲ καὶ B.K. Post πάλιν add. ἐν τῷ αὐτῷ πυρὶ iidem. Tum πῶς ἀ. δυνήσονται οὗτοι παραμυθεῖσθαι; iidem. [k] ἡμῖν in marg. I. [l] ἢ om. B.K. Mox ἀποβαλλούσας B. Veron. [m] ἀπαριθμεῖν I. ἑτέρας om. L. Veron. [n] τὸ om. I. [o] μὴ δὴ] μηδὲ L. [p] ἀγούσης L. Hom. XI. [a] ἀπέχειν K. [b] μέσον] + αὐτῶν (+ τε K.) καὶ τῶν ἐπισκόπων B.K. Sav. cet. [c] καὶ om. C.I. Cat. [d] περὶ πρ.] πρεσβυτέροις B.K. Sav. cet. [e] τῇ γὰρ χ. μόνον] Sic C. Cat. τῇ γὰρ χ. μόνῃ B.K. Sav. cet. τὴν γὰρ χειροτονίαν μόνην I.L. Veron. [f] αὐτῶν assumtum ex C. Cat. Veron. Statim ὑπερβεβήκασι B.K. Sav. cet. [g] τοῦτο L. Veron.

κόνους ὡσαύτως," [h]τὰ αὐτὰ ἔχειν, φησί. Τί ἐστι τὰ [i]αὐτά;
Οἷον τὸ ἀνεπιλήπτους εἶναι, τὸ [k]σώφρονας, τὸ φιλοξένους, τὸ
ἐπιεικεῖς, ἀμάχους, [l]ἀφιλαργύρους. "Σεμνοὺς, μὴ διλόγους·" E
τουτέστι, μὴ ὑπούλους, μηδὲ δολερούς. Οὐδὲν γὰρ οὕτω ποιεῖν
εἴωθεν [m]ἀγεννεῖς, ὡς τὸ δολερόν· οὐδὲν οὕτως ἄχρηστον ἐν τῇ
ἐκκλησίᾳ, ὡς τὸ ὕπουλον. "Μὴ οἴνῳ πολλῷ, φησὶ, προσέχον-
τας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν
καθαρᾷ συνειδήσει." Ἰδοὺ ἐσήμανε τί ἐστιν [n]ἀλήπτους εἶναι.
(290) Ὅρα δὲ πῶς τὸ, "μὴ νεόφυτον," [o]καὶ ἐνταῦθα τίθησι. [p]Τῷ
γὰρ εἰπεῖν, "Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον," ὡς [q]καὶ F
περὶ τοῦ ἐπισκόπου τοῦτο εἰρημένον αὐτῷ, οὕτω τὸν σύνδεσμον
[r]τοῦ, καὶ, ἐπήγαγεν· οὐδὲν γὰρ τὸ [s]μέσον μεταξύ. Διὰ τοῦτο
εἴρηται [t]καὶ ἐκεῖ τὸ, "μὴ νεόφυτον." Πῶς γὰρ οὐκ ἄτοπον,
εἰς μὲν οἰκίαν νεώνητον οἰκέτην μὴ πρότερον ἐγχειρίζεσθαί τι 605
τῶν ἔνδον, πρὶν ἂν διὰ πολλῆς τῆς πείρας τῆς αὐτοῦ γνώμης
πολλὰ τεκμήρια δῷ, εἰς δὲ τὴν ἐκκλησίαν [v]τοῦ θεοῦ ἔξωθεν εἰσ-
ελθόντα εἰς τοὺς πρώτους εὐθέως κατατάττεσθαι; [2]"Γυναῖκας
ὡσαύτως·" διακόνους φησί· "σεμνὰς, μὴ διλόγους, [w]νηφαλίους,
πιστὰς ἐν πᾶσι." Τινὲς ἁπλῶς περὶ γυναικῶν εἰρῆσθαι τοῦτό
φασιν, οὐκ ἔστι δέ· τί γὰρ ἐβούλετο μεταξὺ τῶν εἰρημένων
[x]παρεμβαλεῖν τι περὶ γυναικῶν; ἀλλὰ περὶ τῶν τὸ ἀξίωμα τῆς
διακονίας ἐχουσῶν [y]φησι. [3]"Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς
ἄνδρες." Ταῦτα καὶ περὶ γυναικῶν διακόνων ἁρμόττει εἰρῆσθαι· B
σφόδρα γὰρ ἀναγκαῖον τοῦτο καὶ χρήσιμον καὶ κόσμιον ἐν τῇ
ἐκκλησίᾳ. "Διάκονοι ἔστωσαν μιᾶς [z]γυναικὸς ἄνδρες." Ὁρᾷς
πῶς τὴν αὐτὴν ἀπαιτεῖ καὶ παρὰ διακόνων ἀρετήν; Εἰ γὰρ καὶ
μὴ τῆς αὐτῆς εἰσιν ἀξίας τῷ ἐπισκόπῳ, [a]ἀλλ' ὅμως ὁμοίως ἀνε-
πίληπτοι, ὁμοίως ἁγνοὶ ὀφείλουσιν εἶναι. "Τέκνων καλῶς προ-
ϊστάμενοι καὶ τῶν ἰδίων οἴκων. [4]Οἱ γὰρ καλῶς διακονήσαντες
βαθμὸν καλὸν ἑαυτοῖς περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν
πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ." Πανταχοῦ τίθησι τὴν τῶν τέ- C
κνων προστασίαν, ἵνα μὴ ἀπὸ τούτου οἱ λοιποὶ σκανδαλίζωνται.

[2] v. 11. [3] v. 12. [4] v. 13.

[h] τὰ αὐτὰ ἔχειν (+ δεῖ Veron.) φησὶ] τουτέστι, τὰ αὐτὰ δεῖ, φησὶν, ἔχειν καὶ αὐτοὺς B.K. Sav. cet. [i] αὐτὰ] + φησὶν C.L. [k] σώφρονας] + εἶναι C.I.L. Statim τὸ φιλ. εἶναι L. [l] ἀφιλαργ.] + καὶ ὅτι τοιούτους αὐτοὺς εἶναι βουλόμενος εἶπε τὸ ὡσαύτως, ἐδήλωσε διὰ τῆς ἐπαγωγῆς λέγων B.K. Sav. cet. [m] ἀγενεῖς I.K. [n] ἀνεπιλήπτους I. τί—εἶναι] τὸ ἀλήπτους εἶναι τί ἐστιν L. [o] καὶ om. K. [p] τῷ] τὸ Edd. et Codd. Post πρῶτον add. εἶτα διακονείτωσαν ἀνέγκ. ὄντες B.K. [q] καὶ assumtum ex C. Cat. Vet. Mox τοῦτο εἰρημένου I. Veron. τούτου εἰρημένου Cat. [r] τοῦ καὶ] Sic C. τὸν καὶ Cat. αὐτοῦ Edd. [s] μέσον καὶ μετ. C. [t] κἀκεῖ B.K.L. [v] τοῦ om. K. [w] νηφαλέας I.L. νηφαλίας Cat. [x] παρεμβάλλειν C. [y] φησι] λέγει B.K. Sav. cet. [z] γυναικὸς] + φησὶν iidem. [a] ἀλλ' om. L.

“Οἱ γὰρ καλῶς, φησὶ, διακονήσαντες βαθμὸν [b]καλὸν ἑαυτοῖς
περιποιοῦνται·” τουτέστι, προκοπήν· “καὶ παρρησίαν πολλὴν
[c]τὴν ἐν πίστει.” Οἱ ἐν τοῖς κάτω δείξαντες ἑαυτοὺς διεγηγερ-
μένους, ταχέως καὶ πρὸς ἐκεῖνα [d]ἀνελεύσονται, φησί. [5]“Ταῦτά
σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ [e]ταχέως. Ἐὰν δὲ βραδύνω,
[f]ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκ-
κλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.” Ἵνα
D μὴ τὸ περὶ [g]τούτων αὐτὸν διατάττεσθαι εἰς ἀθυμίαν ἐμβάλῃ
τὸν μαθητὴν, [h]φησὶν, οὐ διὰ τοῦτο ταῦτα γράφω, ὡς οὐκέτι
ἥξων, ἀλλ' ἥξω μὲν, εἰ δὲ συμβῇ με βραδῦναι, ἵνα μὴ ἀσχάλλῃς,
φησί. Τούτῳ [i]μὲν ὑπὲρ τοῦ παῦσαι τὴν ἀθυμίαν ταῦτα ἐπι-
στέλλει, τοῖς δὲ ἄλλοις ὑπὲρ τοῦ διεγεῖραι αὐτοὺς, καὶ ποιῆσαι
σπουδαιοτέρους· ἡ γὰρ παρουσία αὐτοῦ καὶ ἐπαγγελλομένη,
μεγάλα ἠδύνατο. Μὴ θαυμάσῃς δὲ, εἰ πνεύματι πάντα προορῶν,
ἠγνόει τοῦτο λέγων, “Ἐλπίζω ἐλθεῖν, ἐὰν [k]δὲ βραδύνω·” τοῦτο
E γὰρ ἀγνοοῦντός ἐστιν. Ἐπειδὴ γὰρ πνεύματι ἤγετο, καὶ οὐκ
οἰκείᾳ γνώμῃ ἔπραττεν [l]ἅπερ ἔπραττε, καὶ τοῦτο εἰκότως
ἠγνόει. “Ἵνα εἰδῇς, φησὶ, πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι,
ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀλη-
θείας·” οὐχ ὡς ἐκεῖνος ὁ Ἰουδαϊκός. Τοῦτο γάρ ἐστι τὸ συνέχον
τὴν πίστιν καὶ τὸ κήρυγμα· ἡ γὰρ ἀλήθειά ἐστι τῆς ἐκκλησίας
καὶ στῦλος καὶ ἑδραίωμα.

F [6]“Καὶ ὁμολογουμένως, φησὶ, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας
μυστήριον. [m]Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι.”
Τουτέστιν, ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. Μή μοι εἴπῃς τοὺς κώδω-
606 νας, μηδὲ τὰ ἅγια τῶν ἁγίων, μηδὲ τὸν ἀρχιερέα· στῦλός ἐστι
τῆς οἰκουμένης ἡ ἐκκλησία. Ἐννόησον τὸ μυστήριον, καὶ [n]φρίξαι
ἔχεις. Καὶ μυστήριόν ἐστι, καὶ μέγα, καὶ εὐσεβείας μυστήριον,
καὶ ὁμολογουμένως, [o]οὐ ζητουμένως· ἀναμφίβολον γάρ ἐστιν.
Ἐπειδὴ περὶ ἱερέων διαταττόμενος οὐδὲν τοιοῦτον εἶπεν, οἷον ἐν
τῷ Λευϊτικῷ, εἰς ἕτερον [p]ἀνάγει τὸ πρᾶγμα, [q]ὅτι ἐφανερώθη
ἐν σαρκὶ [r]ὁ δημιουργός· ὤφθη, φησὶν, ἐν σαρκί. “Ἐδικαιώθη
ἐν πνεύματι.” [s]Ἤτοι τοῦτο λέγει· [7]“Καὶ ἐδικαιώθη ἡ σοφία

[5] v. 14, 15. [6] v. 16. [7] Matt. xi. 19.

[b] καλὸν om. L. [c] τὴν om. B.K. Post πίστει add. Ἰησοῦ Χριστοῦ. ὡσεὶ ἔλεγεν B.K. Sav. cet. [d] ἂν ἐλεύσονται I. ἂν ἐλεύσωνται L. Veron. φησὶ om. C. Sav. cet. ἀν. φησὶ] ὅτι ἀνελεύσονται δῆλον B.K. [e] ταχέως pro ταχίον C.I.L. Vox deest in Veron. [f] ἵν' εἰδῇς K. ἵνα ἴδῃς I. [g] τούτων omnes. τοιούτων Edd. [h] φησὶν om. B.K. [i] μὲν] + οὖν C. [k] δὲ] + καὶ L. [l] ἅπερ ἔπραττε om. L. Statim εἰκότως καὶ τοῦτο hoc ord. C.L. [m] ὁ θεὸς L. [n] φρίξαι ἔχεις] φρίξεις εὐσεβῶς B.K. Statim καὶ om. iidem. [o] οὐ] τουτέστιν οὐ B.K. [p] ἄγει C. [q] ὅτι] λέγων, θεὸς B.C.K. Sav. cet. [r] ὁ δ. ὤφθη, φησὶν] τουτέστιν, ὁ δ. ὤφθη B.K. τουτέστιν, ὁ δ. ὤφθη, φησὶν Sav. cet. [s] ἤτοι] ἢ B.K. λέγων pro λέγει K.

ἀπὸ τῶν τέκνων αὐτῆς·" ἢ ὅτι δόλον οὐκ ἐποίησεν· ὅπερ [t]ὁ προφή-
της λέγει, [8] "[a]Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ B
στόματι αὐτοῦ." "[v]Ὤφθη ἀγγέλοις." Ὥστε καὶ ἄγγελοι μεθ'
ἡμῶν εἶδον τὸν υἱὸν τοῦ θεοῦ, πρότερον οὐχ ὁρῶντες. Ὄντως μέγα
τὸ μυστήριον. "[w]Ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ."
(291) [x]Πανταχοῦ τῆς οἰκουμένης ἠκούσθη καὶ [y]ἐπιστεύθη τοῦτο. Μὴ
γὰρ νομίσῃς ἁπλῶς ῥήματα εἶναι [z]ψιλά. "[a]Ἀνελήφθη ἐν
δόξῃ." [9] "Τοῦτον ὃν ὁρᾶτε ἀναλαμβανόμενον." "Προσῆλθον
καὶ διηκόνουν [b]αὐτῷ." "Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθογγὸς C
αὐτῶν." "Ἀνελήφθη, [c]φησὶν, ἐν δόξῃ·" ἐπὶ νεφελῶν, [d]φησίν.
Ὅρα [e]δέ μοι τὴν σύνεσιν τοῦ μακαρίου [f]τούτου. Μέλλων παρ-
αινεῖν τοῖς τῆς διακονίας ἠξιωμένοις μὴ [g]ἀνέδην ἐμφορεῖσθαι τοῦ
οἴνου, οὐκ εἶπε μὴ μεθύειν, ἀλλὰ μηδὲ οἴνῳ πολλῷ προσέχοντας.
[h]Εἰ γὰρ οἱ εἰσιόντες [i]εἰς τὸ ἱερὸν, οὐδὲ ὅλως μετελάμβανον
οἴνου, πολλῷ μᾶλλον τούτους οὐ χρή. Παραφορὰν γὰρ ἐργά-
ζεται, φησὶ, [k]κἂν μὴ μέθην ἐργάσηται, διαχεῖ τὸ τῆς ψυχῆς
εὔτονον, διαλύει τὸ συγκεκροτημένον. Σκόπει δὲ πῶς πανταχοῦ D
μυστήριον [l]αὐτὸ καλεῖ, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν· [m]εἰκότως·
οὐ γάρ ἐστι πᾶσιν ἀνθρώποις δῆλον, [n]μᾶλλον δὲ οὐδὲ ἀγγέλοις
ἦν δῆλον· πῶς γὰρ, ὃ ἐφάνη διὰ τῆς ἐκκλησίας; Διὰ τοῦτό
φησιν, "Ὁμολογουμένως μέγα ἐστί." Καὶ γὰρ ὄντως μέγα·
ἄνθρωπος γὰρ ἐγένετο [o]θεὸς, καὶ θεὸς [p]ἄνθρωπος· ἄνθρωπος
ὤφθη ἀναμάρτητος, ἄνθρωπος ἀνελήφθη, ἐκηρύχθη ἐν κόσμῳ·
μεθ' ἡμῶν εἶδον αὐτὸν [q]οἱ ἄγγελοι. Μυστήριον [r]τοίνυν ἐστί.
[s]Μὴ ἐκπομπεύωμεν τὸ μυστήριον, μὴ πανταχοῦ αὐτὸ [t]προτι- E
θῶμεν, ἀξίως τοῦ μυστηρίου τούτου ζῶμεν. Οἱ μυστήρια ἐμ-
πεπιστευμένοι, μεγάλοι τινές εἰσιν. Εἰ βασιλεὺς ἡμῖν [v]μυστή-

[8] Esai. liii. 9. [9] Act. i. 11. Matt. iv. 11. Psal. xviii. 5.

[t] ὁ πρ. λέγει] Ἡσαΐας προαναφωνῶν λέγει περὶ αὐτοῦ B.K. [v] ὤφθη] + φησὶν L. [w] Haec ἐκηρύχθη—κόσμῳ om. I.L. Vet. [x] πανταχοῦ] π. γὰρ B.K. τουτέστι π. C. [y] ἐπιστεύθη τοῦτο. μὴ γὰρ ν.] ἐπιστεύθη· καὶ δηλοῖ λέγων ὁ προφήτης, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθογγὸς αὐτῶν. τοῦτο μὴ δὴ ν. B.K. Sav. cet. [z] ψιλὰ] + οὐ γάρ ἐστιν, ἀλλὰ πραγμάτων ἀπορρήτων πεπλήρωται B.K. Sav. cet. [a] ἀνελήφθη—ἐπὶ νεφελῶν, φησὶν] ἀνελήφθη ἐν δ. τουτέστιν, ἐπὶ νεφελῶν. οὗτος, φησὶν, Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε B.K. Sav. cet. [b] αὐτῷ] Sic Veron. ἄγγελοι αὐτῷ I. αὐτῷ οἱ ἄγγελοι C.L. [c] φησὶν om. I. [d] φησὶν om. L. ἐπὶ ν. φησὶν om. Veron. [e] δὲ accessit ex C.I.K.L. [f] τούτου pro Παύλου omnes. [g] ἀναίδην C.I. [h] εἰ] εἰκότως· εἰ B.K. Sav. cet. [i] ἐν τῷ ἱερῷ οὐδ' ὅλως L. [k] κἂν] καὶ κἂν L. Mor. Ben. [l] αὐτὸ om. B.K. Sav. cet. αὐτὸ—οἰκονομίαν] τὴν ὑπὲρ ἡμῶν οἰκ. δηλοῖ L. [m] εἰκότως (καὶ εἰκότως L.) οὐ γὰρ] διατί; ὅτι οὐκ B.K. [n] μᾶλλον—δῆλον om. C. [o] ὁ θεὸς B.K. Sav. cet. [p] ὁ ἄνθρωπος iidem. [q] οἱ om. K. [r] τοίνυν]+τοῦτο B.K. [s] μὴ] οὐκοῦν B. οὐκοῦν μὴ K. μὴ τοίνυν Sav. cet. invitis libris. [t] προτίθεμεν L. [v] μυστήριον] Sic C. τὸ μ. I.L. Veron. τι μ. B.K. Sav. cet.

ριον ἐνεπίστευσεν, εἰπέ μοι, ἆρα οὐ μεγάλης φιλίας τοῦτο τεκμήριον ἐποιούμεθα; Νῦν δὲ ὁ θεὸς ἡμῖν τὸ [w]μυστήριον [x]ἐνεπίστευσε. [y]Καὶ πῶς, φησὶ, μυστήριόν ἐστιν ὃ πάντες ἴσασι; Μάλιστα [z]μὲν οὐ πάντες ἴσασι· πρὸ δὲ τούτου οὐκ
F ᾔδεσαν· τοῦτο δὲ νῦν γέγονε δῆλον.

[a]Ἀξιόπιστοι τοίνυν γενώμεθα περὶ τὴν τοῦ μυστηρίου φυλακήν. Αὐτὸς ἡμῖν τηλικοῦτον ἐπίστευσε μυστήριον· ἡμεῖς δὲ
607 αὐτῷ οὐδὲ χρήματα πιστεύομεν. [b]Ἀλλ' αὐτὸς μὲν λέγει, ἀπόθεσθε αὐτὰ παρ' ἐμοὶ, οὐδεὶς [c]αὐτὰ ἁρπάζει, [d]οὐδὲ σὴς οὐδὲ λῃστὴς λυμαίνεται, [e]καὶ ἑκατονταπλασίονα δώσειν ὑπισχνεῖται, [f]καὶ οὐ πειθόμεθα. Καίτοιγε [g]οἷς ἂν παρακαταθώμεθα παρακαταθήκην, οὐδὲν ἀπολαμβάνομεν πλέον, [h]ἀλλὰ ἂν ὅλον ἀπολάβωμεν ὃ παρακατεθέμεθα, [i]χάριν ἴσμεν· [k]κἂν κλέπτης ὑφέληται, φησὶν, ἐνταῦθα, ἐμοὶ τοῦτο λόγισαι· οὐ λέγω σοι, λῃστὴς ἔλαβεν, οὐδὲ σὴς ἔφαγεν. Ἑκατονταπλασίονα ἐνταῦθα ἀποδίδωσι, καὶ ἐκεῖ ζωὴν αἰώνιον [l]προσδίδωσι, καὶ οὐδεὶς παρα-
B κατατίθεται. Ἀλλὰ βραδέως μοι, φησὶν, ἀποδίδωσι. Καὶ τοῦτο τῆς μεγαλοδωρεᾶς αὐτοῦ σημεῖον μέγιστον, τὸ μὴ ἐνταῦθα ἀποδιδόναι ἐν τῷ ἐπικήρῳ βίῳ τούτῳ· μᾶλλον δὲ καὶ ἐνταῦθα ἀποδίδωσιν [m]ἑκατονταπλασίονα. Εἰπὲ γάρ μοι, [n]ἐνταῦθα οὐχὶ σμίλην εἴασε [o]Παῦλος; οὐχὶ κάλαμον καὶ ἄγκιστρον Πέτρος; οὐχὶ [p]τελώνιον Ματθαῖος; οὐχὶ πᾶσα αὐτοῖς ἡ οἰκουμένη ἀνέῳκτο [q]μᾶλλον, ἢ τοῖς βασιλεῦσιν; οὐ παρὰ τοὺς πόδας [r]αὐτῶν ἐτίθεσαν πάντες τὰ χρήματα; οὐκ ἐκείνους ἐποί-
C ουν διοικητὰς καὶ κυρίους; οὐχὶ καὶ τὰς ψυχὰς αὐτοῖς ἐνεχείριζον; [s]οὐχὶ ὁλοκλήρους ἑαυτοὺς τῆς ἐκείνων βουλῆς [t]ἐξήρτησαν; οὐχὶ καὶ ἑαυτοὺς δούλους κατέγραφον; Καὶ νῦν δὲ οὐ πολλὰ τοιαῦτα ὁρῶμεν γινόμενα; Πολλοὶ γὰρ πολλάκις ἀπὸ μικρῶν

[w] μυστήριον]+αὐτοῦ B.K. Sav. cet. [x] ἐνεπίστευσε]+καὶ ὡς μὴ μεγάλα εὐεργετηθέντες ἀχάριστοι περὶ τὸν εὐεργέτην γινόμεθα. φρίξωμεν ἀναισθήτως ἔτι διακείμενοι πρὸς τὴν εὐεργεσίαν B.K. Sav. cet. [y] καὶ πῶς—δῆλον] μυστήριόν ἐστιν ὃ πάντες ἴσασι, μᾶλλον δὲ ὃ πρὸ τούτου οὐ πάντες ᾔδεισαν, νῦν δὲ πᾶσι γέγονε δῆλον iidem. [z] μὲν]+οὖν C. μάλιστα—ἴσασι om. L. Vet. [a] ΗΘΙΚΟΝ. Περὶ τῆς τῶν παρόντων εὐτελείας, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως. Veron. [b] ἀλλ' αὐτὸς μὲν] αὐτὸς B.K. [c] αὐτὰ ἁρπάζει] ἁρπάσαι δύναται ἐξ ἐμοῦ B.K. αὐτὰ ἁρπ. δύναται Sav. cet. [d] οὐδὲ] οὐ bis B.K. [e] καὶ om. B.K. [f] καὶ] ἡμεῖς δὲ B.K. [g] οἷς] παρ' οἷς B.C.K. Sav. cet. Mox παραθώμεθα C.I. καταθώμεθα B.K. [h] ἀλλ' ἐὰν B.K. Post ἀπολάβωμεν add. ὅμως iidem. [i] χάριν] καὶ χάριν B.K. Sav. cet. [k] κἂν κλέπτης—ἀποδίδωσι] ἡμεῖς παρατιθέμενοι ἐνταῦθα, οὐ λέγομεν, κἂν κλ. ὑφέλ. ἐμοὶ τ. λόγισαι· οὔτε λῃστὴς ἂν λάβῃ, οὐδὲ σὴς ἐὰν φάγῃ· ὁ Χριστὸς ἑκατ. καὶ ἐνταῦθα δίδωσι B.K. [l] δίδωσι K. [m] ἑκατονταπλ. om. B.C.K. inclusum a Sav. [n] ἐνταῦθα post Παῦλος transp. B.K. [o] ὁ Παῦλος .. ὁ Πέτρος .. ὁ Ματθ. C. [p] τελωνεῖον C. [q] μᾶλλον]+αὐτοῖς (ergo bis habet) L. [r] αὐτῶν]+φέροντες B.K. [s] οὐχὶ]+καὶ C. [t] ἐξήρτων B.K.

ὄντες καὶ εὐτελῶν, μάκελλαν μεταχειρίζοντες μόνον, καὶ [v]οὐδὲ τῆς ἀναγκαίας [w]μόλις εὐποροῦντες τροφῆς, προσηγορίαν μονάζοντος ἔχοντες, πάντων μᾶλλον ἐφάνησαν, [x]παρὰ βασιλέων ἐτιμήθησαν. Ἀλλὰ μικρὰ ταῦτα; Ἀλλ' ἐννόησον ὅτι προσθήκη ταῦτα· τὸ δὲ κεφάλαιον [y]καὶ τὸ ὁλόκληρον ἕτερον, καὶ ἐν D
τῷ μέλλοντι [z]τεταμίευται χρόνῳ. Καταφρόνησον χρημάτων, εἰ βούλει χρήματα ἔχειν· εἰ βούλει πλουτῆσαι, γενοῦ πένης. Τοιαῦτα γὰρ τοῦ θεοῦ τὰ παράδοξα· οὐ βούλεταί σε ἐκ τῆς οἰκείας σπουδῆς, ἀλλ' ἐκ τῆς αὐτοῦ χάριτος γενέσθαι πλούσιον. Ἐμοὶ ταῦτα, φησὶν, ἄφες· σὺ τὰ πνευματικὰ μερίμνα, ἵνα μάθῃς μου καὶ τὴν δύναμιν. Τὴν δουλείαν καὶ τὸν ζυγὸν τὸν ἀπὸ
(292) τῶν χρημάτων φεῦγε. Ἕως ὅτε αὐτῶν ἀντέχῃ, πένης εἶ· ἐπειδὰν αὐτῶν καταφρονήσῃς, [a]διπλῇ γίνῃ πλούσιος, [b]τῷ τέ σοι πάντοθεν ταῦτα ἐπιρρεῖν, καὶ τῷ μηδενὸς δεῖσθαι ὧν οἱ πολλοί. E
Οὐ γὰρ τὸ πολλὰ κεκτῆσθαι [c]πλουτοῦντος, ἀλλὰ τὸ μὴ πολλῶν δεῖσθαι. Ὥστε ἕως ἂν δέηται, οὐδὲν τοῦ πένητος ὁ βασιλεὺς διενήνοχε· πενία γὰρ τοῦτό ἐστι τὸ δεῖσθαι ἑτέρων. Ὥστε καὶ ὁ [d]βασιλεύων κατὰ τοῦτον τὸν λόγον πένης ἐστὶ, [e]καθ' ὃν δεῖται τῶν ἀρχομένων. Ἀλλ' οὐχ ὁ ἐσταυρωμένος οὕτως· οὐδενὸς γὰρ δεῖται, [f]ἀρκοῦσιν αὐτῷ πρὸς διατροφὴν αἱ χεῖρες· [10]"Ἐμοὶ γὰρ, φησὶ, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται." Ταῦτα ἐκεῖνος ἔλεγεν ὁ λέγων, [11]"Ὡς μηδὲν ἔχοντες, [g]καὶ F
πάντα κατέχοντες·" ἐκεῖνος ὁ θεὸς νομισθεὶς παρὰ τῶν ἐν Λύστρᾳ κατοικούντων. Εἰ βούλει τῶν ἐν τῷ κόσμῳ τυχεῖν, ζήτει τὸν οὐρανόν· εἰ βούλει καὶ τῶν ἐνταῦθα ἀπολαῦσαι, καταφρόνησον αὐτῶν. [12]"Ζητεῖτε γὰρ, [h]φησὶ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν." Τί τὰ μικρὰ θαυμάζεις; τί κέχηνας περὶ τὰ μηδενὸς ἄξια λόγου; μέχρι πότε 608
[i]πένης; μέχρι πότε πτωχός; Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, τὸν ἐκεῖ πλοῦτον ἐννόησον, καταγέλασον τοῦ χρυσοῦ, μάθε τὴν χρῆσιν αὐτοῦ, πόση τίς ἐστι. Μέχρι τοῦ παρόντος μένει ἡ ἀπόλαυσις, μέχρι τοῦ παρόντος βίου τοῦ [k]ἐπικήρου· ὅσον ψάμμος, μᾶλλον δὲ ὅσον σταγὼν πρὸς ἄβυσσον ἄμετρον, [l]τοσοῦτον ὁ

10 Act. xx. 34. 11 2 Cor. vi. 10. 12 Matth. vi. 33.

[v] οὐδὲ om. B.K. [w] μόλις B.I.K.L. μόνης Edd. Statim εὐπορ. omnes. ἀπορ. Veron. Sav. "ἴσ. εὐπορ." Sav. Ita tacite Mor. Ben. [x] παρὰ] καὶ παρὰ B.K. Sav. cet. [y] καὶ τὸ ὁ. ἕτερον καὶ om. B.K. Sav. cet. nec legisse videtur Vet. [z] τεταμίουται I. ταμιεύεται K. ταμιοῦται L. [a] διπλῇ] τότε C. [b] τῷ τε] τότε C.I. Mox ἐπιρρεῖ, καὶ τὸ μ. iidem. [c] πλουτοῦντος post δεῖσθαι transp. K. tum hic, tum post δεῖσθαι habent C.I.L. [d] βασιλεύων pro βασιλεὺς B.C.I.K. [e] καθ' ὃν B.I.K.L. καθὸ Edd. [f] ἀρκοῦσιν—χεῖρες] ἀρκεῖται γὰρ πρὸς δ. ταῖς χερσὶν L. [g] καὶ τὰ π. L. [h] φησὶ] + πρῶτον Edd. πρῶτον om. B.I.K.L. [i] πένης] + εἶ C. [k] ἐπικέρου (sic) I. [l] τοσοῦτος B.K.L.

παρὼν βίος πρὸς τὰ μέλλοντα. Οὐκ ἔστι κτῆσις τοῦτο, χρῆσίς
ἐστιν, οὐκ ἔστι [m]κυρία· πῶς γὰρ, ὅταν [n]σου ἀποπνέοντος καὶ
ἑκόντος καὶ ἄκοντος, ἕτεροι λαμβάνωσι πάντα τὰ [o]ὄντα, καὶ
αὐτοὶ πάλιν ἑτέροις [p]διδόντες, καὶ πάλιν ἐκεῖνοι ἑτέροις; Πάν-
B τες γὰρ πάροικοί ἐσμεν, καὶ ὁ κύριος τῆς οἰκίας τάχα μᾶλλον ὁ
[q]μισθωτής ἐστι τῆς οἰκίας· πολλάκις γὰρ ἐκείνου τελευτήσαν-
τος, οὗτος ἔμεινε, πλέον ἀπολαύων τῆς οἰκίας. Εἰ δὲ οὗτος
μετὰ μισθοῦ, ἀλλὰ κἀκεῖνος ὁ πρότερος μετὰ μισθοῦ· ᾠκοδό-
μησε γὰρ, καὶ ἐταλαιπωρήθη, καὶ ἐπεσκεύασε. Ῥήματι μόνον
ἐστὶν ἡ δεσποτεία· τῷ δὲ ἔργῳ πάντες τῶν ἀλλοτρίων ἐσμὲν
κύριοι. Ἐκεῖνα μόνον ἐστὶν ἡμέτερα, ὅσα ἂν ἐκεῖ προπέμψωμεν·
τὰ δὲ ἐνταῦθα οὐχ ἡμέτερα, ἀλλὰ τῶν ζώντων, μᾶλλον δὲ καὶ
[r]ζῶντας ἡμᾶς ἀπέλιπεν. Ἐκεῖνα μόνα ἐστὶν ἡμέτερα, ὅσα τῆς
C ψυχῆς ἐστι κατορθώματα, ἐλεημοσύνη καὶ φιλανθρωπία. Ταῦτα
[s]τὰ ἐκτὸς λέγεται καὶ παρὰ τοῖς ἔξωθεν· ἐκτὸς γὰρ ἡμῶν ἐστι.
Ποιήσωμεν τοίνυν [t]αὐτὰ τῶν ἐντός. Οὐ γὰρ δυνατὸν χρήματα
λαμβάνοντα ἀπελθεῖν, [v]ἀλλὰ δυνατὸν ἐλεημοσύνην λαμβάνοντα
ἀπελθεῖν. Μᾶλλον δὲ καὶ προπέμψωμεν αὐτὰ, ὥστε ἑτοιμάσαι
[w]ἡμῖν σκηνὴν ἐν ταῖς αἰωνίαις μοναῖς. Χρήματα λέγεται παρὰ
τὸ κεχρῆσθαι, οὐ παρὰ τὸ κυρίους εἶναι· καὶ τὰ κτήματα δὲ
αὐτὰ χρῆσίς ἐστιν, οὐ δεσποτεία. Εἰπὲ γάρ μοι, πόσων [x]κυ-
D ρίων ἕκαστος ἀγρὸς γέγονε, καὶ πόσων ἔσται; Λέγεταί τις
[y]καὶ παροιμία σοφωτάτη· [z]οὐ γὰρ τῶν δημωδῶν παροιμιῶν δεῖ
καταφρονεῖν, ἂν ἔχωσί τι σοφόν· ἀγρὲ, φησὶ, πόσων ἦς, καὶ
πόσων ἔσῃ; Τοῦτο καὶ πρὸς οἰκίας, τοῦτο καὶ πρὸς χρήματα
λεκτέον ἡμῖν. Ἀρετὴ μόνον οἶδεν ἡμῖν συναποδημεῖν, ἀρετὴ
μόνη διαβαίνει πρὸς τὴν ζωὴν τὴν ἐκεῖ. Ἐκλύσωμέν ποτε, καὶ
σβέσωμεν [a]τῶν χρημάτων τὸν πόθον, ἵνα ἀνάψωμεν τῶν ἐκεῖ
τὴν ἐπιθυμίαν. Οὐ δύνανται οὗτοι οἱ δύο ἔρωτες μίαν κατέχειν
[b]ψυχήν· [13] "Ἢ γὰρ τὸν ἕνα, φησὶ, φιλήσει, καὶ τὸν ἕτερον
μισήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου [c]καταφρονήσει."
E Ὁρᾷς, [d]εἰπέ μοι, ἄνδρα ἀκολούθους ἔχοντα πολλοὺς, σοβοῦντα

13 Matth. vi. 24.

[m] *κυρεία* L. Statim *πῶς γὰρ* om. I.L. [n] *σου*] *τοῦ* C.I.L. Mox *λαμβάνουσι* I.L. [o] *ὄντα*] *αὐτοῦ* L. [p] *διδόντες*] Sic I. Edebatur *δόντες*. [q] *μισθωτὴς*] Sic Veron. Sav. Mor. *μισθωτὸς* Codd. Statim *τῆς οἰκίας* om. L. [r] *ζῶντας*]+*πολλάκις* C. *ἀπέλιπεν* om. L. [s] *τὰ ἐκτὸς*] Sic Edd. *τὰ* deest in nostris. [t] *αὐτὰ*] *μέριμναν* L. *αὐτὰ* om. I. [v] *ἀλλὰ—ἀπελθεῖν* om. I. [w] *ἡμῖν*]+*αὐτοῖς* B.K. [x] *κυρίων*] *ἄξιος* Veron. [y] *καὶ π. σ.*] *παροιμία πρὸς τοῦτο εὐστόχως, ἣν ὥστε καὶ ὑμᾶς ἀκοῦσαι, καλὸν ταύτην ὑμῖν ἀναγνῶναι ὡς ἔχει* B.K. [z] *οὐ γὰρ*] *οὐδὲ γὰρ καὶ* B.K. *οὐδὲ γὰρ τὰ* C. [a] *τὸν περὶ τὰ χρήματα πόθον* B.K. [b] *τὴν ψ.* L. [c] *καταφρονήσει*]+*ἂν τοίνυν βούλῃ καταφρονῆσαι, οὕτως ἐμοὶ πειθόμενος ποίει.* B.K. [d] *εἰπέ μοι* om. B.I.K. *πολλοὺς ἔχ. ἀκ.* hoc ord. B.K.

διὰ τῆς ἀγορᾶς, σηρικὰ ἠμφιεσμένον ἱμάτια, ἵππῳ ὀχούμενον,
τὸν αὐχένα τείνοντα; μὴ καταπλαγῇς, ἀλλὰ γέλασον. Ὥσπερ
ὅταν [e]τὰ παιδία ὁρᾷς ἄρχοντας [f]παίζοντα, καταγελᾷς, οὕτω
καὶ ἐπὶ τούτῳ· [g]οὐδὲν τοῦτο ἐκείνου διενήνοχε, μᾶλλον δὲ ἐκεῖνο
καὶ τερπνότερον, ἅτε παρὰ παιδικῆς γινόμενον ἡλικίας μετὰ
πολλῆς τῆς ἀφελείας. Ἐκεῖ [h]καὶ γέλως ἐστὶ καὶ ἡδονή· ἐνταῦθα
καταγέλαστός [i]ἐστιν οὗτος, καὶ ἀσχημοσύνης πλήρης. Δόξασον F
τὸν θεὸν, ὅτι σε τῆς σκηνῆς ταύτης καὶ τοῦ [k]φυσήματος ἀπήλ-
λαξεν. Ἂν γὰρ θέλῃς, σὺ ὁ χαμαὶ ἐρχόμενος ὑψηλότερος ἔσῃ
τοῦ καθημένου τὸ ὄχημα. Πῶς; Ὅτι ἐκεῖνος μὲν μικρὸν ἀνέ-
στηκεν ἀπὸ τῆς γῆς τῷ σώματι, τῇ δὲ ψυχῇ προσπέπηγε· 609
[14] « [l]Καὶ ἐκολλήθη γὰρ, φησὶν, ἡ [m]ἰσχύς μου τῇ σαρκί μου·»
σὺ δὲ τῷ φρονήματι ἐν οὐρανῷ περιπατεῖς. Ἀλλ' ἀκολούθους
(293) ἔχει πολλοὺς σοβοῦντας; Καὶ [n]τί μᾶλλον, αὐτὸς ἢ ὁ ἵππος,
τιμᾶται; Τί ταύτης τῆς ἀλογίας χεῖρον, ἀνθρώπους διώκειν, ἵνα
τὸ κτῆνος μετ' εὐρυχωρίας παρέλθῃ; Ἀλλὰ τὸ [o]ἵππῳ ὀχεῖσθαι
σεμνόν. Ἀλλὰ καὶ δοῦλοι τούτου μετέχουσιν. Εἰσὶ δέ τινες,
οἳ τοσοῦτον ἔχουσι [p]τύφου, ὡς [q]μηδὲν δεόμενοι, ὄπισθεν ποιεῖν
ἀκολουθεῖν. Ἆρα τί τούτων ἐστὶν ἀλογώτερον; ἀπὸ ἵππων,
καὶ πολυτελείας ἱματίων, καὶ ἀκολούθων βούλονται φαίνεσθαι.
Τί ταύτης τῆς δόξης οὐδαμινέστερον, τῆς ἀπὸ ἵππων καὶ οἰκετῶν B
συνισταμένης; Ἐνάρετος εἶ; μηδενὶ τούτων κέχρησο· οἰκεῖον
ἔχε τὸν κόσμον, μὴ [r]ἐν τῇ ἑτέρου παρουσίᾳ. Ταῦτα καὶ πονηροὶ
καὶ μιαροὶ καὶ ἄγροικοι, καὶ πάντες ὅσοι πλούτου μετέχουσι,
δύνανται ἔχειν. Καὶ μῖμοι καὶ ὀρχησταὶ ἐφ' ἵππων φέρονται,
καὶ οἰκέτην προτρέχοντα ἔχουσιν· ἀλλ' ὅμως μῖμοί εἰσι καὶ
ὀρχησταὶ, καὶ οὐ γεγόνασι σεμνοὶ ἀπὸ τῶν ἵππων καὶ [s]τῶν
ἀκολούθων. Ὅταν [t]γὰρ μηδὲν τῶν ἐν ψυχῇ καλῶν προσῇ τῷ
τοιούτῳ, ταῦτα, ἂν ἔξωθεν προστεθῇ, [v]εἰκῇ καὶ μάτην· καὶ κα- C
θάπερ ἀσθενεῖ [w]τοίχῳ ἢ διεφθορότι σώματι ὅσα ἄν τις περιθῇ,
μένει ἀηδὲς ὂν καὶ διεφθορός· οὕτω δὴ καὶ ἐνταῦθα, οὐδεμίαν ἡ
ψυχὴ ὄνησιν ἀπὸ τῶν ἐκτὸς προσλαμβάνει, ἀλλὰ μένει τοῦτο
οὖσα, κἂν μυρία τις αὐτῇ περιθῇ χρυσία. Μὴ δὴ πρὸς ταῦτα
ἐπτοημένοι [x]ὦμεν, ἀποστήσωμεν ἑαυτοὺς [y]τῶν προσκαίρων, τῶν

14 Psal. ci. 6.

[e] τὰ om. C. [f] παίζοντας L. Statim καὶ γελᾷς ex corr. K. [g] οὐδὲν] + γὰρ C. [h] καὶ] μὲν L. [i] ἐστιν] μόνον B.K. [k] φυσσήματος C. Veron. καὶ τοῦ φ. om. I. [l] καὶ om. B.K. Sav. cet. [m] ἰσχὺς] ψυχὴ C. [n] τί] + τοῦτο B.K. et ex corr. C. Statim ὁ ἵππος ἢ αὐτὸς hoc ord. B.C.K. [o] ἐν ἵππῳ L. [p] τύφον I.L. [q] μηδὲ δ. ὄπιθεν C. [r] ἐν om. K. Sav. cet. Post παρουσίᾳ add. καλλωπίζου B.K. Sav. cet. [s] τῶν om. L. [t] γὰρ] + τινι B.K. [v] εἰκῇ] πάντα εἰκῇ B.K. [w] τοίχῳ om. B.K. [x] ὦμεν om. C. [y] τῶν πρ. om. C.I.L. Statim τῶν μ. ἀλλ' ἐχώμεθα τῶν πν. C.

μειζόνων ἐχώμεθα, τῶν πνευματικῶν, τῶν ὄντως αἰδεσίμους ποι-
D οὐντων ἡμᾶς, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΒ.

[1]Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμόνων, ἐν ὑποκρίσει ψευδολόγων, [a]κεκαυτηρι-
E ασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. [b]Ὅτι πᾶν κτίσμα θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως.

ὭΣΠΕΡ οἱ τῆς πίστεως ἐχόμενοι ἐπ' ἀσφαλοῦς τῆς ἀγκύ-
F ρας [c]ὁρμίζονται, οὕτως οἱ ταύτης ἐκπεσόντες οὐδαμοῦ στῆναι δύνανται, ἀλλὰ [d]πολλοὺς ἄνω καὶ κάτω πλανηθέντες πλάνους, τὸ τελευταῖον εἰς αὐτὰ τῆς ἀπωλείας φέρονται τὰ βάραθρα.
610 Καὶ τοῦτο ἤδη μὲν ἐδήλωσεν εἰπὼν, [e]ὅτι ἐναυάγησάν [f]τινες περὶ τὴν πίστιν· καὶ νῦν δέ φησι· "Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις." Περὶ Μανιχαίων, καὶ [g]Ἐγκρατιτῶν, καὶ Μαρκιωνιστῶν, καὶ παντὸς αὐτῶν τοῦ ἐργαστηρίου [h]τοῦ τοιούτου ταῦτά φησιν, "ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως." Ὁρᾷς ὅτι πάντων αἴτιον τῶν μετὰ ταῦτα κακῶν τὸ τῆς πίστεως ἀποστῆναι; Τί δὲ ἐστὶ, "ῥητῶς;"
B Φανερῶς, σαφῶς, [i]ὡμολογημένως, ὡς μὴ ἀμφιβάλλειν. Μὴ θαυμάσῃς, φησὶν, εἰ νῦν ἀπὸ τῆς πίστεώς τινες ἀποστάντες ἔτι Ἰουδαΐζουσιν· ἔσται καιρὸς ὅτε χαλεπώτερον αὐτοὶ οἱ τῆς πίστεως μετεσχηκότες τοῦτο ἐργάσονται, οὐ μέχρι βρωμάτων, ἀλλὰ καὶ μέχρι γάμων, καὶ πάντων τῶν τοιούτων τὴν [k]ὀλέθριον συμβουλὴν εἰσάγοντες. Οὐ περὶ Ἰουδαίων λέγει ταῦτα· [l]πῶς

[1] Cap. IV. v. 1—5.

Hom. XII. [a] κεκαυστ. τὴν οἰκείαν σ. L. [b] ὅτι—ἐντεύξεως om. K. [c] ὁρμίζονται] Sic C. Veron. Sav. Mor. ὁρίζονται I. ἐρρίζωνται L. ἐρείδονται B.K. Ben. [d] πολλὰς . . πλάνας B.K. [e] ὅτι] + ἤδη Edd. ἤδη deest in omnibus. [f] τινες] πολλοὶ L. [g] Ἐγκρατητῶν L. Cat. Veron. Mox Μαρκιανιστῶν I.L. Veron. et ante corr. C. [h] τοῦ τοιούτου assumtum ex C.I.L. Cat. Statim ταῦτα omnes. Edebatur τὰ τοιαῦτα. [i] ὡμολογημένως B.C. ὁμολογημένως I. ὁμολογουμένως Edd. [k] ὀλεθρίαν B. Cat. [l] πῶς] ποῦ B.

γὰρ τὸ, "ἐν ὑστέροις καιροῖς," καὶ τὸ, "ἀποστήσονται τῆς
πίστεως," ἔχει χώραν; ἀλλὰ περὶ Μανιχαίων καὶ τῶν ἀρχηγε-
τῶν τούτων. Πνεύματα [m]δὲ πλάνης ἐκάλεσεν αὐτοὺς, εἰκότως· C
ὑπὸ γὰρ ἐκείνων ἐνεργούμενοι, ταῦτα ἐφθέγξαντο. Τί ἐστιν,
"ἐν ὑποκρίσει ψευδολόγων;" [n]Αὐτὰ ἃ ψεύδονται, οὐ κατὰ
ἄγνοιαν, οὐδὲ οὐκ εἰδότες, ἀλλ' ὑποκρινόμενοι ψεύδονται, εἰδότες
(294) μὲν τὸ ἀληθὲς, τὸ δὲ συνειδὸς κεκαυτηριασμένοι, τουτέστι, πο-
νηροῦ ὄντες βίου. Τί δήποτε δὲ μόνους τούτους τοὺς αἱρετικοὺς
λέγει; Προεῖπεν ὁ Χριστὸς καὶ ἑτέρους λέγων, [2]"Ἀνάγκη
ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα·" [o]καὶ πάλιν τὰ ζιζάνια προεμήνυσε.
Σὺ δέ μοι θαύμασον τοῦ Παύλου τὴν προφητείαν· πρὸ γὰρ D
τῶν χρόνων, ὧν [p]ἔμελλεν ἔσεσθαι, ἐδήλου καὶ τὸν χρόνον αὐτόν.
Μὴ θαυμάσῃς τοίνυν, εἰ νῦν, ὅτε τὴν ἀρχὴν ἔχει, [q]φησὶ, τὰ τῆς
πίστεως, ταῦτά τινες [r]παρεισφέρειν ἐπιχειροῦσι τὰ ὀλέθρια
δόγματα· [s]ὅταν παγῇ μετὰ χρόνον πολὺν, ἀποστήσονταί τινες
τῆς πίστεως. "[t]Κωλυόντων, φησὶ, γαμεῖν, ἀπέχεσθαι βρωμά-
των." Τί δήποτε καὶ τὰς ἄλλας αἱρέσεις οὐκ εἶπεν; [v]Ἠινίξατο E
αὐτὰς εἰπὼν, "πνεύμασι πλάνοις καὶ διδασκαλίαις [w]δαιμονίων."
Οὐ γὰρ ἐβούλετο ἤδη κατασπεῖραι εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς
ταῦτα· ἀλλ' ὅπερ ἀρχὴν εἰλήφει, τοῦτο ἤδη παρέδειξε, τὸ τῶν
βρωμάτων. "Ἃ ὁ θεὸς, [x]φησὶν, ἔκτισεν εἰς μετάληψιν τοῖς
πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν." [y]Τοῖς δὲ ἀπίστοις οὔ;
Πῶς τοῖς ἀπίστοις, ὁπότε νόμοις ἑαυτοὺς τούτων ἀπείργουσι;
Τί οὖν; οὐ κεκώλυται ἡ τρυφή; Καὶ σφόδρα. Διὰ τί, εἰ εἰς F
μετάληψιν ἔκτισται; Ὅτι καὶ ἄρτον ἔκτισε, [z]καὶ κεκώλυται ἡ
ἀμετρία· [a]ὅτι καὶ οἶνον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία. Οὐχ
ὡς ἀκάθαρτον [b]νῦν τὴν τρυφὴν παραιτεῖσθαι κελεύει, ἀλλ' ὡς 611
ἐκλύουσαν διὰ τῆς ἀμετρίας τὴν ψυχήν. "Ὅτι πᾶν κτίσμα
θεοῦ καλὸν, φησὶ, καὶ οὐδὲν ἀπόβλητον [c]μετὰ εὐχαριστίας λαμ-
βανόμενον." Εἰ κτίσμα θεοῦ, καλόν· [3]"Πάντα γὰρ καλὰ
λίαν." [d]Τῷ εἰπεῖν, "κτίσμα θεοῦ," περὶ τῶν ἐδωδίμων ἁπάντων

2 Matth. xviii. 7. 3 Gen. i. 31.

[m] δὲ] γὰρ L. Statim πλάνα C.L. Cat. [n] αὐτὰ] ἀντὶ τοῦ αὐτὰ B.K. αὐτὰ, φησὶν L. Mox οὐ παρ' ἄγνοιαν Cat. [o] καὶ πάλιν τὰ ζ. πρ.] ἄλλως τε (+καὶ B.) διὰ τῆς τοῦ σίτου σπορᾶς καὶ τῶν ζιζανίων τῆς βλάστης τούτους αὐτοὺς πρ. B.K. Sav. cet. [p] ἔμελλον B.C. et ex corr. K. [q] φησὶ accessit ex omnibus. [r] παρ. ἐπιχ. omnes. ἐπιχ. παρ. Edd. [s] ὅταν] Sic B.K. ὃ ὅταν C.I.L. ὁ ὅταν Veron. ὅτι ὅταν Sav. cet. nullo, ut videtur, auctore. [t] κωλύοντες K. [v] ἠνίξατο] ἀλλ' ἠν. I. ἠν. καὶ B.K. Sav. cet. [w] δαιμόνων C.I. [x] φησὶν om. B.K. [y] τοῖς δὲ ἀπ. οὔ;] διὰ τί μή φησι (φησὶ μὴ B.K.) καὶ τοῖς ἀπ. B.K. Sav. cet. Mox τοῖς ἀπ. om. L. [z] καὶ κεκ.] ἀλλὰ κεκ. bis L. [a] ὅτι assumtum ex C.I.L. Haec ὅτι καὶ οἶνον—ἀμετρία desunt in Veron. [b] νῦν] οὖν B. [c] μετ' εὐχ. B.K.L. Sav. cet. [d] τῷ] ἐν δὲ τῷ L.

ἠνίξατο· καὶ ἤδη προκατασπᾷ τὴν αἵρεσιν [e]τῶν τὴν ἀγένητον ὕλην [f]εἰσαγόντων, καὶ ἐκείνης ταῦτα λεγόντων εἶναι. Οὐκοῦν εἰ καλὸν, [g]τί ἐστι, φησὶ, τὸ, "Ἁγιάζεται διὰ [h]λόγου καὶ ἐντεύξεως;" [i]δῆλον ὅτι ἀκάθαρτον ὂν ἁγιάζεται. Οὐ τοῦτο, ἀλλ'
B ἐνταῦθα πρὸς ἐκείνους φησὶ, τοὺς κοινά τινα νομίζοντας ἐξ αὐτῶν εἶναι. Δύο τοίνυν τίθησι κεφάλαια, ἓν μὲν, ὅτι οὐδὲν κτίσμα κοινόν· δεύτερον δὲ, [k]εἰ καὶ γένοιτο κοινὸν, ἀλλ' [l]ἔχεις τὸ φάρμακον· σφράγισον, εὐχαρίστησον, δόξασον τὸν θεὸν, καὶ πᾶσα ἀκαθαρσία [m]ἀπέπτη. Οὐκοῦν καὶ τὸ εἰδωλόθυτον, φησὶν, οὕτω δυνάμεθα καθαίρειν; Ἐὰν μὴ [n]εἰδῇς ὅτι εἰδωλόθυτόν ἐστιν· ἐὰν δὲ [o]εἰδῇς λοιπὸν καὶ μεταλάβῃς, ἀκάθαρτος ἔσῃ, οὐχ ὅτι εἰδωλόθυτόν ἐστιν, ἀλλ' ὅτι προσταχθεὶς μὴ κοινωνεῖν δαίμοσιν,
C ἐκοινώνησας δι' ἐκείνου. Ὥστε οὔτε ἐκεῖνό ἐστι φύσει τοιοῦτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως γίνεται τῆς σῆς καὶ τῆς παρακοῆς. [p]Οὐκ ἀκάθαρτον τὸ ὕειον; [q]Οὔ, φησὶν, ὅταν μετὰ εὐχαριστίας λαμβάνηται, ὅταν μετὰ σφραγῖδος, οὐδὲ ἄλλο οὐδέν· ἀκάθαρτος [r]δὲ ἡ προαίρεσις ἡ μὴ εὐχαριστοῦσα τῷ θεῷ.

4 "Ταῦτα ὑποτιθέμενος τοῖς [s]ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας." Ταῦτα, ποῖα; Ἅπερ εἶπεν, ὅτι τὸ μυστήριον μέγα ἐστὶν, ὅτι τὸ τούτων ἀπέχεσθαι, δαιμόνων ἐστὶν, ὅτι διὰ λόγου καὶ ἐν-
D τεύξεως θεοῦ τὰ βρώματα [t]καθαρίζεται. "Ἐντρεφόμενος, φησὶ, [v]τοῖς λόγοις τῆς πίστεως καὶ τῆς διδασκαλίας ᾗ παρηκολούθηκας. 5 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ· γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν." "Ταῦτα ὑποτιθέμενος," [w]φησίν. Ὁρᾷς οὐδαμοῦ τὴν [x]αὐθεντίαν ἐνταῦθα, ἀλλὰ τὴν συγκατάβασιν; "Ὑποτιθέμενος," φησίν. Οὐκ εἶπεν, ἐπιτάττων, οὐκ εἶπε, παραγγέλλων, ἀλλὰ, "ὑποτιθέμενος·" [y]ὡς συμβουλεύων ταῦτα ὑποτίθεσο, καὶ τοὺς λόγους ἀνακίνει τοὺς περὶ
E πίστεως. "[z]Ἐντρεφόμενος," φησὶ, τὸ διηνεκὲς τῆς εἰς τὰ τοιαῦτα προσοχῆς δηλῶν. Ὥσπερ γὰρ τὴν τροφὴν ταύτην καθ'

4 v. 6. 5 v. 7.

[e] τῶν τὴν ἀ. ὕλην] Sic C.L. Cat. τὴν τῶν ἀ. ὕ. I. Veron. τὴν τῶν ἀ. τὴν ὕ. B.K. Sav. cet. ἀγένητον pro ἀγέννητον omnes. [f] ἀγόντων K. λεγόντων B. [g] τί ἐστι, φησὶ] Sic C.I.L. τί φησι B.K. τί ἐστιν ὅ φησι Edd. [h] λόγου] +θεοῦ C. [i] δῆλον]+γὰρ B.K. Sav. cet. [k] εἰ] ὅτι εἰ Edd. ὅτι om. C.I.L. Cat. [l] ἔχει L. Cat. [m] ἀπέστη C. Cat. [n] εἰδῇς] Sic C. Cat. εἴδῃς I.L. Veron. ᾔδεις B.K. Sav. cet. [o] εἴδῃς I.L. ἴδῃς Veron. [p] οὐκ] τί δαί; οὐκ B.K. Sav. cet. [q] οὔ, φησὶν] φησὶ L. οὐδαμῶς B.K. Sav. cet. [r] δὲ assumtum ex omnibus. [s] ἀδελφοῖς]+φησὶν I. [t] καθαρίζονται L. [v] τοῖς] ἐν τοῖς C. [w] φησὶν om. B.K. [x] αὐθεντείαν B.K. ἐνταῦθα om. L. [y] ὡς] τουτέστιν ὡς B.K. Sav. cet. [z] ἐντρ. φησὶ] τοῦτο εἰπὼν ἐπήγαγε τὸ ἐντρ. B.K.

ἑκάστην ἡμέραν [a]αἰτοῦμεν, οὕτω καὶ τοὺς περὶ πίστεως λόγους
ἀεὶ [b]λαμβάνομεν, ἀεὶ τούτοις τρεφόμεθα. [“[c]Ἐντρεφόμενος·”]
τουτέστι, [d]μαρυκώμενος, συνεχῶς τὰ αὐτὰ στρέφων, [e]ἀεὶ τὰ
αὐτὰ μελετῶν· τροφὴν γὰρ ἔχει οὐ τὴν τυχοῦσαν. “Τοὺς δὲ
βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ.” Τίνας ἐνταῦθα λέγει; F
Τὰς Ἰουδαίων παρατηρήσεις. [f]Μύθους αὐτάς φησι· [g]καὶ πάνυ,
ἢ τὰς παραποιήσεις, ἢ διὰ τὸ ἄκαιρον. Τὸ γὰρ ἐν καιρῷ, χρή-
σιμον· χωρὶς δὲ τοῦ καιροῦ, οὐ μόνον [h]ἄχρηστον, ἀλλὰ καὶ
(295) βλαβερόν. Ἐννόησον γάρ μοι ἄνδρα μετὰ εἴκοσιν ἔτη τῷ
[i]μαστῷ προσάγοντα ἑαυτὸν τῆς τίτθης, πῶς ἐστι καταγέλα- 612
στος διὰ τὸ ἄκαιρον. Ὁρᾷς πῶς καὶ ἀκάθαρτα αὐτὰ εἶπε, καὶ
γραώδη; τὸ μὲν διὰ τὸ παλαιὸν, τὸ δὲ διὰ τὸ ἐμποδίζειν τῇ
πίστει. Τὸ γὰρ ὑπὸ φόβον ἄγειν τὴν ἀνωτέρω τούτων γενο-
μένην ψυχὴν, τῶν ἀκαθάρτων ἐστὶ παραγγελμάτων. “Γύμναζε
δὲ σεαυτὸν πρὸς εὐσέβειαν·” τουτέστι, πρὸς πίστιν καθαρὰν
[k]καὶ βίον ὀρθόν· τοῦτο γάρ ἐστιν εὐσέβεια. Γυμνασίας ἄρα
χρεία ἡμῖν. [6]“Ἡ γὰρ σωματικὴ γυμνασία, [l]φησὶ, πρὸς ὀλίγον
ἐστὶν [m]ὠφέλιμος.” Τινὲς περὶ τῆς [n]νηστείας τοῦτό φασιν
εἰρῆσθαι· [o]ἄπαγε, οὐκ ἔστι σωματικὴ γυμνασία, ἀλλὰ πνευμα- B
τική. Εἰ γὰρ σωματικὴ ἦν, τὸ σῶμα ἔτρεφεν ἄν· εἰ δὲ τήκει αὐτὸ
καὶ λεπτύνει καὶ κατισχνοῖ, οὐκ ἔστι σωματική. Οὐκ ἄρα περὶ
τῆς τοῦ σώματος ἀσκήσεώς φησιν. Ὥστε ἡμῖν δεῖ τῆς κατὰ
ψυχὴν γυμνασίας. Ἐκείνη γὰρ οὐκ ἔχει κέρδος, ἀλλ᾽ ὀλίγον
ὠφέλησε τὸ σῶμα· ἡ δὲ τῆς εὐσεβείας ἄσκησις τὸν καρπὸν καὶ
ἐν τῷ μέλλοντι ἀποδίδωσι, καὶ ἐνταῦθα ἀνακτᾶται, καὶ ἐκεῖ.

[7]“Πιστὸς ὁ λόγος·” τουτέστιν, [p]ἀληθὴς, ὅτι καὶ ἐνταῦθα
καὶ ἐκεῖ. Ὅρα πῶς πανταχοῦ τοῦτο ἐπάγει· οὐ δεῖται κατα-
σκευῆς, ἀλλ᾽ ἀποφαίνεται· πρὸς γὰρ Τιμόθεον [q]ὁ λόγος ἦν
αὐτῷ. Ἄρα καὶ ἐνταῦθα ἐν ἐλπίσιν ἐσμὲν χρησταῖς. Ὁ γὰρ C
μηδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, ὁ μυρία κατορθῶν, καὶ ἐνταῦθα
[r]γάννυται· ὥσπερ οὖν ὁ πονηρὸς οὐκ ἐκεῖ μόνον, ἀλλὰ καὶ ἐνταῦθά
κολάζεται, φόβῳ συζῶν διηνεκῶς, οὐδενὶ μετὰ παρρησίας ἀντιβλέ-

6 v. 8. 7 v. 9.

[a] αἰτοῦμεν] ζητοῦμεν Cat. προσφερόμεθα B.K. Sav. cet. Post οὕτω add. φησὶ iidem. [b] λαμβάνωμεν B.C.K.L. Mox τρεφώμεθα B.C.I.L. Cat. [c] ἐντρ. τουτέστι] Sic L. ἐντρ. om. C.I. Veron. τί ἐστιν ἐντρ. B.K. Sav. cet. [d] μηρυκ. B.K. Sav. cet. [e] ἀεὶ] καὶ ἀεὶ L. Mox γὰρ om. idem. [f] μύθους] καὶ μ. B.I.K. Sav. cet. Statim αὐτοὺς C.I. αὐτὰς om. L. [g] καὶ π.] π. γε· οὕτω δὲ αὐτὰς εἶπεν B.K. Statim ἢ διὰ τὰς π. B.K. Cat. Sav. cet. [h] οὐ χρηστὸν B. [i] μασθῷ C.K. [k] καὶ β. ὀρθὸν om. C. [l] φησὶ om. B.K. [m] ὠφέλιμος] + ἡ δὲ εὐσέβεια—μελλούσης (ut p. 613 E.) C. [n] νηστείας] σωματικῆς γυμνασίας B.K. [o] ἀλλ᾽ ἄπαγε B.K.L. [p] ἀληθής] + ἀληθὴς B.K. [q] ὁ λ. ἦν pro ἦν ὁ λ. C.I.K.L. Cat. [r] γάνυται a 1ma man. K. Mox οὖν om. B.K.

ψαι τολμῶν, τρέμων, ὠχριῶν, ἀγωνιῶν. [s]Ἢ οὐ τοιοῦτοι οἱ πλε-
ονέκται, οἱ κλέπται, οὐ θαρροῦντες ὑπὲρ ὧν ἔχουσιν; οἱ μοιχοὶ,
οἱ ἀνδροφόνοι, οὐ χαλεπωτάτην ζῶσι ζωὴν, [t]μετὰ ὑποψίας τὸν
ἥλιον ὁρῶντες αὐτόν; τοῦτο οὖν ζωή; Οὐδαμῶς, ἀλλὰ θάνατος
χαλεπός. [8]"Εἰς τοῦτο γὰρ, φησὶ, [v]κοπιῶμεν καὶ ὀνειδιζόμεθα,
D ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώ-
πων, [w]μάλιστα πιστῶν." [x]Τουτέστι, τίνος γὰρ ἕνεκεν κόπτομεν
ἑαυτοὺς, εἰ μὴ τὰ μέλλοντα προσεδοκῶμεν; τίνος δὲ ἕνεκεν
[y]πάντες ὀνειδίζουσιν; οὐ δεινὰ, [z]φησὶ, τοσαῦτα πεπόνθαμεν;
εἰκῇ οὖν, [a]φησὶ, ταῦτα ὑπεμείναμεν; οὐχ ὕβρεις καὶ λοιδορίας
καὶ μυρία κακά; εἰ μὴ ἐπὶ θεῷ ζῶντι [b]ἠλπίκαμεν, τίνος ἕνε-
κεν ταῦτα ὑπεμείναμεν; Εἰ δὲ τοὺς ἀπίστους [c]σώζει ἐνταῦθα,
πολλῷ μᾶλλον τοὺς πιστοὺς [d]ἐκεῖ. [e]Ποίαν λέγει σωτηρίαν;
E [f]Τὴν ἐκεῖ. "Ὅς ἐστι, φησὶ, σωτὴρ πάντων [g]ἀνθρώπων, μά-
λιστα πιστῶν." [h]Τουτέστι, πλείονα σπουδὴν περὶ τοὺς πιστοὺς
[i]ἐνδείκνυται. Τέως τὴν ἐνταῦθά [k]φησι. Καὶ πῶς τῶν πιστῶν ἐστι,
φησὶ, σωτήρ; Εἰ μὴ γὰρ σωτὴρ ἦν, οὐδὲν ἂν ἐκώλυσεν ὑπὸ πάν-
των πολεμουμένους πάλαι διεφθάρθαι. Ἐνταῦθα καὶ παρορμᾷ
αὐτὸν πρὸς τοὺς κινδύνους, ὥστε μὴ ἐκλυθῆναι θεὸν ἔχοντα τοι-
F οῦτον, [l]καὶ τῆς παρ' ἑτέρων συμμαχίας μὴ δεῖσθαι, ἀλλ' ἑκοντὶ
πάντα φέρειν γενναίως· ἐπεὶ καὶ οἱ πρὸς τὰ βιωτικὰ [m]κεχηνότες,
πρὸς τὴν ἐλπίδα τοῦ κέρδους [n]ὁρῶντες ἐγχειροῦσι τοῖς πράγ-
613 μασιν. Ἆρα ἔσχατος [o]ἔσται λοιπὸν ὁ καιρός. "Ἐν ὑστέροις
γὰρ καιροῖς, φησὶν, ἀποστήσονταί τινες τῆς πίστεως, προσέ-
χοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμόνων, ἐν ὑπο-
κρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν,
κωλυόντων γαμεῖν." Τί οὖν; ἡμεῖς οὐ κωλύομεν, [p]φησὶ, γαμεῖν;

8 v. 10.

[s] ἢ οὐ τοιοῦτοι] ἢ οὐχ οὗτοι I. ἢ οὐχ οὕτως L. ἢ (ἡ K.) γὰρ εἰπέ μοι οὗτοι B.K. [t] μεθ' ὑπ. B.K. [v] κοπ.] καὶ κοπ. B.I.L. Sav. cet. [w] μ. δὲ π. B.K. [x] τουτέστι] ὡσεὶ ἔλεγε B.K. Sav. cet. Statim γὰρ om. K.L. Haec τίνος—ἑαυτοὺς post προσεδοκῶμεν (sic) transp. K. [y] πάντες] + ἡμῖν B.K. Sav. cet. [z] φησὶ om. B.K. [a] φησὶ om. B.K. Sav. cet. Haec εἰκῇ—ὑπεμείναμεν post κακὰ transp. iidem. [b] ἠλπίκαμεν] + φησὶ B.K. [c] σώζειν L. [d] ἐκεῖ] καὶ ἐνταῦθα καὶ ἐκεῖ B.K. [e] ποίαν—μ. πιστῶν.] εἰ γὰρ μὴ καὶ τὴν ἐκεῖ, ποίαν ἄλλην αἰνίττεται (-εσθαι K.) σωτηρίαν ἐροῦμεν τῷ λέγειν, ὅς ἐ. σ. π. ἀ. μ. δὲ πιστῶν; οὐδεμίαν ἑτέραν ἢ τὴν μέλλουσαν. B.K. [f] οὐ τὴν (οὐ eraso) C. [g] ἀνθρώπων deest in Edd. invitis libris. [h] τουτέστι] τί δὲ (δαὶ K.) δηλοῦν βούλεται τῷ εἰπεῖν, μ. δὲ πιστῶν; οὐδὲν ἕτερον ἀλλ' ἢ ὅτι B.K. [i] ἐνδείκνυται. τέως—φησὶ, σωτήρ;] ἐνδείκνυται τέως ἐνταῦθα. εἰ γὰρ μὴ τοῦτο λέγειν αὐτὸν εἴπωμεν, πῶς ἁρμόσει τὸ (τὸν K.) σωτῆρα λέγεσθαι τὸν Χριστόν; πῶς δὲ καὶ οὐ σωτὴρ, πάντων δυσχερῶν τοὺς ἐλπίζοντας ἐπ' αὐτὸν ῥυόμενος; B.K. [k] φησι] σωτηρίαν φησὶ L. [l] καὶ] μήτε (mox om. μὴ) B.K. Sav. cet. [m] κεχηνότες] + διαπαντὸς B.K. [n] ἀφορῶντες L. [o] ἔσται B.C.I.L. ἐστι Edd. [p] φησὶ ante ἡμεῖς transp. B.K. post ἡμεῖς L.

Οὐ κωλύομεν, μὴ γένοιτο, βουλομένους, ἀλλὰ τοὺς μὴ βουλο-
μένους γαμεῖν προτρέπομεν ἐπὶ τὴν παρθενίαν. Ἕτερόν ἐστι
κωλῦσαι, καὶ ἕτερον κύριον ἀφεῖναι τῆς προαιρέσεως· ὁ μὲν γὰρ
κωλύων, [q]καθάπαξ τοῦτο ποιεῖ· ὁ δὲ ὡς ἐπὶ μείζονα τὴν παρ-
θενίαν ἐνάγων, οὐ κωλύων γαμεῖν τοῦτο ποιεῖ, ἀλλὰ προτρέπων B
παρθενεύειν. "Κωλυόντων, φησὶ, γαμεῖν, ἀπέχεσθαι βρωμάτων
ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς
καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν." Καλῶς εἶπεν, "ἐπεγνωκόσι τὴν
ἀλήθειαν." Ἄρα τὰ πρότερα [r]τύπος ἦν· οὐδὲν γὰρ φύσει ἀκά-
θαρτον, [s]ἀλλὰ παρὰ τὴν συνείδησιν τοῦ μεταλαμβάνοντος γίνε-
ται. [t]Τίνος οὖν [v]ἕνεκεν τῶν πολλῶν αὐτοὺς βρωμάτων [w]ἀπή-
(296) γαγε; Τὴν πολλὴν ἐκκόπτων τρυφήν. [x]Ἀλλ' εἰ μὲν εἶπεν, ὅτι
διὰ τρυφὴν [y]μὴ ἐσθίετε, οὐκ ἂν ἠνέσχοντο· νῦν δὲ εἰς νόμου
[z]αὐτὸ κατέκλεισεν ἀνάγκην, ἵνα τῷ μείζονι φόβῳ μᾶλλον ἀπό- C
σχωνται. Ἐπεὶ ὅτι τοῦ [a]ὑὸς ἀκαθαρτότερόν ἐστιν ὁ ἰχθὺς,
παντί που δῆλόν [b]ἐστιν· ἀλλ' ὅμως ἐκείνων οὐκ ἀπήγαγεν.
Ὅσον δὲ αὐτοῖς χαλεπὸν ἦν ἡ τρυφὴ, ἄκουε [c]καὶ τοῦ Μωϋσέως
λέγοντος· [9] "[d]Ἔφαγε, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπε-
λάκτισεν ὁ ἠγαπημένος." Ἔστι δὲ καὶ ἄλλη αἰτία. Ἵνα γὰρ
στενοχωρηθέντες [e]λοιπὸν ἐπὶ βόας ἔλθωσι, καὶ σφάττωσι πρό-
βατα, εἰκότως διὰ τὸν Ἆπιν καὶ τὸν μόσχον τῶν λοιπῶν ἀπ-
εῖρξεν. Ἀκάθαρτος γὰρ ἐκεῖνος, [f]ὁ ἀχάριστος, ὁ μιαρὸς καὶ
βέβηλος. Ταῦτα ὑποτίθεσο, ταῦτα μελέτα· τὸ γὰρ, "Ἐντρε-
φόμενος τοῖς λόγοις τῆς πίστεως," τοῦτό ἐστι. Μὴ τοῖς ἄλλοις D
[g]μόνοις παραίνει, φησὶν, ἀλλὰ καὶ αὐτὸς ἐν [h]αὐτοῖς ἔχε τὴν
μελέτην. "Ἐντρεφόμενος γὰρ, φησὶ, τοῖς λόγοις τῆς πίστεως
καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας. Τοὺς δὲ βεβή-
λους καὶ γραώδεις μύθους παραιτοῦ." Διὰ τί μὴ εἶπεν, ἀνέχου
τῶν τοιούτων, ἀλλὰ, "παραιτοῦ;" [i]Μηδὲ εἰς γυμνασίαν [k]ποτὲ
[l]καθῇς πρὸς ἐκείνους, ἀλλὰ ταῦτα τοῖς [m]σαυτοῦ παραίνει. Οὐ

[9] Deut. xxxii. 15.

[q] καὶ ἅπαξ I. [r] τύπος] οὐ τοιαῦτα B.I.K.L. οὐ τοιαῦτα ἀλλὰ τύπος C. [s] ἀλλὰ] + πάντα K. [t] τίνος οὖν] καὶ τίνος B.K. καὶ τίνος οὖν B.K. Sav. cet. [v] ἕνεκεν] + φησὶ B.K. τοιούτων pro πολλῶν iidem. [w] ἀπῆγεν I. [x] ἀλλ' εἰ μὲν] εἰ μὲν γὰρ B.K. ὅτι om. iidem. [y] μὴ om. K. [z] αὐτῷ K. αὐτὸ om. I. [a] υἱὸς I. [b] ἐστιν assumtum ex omnibus. [c] καὶ om. C. Statim Μωσέως C.I. Veron. [d] ἔφαγεν] + Ἰακὼβ B.K. [e] λοιπὸν om. L. in marg. habet I. [f] ἀχάριστος sine artic. Sav. cet. μιαρὸς sine artic. B.K. Sav. cet. ὁ μ. ὁ βέβηλος C. [g] μόνον B.L. Statim παραίνει B.K.L. et ex corr. C. παραινεῖν I. et ante corr. C. παραινῇ Edd. [h] αὐτοῖς ἔχε] ἑαυτῷ ἔχε τούτων L. Mox γὰρ om. B.K. [i] μηδὲ] τὴν τελείαν ἀποφυγὴν αἰνιττόμενος διὰ τούτου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μηδὲ B.K. Sav. cet. [k] ποτὲ] + φησὶ L. [l] καθῇς] Sic B.K. καταθῇς Edd. Post h. v. add. σεαυτὸν διαλεγόμενος B.K. Sav. cet. (sed σεαυτὸν πρὸς ἐκείνους δ. hoc ord. K.) [m] σαυτοῦ B.C.K.L. αὐτοῦ Edd.

E γὰρ ἔστι πρὸς τοὺς διεστραμμένους μαχόμενον ὀνῆσαί [n]τι ποτὲ,
[o]πλὴν εἴποτε [p]οἰόμεθά τινα βλάβην γίνεσθαι, ὡς δι' ἀσθένειαν
παραιτουμένων ἡμῶν τὴν πρὸς [q]αὐτοὺς διάλεξιν. "Γύμναζε δὲ
σεαυτὸν πρὸς εὐσέβειαν" [r]εὐσέβεια δέ ἐστι, πρὸς βίον καθαρὸν,
πρὸς πολιτείαν ἀρίστην. Ὁ [s]δὲ γυμναζόμενος, καὶ καιροῦ μὴ
ὄντος [t]ἀγώνων, αὐτὸς ὡς ἀγωνιζόμενος ἅπαντα ποιεῖ, πάντων
ἀπέχεται, ἐναγώνιός ἐστιν, ἱδρῶτας ἔχει πολλούς. "Γύμναζε,
φησὶ, σεαυτὸν πρὸς εὐσέβειαν. Ἡ γὰρ σωματικὴ γυμνασία
F πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλι-
μός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης."
[v]Τίνος ἕνεκεν ἐμνήσθη ταύτης, φησὶ, τῆς σωματικῆς γυμνασίας;
614 Ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ταύτης δηλῶν, ὅτι ἐκείνη μὲν
[w]καὶ πόνους ἔχουσα πολλοὺς, οὐδὲν ἔχει τὸ κέρδος οὐδὲ ἄξιον
λόγου, αὕτη δὲ διηνεκὲς καὶ ἄφθονον. [x]Ὥσπερ ὅταν λέγῃ,
"Κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν, [y]ἢ χρυσῷ, ἢ μαργαρίταις,
ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ', [z]ὃ πρέπει γυναιξὶν ἐπαγγελλο-
μέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν."

"[a]Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. Εἰς τοῦτο
γὰρ κοπιῶμεν καὶ [b]ὀνειδιζόμεθα." [c]Παῦλος ὠνειδίζετο, καὶ σὺ
[d]ἀσχάλλεις; Παῦλος ἐκοπία, καὶ σὺ τρυφᾶν βούλει; Ἀλλ' οὐκ
[e]ἂν τρυφῶν τοσούτων ἐπέτυχεν ἀγαθῶν. Εἰ γὰρ τὰ βιωτικὰ
πράγματα [f]τὰ ἐπίκηρα καὶ φθαρτὰ πόνων χωρὶς καὶ ἱδρώτων
B οὐδέποτε παραγίνεται τοῖς ἀνθρώποις, πολλῷ μᾶλλον τὰ πνευ-
ματικά. Ναὶ, φησὶν, ἀλλ' ἀπὸ κληρονομίας πολλοῖς πολ-
λάκις παρεγένετο. Ἀλλὰ κἂν αὐτὰ [g]παραγίνηται, ἡ φυλακὴ
[h]τούτων καὶ [i]ἡ σωτηρία πόνων οὐκ ἔστι χωρὶς, ἀλλὰ δεῖ πονεῖν
καὶ ταλαιπωρεῖσθαι [k]τὸν κεκτημένον οὐχ ἧττον. Καὶ οὔπω
λέγω, ὅτι [l]πολλοὶ πονήσαντες, [m]ἢ πολλοὶ ταλαιπωρηθέντες,
ἐψεύσθησαν πρὸς αὐτὰ τοῦ λιμένος τὰ στόματα, πνεύματός

[n] τι] τινα L. [o] πλὴν—ὡς] ἀλλὰ μᾶλλον βλάβη εἴωθε γίνεσθαι, οὐχ ὡς L. [p] οἰόμεθα om. B.I.K. post βλάβην transp. C. Post γίνεσθαι add. συμβαίνει B.K. [q] αὐτοὺς] ἐκείνους Sav. cet. invitis libris. [r] εὐσέβεια δέ ἐστι] Sic C.I. εὐσέβειά ἐστιν ἀγὼν B.K. ἤτοι L. τουτέστι Edd. [s] δὲ om. K. [t] ἀγῶνος L. [v] τίνος] καὶ τίνος B.K. Sav. cet. Statim ἐμν. ταύτης, φ. pro φ. ἐμν. ταύτης C.I.K. ταύτης om. L. Cat. [w] κἂν π. ἔχῃ L. [x] ὥσπερ ὅταν λ.] ὅτι καὶ ἐνταῦθα οὕτω προάγει τὸν λόγον, ὥσπερ ὅταν περὶ γυναικῶν λ. B.K. [y] ἢ om. C.I.L. Veron. Statim χρυσοῦ L. [z] ὃ] ᾧ L. [a] πιστὸς] + φησὶν L. [b] ἀγωνιζόμεθα I. [c] ΗΘΙΚΟΝ. Ὅτι πόνων δεῖται ἡ ἀρετὴ, καὶ ὅτι κατὰ ἀλήθειαν ἀγαθὸν ἀρετὴ, οὐχ ὁ πλοῦτος. Veron. [d] ἀσχάλλεις] ἐπαινεῖσθαι βούλει B.K. Mox ἀνέχῃ pro βούλει iidem. [e] ἂν] + ἐκεῖνος B.K. Sav. cet. [f] τὰ] Sic B. καὶ Edd. τὰ om. C.I.L. Statim ἐπίκαιρα I.L. Veron. [g] παραγένηται L. [h] ἡ τούτων Edd. ἡ om. L. [i] ἡ om. C. [k] τὸν κ. (+ τοῦ καταλιπόντος B.K.) omnes. τῶν κεκτημένων Edd. [l] πολλὰ B. [m] ἢ πολλοὶ] καὶ C. ἢ καὶ πολλοὶ K. Sav. cet. Statim ταλαιπωρήσαντες C.L.

ποθεν [n]ἐμπεσόντος, καὶ ἐν αὐταῖς ταῖς ἐλπίσι τῶν ἀγαθῶν τὸ
ναυάγιον ἐργασαμένου. Παρὰ δὲ ἡμῖν οὐδὲν τοιοῦτόν ἐστι· θεὸς C
γάρ ἐστιν ὁ [o]ἐπαγγελλόμενος, καὶ [10]" ἡ ἐλπὶς οὐ καταισχύνει."
Ἢ οὐκ ἴστε καὶ ὑμεῖς, ἅτε ἐν τοῖς βιωτικοῖς στρεφόμενοι πρά-
γμασι, πόσοι μετὰ μυρίους πόνους οὐκ ἀπώναντο τῶν καρπῶν,
ἢ θανάτου πολλάκις προαπενεγκόντος αὐτοὺς, ἢ πραγμάτων
μεταβολῆς γενομένης, ἢ νόσου προσπεσούσης, ἢ συκοφαντῶν
ἐπιτεθέντων, ἢ καὶ ἄλλης τινὸς αἰτίας· πολλὰ [p]δὲ τὰ ἀνθρώπινα·
κεναῖς αὐτοὺς [q]ἀπαγαγούσης χερσί; Τί δὲ, φησὶ, τοὺς ἐπιτυγ-
χάνοντας οὐχ ὁρᾷς, τοὺς δι' ὀλίγων πόνων μεγάλα κτησαμένους
ἀγαθά; Ποῖα ἀγαθά; χρήματα, καὶ οἰκίας, καὶ πλέθρα γῆς D
τόσα καὶ τόσα, καὶ ἀνδραπόδων ἀγέλας, καὶ σταθμὸν ἀργυρίου
καὶ χρυσίου; ταῦτα λέγεις ἀγαθὰ, καὶ οὐκ ἐγκαλύπτῃ οὐδὲ
καταδύῃ, ἄνθρωπος [r]περὶ οὐρανοῦ [s]φιλοσοφῶν, καὶ πρὸς τὰ
τῆς γῆς κεχηνὼς πράγματα, καὶ ἀγαθὰ καλῶν ἃ μηδενός ἐστιν
ἄξια λόγου; Εἰ ταῦτα ἀγαθὰ, [t]πάντως καὶ τοὺς κεκτημένους
(297) αὐτὰ ἀγαθοὺς δεῖ καλεῖν· ὁ γὰρ ἀγαθόν τι ἔχων, πῶς οὐκ ἀγα- E
θός; Τί οὖν, εἰπέ μοι; ὅταν [v]οἱ κεκτημένοι αὐτὰ πλεονεκτῶσιν,
ἁρπάζωσιν, ἀγαθοὺς [w]αὐτοὺς καλέσομεν; Εἰ γὰρ ἀγαθὸν ὁ
πλοῦτος, ἀπὸ δὲ πλεονεξίας [x]συνάγεται, ὅσῳ ἂν αὔξηται, το-
σούτῳ μᾶλλον τὸν ἔχοντα ἀγαθὸν ποιήσει νομίζεσθαι. Ἆρα
οὖν ἀγαθὸς ὁ πλεονεκτῶν. Εἰ δὲ ὁ πλοῦτος ἀγαθὸς, ὑπὸ δὲ
πλεονεξίας αὔξεται, ὅσῳ ἂν πλεονεκτῇ, ἀγαθώτερος ἔσται.
Εἶδες τὴν ἐναντίωσιν; [y]Ἀλλὰ ἂν μὴ πλεονεκτῇ, φησί. Καὶ
πῶς ἔνι γενέσθαι [z]τοῦτο; ὀλέθριον γὰρ τὸ πάθος. [a]Ἔνι,
φησίν. Οὐκ ἔστιν, οὐκ ἔστι· [b]καὶ τοῦτο ὁ Χριστὸς ἀπεφή- F
νατο λέγων, [11]" Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς
ἀδικίας." Τί οὖν, φησὶν, ἂν παρὰ πατρὸς δέξηται τὸν κλῆρον;
Τὰ ἐξ ἀδικίας συλλεγέντα ἐδέξατο. Οὐ γὰρ δὴ ἀπὸ τοῦ Ἀδὰμ 615
ὁ πρόγονος ἐκείνου πλούσιος ἦν, ἀλλὰ πολλοὺς ἑτέρους εἰκὸς
πρὸ ἐκείνου γεγενῆσθαι, εἶτα ἐν τοῖς πολλοῖς εὑρεθῆναί τινα
ἀδίκως τὰ τῶν ἄλλων εἰληφότα καὶ καρπούμενον. Τί οὖν;
Ἀβραὰμ, φησὶν, ἄδικον πλοῦτον εἶχε; τί δέ; [c]ὁ Ἰὼβ, [12]ὁ
ἄμεμπτος, ὁ δίκαιος, ὁ ἀληθινὸς, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος

[10] Rom. v. 5. [11] Luc. xvi. 9. [12] Job. i. 9.

[n] ἐμπ.] + ἀθρόον B.K. Statim ταύταις pro αὐταῖς I.L. [o] ἐπαγγειλάμενος L. [p] δὲ] γὰρ L. [q] ἀπαγούσης C.I.L. Veron. [r] περὶ] ὑπὲρ I. [s] φιλοσοφῶν] φιλοσοφεῖν προστεταγμένος B.K. Sav. cet. [t] πάντως om. K. [v] οἱ] οὐ B. Mox πλ. καὶ ἁρπ. L. [w] τούτους C. Statim καλέσωμεν I. [x] ἐνάγεται C.I. [y] ἀλλὰ] τί δὲ B. τί δαὶ K. [z] τοῦτο accessit ex B.C.I.L. [a] ἔνι—οὐκ ἔστι] καὶ οὐκ ἔστιν, οὐκ ἔστι μὴ ἀδικοῦντα πλουτεῖν. B.K. Sav. cet. [b] καὶ τοῦτο ὁ Χρ.] ὁ Χρ. τοῦτο C. τοῦτο καὶ ὁ Χρ. B.K. Sav. cet. [c] ὁ om. B.K.

ἀπὸ παντὸς πονηροῦ πράγματος; [d]Ὁ πλοῦτος [e]ἐκείνοις οὐκ ἐν χρυσῷ ἦν, οὐδὲ ἐν ἀργύρῳ, οὐδὲ ἐν οἰκοδομήμασιν, ἀλλ' ἐν θρέμμασιν· [f]οὗτος δὲ καὶ θεόπλουτος ἦν. Ὅτι γὰρ ἐν θρέμμασιν
B ἦν, εὔδηλον ἐκεῖθεν· καταλέγων γὰρ ὁ τὸ βιβλίον γράψας τὰ συμβεβηκότα τῷ μακαρίῳ ἐκείνῳ, καὶ λέγων, ὅτι ἀπέθανον αὐτῷ κάμηλοι καὶ ἵπποι θήλειαι καὶ ὄνοι, οὐκ [g]εἶπε, καὶ χρυσίου θησαυροὺς ἐλθόντες ἀφήρπασαν. [h]Ἄλλως δὲ, καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν [i]ἐν οἰκέταις. Τί οὖν; οὐκ ἠγόρασε τούτους; Οὐδαμῶς· διὰ τοῦτο εἶπεν ἡ γραφὴ, ὅτι οἰκογενεῖς ἦσαν [k]οἱ τριακόσιοι δέκα καὶ [l]ὀκτώ. Καὶ πρόβατα καὶ βόες ἦσαν αὐτῷ. Πόθεν οὖν χρυσίον [m]ἔπεμψε τῇ Ῥεβέκκᾳ; Ἀπὸ τῆς Αἰγύπτου δῶρα λαβὼν, οὐ βιασάμενος οὐδὲ ἀδικήσας. Εἰπὲ
C γάρ μοι, πόθεν σὺ πλουτεῖς; παρὰ τίνος λαβών; τί δὲ [n]ἕτερος; Παρὰ τοῦ πάππου, φησί. [o]Τί δὲ ἄλλος, πόθεν; Παρὰ τοῦ πατρός. [p]Δυνήσῃ μέχρι πολλοῦ τοῦ γένους ἀνιὼν, οὕτω δεῖξαι τὴν [q]κτῆσιν οὖσαν δικαίαν; Ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλ' ἀνάγκη τὴν ἀρχὴν αὐτῆς καὶ τὴν ῥίζαν ἀπὸ ἀδικίας εἶναί τινος. [r]Πόθεν; Ὅτι ὁ θεὸς ἐξ ἀρχῆς οὐ τὸν μὲν πλούσιον ἐποίησε, τὸν δὲ πένητα, οὐδὲ παραγαγὼν, τούτῳ μὲν ἔδειξε χρυσίου θησαυροὺς πολλοὺς, ἐκεῖνον δὲ ἀπεστέρησε τῆς ἐρεύνης, ἀλλὰ τὴν αὐτὴν
D πᾶσιν ἀνῆκε γῆν. Πόθεν οὖν κοινῆς οὔσης, σὺ μὲν ἔχεις πλέθρα τόσα καὶ τόσα, ὁ δὲ πλησίον οὐδὲ κύαθον γῆς; Ὁ πατήρ [s]μοι, φησὶ, παρέδωκεν. Ἐκεῖνος δὲ παρὰ τίνος [t]παρέλαβε; Παρὰ τῶν προγόνων. Ἀλλὰ ἀνάγκη πάντως ἀνιόντα εὑρεῖν τὴν ἀρχήν. Ἐγένετο πλούσιος ὁ Ἰακὼβ, ἀλλὰ τῶν πόνων λαβὼν τὸν μισθόν. Πλὴν ἀλλ' οὐδὲ ὑπὲρ τούτων ἀκριβολογοῦμαι· ἔστω δίκαιος ὁ πλοῦτος, καὶ πάσης ἁρπαγῆς ἀπηλλάχθω· οὐ γὰρ δὴ σὺ ὑπεύθυνος περὶ ὧν ὁ πατὴρ ἐπλεονέκτησεν· ἔχεις
E [v]μὲν γὰρ τὰ ἐκ τῆς ἁρπαγῆς, ἀλλ' οὐχ ἥρπασας σύ. Πλὴν ἀλλὰ συγκεχωρήσθω μηδὲ ἐκεῖνον ἡρπακέναι, [w]ἀλλά ποθεν ἀπὸ γῆς ἀναβλυσθέντα τὸν χρυσὸν ἔχειν· [x]τί τοῦτο; παρὰ τοῦτο ἀγαθὸς ὁ πλοῦτος; Οὐδαμῶς· ἀλλ' οὐδὲ πονηρὸς, φησίν. [y]Ἐὰν μὴ πλεονεκτῇ, οὐ πονηρὸς, [z]εἴγε μεταδίδωσι τοῖς δεομένοις· ἐὰν

[d] ὁ] ἀλλ' ὁ B.K. [e] ἐκείνοις] τούτῳ B.C. [f] οὗτος—ἦν] ἄλλως δὲ καὶ θ. οὗτος ἦν B.K. Sav. cet. Clausula deest in L. [g] εἶπεν ὅτι καὶ B.K. Sav. cet. [h] ἄλλως δὲ καὶ ὁ Ἀβ.] καὶ ὁ Ἀβ. δὲ B.K. [i] ἐν] ἀλλ' ἐν B.K. Sav. cet. [k] οἱ—ὀκτὼ] αὐτῷ τριακ. δεκαοκτὼ L. [l] ὀκτὼ] + ἵνα ταῦτα μὴ ἀπορῇς B.K. [m] ἔπεμπε C.I.L. [n] ἕτερος] + πόθεν B.K. Sav. cet. [o] τί δὲ om. I. τί δὲ ἄλλος, πόθεν om. B.K. Sav. cet. Post πατρὸς add. φησὶ L. [p] δυνήσῃ (δύνασαι B.)] + οὖν B.K. Sav. cet. [q] κτίσιν I. οὖσαν δ. pro δ. οὖσαν C.I.K.L. [r] πόθεν—ἀρχῆς] πῶς; ἐξ ἀρχῆς ὁ θεὸς B.K. [s] μου L. [t] ἔλαβε K. [v] μὲν om. L. [w] ἀλλά ποθεν] ἀλλ' L. [x] τί τοῦτο;] Sic omnes. τί οὖν; Edd. Statim παρὰ τοῦτο om. I.L. post πλοῦτος transp. C. [y] ἂν B.K. [z] εἴγε] Sic B.I.K. ἐὰν δὲ L. ἐὰν C. Edd.

δὲ μὴ [a]μεταδιδῷ, πονηρὸς καὶ ἐπίβουλος. Ἕως ἂν μὴ ποιῇ,
φησὶ, κακὸν, οὐ κακὸς, κἂν ἀγαθὸν μὴ ἐργάζηται. [b]Καλῶς·
τοῦτο δὲ οὐ κακὸν, τὸ μόνον ἔχειν τὰ δεσποτικὰ, τὸ μόνον
ἀπολαύειν τῶν κοινῶν; ἢ οὐχὶ [c]τοῦ θεοῦ ἡ γῆ καὶ τὸ πλήρωμα F
αὐτῆς; Εἰ τοίνυν τοῦ δεσπότου τοῦ κοινοῦ τὰ ἡμέτερα, ἄρα
καὶ τῶν συνδούλων τῶν ἡμετέρων· τὰ γὰρ τοῦ δεσπότου πάντα
κοινά. Ἢ [d]οὐχ ὁρῶμεν καὶ ἐν ταῖς μεγάλαις οἰκίαις οὕτω
ταῦτα διατεταγμένα; οἷον, πᾶσιν ἐξ ἴσου τὸ σιτομέτριον δί-
δοται· ἀπὸ τῶν δεσποτικῶν γὰρ ἔξεισι θησαυρῶν· ἡ οἰκία ἡ 616
δεσποτικὴ πᾶσιν ἀνεῖται. [e]Κοινὰ καὶ τὰ βασιλικὰ πάντα, αἱ
πόλεις, αἱ ἀγοραὶ, οἱ περίπατοι πᾶσίν εἰσι κοινοὶ, πάντες [f]τὸ
ἴσον μετέχομεν. Θέα γάρ μοι θεοῦ οἰκονομίαν· ἐποίησεν εἶναί
τινα κοινὰ, ἵνα κἂν ἀπ' ἐκείνων [g]καταιδέσῃ τὸ ἀνθρώπινον γένος·
οἷον τὸν ἀέρα, τὸν ἥλιον, τὸ ὕδωρ, τὴν γῆν, τὸν οὐρανὸν, [h]τὴν
θάλατταν, τὸ φῶς, τοὺς ἀστέρας, καθάπερ ἀδελφοῖς πάντα ἐξ
ἴσης διανέμει· ὀφθαλμοὺς πᾶσι τοὺς αὐτοὺς ἐδημιούργησε, σῶμα
(298) τὸ αὐτὸ, ψυχὴν τὴν αὐτὴν, ὁμοίαν τὴν κατασκευὴν ἐν πᾶσιν, B
ἀπὸ γῆς τὰ πάντα, καὶ ἀπὸ ἑνὸς ἀνδρὸς πάντας, [i]ἐν τῇ αὐτῇ
οἰκίᾳ πάντας. Ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐνέτρεψεν. Ἐποίησε
καὶ ἄλλα κοινὰ, οἷον λουτρὰ, πόλεις, ἀγορὰς, περιπάτους.
Καὶ θέα [k]ὅτι ἐν τοῖς κοινοῖς οὐδεμία μάχη, ἀλλὰ πάντα εἰρη-
νικά· ὅταν [l]δέ τις παρασπάσαι ἐπιχειρήσῃ, καὶ ἴδιόν [m]τι ποι-
ῆσαι, τότε ἡ ἔρις ἐπεισέρχεται, ὥσπερ αὐτῆς τῆς φύσεως
ἀγανακτούσης, ὅτι δὴ, πάντοθεν ἡμᾶς συνάγοντος τοῦ θεοῦ,
ἡμεῖς φιλονεικοῦμεν διαιρεῖν ἑαυτοὺς, καὶ ἀποσπᾶν ἐν τῷ ἰδιοποι- C
εῖσθαι, καὶ λέγειν τὸ σὸν καὶ τὸ [n]ἐμόν· τότε γὰρ μάχη, τότε
ἀηδία· ἔνθα δὲ τοῦτο οὐκ ἔστιν, οὐδὲ μάχη οὐδὲ φιλονεικία
τίκτεται. Ὥστε τοῦτο μᾶλλον ἐκείνου συγκεκλήρωται ἡμῖν, καὶ
κατὰ φύσιν ἐστί. Διὰ τί μηδεὶς ὑπὲρ ἀγορᾶς [o]ποτε δικάζεται;
[p]ὅτι κοινὴ πάντων ἐστίν· ὑπὲρ δὲ οἰκίας πάντας ὁρῶμεν δικαζο-
μένους, [q]ὑπὲρ χρημάτων. Καὶ τὰ μὲν ἀναγκαῖα κοινὰ ἡμῖν
πρόκειται· ἡμεῖς δὲ οὐδὲ ἐν τοῖς ἐλαχίστοις τὸ κοινὸν φυλάτ-
τομεν. Καὶ μὴν διὰ τοῦτο ἡμῖν ἐκεῖνα ἀνῆκεν, ἵνα παιδευθῶμεν D
ἀπ' [r]ἐκείνων καὶ ταῦτα ἔχειν κοινῶς· ἡμεῖς δὲ οὐδὲ οὕτω παι-

[a] μεταδιδῷ B. Edebatur μεταδίδωσι. [b] καλὸς B.C.I.K. [c] τοῦ om. L. κυρίου pro θεοῦ B.K. [d] οὐχὶ B.C.I. [e] κοινὰ] τὰ κοινὰ C.I.L. Veron. [f] τοῦ ἴσου B.K. et ex corr. C. τῶν ἴσων L. [g] καταδείσῃ I. καταδήσῃ L. [h] τὴν θ. τὸ φ. om. K. [i] ἐν τῇ—πάντας om. B.K. Vet. [k] ὅτι] πῶς B.K. Sav. cet. [l] δὲ] γὰρ I. [m] τι ante ἐπιχειρήσῃ transp. Edd. reclamantibus libris. Statim ποιῆσαι pro ποιήσῃ B.I.K.L. [n] ἐμὸν] + τὸ ψυχρὸν τοῦτο ῥῆμα B.K. receptum a Ben. invito Vet. [o] ποτε om. C. [p] ὅτι] ἆρα οὐχ (οὐκ Sav. cet.) ὅτι B.K. Sav. cet. [q] ὑπὲρ] καὶ ὑπὲρ I. [r] ἐκείνου L.

δευόμεθα. Ἀλλ', ὅπερ ἔφην, πῶς [s]ἀγαθὸς ὁ τὸν πλοῦτον
ἔχων; Οὐκ ἔνι τοῦτο, ἀλλ' ἀγαθὸς, ἐὰν ἑτέροις [t]μεταδῷ· ὅταν
μὴ ἔχῃ, τότε ἀγαθός· ὅταν ἑτέροις [v]αὐτὸν δῷ, τότε ἀγα-
θός· ἕως δ' ἂν ἔχῃ, οὐκ ἂν εἴη ἀγαθός. Τοῦτο οὖν ἀγαθὸν,
ὃ κατεχόμενον μὲν [w]πονηροὺς δείκνυσιν, [x]ἡ ἀπόκτησις δὲ
ἀγαθούς; Οὐκ ἄρα τὸ ἔχειν χρήματα [y]ἀγαθὸν, ἀλλὰ τὸ μὴ
ἔχειν ἀγαθὸν ποιεῖ φαίνεσθαι. Οὐκ ἄρα ὁ πλοῦτος [z]ἀγαθόν· ἂν
E δὲ καὶ παρὸν λαβεῖν, μὴ λάβῃς, πάλιν ἀγαθός. Εἰ τοίνυν καὶ
ἔχοντες τοῦτον, [a]ἂν τοῖς ἄλλοις μεταδοίημεν, [b]καὶ διδόμενον οὐ
λαμβάνοντες, τότε ἐσμὲν ἀγαθοὶ, [c]ἂν δὲ λάβωμεν ἢ κτησώμεθα,
οὐκ ἀγαθοὶ, πῶς ἀγαθὸν ἂν γένηται ὁ πλοῦτος; Μὴ τοίνυν κάλει
τοῦτο ἀγαθόν. Διὰ τοῦτο αὐτὸν οὐκ ἔχεις, ἐπειδὴ ἀγαθὸν αὐτὸν
νομίζεις, ἐπειδὴ ἐπτόησαι περὶ αὐτόν. Κάθαρόν σου τὴν διά-
νοιαν, τὴν κρίσιν ἔχε διηκριβωμένην, καὶ τότε ἔσῃ ἀγαθός· [d]μάθε
F τὰ ὄντως ἀγαθά. [e]Τίνα δὲ ταῦτά ἐστιν; Ἀρετὴ, φιλανθρωπία·
ταῦτα ἀγαθὰ, οὐκ ἐκεῖνος. Κατὰ τοῦτον τὸν κανόνα ἐὰν ᾖς
617 ἐλεήμων, ὅσῳ ἂν ᾖς πλέον, τοσούτῳ ἀγαθὸς καὶ εἶ καὶ νομίζῃ· ἂν
δὲ πλούσιος [f]ᾖς, οὐκέτι. [g]Οὕτω γενώμεθα ἀγαθοὶ, ἵνα καὶ ὦμεν
ἀγαθοὶ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΛΟΓΟΣ ΙΓ.

[1] [a]Παράγγελλε ταῦτα καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος
B καταφρονείτω, ἀλλὰ τύπος [b]γενοῦ τῶν πιστῶν ἐν λόγῳ, ἐν
ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι,
πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ
ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας,
μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.

ΤΩΝ πραγμάτων τὰ μὲν διδασκαλίας [c]δεῖται, τὰ δὲ ἐπι-
C ταγῆς. Ἂν τοίνυν ἐπιτάττῃς ὑπὲρ ὧν διδάσκειν χρὴ, καταγέ-
λαστος ἔσῃ· πάλιν, ἂν διδάσκῃς ὑπὲρ ὧν ἐπιτάττειν χρὴ, τὸ
αὐτὸ [d]ὑπομένεις ὁμοίως. Οἷόν τι λέγω· τὸ μὴ εἶναι πονηρὸν,

[1] Cap. IV. v. 11—14.

[s] Sic C.I.K.L. ἀγαθὸς post ἔχων transp. Edd. [t] μεταδῷ] δῷ L. [v] αὐτὸν om. L. Mox ἕως—ἀγαθὸς om. idem. [w] πονηρὸν K. [x] ἡ ἀπ.] ἀποκτώμενον B.K. [y] ἀγαθὸν om. B.K. [z] ἀγαθὸς L. [a] ἂν om. C.I.L. Veron. [b] καὶ] ἢ B.K. Sav. cet. Mox λαμβάνομεν C. [c] ἂν δὲ—οὐκ ἀγαθοὶ om. C. [d] μάθε] + τίνα ἐστὶ B.K. Sav. cet. [e] τίνα] ποῖα K. οὖν pro δὲ B.K. [f] ᾖς] εἶ L. [g] οὕτω om. B.K. Post γενώμεθα add. οὖν B.K. Sav. cet. Hom. XIII. [a] παρ. τ. καὶ δ. om. K. [b] γίνου B.K. [c] δεῖται] χρήζει I. [d] ὑπομενεῖς B.K.

ὑπὲρ τούτου [e]οὐ διδάσκειν χρὴ, ἀλλ' ἐπιτάττειν καὶ ἀπαγορεύειν
μετὰ πλείονος [f]αὐθεντίας· τὸ μὴ Ἰουδαΐζειν, ἐπιταγῆς δεῖται.
Ἂν μέντοι λέγῃς, ὅτι δεῖ τὰ ὑπάρχοντα κενοῦν, ὅτι δεῖ παρθε-
νεύειν, ἂν περὶ πίστεως διαλέγῃ, ἐνταῦθα διδασκαλίας χρεία.
Διὰ τοῦτο ἀμφότερα τίθησιν ὁ Παῦλος· "Παράγγελλε καὶ D
δίδασκε," φησίν. Οἷον, εἴ τις ἔχει περίαπτα, ἢ [g]εἴ τι ἕτερον
τοιοῦτον, [h]ὅταν εἰδότες αὐτὰ πονηρὰ ὄντα πράττωσι, παραγ-
γελίας δεῖ μόνης· ὅταν δὲ μὴ εἰδότες, διδασκαλίας. "Μηδείς
σου τῆς νεότητος καταφρονείτω," [i]φησίν. Ὁρᾷς ὅτι καὶ ἐπι-
τάττειν χρὴ τὸν ἱερέα καὶ αὐθεντικώτερον διαλέγεσθαι, [k]μὴ
(299) πάντα διδάσκειν; Εὐκαταφρόνητον γάρ πως πρᾶγμα ἡ νεότης
ἀπὸ τῆς κοινῆς προλήψεως γέγονε· διὰ τοῦτό φησι, "Μηδείς
σου τῆς νεότητος καταφρονείτω." Δεῖ γὰρ καὶ ἀκαταφρόνητον
εἶναι τὸν διδάσκαλον. [l]Ποῦ οὖν τὸ ἐπιεικὲς, φησί; ποῦ [m]οὖν E
τὸ πρᾶον, ἂν μὴ καταφρονῆται; Ἐν μὲν τοῖς πρὸς [n]ἑαυτὸν
καταφρονείσθω καὶ φερέτω· οὕτω γὰρ διδασκαλία κατορθοῦται
τῇ μακροθυμίᾳ· ἐν δὲ τοῖς πρὸς ἑτέρους, μηκέτι· τοῦτο γὰρ οὐκ
ἔστιν ἐπιείκεια, ἀλλὰ ψυχρότης. Ἂν μὲν ὕβρεις [o]ἐκδικῇ τὰς
εἰς ἑαυτὸν, ἂν λοιδορίας, ἂν ἐπιβουλὰς, εἰκότως ἐγκαλεῖς· ἂν δὲ
ὑπὲρ τῆς [p]τῶν ἄλλων σωτηρίας, [q]ἐπίταττε καὶ μετὰ αὐθεντίας
προνόει· ἐνταῦθα [r]οὐκέτι ἐπιεικείας χρεία, ἀλλ' αὐθεντίας, ἵνα
μὴ [s]τὸ κοινὸν λυμαίνηται. [t]Ἢ τοῦτό φησιν, ἢ ἐκεῖνο· μηδείς F
διὰ τὴν νεότητα καταφρονήσῃ σου· [v]ἕως γὰρ ἂν ἀντίρροπον
ἐπιδεικνύῃ βίον, οὐκέτι διὰ τὴν ἡλικίαν τις καταφρονήσει, ἀλλὰ
καὶ θαυμάσει [w]μᾶλλον. "Ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν
λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ·" [2] "περὶ
[x]πάντα σεαυτὸν [y]παρεχόμενος τύπον καλῶν ἔργων." Τουτέστι, 618
τὸ ἀρχέτυπον τοῦ βίου αὐτὸς ἔσο, ὥσπερ εἰκὼν προκείμενος,
ὥσπερ νόμος ἔμψυχος, ὥσπερ κανὼν καὶ ὅρος τῆς εὐζωΐας· τὸν
γὰρ διδάσκαλον τοιοῦτον εἶναι χρή. "Ἐν λόγῳ," [z]ὡς καὶ
φθέγγεσθαι μετ' εὐκολίας· "ἐν ἀναστροφῇ," [a]τῇ τῆς ἐκκλησίας·

2 Tit. ii. 7.

[e] οὐ δ.] δ. οὐ B.K. [f] αὐθεντείας ter K. semel ante corr. B. [g] εἰ et ἕτερον om. C. [h] ὅταν] + γὰρ Cat. + μὲν γὰρ B.K. [i] φησὶν om. B.C.K. [k] μὴ] ἀλλ' οὐ B.K. Statim πάντας δ. φησί; L. [l] ποῦ—φησὶ om. C. [m] οὖν om. K. Cat. [n] αὐτὸν K. [o] ἐκδικῇς L. Mox αὐτὸν I. σαυτὸν L. [p] τῶν om. C. [q] ἐπιτάττῃ ... προνοῇ B.C.K. [r] οὐκέτι] οὐκ ἔστι K. [s] τὸ κοινὸν B.C.I.K. Cat. τῷ κοινῷ Edd. [t] ἢ τοῦτο—καταφρ. σου] τοῦτο οὖν ἐστιν ὅ φησι· μηδείς σου τ. ν. καταφρονείτω· ἢ εἰ μὴ τοῦτο, ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι ὁ διδάσκαλος πολλὴν τὴν ἀκρίβειαν ἔχειν ὀφείλει περὶ τὸν βίον, ὥστε παρὰ τῶν μαθητῶν μὴ καταφρονεῖσθαι B.K. [v] ἕως] + μὲν L. Mox ἂν assumtum ex B.K. Cat. [w] μᾶλλον] + διὰ τοῦτο καὶ ἐπάγει λέγων B.K.L. Sav. cet. [x] πάντας ἑαυτὸν C. [y] παρεχόμενος] πάρεχε, φησὶ B.K. [z] ὡς om. K. [a] τῇ τῆς ἐκ.] Sic B.K. Cat. τῇ om. C.I.L. Haec desunt in Edd. Vetus vertit: *ut ecclesiae sit propositus ad imitandum.*

"ἐν [b]ἀγάπῃ, ἐν πίστει," [c]τῇ ὀρθῇ· "ἐν ἁγνείᾳ," [d]ἐν σωφρο-
σύνῃ. "Ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει,
τῇ διδασκαλίᾳ." Τιμοθέῳ κελεύει προσέχειν τῇ ἀναγνώσει.
[e]Ἀκούωμεν ἅπαντες, καὶ παιδευώμεθα μὴ ἀμελεῖν τῆς τῶν
[f]θείων μελέτης. Ἰδοὺ πάλιν, "Ἕως ἔρχομαι," φησίν. [g]Ὅρα
B πῶς αὐτὸν παραμυθεῖται· εἰκὸς γὰρ αὐτὸν ἀπορφανισθέντα
ζητεῖν [h]αὐτόν. "Ἕως ἔρχομαι, φησὶ, πρόσεχε τῇ ἀναγνώσει,"
τῇ τῶν θείων γραφῶν· "τῇ παρακλήσει," τῇ πρὸς ἀλλήλους·
"τῇ [i]διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη
σοι διὰ προφητείας." Τὴν διδασκαλίαν [k]φησὶν ἐνταῦθα.
"Μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου." Οὐ περὶ
πρεσβυτέρων [l]φησὶν ἐνταῦθα, ἀλλὰ περὶ ἐπισκόπων· οὐ γὰρ
δὴ πρεσβύτεροι τὸν ἐπίσκοπον ἐχειροτόνουν.

[3]"Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι." Ὅρα πῶς πολλάκις περὶ
τῶν αὐτῶν αὐτῷ παρεγγυᾷ, δεῖξαι βουλόμενος, ὅτι μάλιστα
πάντων ἐν τούτοις σπουδάζειν τὸν διδάσκαλον χρή. [4]"Ἔπεχε
C σεαυτῷ, [m]φησὶ, καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε [n]αὐτοῖς." Του-
τέστι, πρόσεχε σεαυτῷ, καὶ δίδασκε [o]καὶ τοὺς λοιπούς. "Τοῦτο
γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς [p]σου." Ὁ
γὰρ τοῖς τῆς διδασκαλίας ἐντρεφόμενος λόγοις, [q]πρότερον αὐ-
τὸς καρποῦται τὴν ὠφέλειαν· ἐν τῷ γὰρ παραινεῖν ἑτέροις, καὶ
ἑαυτὸν κατανύσσει. Οὐ [r]γὰρ δὴ πρὸς Τιμόθεον ταῦτα εἴρηται,
ἀλλὰ πρὸς πάντας. Εἰ δὲ τῷ νεκροὺς ἀνιστῶντι [s]ταῦτά φησι,
D τί ἐροῦμεν ἡμεῖς; Καὶ ὁ Χριστὸς δέ [t]φησιν· [5]"Ὃς ἐκβάλλει
ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιὰ, [v]ὅμοιός ἐστιν ἀνθρώπῳ
οἰκοδεσπότῃ." Καὶ πάλιν [w]ὁ μακάριος Παῦλός φησιν· [6]"Ἵνα
διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα
ἔχωμεν." [x]Καὶ μάλιστα πάντων αὐτὸς τοῦτο ἔπραττε, παρὰ
τοὺς πόδας Γαμαλιήλου [y]παιδευόμενος τὸν πατρῷον νόμον,
ὥστε καὶ μετὰ ταῦτα αὐτὸν εἰκὸς προσέχειν τῇ ἀναγνώσει· ὁ
γὰρ ἑτέροις ταῦτα παραινῶν, ἑαυτῷ προτέρῳ παρῄνεσεν ἄν.

[3] v. 15. [4] v. 16. [5] Matth. xiii. 52. [6] Rom. xv. 4.

[b] ἀγάπῃ] + τῇ πρὸς τοὺς διδασκομένους B.K. [c] τῇ ὀρθῇ post ἁγνείᾳ vulgo legitur, invitis B.K.L. Cat. [d] ἐν] τῇ ἐν B.K. [e] ἀκούσωμεν I. Statim πάντες C. [f] θείων] + γραφῶν B.K. Sav. cet. [g] ὁρᾷς I. [h] αὐτὸν accessit ex B.I.K.L. Cat. [i] διδασκαλίᾳ] + τῇ πρὸς πάντας B.K. Vet. Sav. cet. invita Cat. [k] φησὶν ἐνταῦθα] ἐνταῦθα προφητείαν εἶπεν (λέγει Sav. cet.) B.K. Sav. cet. [l] φησὶν] λέγει K. [m] φησὶ om. B.K. [n] ἐν αὐτοῖς C. [o] καὶ om. L. Cat. [p] σου] + καλῶς εἶπε, καὶ σεαυτὸν B.K. Sav. cet. [q] πρότερος L. Cat. [r] γὰρ δὴ om. B.K. [s] ταῦτά φ.] τοιαῦτα παραινεῖ B.K. Sav. cet. [t] φησιν] τὸ περὶ τῶν διδασκάλων αἰνίττεται λέγων· ὁμοία ἐστὶν ἡ βασ. τῶν οὐρ. ἀνθρώπῳ οἰκοδεσπότῃ B.K. Sav. cet. [v] ὅμοιος—οἰκοδεσπότῃ om. C. Sav. cet. Post ἀνθρώπῳ add. φησὶν B.K. [w] ὁ μακ. Π. φησιν] αὐτὸς οὗτος ὁ ἀπόστολος τὸ αὐτὸ παραινῶν ἀλλαχοῦ λέγει B.K. ὁ μακ. Π. τὸ αὐτὸ παραινῶν φησιν Sav. cet. [x] καὶ] + γὰρ B.K. [y] πεπαιδευμένος B.K.

Ὁρᾷς γοῦν αὐτὸν συνεχῶς ταῖς τῶν προφητῶν κεχρημένον μαρ- E
τυρίαις, καὶ [z]θεωροῦντα τὰ ἐν αὐταῖς; Εἶτα Παῦλος μὲν προσ-
έχει τῇ ἀναγνώσει· οὐ γάρ ἐστι μικρὰν ἀπὸ τῶν γραφῶν ὠφέ-
λειαν καρπώσασθαι· ἡμεῖς δὲ [a]ῥᾳθυμοῦμεν; "Ἵνα σου [b]γὰρ ἡ
προκοπὴ, [c]φησὶ, φανερὰ ᾖ ἐν πᾶσιν." Ὁρᾷς ὅτι [d]ἐβούλετο
αὐτὸν καὶ ἐν τούτῳ μέγαν γενέσθαι καὶ θαυμαστὸν, [e]καὶ ὅτι
ἐδεῖτο αὐτοῦ, φησὶν, ἔτι; "Ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν
πᾶσι·" μὴ ἐν τῷ [f]βίῳ μόνον, ἀλλὰ καὶ ἐν τῷ λόγῳ τῷ διδα- F
σκαλικῷ.

(300) [7] "[g]Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς." Ἆρα τὸ [h]ἀξίωμά φη-
σιν; Οὐκ ἔγωγε οἶμαι, ἀλλὰ περὶ παντὸς γεγηρακότος. Τί
οὖν, ἂν δέηται διορθώσεως; [i]Ὡς ἂν εἰ πρὸς πατέρα, φησὶ, 619
προσενεχθείης [k]ἁμαρτόντα, οὕτω καὶ πρὸς ἐκεῖνον [l]διαλέγου.
[8] "[m]Πρεσβυτέρας ὡς μητέρας, νεωτέρους ὡς ἀδελφοὺς, νεωτέρας
ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ." Αὐτὴ τοῦ πράγματος ἡ φύσις
φορτικόν [n]τι, φησὶ, τὸ ἐλέγχεσθαι λέγω, καὶ μάλιστα ὅταν
καὶ εἰς γέροντα γένηται, [o]καὶ παρὰ νέου, τριπλοῦν γίνεται τὸ
τῆς προπετείας. Παραμυθεῖται οὖν [p]αὐτὸ τῷ τρόπῳ καὶ τῇ
προσηνείᾳ. Ἔνεστι [q]γὰρ ἀνεπαχθῶς ἐλέγχειν, εἴ τις θέλοι
τοῦτο ἀσκεῖν· [r]πολλῆς μὲν γὰρ συνέσεώς ἐστιν, ἔνεστι δέ.
"Νεωτέρους ὡς ἀδελφοὺς," φησί. Διὰ τί καὶ ἐνταῦθα τοῦτο B
παρῄνεσε; Τὸ θρασὺ πάλιν διὰ [s]τὴν ἡλικίαν αἰνιττόμενος. Δεῖ
τοίνυν καὶ ἐνταῦθα παραμυθεῖσθαι τὸ πρᾶγμα τῇ ἐπιεικείᾳ.
"[t]Νεωτέρας, φησὶν, ὡς ἀδελφάς·" καὶ προσέθηκεν, "ἐν πάσῃ
ἁγνείᾳ." Μή μοι, φησὶ, τὴν τῆς μίξεως μόνον εἴπῃς ἁμαρτίαν,
ἀλλὰ μηδὲ [v]ὑποψίαν δῷς. Ἐπειδὴ γὰρ αἱ πρὸς τὰς νεωτέρας
[w]γινόμεναι ὁμιλίαι δυσκόλως διαφεύγουσιν ὑποψίαν, δεῖ δὲ γε-

7 CAP. V. v. 1. 8 v. 2.

[z] θεωροῦν L. τὰ om. C. [a] ῥᾳθυμῶμεν I.L. Post h. v. add. καὶ παρέργως ἀκούομεν; καὶ πόσης οὐκ ἂν εἴημεν κολάσεως ἄξιοι; B.K. Sav. cet. [b] γὰρ om. B.K. [c] φησὶ om. B.K. post ᾖ transp. Edd. [d] ἠβούλετο B.I. Veron. [e] καὶ ὅτι—ἔτι] διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς ὅτι ἐδ. αὐτοῦ ἔτι. τί ἐστιν B.K. Sav. cet. [f] βίῳ] + φησὶ iidem. [g] πρεσβ.] + φησὶ L. [h] ἀξίωμα] + νῦν B.K. Sav. cet. [i] ὡς] μὴ (οὐκ Sav. cet.) ἐπιπλήξῃς, φησὶν, ἀλλ' ὡς B.K. Sav. cet. Mox φησὶ om. B.K. [k] ἁμαρτάνοντα K. Cat. [l] διαλέγου] + διὸ καὶ ἐπάγει, ἀλλὰ παρακάλει ὡς πατέρα C. Idem inverso ord. legit, νεωτέρους ὡς ἀδ. πρεσβ. ὡς μητέρας. [m] πρεσβυτέρας—αὐτὴ] καλῶς εἶπε, μὴ ἐπιπλήξῃς· οἶδε γὰρ ὅτι αὐτὴ B.K. [n] τι om. B.K. ἐστι pro φησὶ B.K. Cat. Sav. cet. [o] καὶ] ἂν δὲ καὶ B.K. Sav. cet. [p] αὐτῷ L. [q] γὰρ om. C. Mox θέλοι pro θέλει B.I.K.L. [r] πολλῆς—παρῄνεσε;] ἀλλ' ὥστε τοῦτο κατορθοῦν πολλῆς σ. δεῖ. πρεσβυτέρας ὡς μ. (+ νεωτέρους ὡς ἀ. K.) νεωτέρας ὡς ἀδελφάς. τί διδάξαι βουλόμενος ἐνταῦθα τοῦτο εἶπε; B.K. [s] τὴν ἡλικίαν—ἐνταῦθα] τῆς ἡλικίας αἰνίττεται, καὶ διδάσκει τίνα τρόπον προσῆκε τὸν ἔλεγχον ποιεῖσθαι, καὶ ὅτι δεῖ B.K. [t] νεωτέρας—μή μοι, φησὶ] εἰπὼν δὲ, νεωτέρας ὡς ἀδ. οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ προστίθησι τὸ ἐν π. ἁ. δηλῶν διὰ τούτου ὅτι μή μοι B.K. [v] ὑποψίαν] + φησὶ B.K. [w] γενόμεναι C. Mox γίνεσθαι L.

νέσθαι παρὰ τοῦ ἐπισκόπου [x]*τοῦτο, διὰ τοῦτό* [y]*φησι, " μετὰ*
C *πάσης ἁγνείας." Τί λέγεις,* [z]*εἰπέ μοι; Τιμοθέῳ ταῦτα ἐπιτάττεις; Ναὶ, φησί·* [a]*διὰ γὰρ αὐτοῦ τῇ οἰκουμένῃ διαλέγομαι. Εἰ δὲ Τιμοθέῳ ταῦτα ἐπιτάττει, ἐννοείτω ἕκαστος τῶν ἄλλων ὁποῖος εἶναι* [b]*ὀφείλει, μήτε ὑποψίαν παρέχων, μήτε σκιὰν προφάσεως τοῖς διαβάλλειν* [c]*βουλομένοις.*

[9] *" Χήρας τίμα, τὰς ὄντως χήρας." Διὰ τί μηδὲν περὶ παρθενίας* [d]*διαλέγεται, μηδὲ λέγει, παρθένους τίμα; Ὅτι μοι δοκοῦσι μηδὲ εἶναι τότε, ἢ* [e]*καὶ ἐκπεπτωκέναι. " Ἤδη γὰρ, φησὶ, τινὲς ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ." " Χή-*
D *ρας τίμα, τὰς ὄντως χήρας,"* [f]*φησίν. Ἄρα ἔστι μὴ ἔχειν μὲν ἄνδρα,* [g]*μὴ εἶναι δὲ χήραν. Ὥσπερ γὰρ τὴν παρθένον οὐ τοῦτο ποιεῖ* [h]*παρθένον, τὸ μὴ ὡμιληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ* [i]*ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου· οὕτω καὶ* [k]*ἐπὶ τῆς χηρείας· πολλῆς δέονται τῆς τιμῆς, εἰκότως· διότι ἄνδρας οὐκ ἔχουσι· τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ καὶ* [l]*δυσοιώνιστον παρὰ τοῖς πολλοῖς. Διὰ τοῦτο πολλῆς αὐτὴν*
E *βούλεται παρὰ τοῦ ἱερέως ἀπολαύειν τιμῆς· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ ἀξία ἐστίν.* [10] *" Εἰ δέ τις χήρα τέκνα ἢ* [m]*ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις."* [n]*Ὅρα τοῦ Παύλου τὸ συνετὸν, πῶς πολλαχοῦ ἀπὸ ἀνθρωπίνων προτρέπει λογισμῶν. Οὐ γὰρ ἔθηκεν ἐνταῦθα μέγα τι καὶ ὑψηλὸν, ἀλλ' ὅπερ ἐστὶν εὐσυνείδητον· " καὶ ἀμοιβὰς, φησὶν,* [o]*ἀποδιδόναι τοῖς προγόνοις." Πῶς; Τῆς ἀνατροφῆς, τῆς αὐξήσεως* [p]*ἀπέλαυσας,*
F *πολλῆς τῆς τιμῆς· ἀπῆλθον ἐκεῖνοι· οὐκ ἠδυνήθης αὐτοῖς ἀποδοῦναι τὴν ἀμοιβήν· οὐ γὰρ δὴ* [q]*καὶ αὐτὴ ἐγέννησας αὐτούς,*

[9] v. 3. [10] v. 4.

[x] *τοῦτο*] *καὶ τοῦτο* B.K. Sav. cet. [y] *φησι, μετὰ π. ἁ.*] *τὸ* (*τὸ* om. Sav. cet.) *ἐν π. ἁ. προστίθησι, δηλῶν ὅτι μετὰ π. ἁ. προσήκει τὰς πρὸς αὐτὰς ὁμιλίας ποιεῖν* B.K. Sav. cet. [z] *εἰπέ μοι* om. B.K. [a] *διὰ γὰρ αὐτοῦ*] Sic C.I.L. *διὰ γὰρ τούτου* K. *δι' αὐτοῦ γὰρ* Edd. [b] *ὀφείλει*] + *καὶ πῶς διακεῖσθαι* B.K. [c] *πειρωμένοις* L. [d] *διατάττεται* B.C.I.K. invitis Cat. Vet. [e] *καὶ*] *οὔσας* B.K. [f] *φησὶν* om. B.K. ante *τίμα* transp. L. [g] *μὴ—χήραν*] *χήραν δὲ μὴ εἶναι. καὶ μὴ θαυμάσῃς* B.K. [h] *παρθένον*] + *μόνον* B.K. [i] *ἑτέρων*] + *πρὸς τοῦτο* B.K. [k] *ἐπὶ τῆς χηρείας* (*χήρας* L. Cat.) *πολλῆς* (+ *οὖν* L.) *δέονται* (+ *αἱ ὄντως χῆραι* L.) *τῆς τιμῆς* (+ *καὶ* L.) *εἰκότως—ἔχουσι*] *χήραν οὐχ ἡ τοῦ ἀνδρὸς ἐρημία ποιεῖ ἁπλῶς, ἀλλ' ἡ μετὰ σωφροσύνης ὑπομονὴ, ἡ ἐκ πάντων μόνωσις. τὰς τοιαύτας χήρας τιμᾶν παραινεῖ, εἰκότως· πολλῆς γὰρ δέονται τιμῆς μεμονωμέναι· ἄνδρας οὐκ ἔχουσι τοὺς προστησομένους* B.K. Sav. cet. [l] *δυσώνιστον* I. *δυσοίνιστον* C. *δυσαγώνιστον* Cat. In L. locus sic legitur: *τὸ πρ. ἐπον. δοκεῖ τοῖς πολλοῖς καὶ δυσήνυστον.* [m] *ἔγγονα* B.K.L. [n] *ὅρα—προγόνοις* om. L. [o] *διδόναι* K. [p] *ἀπήλαυσας* B.C.I. *ἀπέλαυσας—τιμῆς*] *οἷον, ἀπ. πολλῆς τῆς ἐπιμελείας* B.K. Sav. cet. Post *αὐξήσεως* plene interpungunt Edd. [q] *καὶ* om. B. Mox *αὐτοὺς* om. K.

[r]οὐδὲ ἀνέθρεψας· ἐν τοῖς [s]ἐκγόνοις ἐκείνου ἀμείβου, ἀποδίδου
τὸ ὀφείλημα διὰ τῶν παίδων. "Μανθανέτωσαν, φησὶ, πρῶτον
τὸν [t]ἴδιον οἶκον εὐσεβεῖν." Ἐνταῦθα τὸ εὖ ποιεῖν [v]φησιν 620
ἁπλούστερον. "[w]Τοῦτο γὰρ, φησὶν, ἔστιν ἀπόδεκτον ἐνώπιον
[x]θεοῦ." Ἐπειδὴ δὲ εἶπε, "τὰς ὄντως χήρας," λέγει τίς ἐστιν
ἡ ὄντως χήρα. [11]"Ἡ δὲ ὄντως χήρα, [y]φησὶ, καὶ μεμονωμένη
ἤλπικεν ἐπὶ τὸν θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς
προσευχαῖς νυκτὸς καὶ ἡμέρας· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνη-
κεν." [z]Εἴ τις, φησὶ, μὴ κοσμικὸν ἐπανῄρηται βίον, καὶ ἐν χηρείᾳ
οὖσα, αὕτη ὄντως χήρα ἐστίν· ἡ ἐπὶ τὸν θεὸν ἐλπίζουσα ὡς
χρὴ, ἡ [a]δεήσει προσανέχουσα καὶ προσκαρτεροῦσα νυκτὸς καὶ B
ἡμέρας, αὕτη χήρα ἐστίν· οὐχ ὡς καὶ τῆς τέκνα ἐχούσης οὐχὶ
χήρας [b]οὔσης· καὶ γὰρ καὶ ἐκείνην θαυμάζει [c]τὴν παιδοτρο-
φοῦσαν ὡς χρή· [d]ἀλλ' εἴ τις τέκνα μὴ ἔχει, τουτέστιν, ἡ μεμο-
(301) νωμένη οὖσα. Εἶτα παραμυθεῖται αὐτὴν, ὡς οὐκ ἔχουσαν τέκνα,
εἰπὼν, ὅτι τοῦτό ἐστι χήραν μάλιστα εἶναι, ὅταν μὴ τῆς παρὰ
τοῦ ἀνδρὸς παραμυθίας, ἀλλὰ καὶ τῆς παρὰ τῶν τέκνων ἀπε-
στερημένη οὖσα [e]τύχῃ· ἔχει γὰρ τὸν θεὸν ἀντὶ πάντων. [f]Οὐ
γὰρ μὴ ἔχουσα τέκνα ἐλάττων ἐστὶν, ἀλλὰ τὸ [g]λεῖπον αὐτῇ C
διὰ τὴν τῶν παίδων [h]ἀπουσίαν πληροῖ τῇ παραμυθίᾳ. [i]Μὴ
ἄλγει, φησὶν, ἐὰν ἀκούσῃς, ὅτι δεῖ παιδοτροφεῖν, [k]ὡς οὐκ ἔχουσα
τέκνα, ὡς ἐκ τούτου ἐλαττουμένου σοι τοῦ ἀξιώματος· ὄντως εἶ
χήρα. "Ἡ δὲ [l]σπαταλῶσα, ζῶσα τέθνηκεν." Ἐπειδὴ γὰρ
πολλαὶ τέκνα ἔχουσαι τὴν χηρείαν [m]αἱροῦνται, οὐχ ἵνα τοῦ
βίου τὰς ἀφορμὰς περικόψωσιν, ἀλλ' ἵνα μᾶλλον αὐτὰς ἐξά-
ψωσιν, ἵνα μετὰ πλείονος [n]αὐθεντίας ἅπαντα πράττωσι, καὶ
κοσμικαῖς μᾶλλον ἐκδοῖεν ἑαυτὰς ἐπιθυμίαις, [o]τί φησιν; "Ἡ D
δὲ σπαταλῶσα, ζῶσα τέθνηκε." Τί λέγεις; καὶ χήρα γυνὴ οὐκ
ὀφείλει σπαταλᾶν; Οὔ, φησίν. Εἰ τοίνυν καὶ τῆς ἡλικίας καὶ
τῆς φύσεως ἀσθενούσης οὐδὲ οὕτως ἀναγκαία ἡ σπατάλη, ἀλλὰ
θανάτου [p]πρόξενος, θανάτου τοῦ αἰωνίου, τί ἂν εἴποιεν ἄνδρες

[11] v. 5, 6.

[r] οὐδὲ] καὶ L. Post ἀνέθρεψας add. μόνη I. [s] ἐγγόνοις B.K. Statim ἐκείνου B.C.I.K. αὐτῇ L. αὐτοῦ Edd. [t] ἴ. οἶκον C.I.K.L. οἶκον ἴ. Edd. [v] φησιν] λέγει B.K. [w] τοῦτο γὰρ, φ.] εἶτα ἵνα μᾶλλον ἐπάρῃ, ἐπήγαγε· τοῦτο γὰρ B.K. Sav. cet. [x] τοῦ θεοῦ B.C.K. Sav. cet. [y] φησὶ om. B.K. Sav. cet. [z] εἴ τις] ἥτις B.L. [a] δεήσεσι Cat. [b] οὔσης] + τοῦτο οὕτως εἶπεν B.K. [c] τὴν om. B.K. [d] ἀλλ' ἥτις B.K.L. ἀλλά τις ante corr. C. [e] τύχοι B.K. [f] οὐ γὰρ—ἀλλὰ] ταύτην βουλόμενος τιμᾶσθαι καὶ οὐχὶ ἐλάττονα ἡγεῖσθαι τῷ μὴ ἔχειν τέκνα, οὕτως εἶπεν διὰ B.K. [g] ἐλλεῖπον L. [h] ἀποστέρησιν B.K. [i] μὴ ἄλγει, φ.] ὃ οὖν λέγει τοιοῦτό (τοῦτό B.) ἐστι· μὴ ἄλγει B.K. Sav. cet. μὴ ἄλγει τοίνυν Veron. [k] ὡς om. B.K. [l] σπαταλῶσα] +φησὶ L. [m] ἐροῦνται I. ἀρνοῦνται K. [n] αὐθεντείας K. Cat. [o] τί] διὰ τοῦτο B.K. Sav. cet. [p] πρόξενος] πρ. γίνεται K. γίνεται πρ. B. Sav. cet. Statim θανάτου om. L.

σπαταλῶντες; Εἰκότως δέ [q]*φησιν,* "'Η δὲ σπαταλῶσα, ζῶσα
τέθνηκεν." [r]'Ιδωμεν τί τῶν ζώντων ἔργον ἐστὶ, [s]καὶ τῶν τεθνη-
κότων, [t]καὶ ποῦ τάξομεν ταύτην. Οἱ ζῶντες τὰ τῆς ζωῆς ἐνερ-
E γοῦσι τῆς μελλούσης, τῆς ὄντως ζωῆς. Τίνα δέ ἐστι τῆς μελ-
λούσης ζωῆς, περὶ ἣν ἡμᾶς ἠσχολῆσθαι προσήκει τὸν ἅπαντα
χρόνον, ἄκουε τοῦ Χριστοῦ λέγοντος· [12] "Δεῦτε, κληρονομήσατε
τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.
'Επείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτί-
σατέ με." [v]Οἱ ζῶντες οὐχὶ [w]τούτῳ διεστήκασι τῶν νεκρῶν
μόνον, τῷ τὸν ἥλιον ὁρᾶν, [x]καὶ τὸν ἀέρα· οὐ [y]τούτῳ, φαμὲν,
ἀλλὰ τῷ ἀγαθόν τι ποιεῖν· ἐπεὶ εἰ μὴ τοῦτο [z]προσῇ, τῶν τεθνε-
ώτων οὐδὲν [a]κρεῖττον ἔσονται.
F [b]Καὶ ἵνα μάθῃς, ἄκουε πῶς ἔστι καὶ ἀποθανόντα ζῆν.
[13] "'Ο θεὸς, φησὶν, οὐκ ἔστι [c]νεκρῶν, ἀλλὰ ζώντων." 'Αλλὰ
621 τοῦτο, φησὶν, αἴνιγμα πάλιν. Οὐκοῦν ἀμφότερα [d]ἐπιλυσώμεθα.
Τέθνηκέ τις ζῶν, ὅταν ἐν σπατάλῃ διάγῃ. Πῶς; Τῇ γαστρὶ
ζῇ μόνῃ, ταῖς δὲ ἄλλαις αἰσθήσεσιν οὐδαμῶς· [e]οἷον πῶς; οὐχ
ὁρᾷ ἃ χρὴ ὁρᾶν, οὐκ ἀκούει ἃ χρὴ ἀκούειν, οὐ φθέγγεται ἃ δεῖ
φθέγγεσθαι, [f]οὐδὲ τὰ τῶν ζώντων· ἀλλ' ὥσπερ ἐκεῖνος ὁ τετα-
μένος ἐπὶ τῆς κλίνης τοὺς ὀφθαλμοὺς μύσας, καὶ [g]τὰ ὄμματα
συνειλημμένος, τῶν [h]ὄντων οὐδενὸς ἐπαισθάνεται, οὕτω καὶ οὗ-
τος· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ [i]χεῖρον. 'Εκεῖνος μὲν
γὰρ καὶ [k]τῶν ἀγαθῶν ὁμοίως, καὶ τῶν κακῶν ἀνεπαισθήτως
ἔχει· οὗτος δὲ ἐκείνων αἰσθάνεται [l]μόνων, τῶν [m]κακῶν, πρὸς δὲ
B τὰ ἀγαθὰ [n]τῷ κειμένῳ ὁμοίως ἐστὶν ἀκίνητος. [o]Οὐδὲν αὐτὸν
κινεῖ τῶν τῆς μελλούσης ζωῆς· οὕτω καὶ τέθνηκε· καθάπερ εἰς
κατάδυσίν τινα σκοτεινὴν καὶ [p]ζόφον, καὶ ἄντρον πολλῆς ἀκα-
θαρσίας γέμον, λαβοῦσα εἰς τοὺς οἰκείους αὐτὸν κόλπους ἡ
[q]τρυφὴ, διαπαντὸς ἐν σκότῳ ποιεῖ διατρίβειν, [r]καθάπερ τοὺς

[12] Matth. xxv. 34, 35. [13] Ibid. xxii. 32.

[q] φησιν] εἶπεν B.K. [r] ἴδωμεν] ἀλλ' ἵνα μάθῃς, φέρε ἴδωμεν B.K. Sav. cet. [s] καὶ] + τί B.K.L. Sav. cet. [t] καὶ] + τότε ἐροῦμεν B.K. Mox τάξωμεν I. [v] οἱ] + οὖν L. [w] τοῦτο . . . τὸ I. [x] καὶ] + πνεῖν B.K. Sav. cet. [y] τοῦτο I.L. Veron. Mox τὸ ἀγ. I. [z] προσῄει (pro προσείη) Cat. [a] κρείττων ante corr. C. χεῖρον Cat. κρείττονες B.K. Sav. cet. [b] καὶ—ζῆν] καὶ ὅτι ἀληθὲς, ἄκουε τῆς γραφῆς πῶς ἐστι καὶ ἀπ. ζῆν μαρτυρούσης B.K. ἄκουε post ζῆν transp. L. [c] νεκρῶν] + θεὸς B.K. [d] ἐπιλυσόμεθα I. [e] οἷον πῶς;] πῶς; οἷον B.K. οἱόν πως Edd. [f] οὐδὲ] οὐ B.K. Post ζώντων add. ἐνεργεῖ B.K. Sav. cet. [g] τὸ ὄμμα I. τὸ σῶμα L. Statim συνειλημένος L. [h] ὄντων] Sic Sav. cet. ὄντων (corr. e μελλόντων) K. παρόντων I. μελλόντων B.C.L. Veron. [i] χείρων B.K. [k] τῶν om. C. [l] μόνον B. [m] κακῶν] + λέγω B.K. Sav. cet. [n] τῶν κειμένων I. [o] οὐδὲν—καθάπερ] οὕτω μὲν οὖν καὶ τέθνηκεν. οὐδὲν γὰρ αὐτὸν κ. τ. τ. μ. ζ. ἀλλὰ καθάπερ B.K. Sav. cet. [p] ζοφώδη B.K.L. Sav. cet. Statim ἢ pro καὶ B.K. [q] τρυφή] Sic I.L. ψυχὴ C. Veron. μέθη B.K. Sav. cet. [r] καθάπερ] ὥσπερ B.K. Sav. cet.

τεθνεῶτας. Ὅταν γὰρ τὸν πάντα χρόνον [s]τὸν μὲν ἀριστῶν,
τὸν δὲ μεθύων διατελῇ, οὐχὶ ἐν σκότῳ ἐστίν; οὐχὶ νεκρός [t]ἐστι;
Καὶ [v]αὐτὴν δὲ τὴν ἕω, ἣν δοκεῖ νήφειν, οὐκ ἔχει νῆψιν καθαρὰν,
[w]τῷ μηδὲ τὸν ἑσπερινὸν ἤδη κεκενῶσθαι οἶνον καὶ ἀπηντλῆσθαι, C
καὶ [x]τοῦ μέλλοντος σφοδρᾷ τῇ ἐπιθυμίᾳ κατέχεσθαι, [y]καὶ κεί-
μενον ὁρᾷν, [z]καὶ δείλης καὶ μεσημβρίας [a]ἐν κώμοις διάγειν, καὶ
πᾶσαν τὴν νύκτα ἐν ὕπνῳ βαθεῖ, [b]καὶ τοῦ ὄρθρου τὸ πλέον.
Τοῦτον οὖν, εἰπέ μοι, μετὰ τῶν ζώντων ἀριθμήσομεν; Τί ἂν
τις εἴποι τὸν πολὺν χειμῶνα τὸν ἀπὸ τῆς τρυφῆς, τὸν εἰς τὴν
ψυχὴν, τὸν εἰς [c]τὰ σώματα εἰσρεόμενον; Καθάπερ γὰρ ἡ συν-
εχὴς [d]συννέφεια καὶ διηνεκὴς οὐκ ἀφίησι τὴν ἀκτῖνα διαλάμψαι
ποτέ· οὕτως οἱ τῆς τρυφῆς καὶ τοῦ οἴνου ἀτμοὶ, καθάπερ τινὰ
σκόπελον τὸν ἐγκέφαλον ἀπολαβόντες, καὶ πυκνὸν ἐκεῖ στή- D
σαντες νέφος, τὸ [e]λογικὸν οὐκ ἀφιᾶσιν [f]ἐκταθῆναί ποτε, ἐν
πολλῇ σκοτομήνῃ κατέχοντες [g]τὸν ταῦτα παθόντα. Πόσος
λοιπὸν ἔνδον ὁ χειμών; Καθάπερ γὰρ πλημμύρας γενομένης,
καὶ τοῦ ὕδατος τῶν ἐργαστηρίων τὰ πρόθυρα [h]ὑπερπηδήσαντος,
τοὺς ἐνοικοῦντας ὁρῶμεν ἀεὶ θορυβουμένους, καὶ [i]δίσκους καὶ
ἀμφορέας καὶ σπόγγους, καὶ ἕτερα πολλὰ ἐπινοοῦντας, ὥστε
ἀπαντλῆσαι, ἵνα μὴ καὶ τοὺς θεμελίους [k]διασήψῃ, καὶ τὰ [l]σκεύη
(302) ἅπαντα ἄχρηστα [m]ἐργάσηται· οὕτω καὶ ἡ ψυχὴ ὅταν ὑπέραν-
τλος γένηται τῇ πολλῇ τρυφῇ, θορυβοῦνται μὲν ἔνδον οἱ λογι- E
σμοὶ, τὸ δὲ ἤδη συναχθὲν οὐκέτι κενῶσαι [n]ἰσχύοντες τῷ πάλιν
ἕτερον ἐπεισελθεῖν, [o]καὶ πολὺς ὁ χειμών. Μὴ γάρ μοι τὸ
πρόσωπον ἴδῃς φαιδρὸν καὶ σεσηρὸς, ἀλλὰ τὰ ἔνδον ἐξέτασον,
καὶ πολλῆς ὄψει γέμοντα τῆς κατηφείας· καὶ εἴγε ἐνῆν τὴν ψυ-
χὴν ἐκβαλόντα τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑποβαλεῖν, εἶδες
ἂν τὴν τοῦ σπαταλῶντος κατηφῆ, στυγνὴν, [p]καὶ ὀδυνηρὰν, [q]καὶ
κατισχνωμένην. Ὅσῳ γὰρ ἂν τὸ σῶμα [r]λιπαίνηται καὶ παχύ- F
νηται, τοσούτῳ μᾶλλον ἐκείνη κατισχνοῦται καὶ ἀσθενεστέρα

[s] τὸν μὲν—τὸν δὲ] ἀριστοποιούμενος καὶ B.K. [t] ἐστι om. C. Post ἐστι add. τί τοῦτο λέγω; B.K. [v] αὐτὴν] πρὸς αὐτὴν B.K. Sav. cet. δὲ om. B.K. [w] τῷ μηδὲ] διὰ τὸ μήτε L. τῷ μήπω B.C.K. Sav. cet. [x] τῷ μέλλοντι C.I.L. Veron. [y] καὶ κ. ὁρᾷν om. B.K. Sav. cet. [z] καὶ] τῷ K. καὶ τῷ B. Sav. cet. [a] ἐν] καὶ ἐν I. καὶ ante πᾶσαν om. C.I. Veron. [b] καὶ—πλέον om. B.C.K. inclusum a Sav. [c] τὸ σῶμα C. [d] συννεφία B.C.K. [e] λογιστικὸν B. [f] ἐκτ. ποτε] που ἐκτ. B.K. [g] τὸν ταῦτα—χειμών;] τὸν μεθύοντα. πόσον οἴει λοιπὸν ἔνδον εἶναι τὸν χειμῶνα τοῦ ταῦτα παθόντος; πόσον τὸν θόρυβον; B.K. Sav. cet. [h] ὑπεργεμίσαντος B.K. [i] καδίσκους B.K. Sav. cet. *discos* Vet. [k] διασῆψαν C.I.L. Veron. [l] σκεύη] ἐντὸς B.K. [m] ἀπεργ. L. [n] ἰσχύουσι C. Statim διὰ τὸ πάλιν L. [o] καὶ] + διὰ τοῦτο I. καὶ om. B.K. Sav. cet. Post χειμὼν add. τίκτεται τῶν παθῶν B.K. unde τίκτεται assumserunt Sav. cet. [p] καὶ accessit ex B.C.I.L. [q] καὶ assumtum ex I.L. et corr. K. [r] λιπαίνεται καὶ παχύνεται L.

[s]γίνεται, τοσούτῳ [t]μᾶλλον θάπτεται. Καὶ καθάπερ ἐπὶ τῆς
622 κόρης τῶν ὀφθαλμῶν, ἂν μὲν τοὺς ἔξωθεν ἐπικειμένους χιτωνί-
σκους [v]ἐργάσῃ παχεῖς, οὐκ ἰσχύει τὸ διορατικὸν ἀφεῖναι [w]καὶ
ἀτενίσαι, τῆς ἀκτῖνος ἐκκρουομένης ὑπὸ τῆς παχύτητος, καὶ σκό-
τος γίνεται πολλάκις· οὕτω καὶ τὸ σῶμα, [x]ἐπειδὰν λιπαίνηται,
πολλὴν [y]εἰκὸς τὴν παχύτητα περικεῖσθαι. Ἀλλ' οἱ [z]τεθνεῶτες
σήπονται καὶ διαφθείρονται, καὶ πολὺς ἀπ' αὐτῶν [a]ἰχὼρ διαρρεῖ.
[b]Οὕτω καὶ ἐπὶ τῆς σπαταλώσης ἔστιν ἰδεῖν, [c]τὸ ῥεῦμα, τὸ
φλέγμα, κόρυζα, λύγξ, ἔμετοι, ἐρυγαί· τὰ γὰρ ἄλλα, ἃ καὶ
αἰσχρὸν εἰπεῖν, παρίημι. Τοσαύτη [d]γὰρ τῆς τρυφῆς ἡ τυραννίς·
[e]ὅσα μηδὲ εἰπεῖν ἀνεχόμεθα, [f]ταῦτα ποιεῖ αὐτὰς ὑπομένειν.
B [g]Πῶς; διαρρεῖ τὸ σῶμα πάντοθεν. Ἀλλ' ἐσθίει καὶ πίνει;
Ἀλλ' οὐκ ἔστι τοῦτο ζωῆς ἀνθρωπίνης τεκμήριον, ἐπεὶ καὶ τὰ
ἄλογα ἐσθίει καὶ πίνει. Νεκρᾶς τοίνυν τῆς ψυχῆς κειμένης, τί
τὸ ὄφελος τῆς βρώσεως καὶ τῆς πόσεως; [h]Οὐδὲ γὰρ τοῦ σώ-
ματος κειμένου νεκροῦ, εὐανθὲς· ἱμάτιον [i]περιβεβλημένον [k]ὀνί-
νησί τι· οὕτω καὶ σῶμα περικείμενον εὐανθὲς [l]νεκρᾷ ψυχῇ οὐδὲν
ὠφελεῖ. Ὅταν [m]γὰρ ἀεὶ περὶ μαγείρων, [n]περὶ τραπεζοποιῶν,
C περὶ σιτοποιῶν ὁ λόγος αὐτῇ γίνηται, καὶ μηδὲν εὐσεβὲς φθέγ-
γηται, οὐχὶ τέθνηκε; [o]Τί γάρ ἐστιν ἄνθρωπος, ἴδωμεν. [p]Οἱ
μὲν ἔξωθέν φασι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης
δεκτικόν· ἡμεῖς δὲ μὴ ἀπ' ἐκείνων τὸν ὅρον θώμεθα, ἀλλὰ πόθεν;
ἀπὸ τῆς θείας γραφῆς. [q]Ποῦ τοίνυν ὅρον ἐξέθετο ἀνθρώπου;
Ἄκουε [r]λεγούσης αὐτῆς· [14] "Ἦν ἄνθρωπος," [s]πῶς; "δίκαιος,
ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ [t]παντὸς πονηροῦ πράγμα-
τος." Τοῦτο ἄνθρωπος. Καὶ πάλιν ἕτερός φησι· "Μέγα
ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων." Τοὺς δὲ μὴ τοιούτους,
D κἂν νοῦ μετέχωσι, κἂν μυριάκις ἐπιστήμης ὦσι δεκτικοὶ, οὐκ
οἶδεν ἡ γραφὴ λέγειν ἀνθρώπους, ἀλλὰ κύνας, καὶ ἵππους, καὶ
ἔχεις, καὶ ὄφεις, καὶ ἀλώπεκας, καὶ λύκους, καὶ εἴ τι τούτων

14 Job. i. 2. Prov. xx. 6.

[s] γίνεται] + καὶ ὅσῳ ἂν ἐκεῖνο θάλπηται B.K. Sav. cet. [t] μᾶλλον] + αὕτη iidem. [v] ἐργάσῃ] ἔχῃ iidem. *effeceris* Vet. [w] καὶ om. I. [x] ἐπὰν B.K. Post λιπαίνηται add. συνεχῶς B.K.L. Sav. cet. [y] εἰκὸς] + αὐτῷ B.K. [z] τεθνεῶτες] + φησὶ B.K. Sav. cet. [a] ὁ ἰχὼρ L. [b] οὕτω] ἀλλὰ τοῦτο B.K. [c] τὸ ῥ. τὸ φλ.] ἐντεῦθεν πολὺ τὸ φλ. ὁ χυμὸς B.K. [d] γὰρ om. B. [e] ὅσα] ὅτι ἃ B.K. Sav. cet. [f] ταῦτα om. L. [g] πῶς;] ἔτι οὖν ἐρωτᾷς πῶς B.K. Sav. cet. [h] οὐδὲ] ὥσπερ B.K. Sav. cet. [i] περιβεβλημένου I. [k] ὀν. τι] οὐδὲν ὀν. τι B.K. οὐδὲν ὀν. Sav. cet. [l] νεκρὰ ψυχὴ L. [m] γὰρ] οὖν B.K. ἢ pro ἀεὶ L. [n] περὶ om. L. Mox περὶ σιτ. om. B.K. [o] τί—ἴδωμεν] ἀλλ' εἰ βούλει, μάθωμεν τί ἐστιν ἄ. B.K. [p] οἱ] καὶ οἱ B.K. μὲν assumtum ex B.I.K.L. [q] ποῦ τοίνυν] καὶ ποῦ ἡ γραφὴ B.K. ποῦ τοίνυν ἡ γρ. Sav. cet. [r] λεγ. αὐτῆς] τῆς θείας γραφῆς λεγ. L. [s] πῶς; est in C.I.L. non in Edd. [t] παντὸς] + κακοῦ καὶ L.

*ἀτιμότερον τῶν θηρίων. Εἰ τοίνυν τοῦτο ἄνθρωπος, ὁ σπαταλῶν
οὐκ ἄνθρωπος· πῶς γάρ, ὁ μηδὲν τούτων φροντίζων; Οὐ γὰρ
ἔνι σπατάλην ὁμοῦ καὶ νῆψιν συνελθεῖν· ταῦτα ἀλλήλων ἐστὶν
ἀναιρετικά. Τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι "Παχεῖα γαστὴρ
λεπτὸν οὐ τίκτει [v]νόον." Οἶδε καὶ ἀψύχους ἀνθρώπους ἡ γραφὴ* E
[w]*καλεῖν·* [15]"*Διὰ τὸ εἶναι αὐτοὺς [x]σάρκας.*" *Καίτοιγε καὶ
ψυχὴν εἶχον, ἀλλὰ [y]νεκράν. Ὥσπερ γὰρ περὶ τῶν ἐναρέτων,
κἂν ἔχωσι σῶμα, [z]φαμέν, ὅλος ψυχή ἐστιν, ὅλος πνεῦμά ἐστιν,
οὕτω καὶ περὶ τῶν [a]ἐναντίων. Οὕτω καὶ Παῦλος ἔλεγεν·*
[16]"*Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί·*" *ἐπειδὴ μὴ τὰ τῆς σαρκὸς ἐπε-
τέλουν. Οὕτως οἱ σπαταλῶντες οὐκ εἰσὶν ἐν ψυχῇ, οὐδὲ ἐν
πνεύματι.*

"*Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε,*" *φησίν.* [b]*Ἀκούσατε, αἱ* F
*πάντα τὸν χρόνον ἐν κώμοις διατρίβουσαι καὶ μέθαις, αἱ τοὺς
μὲν πένητας περιορῶσαι [c]ὑπὸ λιμοῦ τηκομένους καὶ ἀποθνήσκον-
τας, διηνεκῶς δὲ ὑμεῖς ὑπὸ τῆς τρυφῆς ἀποθνήσκουσαι. Δύο
[d]γὰρ θανάτους ἐργάζεσθε, τὸν τῶν θλιβομένων, καὶ [e]τὸν ὑμῶν* 623
*αὐτῶν, ἀμφοτέρους ἐξ ἀμετρίας. Εἰ [f]γὰρ ἐκεράσατε τὴν ὑμετέ-
ραν πλησμονὴν [g]ἐκείνῃ τῇ ἐνδείᾳ, δύο ζωὰς [h]εἰργάζεσθε. Τί
διασπᾷς τὴν γαστέρα τὴν σὴν τῇ πλησμονῇ; τί κατατήκεις
τὴν τοῦ πένητος [i]ἐνδείᾳ; Ταύτην πλέον τοῦ μέτρου [k]κατασή-
πεις, ἐκείνην ὑπὲρ τὸ μέτρον ξηραίνεις. Ἐννόησον τίνα ἐστὶ τὰ
ἀπὸ τῶν [l]σιτίων, ποῦ μεταβάλλεται, καὶ τί γίνεται. Ἆρα οὐ
δυσχεραίνεις [m]καὶ πρὸς τὴν ἀκοήν; τί τοίνυν, ὥστε [n]πλείονα*
(303) *ἐκεῖνα ἀποθέσθαι, σπουδάζεις; Οὐδὲν ἄλλο ἐστὶ τὸ πλέον τῆς* B
[o]*τροφῆς, ἢ κόπρου πλεονασμός. Ἔχει γὰρ ἡ φύσις μέτρα, καὶ
[p]τὰ πλέον ἐκείνων ἐπιβαλλόμενα οὐκέτι γίνεται τροφή, ἀλλὰ
λύμη καὶ κόπρος πλείων. Θρέψον τὸ σῶμα, μὴ ἀποκτείνῃς.
Διὰ τοῦτο τροφὴ [q]κέκληται, οὐχ ἵνα ἀπολλύωμεν αὐτὸ, ἀλλ'
ἵνα τρέφωμεν. Διὰ τοῦτο οἶμαι καὶ τὴν τροφὴν εἰς τοῦτο
ἐκκρίνεσθαι, ἵνα μὴ τῆς τρυφῆς ὦμεν ἐρασταί· ὡς εἰ μὴ τοῦτο*

[15] Gen. vi. 3. [16] Rom. viii. 9.

[v] *νοῦν* C.I.L. [w] *καλεῖν*] + *οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις* B.K. Sav. cet. [x] *σαρκικοὺς* C.L. Veron. Vet. [y] *νεκρὰν*] *ἐπειδὴ νεκρὰν αὐτὴν περιέφερον, σάρκας αὐτοὺς εἶπεν* B.K. Sav. cet. [z] *φαμὲν*] *ὅμως φ.* iidem. [a] *ἐναντίων*] *οὐ τοιούτων τὰ ἐναντία* iidem. [b] ΗΘΙΚΟΝ. *Κατὰ τρυφῆς καὶ σπατάλης διὰ πλειόνων.* Veron. [c] *ἀπὸ* C. [d] *γὰρ* om. B. Statim *θαν. ἐντεῦθεν ἐργ.* B.K. [e] *τὸν* om. L. [f] *γὰρ*] *δὲ* B.I.K. Sav. cet. [g] *ἐκείνων* L. [h] *εἰρ.*] *ἂν εἰρ.* B.K. [i] *ἐν ἐνδείᾳ* Edd. *ἐν* om. B.C.K.L. [k] *καταπιαίνεις* B.K. Sav. cet. Mox *πιέζεις* pro *ξηραίνεις* B.K. [l] *σιτίων*] + *συμβαίνοντα* B.K. [m] *καὶ* om. C. [n] *πλεῖον* K. [o] *τροφῆς*] Sic I.L. Edebatur *τρυφῆς.* [p] *τὰ* (*τὸ* K.) *πλέον* (*πλεῖον* B.K.) *ἐκείνων ἐπιβ.* (*καταβ.* B.K.)] Sic omnes. *τὸ πλέον ἐκείνων* Edd. [q] *κέκληται*] + *διὰ τοῦτο δέδοται* B.K.

ἦν, μηδὲ εἰς ἄχρηστον ἦγε, μηδὲ ἐλυμαίνετο τῷ σώματι, οὐκ ἂν
C ἐπαυσάμεθα ἀλλήλους καταπίνοντες. Εἰ γὰρ ὅσον ἐβουλόμεθα [r]δεχομένη ἡ γαστὴρ τὸ πᾶν [s]εἰργάζετο, καὶ τῷ σώματι παρέπεμπε, μυρίους ἂν εἶδες πολέμους καὶ μάχας. Εἰ γὰρ καὶ νῦν τῶν μὲν εἰς κόπρον ἐκκρινομένων, τῶν δὲ εἰς αἷμα καὶ φλέγμα ἄχρηστον καὶ νόθον, ὅμως [t]ἐπικείμεθα τρυφῶντες, καὶ πολλάκις οὐσίας ὁλοκλήρους ἐν τραπέζῃ μιᾷ καταναλίσκοντες· εἰ μὴ τοιοῦτον ἦν [v]τὸ τέλος τῆς τρυφῆς, τί οὐκ ἂν ἐπράξαμεν; Πλείονος δυσωδίας πληροῦμεν ἑαυτοὺς, ὅταν μᾶλλον τρυφήσωμεν, [w]καθάπερ ἀσκοῦ τινος, τοῦ σώματος πάντοθεν [x]διαρρέον-
D τος. Ἐρεύγεταί τις τοιοῦτον, ὡς καὶ τὸν ἐγκέφαλον λυμήνασθαι [y]τῶν ἔξωθεν· ἀτμοὶ πάντοθεν ἀπὸ τοῦ σώματος [z]ζοφώδεις, καθάπερ ἀπὸ καμίνου τῆς θερμότητος [a]σαπείσης ἔνδον. Εἰ δὲ οἱ ἔξωθεν [b]οὕτω δυσχεραίνουσι, τί οἴει παθεῖν τὸν [c]ἐγκέφαλον ἔνδον, πληττόμενον συνεχῶς ὑπὸ τῶν ἀτμῶν; τί δὲ τοὺς ὀχετοὺς τοῦ αἵματος ζέοντος καὶ ἐμφραττομένου; τί δὲ τὰς δεξαμενὰς ἐκείνας, τὸ ἧπαρ, [d]τὸν σπλῆνα; τί δὲ αὐτὰς τὰς ἀμάρας τῆς κόπρου; Καὶ [e]τὸ χαλεπὸν, ὅτι ταύτας μὲν τὰς [f]ἀμάρας προνοούμεθα, ὅπως
E μὴ ἐμφραγῶσι, καὶ τὴν κόπρον εἰς τὰ ἄνω πέμψωσι, καὶ πάντα ὑπὲρ τούτου πράττομεν, κοντοῖς ὠθοῦντες, μακέλλαις σύροντες· τὰς δὲ ἀμάρας τῆς ἡμετέρας γαστρὸς οὐ διακαθαίρομεν, ἀλλ' ἐμφράττομεν καὶ πιλοῦμεν· καὶ τῆς κόπρου ἀνιούσης [g]ἄνω, ἔνθα ὁ βασιλεὺς αὐτὸς κάθηται, τὸν ἐγκέφαλον λέγω, οὐδεμίαν ποιούμεθα πρόνοιαν. Διά τοι τοῦτο οὐχ ὡς βασιλέα ἔχοντες κόσμιον, οὕτω πάντα πράττομεν, ἀλλ' ὡς κύνα τινὰ ἀκάθαρτον. Διὰ τοῦτο ὁ θεὸς πόρρω ἀπῴκισεν ἐκεῖνα τὰ μέλη, ὥστε μηδεμίαν ἐξ αὐτῶν δέχεσθαι λύμην. Ἀλλ' οὐκ ἐῶμεν ἡμεῖς, ἀλλὰ
F πάντα διαφθείρομεν τῇ ἀμετρίᾳ. Τί δ' ἄν τις εἴποι τὰ ἄλλα κακά; Ἀπόφραξον τοὺς ὀχετοὺς τῶν ἀμαρῶν, καὶ ὄψει λοιμὸν εὐθέως τικτόμενον. Εἶτα ἡ μὲν ἔξωθεν προσπεσοῦσα δυσωδία
624 λοιμὸν τίκτει, ἡ δὲ [h]ἔνδοθεν οὖσα, καὶ πάντοθεν ἐμπεφραγμένη τῷ [i]στεγανῷ τοῦ σώματος, καὶ μὴ ἔχουσα πόθεν διαφορηθῇ, μυρίας

[r] δεχομένη ἡ om. I.L. ἡ om. B.K. ἡ γ. δεχόμενη hoc ord. C. [s] κατειργάσετο (sic?) ex corr. C. [t] ἐπικ. τρυφῶντες] ἐγκείμεθα τρυφῇ Sav. Mor. ἐγκ. τῇ τρυφῇ B.K. Ben. Mox καταναλίσκομεν B.K. Sav. cet. [v] τὸ τ. τῆς τρ. om. C. [w] καθάπερ]+γὰρ B.K. [x] διαπνέοντος B.K. [y] τῶν] τὸν I. τῶν ἔξωθεν om. Veron. [z] φλογώδεις B.K. Post h. v. add. προΐενται B.K. Sav. cet. [a] σαπείσης] ἁπάσης L. Statim τῆς ἔνδον B.K. [b] οὕτω δυσχ.] ἀπ' ἐκείνων τῶν ἀτμῶν οὕτω πάσχουσι B.K. [c] ἐγκέφαλον]+αὐτοῦ τοῦ τρυφῶντος B.K. Mox πληττομένου K. [d] τὴν σπλ. I. [e] τὸ]+δὴ B.K. Statim χαλεπώτερον K. [f] ἀμάρας]+πολλάκις B.K.+τῆς κόπρου Edd. invitis libris. [g] ἄνωθεν L. Mox αὐτὸς om. idem. [h] ἔνδοθεν] Sic C.I.K.L. ἔνδον Edd. Statim καὶ om. B.K. [i] στενῷ B.K. *angustiis* Vet.

οὐκ [k]ἐργάζεται νόσους καὶ τῷ σώματι καὶ τῇ ψυχῇ; Καὶ τὸ
δεινὸν, ὅτι πρὸς μὲν τὸν θεὸν πολλοὶ δυσχεραίνουσι, [l]τί ποτε
τοῦτό ἐστι; λέγοντες· κόπρον βαστάζειν ἡμᾶς ἐνομοθέτησεν·
αὐτοὶ δὲ τὴν κόπρον αὔξουσι. Διὰ τοῦτο ὁ θεὸς ἐνομοθέτησεν,
ἵνα κἂν οὕτω τῆς τρυφῆς ἀπαλλάξῃ, ἵνα κἂν οὕτω πείσῃ μὴ
προσηλῶσθαι τοῖς βιωτικοῖς. Σὺ δὲ οὐδὲ οὕτως ἀνέχῃ παύσα-
σθαι τῆς τρυφῆς, ἀλλὰ μέχρι [m]τοῦ φάρυγγος, μέχρι τοῦ καιροῦ B
τῆς τραπέζης, μᾶλλον δὲ οὐδὲ μέχρι τότε τῆς ἡδονῆς παραμε-
νούσης, ἐπιμένεις τῇ τρυφῇ. Ἢ [n]οὐχὶ ἅμα μὲν παρέδραμε [o]τὴν
γλῶτταν καὶ τὸν αὐχένα, καὶ ἔσβεσται τὰ τῆς ἡδονῆς; Ἡ
γὰρ αἴσθησις ἐν τῇ γεύσει, μετὰ δὲ ταῦτα οὐκέτι, ἀλλὰ πολλὴ
[p]ἡ ἀηδία, ἢ μὴ κατεργαζομένου τοῦ στομάχου, ἢ μετὰ πολλῆς
τῆς [q]δυσκολίας. Εἰκότως ἄρα ἔλεγεν, "Ἡ σπαταλῶσα, [r]ζῶσα
τέθνηκεν." Οὐδὲν γὰρ οὐκ ἔστιν [s]οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι τὴν
σπαταλῶσαν [t]ψυχήν· μαλακὴ γίνεται, ἀγεννὴς, ἄνανδρος, ἀνε-
λευθέρα, δειλὴ, θρασύτητος, κολακείας, ἀμαθίας πλήρης, θυμοῦ, C
ἀκροχολίας, πάντων τῶν κακῶν μεστὴ, [v]τῶν δὲ ἐναντίων ἀγαθῶν
ἔρημος. "[w]Ἡ σπαταλῶσα, φησὶ, ζῶσα τέθνηκε. [17]Καὶ ταῦτα
παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν." Ὁρᾷς ὅτι [x]νομοθεσίας τὸ
πρᾶγμά ἐστιν; Οὐ τῇ προαιρέσει ἐπιτρέπει αὐτό· [y]παράγ-
γελλε, φησὶ, μὴ τρυφᾶν, ὡς ὡμολογημένου ὄντος κακοῦ, ὡς
οὐκ ἐνὸν οὐδὲ ἐγχωροῦν τὸν τρυφῶντα μυστηρίων μετέχειν.
"Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσι," [z]φησίν.
Ὁρᾷς ὅτι ἐν τοῖς ἁμαρτήμασι κεῖται τὸ πρᾶγμα; Τὸ γὰρ ἐν
τῇ προαιρέσει ὂν, κἂν μὴ πραχθῇ, οὐδὲν κωλύει ἀνεπίληπτον D
(304) εἶναι. Οὐκοῦν τῷ Παύλῳ πειθόμενοι καὶ ἡμεῖς [a]παραγγέλλομεν
τὰς σπαταλώσας τῶν χηρῶν ἐκτὸς εἶναι τοῦ καταλόγου τῶν
χηρῶν. Εἰ γὰρ στρατιώτης λουτροῖς καὶ θεάτροις προσανέχων
καὶ πραγματείαις, καθάπερ τις [b]λειποτάκτης κρίνεται, πολλῷ
μᾶλλον αἱ χῆραι. Μὴ ζητῶμεν ἐνταῦθα τὴν ἄνεσιν, ἵνα ἐκεῖ αὐ-
τὴν εὕρωμεν· μὴ σπαταλῶμεν ἐνταῦθα, ἵνα ἐκεῖ σπαταλήσωμεν
τὴν ὄντως σπατάλην, τὴν ὄντως τρυφὴν, τὴν οὐδὲν τίκτουσαν
κακὸν, τὴν μυρία ἀγαθὰ ἔχουσαν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπι- E

17 v. 7.

[k] ἐργάσεται B.L. [l] τί—ἐστι; om. L. [m] τοῦ] τῆς τοῦ I.L. Veron. Statim φάρυγος K. [n] οὐχὶ pro οὐχ omnes. [o] τὴν γλ.] τὴν φάρυγγα B. τὸν φάρυγα K. καὶ τὸν αὐχένα om. B.K. [p] ἡ om. I. [q] δυσκολίας]+τοῦτο ποιοῦντος B.K. Sav. cet. [r] ζῶσα om. B.K. [s] οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι] Sic C.I.K.L. οὔτε ἀκοῦσαι οὔτε εἰπεῖν Edd. [t] ψυχὴν]+καίριόν τι ποτὲ L. [v] τῶν δὲ ἐν.] τῶν δὲ παντοίων L. τῶν τοῖς κακοῖς ἐν. B.K. [w] ἡ σπ.—τέθνηκε] διὰ τοῦτό φησι B.K. Sav. cet. [x] νομοθεσία B.I.K. [y] παράγγελλε—ὡς] ἀλλὰ παρ. φησί. τί τοῦτο; μὴ τρυφᾶν· οὕτως εἰπὼν ὡς B.K. Statim ὁμολογουμένου L. [z] φησὶν om. B.K. [a] παραγγέλλομεν I. καταγγέλλομεν C. *praecipimus* Vet. παραγγέλλωμεν Edd. [b] λιποτ. ante corr. C.

τυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΔ.

[1]Εἰ δέ τις τῶν ἰδίων, [a]καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.

F ΠΟΛΛΟΙ νομίζουσιν ἀρκεῖν ἑαυτοῖς πρὸς σωτηρίαν τὴν
οἰκείαν ἀρετήν· κἂν τὰ κατὰ τὸν ἑαυτῶν βίον καλῶς διάθωνται,
[b]μηδὲν αὐτοῖς ἔτι λείπειν πρὸς [c]σωτηρίαν. Οὐ μὴν ὀρθῶς οἴονται.
625 [d]Καὶ τοῦτο δείκνυσι μὲν ὁ τὸ τάλαντον κατορύξας τὸ ἕν· οὐ
γὰρ δὴ μειώσας αὐτὸ προσήνεγκεν, ἀλλ' ὁλόκληρον, καὶ τοιοῦ-
τον οἷον ὁ παρακαταθέμενος ἔδωκεν. Δείκνυσι δὲ καὶ ἐνταῦθα ὁ
μακάριος Παῦλος οὕτω λέγων· "Εἰ δέ τις τῶν ἰδίων οὐ προνοεῖ."
Πρόνοιαν [e]πᾶσαν λέγει, τὴν κατὰ ψυχὴν, [f]τὴν κατὰ σῶμα,
ἐπεὶ καὶ αὕτη πρόνοιά ἐστιν. "Ὁ [g]δὲ τῶν ἰδίων, καὶ μάλιστα
[h]τῶν οἰκείων," τουτέστι, τῶν πρὸς γένος διαφερόντων, "μὴ
προνοῶν, ἀπίστου, φησὶν, ἐστὶ χείρων." Ὃ λέγει καὶ Ἡσαΐας
B [i]ὁ τῶν προφητῶν κορυφαῖος· [2]"Τοὺς οἰκείους τοῦ σπέρματός
σου οὐχ ὑπερόψει." Εἰ γάρ τις τοὺς γένει προσήκοντας καὶ
ἡνωμένους [k]ὑπὸ ἀγχιστείας [l]περιΐδοι, πῶς ἔσται περὶ τοὺς ἄλ-
λους φιλόστοργος; Οὐχὶ κενοδοξίαν τὸ πρᾶγμα πάντες ἐροῦ-
σιν, ὅταν τοὺς ἀλλοτρίους εὖ ποιῶν, τῶν αὑτοῦ καταφρονῇ καὶ
μὴ φείδηται; Τί δὲ, ὅταν ἄλλους κατηχῶν, τούτους ἐν πλάνῃ
[m]περιορᾷ, καίτοι πλείονα ἔχων εὐκολίαν καὶ μεῖζον δικαίωμα ἐν
τῷ εὖ ποιεῖν; [n]Σφόδρα γε, οὐ γάρ; ἐροῦσι, φιλόστοργοι οἱ
Χριστιανοὶ οἱ τοὺς ἑαυτῶν περιορῶντες. "Καὶ ἔστι, φησὶν,
ἀπίστου χείρων." Διὰ τί; Ὅτι ἐκεῖνος, εἰ καὶ μὴ τοὺς ἀλλο-
C τρίους, τοὺς γοῦν ἐγγὺς οὐ [o]περιορᾷ. [p]Τουτέστι, καὶ τὸν τοῦ
θεοῦ νόμον, καὶ τὸν τῆς φύσεως ἀδικεῖ ὁ τῶν ἰδίων καταμελῶν.
Εἰ δὲ ὁ μὴ προνοῶν τῶν οἰκείων τὴν πίστιν ἤρνηται, καὶ ἀπί-
στου χείρων ἐστὶν, ὁ καὶ ἀδικῶν τοὺς οἰκείους, ποῦ τετάξεται;

[1] Cap. V. v. 8. [2] Esai. lviii. 7.

Hom. XIV. [a] καὶ om. L. [b] οὐδὲν B.K. Mox λείπει ante corr. K. [c] σωτηρίαν] + ἡγοῦνται B.K. receptum a Ben. [d] καὶ om. B.K. καὶ post μὲν add. iidem. [e] πᾶσαν] ποίαν B.K. [f] τὴν] καὶ τὴν K. [g] δὲ] γὰρ B.K. [h] τῶν om. K.L. [i] ὁ τῶν πρ. κ. om. B.K. Mox ὑπερόψῃ I. [k] ἀπὸ ante corr. C. [l] περιορᾷ B.K. [m] περιορᾷ] ἀφίησι B.K. Statim καίτοιγε πλ. σφόδρα ἔχων L. [n] σφόδρα γε om. L. σφόδρα γε—ὅτι ἐκεῖνος] εὐθὺς γὰρ ἐροῦσιν Ἕλληνες· καλά γε· σφόδρα φιλ. οἱ Χρ. τοὺς ἑαυτῶν ὑπερορῶντες. καὶ (καὶ om. K.) καλῶς εἶπεν ὅτι ἐστὶν ἀπ. χ. πῶς; ἐκεῖνος γὰρ B.K. [o] ὑπερορᾷ K. [p] τουτέστι] ὃ δὲ λέγει τοῦτό ἐστι B.K. Sav. cet.

μετὰ τίνος στήσεται; [q]Πῶς δὲ τὴν πίστιν ἤρνηται; [3]"Θεὸν, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται." Τί δὲ ἐπέταξεν ὁ πιστευθεὶς θεός; Τοὺς οἰκείους τοῦ σπέρματος μὴ
ὑπερορᾶν. Πῶς δὲ πιστεύει ἀρνησίθεος ὁ τοιοῦτος γεγονώς; D
Ἐννοήσωμεν ὅσοι χρημάτων φειδόμενοι τῶν [r]οἰκείων καταφρονοῦμεν. Ὁ θεὸς διὰ τοῦτο καὶ τὴν ἀπὸ τῆς συγγενείας ἐπενόησεν ἕνωσιν, ἵνα πολλὰς ἔχωμεν ὑποθέσεις [s]τοῦ ἀλλήλους εὖ ποιεῖν. Ὅταν τοίνυν, ὅπερ ὁ ἄπιστος ποιεῖ, σὺ μὴ ποιῇς, οὐχὶ ἤρνησαι τὴν πίστιν; Ἆρα οὐ [t]τοῦτο πίστεως, [v]ὁμολογίᾳ μόνον τὸ πιστεύειν, ἀλλὰ καὶ τὸ ἔργα ἐπιδείκνυσθαι ἄξια. [w]Καὶ καθ' ἕκαστον ἔστι πιστεύειν, καὶ μὴ πιστεύειν. Ἐπειδὴ γὰρ περὶ τρυφῆς διελέχθη καὶ σπατάλης, [x]οὐ κατὰ τοῦτο μόνον, φησὶν, ἀπόλωλε, καθὸ τρυφᾷ, ἀλλ' ὅτι καὶ τοὺς οἰκείους ἀναγ-
κάζεται περιορᾶν· [y]εἰκότως, τῇ γαστρὶ ζῶσα· καὶ κατὰ τοῦτο E
ἀπόλωλε, τὴν πίστιν ἀρνουμένη. "[z]Καὶ ἔστιν ἀπίστου χείρων." [a]Οὐ γὰρ ἴσον [b]τὸν οἰκεῖον περιορᾶν, καὶ τὸν πόρρω· πῶς γάρ; ἀλλὰ μεῖζον ἐνταῦθα τὸ ἔγκλημα, [c]τὸν γνώριμον [d]ἢ τὸν ἀγνῶτα, τὸν φίλον [e]ἢ τὸν [f]οὐ φίλον περιορᾶν.

[4]"Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνὴ, ἐν ἔργοις καλοῖς μαρτυρουμένη." Εἶπε, "Μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς
ἀποδιδόναι τοῖς προγόνοις·" [g]εἶπεν, "Ἡ σπαταλῶσα, ζῶσα F
τέθνηκεν·" εἶπεν, ὅτι "Τῶν οἰκείων εἰ μὴ προνοεῖ, ἀπίστου
(305) χείρων ἐστίν·" εἶπεν ἅπερ μὴ ἔχουσα ἀνάξιός ἐστι τοῦ καταλόγου τῶν χηρῶν· λέγει ἐνταῦθα τί δεῖ [h]ἔχειν. Τί οὖν; ἀπὸ
τῶν χρόνων αὐτὴν [i]ἐγκρινοῦμεν; καὶ ποῖον τοῦτο κατόρθωμα; 626
οὐ γὰρ αὐτῆς ἐστι τὸ ἑξήκοντα γεγονέναι ἐτῶν. Οὐκ ἀπὸ τῆς ἡλικίας, φησὶ, μόνον, [k]ὡς ἂν εἰ καὶ ἐκείνην παρέλθοι τὴν ἡλικίαν, φησὶ, μὴ ἔχουσα τὰ ἔργα, μηδὲ τότε καταλεγέσθω. Τί δήποτε δὲ ὑπὲρ τῆς ἡλικίας ἀκριβολογεῖται, τὴν αἰτίαν ὕστερον τίθησιν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' αὐτῶν εἰσενηνεγμένην τῶν χηρῶν·

[3] Tit. i. 16. [4] v. 9, 10.

[q] πῶς δὲ—φησὶν] εἶτα εἰπὼν ὅτι τὴν πίστιν ἤρνηται, ἑρμηνεύει λοιπὸν πῶς τοῦτο γίνεται, καί φησι· θεὸν B.K. Mox τί δὲ—γεγονώς; om. iidem. [r] οἰκείων] ἰδίων C. [s] τοῦ] τοὺς L. [t] τοῦτο om. B. [v] ὁμολογίᾳ (—γία Cat. Veron.) μ. τὸ π.] Sic C.I. Cat. Veron. ὁμολογία μ. τοῦ π. L. τὸ ὁμολογίᾳ μ. π. B.K. ὁμολογίᾳ μ. π. Sav. cet. [w] καὶ—μὴ πιστεύειν om. B.K. [x] οὐ] δεικνὺς ὅτι οὐ (om. φησὶν) B.K. [y] εἰκότως] + τοῦτό φησιν· ἡ γὰρ B.K. Sav. cet. [z] καὶ] πῶς δὲ iidem. [a] οὐ γὰρ] ὅτι οὐκ iidem. [b] τὸν] τὸ I. Veron. [c] τὸν γνώριμον—περιορᾶν] ὁ μὲν γὰρ φίλος, ὁ δὲ καί τι πλέον. ὁ μὲν ἁπλῶς γνώριμος, ὁ δὲ ἀπὸ γένους σοι συναπτόμενος B.K. [d] ἢ] καὶ C.I. Veron. ἀγνώτατον (sic) pro ἀγνῶτα τὸν L. [e] ἢ] καὶ C.I.L. Veron. ἢ utrobique habent Vet. Sav. cet. [f] οὐ] τοῦ θεοῦ I.L. [g] εἶπε] + καὶ I. [h] ἔχειν] + λοιπὸν B.K. Sav. cet. [i] ἐκκρ. L. Cat. [k] ὡς ἂν] ἀλλ' B.K. Mox φησὶ om. iidem.

τέως δὲ τῶν ἑξῆς ἀκούσωμεν· "'Εν ἔργοις, φησὶ, καλοῖς μαρτυ-
ρουμένη." Ποίοις ἔργοις; "Εἰ ἐτεκνοτρόφησεν." Οὐ μικρὸν
ὄντως τὸ ἔργον τοῦτο, τὸ παιδοτροφεῖν. Τὸ παιδοτροφεῖν δὲ
B οὐ τοῦτο [l]ἐστι, τὸ τρέφειν μόνον τοὺς παῖδας, ἀλλὰ [m]καὶ τὸ
τρέφειν ὡς δεῖ, καθάπερ ἄνω φησίν· "'Εὰν ἐπιμείνωσι τῇ πίστει
καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ." 'Ορᾷς πῶς πανταχοῦ τῶν οἰ-
κείων τὰς εὐεργεσίας τῶν ἀλλοτρίων προτίθησι; Πρῶτον [n]γάρ
φησιν, "Εἰ ἐτεκνοτρόφησε," καὶ τότε, "Εἰ ἐξενοδόχησεν, εἰ
ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ
ἀγαθῷ ἐπηκολούθησε." Τί οὖν, ἂν πένης ᾖ; Οὐδὲ οὕτω τοῦ
παιδοτροφεῖν, οὐδὲ τοῦ ξενοδοχεῖν, οὐδὲ [o]τοῦ θλιβομένοις ἐπαρ-
κεῖν ἀπεστέρηται. Οὐκ ἔστι τῆς τοὺς δύο ὀβολοὺς καταβαλού-
C σης ἀπορωτέρα· κἂν πένης ᾖ, οἰκίαν ἔχει· οὐ γὰρ δὴ αἴθριος
μένει. "Εἰ ἁγίων πόδας, φησὶν, ἔνιψεν." Οὐκ ἔστι τοῦτο
δαπάνης. "Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν." Οἷον
ἐπίταγμα λέγει; 'Ενταῦθα τὴν σωματικὴν ὑπηρεσίαν [p]εἰσφέ-
ρειν προτρέπεται· πρὸς γὰρ θεραπείαν μάλιστα ἐπιτηδείως
ἔχουσιν αἱ γυναῖκες, κλίνην στρῶσαι, [q]ἀναπαῦσαι. Βαβαὶ, πό-
σην ἀκρίβειαν ἀπαιτεῖ παρὰ τῆς χήρας, ὅσην σχεδὸν καὶ παρ'
αὐτοῦ τοῦ τὴν ἐπισκοπὴν ἔχοντος. [r]Τὸ γὰρ, "Εἰ παντὶ ἔργῳ
D ἀγαθῷ ἐπηκολούθησε," [s]εἰ καὶ μὴ αὐτὴ [t]αὐτὸ ἐργάσασθαι ἠδυ-
νήθη, φησὶν, ἀλλ' ὅμως ἐκοινώνησεν, ὑπούργησε. Τὴν σπατάλην
[v]αὐτῆς ἐκκόπτων, προνοητικὴν εἶναι βούλεται, οἰκονομικὴν, εὐχαῖς
διαπαντὸς προσκαρτερεῖν. Τοιαύτη ἦν ἡ Ἄννα. Ὅρα πόσην
ἀπαιτεῖ τὴν ἀκρίβειαν παρὰ τῆς χήρας, ὅσην οὐδὲ παρὰ τῶν
παρθένων· καὶ μὴν [w]καὶ ἐκείνας πολλὴν ἀπῄτησε τὴν ἀκρίβειαν,
καὶ ἄκραν τὴν ἀρετήν. [x]Τῷ γὰρ εἰπεῖν, [5]"Εὔσχημον καὶ
εὐπρόσεδρον τῷ κυρίῳ ἀπερισπάστως," ἐν κεφαλαίῳ πως περι-
E λαμβάνει τὴν ἀρετὴν ἅπασαν. 'Ορᾷς ὅτι οὐ τὸ μὴ δευτέροις
ὁμιλῆσαι γάμοις ἀρκεῖ δεῖξαι τὴν χήραν, ἀλλ' ἑτέρων [y]δεῖ πολ-
λῶν; Διὰ τί γὰρ, εἰπέ μοι, δευτέροις οὐχ [z]ὡμίλησε γάμοις;
ἆρα [a]κατέγνω τοῦ πράγματος; Οὐδαμῶς· τοῦτο γὰρ αἱρετι-
κῶν· ἀλλ' ἀπησχολῆσθαι [b]βουλομένη λοιπὸν ἐν τοῖς πνευματι-

[5] 1 Cor. vii. 35.

[l] ἐστιν] + ἁπλῶς B.K. Sav. cet. [m] καὶ τὸ om. K. [n] γάρ φ.] εἶπεν B.K.
[o] τοῦ] τοῖς I. [p] προσφέρειν L. [q] καὶ ἀναπ. B. κλίνην σ. ἀναπαῦσαι om. K.
[r] τῷ γὰρ B.K. τὸ γὰρ εἰπεῖν L. [s] εἰ] τοῦτο δηλοῦντός ἐστιν ὅτι εἰ B.K. Sav.
cet. Mox φησὶν om. iidem. [t] αὐτὸ] τὸ L. [v] αὐτῆς om. B.K. Sav. cet.
Post προνοητικὴν add. αὐτὴν B.I.K. Sav. cet. [w] καὶ om. K. [x] τῷ pro
τὸ B.C.K.L. Mox εὐπάρεδρον I.K.L. [y] δεῖ] + πρὸς τοῦτο B.K. [z] ὡμί-
λησε γ.] ὁμιλῆσαι γ. προτρέπει B.K. Sav. cet. [a] καταγινώσκων B.K.
[b] βούλεται B.K. βουλόμενος Sav. cet. invitis libris. Post λοιπὸν add. αὐτὴν
B.K. Sav. cet.

κοῖς, [c]καὶ πρὸς τὴν ἀρετὴν μετατάξασθαι. Οὐ γὰρ ἀκαθαρσίας, ἀλλὰ ἀσχολίας ὁ [d]γάμος· ἐπεὶ καὶ ὅταν λέγῃ, [6] "[e]ἵνα σχολάσωσιν," οὐ λέγει, ἵνα καθαρθῶσι. Πολλῆς γὰρ ἀσχολίας ὄντως ὁ γάμος αἴτιος. Εἰ τοίνυν διὰ τοῦτο μὴ [f]γαμεῖς, ἵνα σχολάζῃς F
[g]τῷ φόβῳ τοῦ θεοῦ, μὴ [h]σχολάζεις δὲ, οὐδέν σοι τοῦ πράγματος ὄφελος, ἵνα τὴν θεραπείαν πᾶσαν περὶ ξένους, περὶ ἁγίους
[i]ἐπιδείκνυσαι. Ὅταν οὖν ταῦτα μὴ ποιῇς, ὡς τοῦ πράγματος 627
καταγνοῦσα μᾶλλον ἀπέσχου τοῦ γάμου. Οὕτω καὶ ἡ παρθένος ἡ μὴ μετὰ ἀκριβείας ἐσταυρωμένη, τῷ τοῦ γάμου κατεγνωκέναι ὡς μιαροῦ καὶ ἀκαθάρτου, τοῦτον παρῃτήσατο. Ὁρᾷς ὅτι ξενοδοχίαν λέγει, οὐ τὴν ἁπλῶς φιλοφροσύνην, ἀλλὰ τὴν μετὰ σπουδῆς, τὴν μετὰ προαιρέσεως ἱλαρᾶς, τὴν μετὰ προθυμίας, τὴν οὕτω τὸ πρᾶγμα μετιοῦσαν, ὡς αὐτὸν [k]δεχομένην τὸν Χριστόν; Οὐ γὰρ δὴ ταῖς θεραπαινίσι βούλεται τὴν εἰς τούτους θεραπείαν ἐπιτάττεσθαι, ἀλλ' αὐτὰς δι' ἑαυτῶν ταῦτα ποιεῖν. [7] "Εἰ γὰρ ἐγὼ, φησὶν, ἔνιψα τοὺς πόδας [l]τῶν μαθητῶν, πολλῷ μᾶλλον ὑμεῖς ὀφείλετε τοῦτο ποιεῖν ἀλλήλοις." Κἂν γὰρ μυριάκις ᾖ B
τις πλουτοῦσα, [m]κἂν ἐν περιφανείᾳ τινὶ μεγίστῃ τυγχάνῃ οὖσα, [n]καὶ ἐπὶ εὐγενείᾳ προγόνων μέγα φρονῇ, οὐκ ἔστι τοσοῦτον τὸ μέσον, ὅσον [o]τοῦ θεοῦ καὶ τῶν μαθητῶν. Εἰ ὡς τὸν Χριστὸν [p]δέχῃ, μηδὲν ἐπαισχυνθῇς, μᾶλλον δὲ καὶ σεμνύνου ἐπὶ τῷ πράγματι· εἰ δὲ μὴ ὡς τὸν Χριστὸν δέχῃ, μηδὲ δέξῃ. [8] "Ὁ δεχόμενος, φησὶν, ὑμᾶς, ἐμὲ δέχεται." Ἐὰν μὴ οὕτω δέχῃ, οὐδὲ μισθὸν ἔχεις. Ἀνθρώπους παριόντας ὁδίτας, ὡς ἐνόμιζεν, ὁ
(306) Ἀβραὰμ [q]ὑπεδέχετο, καὶ οὐ πάντα τοῖς οἰκέταις [r]ἐπέτρεπεν, C
ἀλλὰ καὶ τῇ γυναικὶ τὰ ἄλευρα φυρᾶν ἐπέταττε, καίτοι τριακοσίους δεκαοκτὼ ἔχων οἰκογενεῖς, ὧν εἰκὸς καὶ θεραπαινίδας εἶναι· [s]ἀλλ' αὐτὸς ἐβούλετο τὸν μισθὸν ἔχειν μετὰ τῆς γαμετῆς, οὐ τῆς δαπάνης [t]μόνης, ἀλλὰ καὶ τῆς διακονίας. Οὕτω δεῖ [v]φιλοξενίαν ἐπιδείκνυσθαι, δι' ἑαυτῶν πάντα πράττοντας, [w]ἵν' ἡμεῖς ἁγιαζώμεθα, ἵν' αἱ χεῖρες αἱ ἡμέτεραι εὐλογῶνται. Κἂν πένησι [x]διδῷς, μὴ ἀπαξιώσῃς διὰ σεαυτοῦ δοῦναι· οὐ γὰρ τῷ πένητι

[6] 1 Cor. vii. 5. [7] Joan. xiii. 14. [8] Matt. x. 40.

[c] καὶ om. C. Veron. [d] γάμος] + ἐστὶν B.K. [e] ἵνα σχ.—ἵνα] ἐκ συμφώνου ἀλλήλους ἀποστερεῖν, ἵνα σχ. λέγει (λέγῃ K.) οὐχ ἵνα B.K. [f] γαμῇ B.K. [g] τῷ φ. τοῦ θ.] τῷ λόγῳ τοῦ θ. καὶ τῷ φ. I.L. invito Vet. [h] σχολάζῃς B.K. [i] ἐπιδείκνυσαι] + σχολάζεις (-ζῃς K.) B.K. [k] δεχομένη C.K. [l] τῶν μαθ.] ὑμῶν ὁ διδάσκαλος B.K. Sav. cet. Mox ὠφείλετε I. [m] κἂν] καὶ C. [n] καὶ] κἂν B.K. [o] τοῦ om. L. [p] δέχῃ—δέχῃ] μὴ δέχῃ C. [q] ὑπεδέχετο omnes. ἐδέχετο Edd. [r] ἐπέτρεπεν om. C. ἐπέτρ. ἀλλὰ] ἐπέτρ. ἐξευτρεπίζειν τὰ πρὸς ὑποδοχὴν, ἀλλὰ τὸ πλέον τῆς διακονίας καὶ αὐτὸς δι' ἑαυτοῦ ἔπραττε B.K. Sav. cet. [s] ἀλλ' αὐτὸς—ἔχειν] τοῦτο δὲ ἐποίει βουλόμενος τὸν μισθὸν ὅλον ἔχειν B.K. [t] μόνον L. [v] τὴν φ. B.K. [w] ἵνα bis C. Veron. [x] δῷς B.K. Mox σαυτοῦ pro σεαυτοῦ B.C.I.K.

D δίδως, ἀλλὰ τῷ Χριστῷ. Τίς δὲ οὕτως ἄθλιος, ὡς [y] ἀπαξιοῦν
αὐτὸν τὴν χεῖρα ὀρέγειν τῷ Χριστῷ; Τοῦτο φιλοξενία, τοῦτο
ὄντως διὰ τὸν θεόν ἐστι ποιῆσαι. Ἂν δὲ μετὰ τύφου ἐπι-
τάττῃς, [z] κἂν τῶν πρωτείων κελεύῃς ἀπολαύειν, οὐκ ἔστι φιλο-
ξενία τὸ [a] τοιοῦτον. Πολλῆς [b] γὰρ ὁ ξένος δεῖται τῆς θερα-
πείας· ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαῦτα τὸ μὴ ἐρυθριᾷν.
Ἐπειδὴ τὸ πρᾶγμα φύσιν ἔχει τοιαύτην, [c] τὸν εὖ παθόντα
αἰσχύνεσθαι, τῇ ὑπερβολῇ τῆς θεραπείας τὰ τῆς αἰσχύνης χρὴ
E περιαιρεῖν, καὶ δεικνύναι καὶ ῥήμασι καὶ πράγμασιν, ὅτι οὐκ εὖ
ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει [d] αὐτὸς, καὶ εὐεργετεῖται μᾶλλον
ἢ εὐεργετεῖ. Οὕτω πλεονάζεται τὸ γινόμενον [e] ὑπὸ τῆς προαι-
ρέσεως. Ὥσπερ γὰρ [f] ὁ ἡγούμενος ζημιοῦσθαι, πάντα ἀπώλεσεν,
καὶ ὁ ἡγούμενος εὖ ποιεῖν [g] πάντα ἀπώλεσεν, οὕτω [h] καὶ ὁ ἡγού-
μενος εὖ πάσχειν, πλέον ἔλαβεν· [9] "Ἱλαρὸν γὰρ δότην [i] ἀγαπᾷ
ὁ θεός." [k] Χάριν ὀφείλεις μᾶλλον τῷ πένητι [l] ἔχειν τοῦ λα-
βεῖν. Εἰ [m] μὴ πένητες ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων
ὑπετέμου· ἰατροὶ τῶν τραυμάτων εἰσὶ τῶν σῶν· φάρμακά σοι
F παρέχουσι τὰς [n] αὐτῶν χεῖρας. Οὐχ οὕτως ἰατρὸς χεῖρας ἐκτεί-
νων, καὶ [o] φάρμακον ἐπιτιθεὶς τὴν ἰατρείαν παρέχει, ὡς πένης
χεῖρα ἐκτείνων καὶ τὰ παρὰ σοῦ λαμβάνων, ἐκμαγεῖον τῶν σῶν
ἐστι κακῶν. Ἔδωκας τὸ ἀργύριον, συνεξῆλθε καὶ τὰ ἁμαρ-
628 τήματα. [p] Τοιοῦτοι καὶ οἱ ἱερεῖς· [10] "Ἁμαρτίας λαοῦ μου
φάγονται." Ὥστε μείζονα λαμβάνεις ἢ δίδως, εὐεργετῇ μᾶλλον
ἢ εὐεργετεῖς. Θεῷ δανείζεις, οὐκ ἀνθρώποις· αὔξεις τὸν πλοῦτον,
οὐ μειοῖς· μειοῖς δὲ, ἐὰν μὴ ἐλαττώσῃς, ἐὰν μὴ δῷς. "Εἰ ἐξε-
νοδόχησε, φησὶν, εἰ ἁγίων πόδας ἔνιψε." Ποίων δὴ τούτων;
Τῶν θλιβομένων, οὐχ ἁπλῶς ἁγίων· ἔνεστι γὰρ ἁγίους εἶναι, καὶ
B πολλῆς ἀπολαύειν θεραπείας παρὰ πάντων. Μὴ τούτους δίωκε
τοὺς ἐν ἀφθονίᾳ ὄντας, ἀλλὰ τοὺς ἐν θλίψει, τοὺς ἀγνῶτας,
τοὺς οὐ παρὰ πολλῶν γνωριζομένους. [11] "Ὃς ἐποίησεν ἑνὶ,
φησὶ, τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε." [q] Μὴ δῷς τοῖς

9 2 Cor. ix. 7. 10 Osee iv. 8. 11 Matth. xxv. 40.

[y] ἀπαξιῶν αὐτὸς C.L. Veron. [z] κἂν] καὶ K. [a] τοιοῦτον] + οὐδὲ διὰ τὸν θεόν ἐστι B.K. Sav. cet. [b] γὰρ om. iidem, et post θεραπείας add. πολλῆς τῆς παρακλήσεως. Pergunt B.K. καὶ ἀγαπ. μετὰ τοσαύτης ὑποδεχόμενον ἱλαρότητος αὐτὸν μὴ ἐρ. [c] τὸν] ὥστε τὸν B.K. Sav. cet. [d] αὐτὸς om. K. [e] ὑπὸ B.I.K.L. ἀπὸ Edd. [f] ὁ] + τε B.K. [g] π. ἀπώλεσεν] ὁμοίως B. Deest in K. καὶ ὁ ἡγ.—ἀπώλεσεν om. I.L. invito Vet. [h] καὶ assumtum ex omnibus. [i] ἀγαπᾷ] + φησὶν B. et ex rec. corr. K. [k] χάριν] ὥστε χ. B.K. Sav. cet. Statim ὀφείλει C.I.L. Veron. Vet. [l] ἔχειν om. K. Sav. cet. superscript. in I. [m] μὴ] + γὰρ B.K. Sav. cet. [n] ἑαυτῶν B.C.K. Sav. cet. [o] φάρμακα I. [p] τοιοῦτοι] + εἰσι B.K. Mox φησὶ post ἁμαρτίας add. B.K. Sav. cet. post λ. μου L. post φάγονται (φάγωνται C. Veron.) I. [q] ΗΘΙΚΟΝ. Περὶ τοῦ τὰς εὐποιΐας δι' ἑαυτῶν καὶ λανθανόντως ποιεῖσθαι· καὶ περὶ βίου μοναχῶν. Veron.

προεστῶσι τῆς ἐκκλησίας διανεῖμαι· σὺ διακόνησον αὐτὴ, ἵνα
μὴ τοῦ [r]ἀναλίσκειν, ἀλλὰ καὶ τοῦ ὑπηρετῆσαι ἔχῃς τὸν μισθόν·
οἰκείαις χερσὶ δός· σὺ σπεῖρον τὴν αὔλακα. Οὐκ ἔνι ἄροτρον
ἐνταῦθα πήξασθαι, οὐδὲ βοῦν ζεῦξαι, οὐδὲ καιρὸν ἀναμεῖναι,
οὐδὲ γῆν ἀνατεμεῖν, οὐδὲ κρυμῷ παλαῖσαι· πάσης ταύτης τῆς
[s]περιεργασίας ἀπήλλακται οὗτος ὁ σπόρος. Εἰς γὰρ τὸν οὐ-
ρανὸν σπείρεις, ἔνθα οὐ κρυμὸς, οὐδὲ χειμὼν, [t]οὐκ ἄλλο οὐδέν· C
εἰς ψυχὰς σπείρεις, ἔνθα οὐδεὶς τὸ βαλλόμενον αἴρει, ἀλλὰ κατέ-
χεται σφοδρῶς, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ μετὰ πολ-
λῆς τῆς σπουδῆς. Σὺ σπεῖρον. Διὰ τί σαυτὸν ἀποστερεῖς [v]τοῦ
μισθοῦ; Μέγας μισθὸς τὸ δύνασθαι καὶ τὰ [w]ἄλλων οἰκονομεῖν.
Οὐ τοῦ δοῦναι μόνον μισθός ἐστιν, ἀλλὰ καὶ τοῦ καλῶς οἰκο-
νομῆσαι τὰ διδόμενα. Διὰ τί μὴ σὺ λαμβάνεις τὸν μισθόν;
Ὅτι γὰρ καὶ τούτου ἐστὶ μισθὸς, [x]ἄκουσον. [12] Κατέστησαν,
φησὶν, οἱ ἀπόστολοι τοὺς περὶ Στέφανον εἰς τὴν τῶν χηρῶν
διακονίαν. Γενοῦ σὺ οἰκονόμος τῶν σαυτοῦ· αὐτή σε χειροτονεῖ D
ἡ φιλανθρωπία, ὁ τοῦ θεοῦ φόβος. Τοῦτο καὶ κενοδοξίας
ἀπήλλακται, τοῦτο καὶ ψυχὰς ἀναπαύει, τοῦτο καὶ χεῖρας ἁγι-
άζει, τοῦτο καὶ [y]φρόνημα κατασπᾷ, τοῦτο καὶ φιλοσοφίαν
διδάσκει, τοῦτο προθυμότερον ἐργάζεται, τοῦτό σε τὰς εὐλο-
γίας ποιεῖ λαβεῖν· ἄπεισιν ἡ κεφαλή σου δεχομένη πάσας τὰς
παρὰ τῶν χηρῶν εὐλογίας. Προθυμότερος γενοῦ ἐν ταῖς εὐχαῖς·
περιεργάζου καὶ ἁγίους ἄνδρας, τοὺς ὄντως ἁγίους, τοὺς ἐν ταῖς E
(307) ἐρημίαις καθημένους, τοὺς οὐ δυναμένους ἐπαιτεῖν, τοὺς προσανέ-
χοντας τῷ θεῷ· βάδιζε [z]μακρὰν ὁδὸν, δίδου διὰ σαυτοῦ· πολλὰ
[a]γάρ ἐστι δι' ἑαυτοῦ ὠφελῆσαι, ἐὰν δῷς. Ὁρᾷς σκηνὴν καὶ
καταγώγιον; ὁρᾷς ἐρημίαν; ὁρᾷς μόνωσιν; Πολλάκις ἀπελθὼν
δοῦναι χρήματα, ἔδωκας τὴν ψυχὴν ὁλόκληρον, [b]καὶ κατεσχέθης,
καὶ γέγονας συναιχμάλωτος ἐκείνου, συνεξενίτευσας τῷ κόσμῳ.
Μέγα πρᾶγμα [c]καὶ πένητας ὁρᾶν. [13] "Ἀγαθὸν, φησὶν, εἰσελ-
θεῖν εἰς [d]οἰκίαν πένθους, ἢ εἰς οἰκίαν γέλωτος." Ἐντεῦθεν ἡ
ψυχὴ φλεγμαίνει. Ἂν μὲν γὰρ ἔχῃς ὁμοίως [e]γελᾶν, προτροπὴν F
ἔλαβες εἰς σπατάλην· ἂν δὲ μὴ ἔχῃς, λύπην ἐδέξω. Εἰς δὲ τὴν
οἰκίαν τοῦ πένθους οὐδὲν τοιοῦτον, ἀλλὰ κἂν μὴ ἔχῃς τρυφᾶν,
οὐκ ἤλγησας, [f]κἂν ἔχῃς, καταστέλλῃ.

12 Act. vi. 5. 13 Eccles. vii. 2.

[r] ἀναλίσκειν] + μόνον L. [s] ἐργασίας B.K. [t] οὐκ] οὐδ' B. [v] τῶν μισθῶν L. [w] τῶν ἄλλων B.K. Sav. cet. [x] ἄκουσον—διακονίαν] ἐκ τοῦ καταστῆσαι τοὺς π. Σ. εἰς τὴν τ. χ. δ. μάνθανε, οὐκ ἂν καταστάντες, εἰ μὴ σφόδρα πολὺν εἶχε τὸ πρᾶγμα μισθὸν B.K. [y] φρονήματα I. [z] μικρὰν K. [a] γὰρ om. B.K. Mox ἐάν τις δῷ iidem. [b] καὶ κατ. καὶ] κατ. τῷ ἔρωτι B.K. [c] καὶ] τὸ καὶ L. Mox ὁρᾷς C. [d] οἶκον K.L. [e] γελᾶν] τρυφᾶν B.K. Sav. cet. [f] κἂν] ἐὰν δὲ L.

Ὄντως οἰκία πένθους τὰ μοναστήρια, ἔνθα σάκκος καὶ σπο-
δὸς, ἔνθα μόνωσις, ἔνθα γέλως οὐδεὶς, οὐδὲ βιωτικῶν πραγμά-
629 των [g]ὄχλος, ἔνθα νηστεία, ἔνθα χαμευνία, πάντα καθαρὰ [h]κνί-
σης, αἱμάτων, θορύβου, ταραχῆς, πολυοχλίας. Λιμήν ἐστιν
εὔδιος· ὥσπερ λαμπτῆρές εἰσιν ἀφ' ὑψηλοῦ τοῖς πόρρωθεν
ἐπιβαίνουσι φαίνοντες, ἐπὶ λιμένος καθήμενοι, καὶ πρὸς γαλήνην
τὴν [i]αὐτῶν ἅπαντας ἕλκοντες, οὐκ ἐῶντες γενέσθαι ναυάγια τοῖς
εἰς αὐτοὺς ὁρῶσιν, οὐκ ἐῶντες ἐν σκότῳ διάγειν τοὺς ἐκεῖ βλέ-
ποντας. [k]Ἄπιθι πρὸς αὐτοὺς, [l]ξενοδόχησον, πρόσιθι, ἅψαι
B ποδῶν ἁγίων· πολλῷ γὰρ ἐντιμότερον τῶν ἐκείνων ἅπτεσθαι
ποδῶν, ἢ τῆς ἑτέρων κεφαλῆς. Εἰπὲ γάρ μοι, εἰ ἀνδριάντων
πόδας κατέχουσί τινες, ἐπειδὴ ὅλως τύπον ἔχουσι βασιλικὸν,
σὺ [m]τὸν αὐτὸν ἔχοντα τὸν Χριστὸν ἐν ἑαυτῷ, [n]οὐ καθέξεις
ἀπὸ τῶν ποδῶν, [o]καὶ σωθήσῃ; Ἅγιοί εἰσιν οἱ πόδες, κἂν εὐτε-
λεῖς ὦσι· τῶν δὲ βεβήλων οὐδὲ ἡ κεφαλὴ τιμία. Πόδες [p]γὰρ
ἁγίων μεγάλα ἴσχυσαν· διόπερ καὶ κολάζουσιν, ὅταν [q]τῶν
ποδῶν τὸν κονιορτὸν ἐκτινάξωσιν. Ὅταν [r]ἅγιος ᾖ παρ' ἡμῖν,
C μηδὲν ἐπαισχυνώμεθα τῶν [s]αὐτῶν. Ἅγιοι δέ εἰσι πάντες, ὅσοι
[t]πίστιν ὀρθὴν μετὰ βίου ἔχουσι· κἂν σημεῖα μὴ ἐργάζωνται,
κἂν δαίμονας μὴ ἐκβάλλωσιν, ἅγιοί εἰσιν. "[v]Εἰ ἁγίων πόδας,
φησὶν, ἔνιψεν." Ὥσπερ γὰρ ἀπὸ γῆς εἰς τὸν οὐρανὸν, οὕτως
ἐστὶν εἰς μοναστήριον ἀνδρὸς ἁγίου καταφυγεῖν. [w]Οὐχ ὁρᾷς
ἐκεῖ ταῦτα ἅπερ ἐν τῇ οἰκίᾳ· πάντων καθαρὸς ὁ [x]χῶρος ἐκεῖνος·
σιγὴ καὶ ἡσυχία πολλή· τὸ ἐμὸν οὐκ ἔνι καὶ τὸ σὸν ἐκεῖ. Ἂν
δὲ [y]καὶ ἡμέραν μίαν μείνῃς, ἢ δευτέραν, τότε πλέον αἰσθήσῃ
D τῆς ἡδονῆς. Ἡμέρα γίνεται, μᾶλλον δὲ πρὸ ἡμέρας ἀλεκτρυὼν
ἐφώνησε· καὶ [z]οὐκ ἔστιν ὥσπερ ἐπὶ τῆς οἰκίας, ῥέγχουσιν οἱ
οἰκέται, αἱ θύραι κεκλεισμέναι, πάντες νεκροῖς ἐοίκασι καθεύ-
δοντες, ὁ [a]ὀρεωκόμος τοὺς κώδωνας σείει. Οὐδὲν τοιοῦτον ἐκεῖ,
ἀλλ' εὐθέως [b]ἅπαντες μετὰ εὐλαβείας τὸν ὕπνον ἀποθέμενοι
διανίστανται, τοῦ προεστῶτος αὐτοὺς διεγείροντος, καὶ ἑστή-
κασι τὸν ἅγιον στησάμενοι χορὸν, καὶ τὰς χεῖρας εὐθέως ἀνα-
τείναντες, τοὺς ἱεροὺς ᾄδουσιν ὕμνους. Οὐ γὰρ δὴ, ὥσπερ ἡμεῖς,

[g] ὄχλος] τύρβη καὶ ὄχλος B.K. [h] κνίσης K.L. κνήσεις (sic) I. Edebatur κνίσσης. [i] ἑαυτῶν L. [k] ἄπελθε B.K. [l] ξενοδ.] φιλοφρόνησον B.K.L. Sav. cet. *hospitio suscipe* Vet. [m] τὸν Χρ. ἔχοντα ἐν ἑαυτῷ L. [n] οὐ] εἰ K. [o] καὶ] οὐ B.K. [p] γὰρ om. B.K. [q] τῶν π. τὸν κ.] τὸν κ. τῶν π. L. τὸν κ. ἐξ ἑαυτῶν K. ἐξ ἑαυτῶν τὸν κ. B. Sav. cet. [r] ἅγιος ᾖ] ἅγιοί εἰσι L. [s] αὐτοῦ I. [t] πίστιν—ἔχουσι] βίον καλὸν μετὰ πίστεως ὀρθῆς ἔχωσιν ἂν L. [v] εἰ—ὥσπερ γὰρ] ἄπιθι πρὸς τὰς τῶν ἁγίων σκηνάς· ὥσπερ B.K. Sav. cet. [w] οὐχ ὁρᾷς] οὐκ ἔστιν ἰδεῖν B.K. [x] χῶρος] Sic B.K. *locus* Vet. χορὸς Edd. [y] καὶ om. B.K. Mox ἢ καὶ δ. B.K. Sav. cet. μίαν ἡμέραν inverso ord. K. [z] οὐκ ἔστιν] οὐχ ὁρᾷς (et post οἰκίας add. βλέπειν ἐστι) B.K. [a] ὀρεοκόμος B. [b] ἅπαντες] + παρ' αὐτοῖς B.K.

πολλῶν ὡρῶν δέονται πρὸς τὸ τὸν ὕπνον ἀποτινάξασθαι καὶ τὴν καρηβαρίαν. Ἡμεῖς μὲν γὰρ ἅμα διαναστάντες, καθήμεθα E *ἐπὶ πολὺ διατεινόμενοι, πρὸς χρείαν ἀπερχόμεθα, εἶτα νιπτόμεθα τὴν ὄψιν, τὰς χεῖρας· μετὰ τοῦτο ὑποδήματα* [c]*καὶ ἐνδύματα λαμβάνομεν, καὶ πολὺς ἀναλίσκεται καιρός. Ἐκεῖ δὲ τοιοῦτον οὐδέν· οὐδεὶς οἰκέτην καλεῖ· ἕκαστος γὰρ ἀρκεῖ ἑαυτῷ· οὐ δεῖται ἱματίων πολλῶν, οὐ δεῖται τοῦ τὸν ὕπνον ἀποτινάξασθαι, ἀλλ' ἅμα τοὺς ὀφθαλμοὺς ἀνέῳξε, καὶ τῷ πολὺν ἐγρηγορότι χρόνον προσέοικε τῆς νήψεως ἕνεκεν. Ὅταν γὰρ ἡ καρδία μὴ βαρηθεῖσα τοῖς σιτίοις βαπτίζηται κάτω, οὐ δεῖται πολλοῦ* F *τοῦ καιροῦ πρὸς τὸ ἀνενεγκεῖν, ἀλλ' εὐθέως ἐστὶν ἐν νήψει·* [d]*χεῖρες καθαραί· καὶ γὰρ ὁ ὕπνος εὔτακτος· οὐδεὶς ἀκούει ῥεγχόντων ἐκεῖ,* [e]*οὐδὲ ἀσθμαινόντων,* [f]*οὐδὲ ῥιπταζόμενον ὁρᾷ κατὰ τὸν ὕπνον, οὐδὲ γυμνούμενον, ἀλλὰ καθεύδουσι τῶν ἐγρηγορότων εὐσχημονέστερον κείμενοι. Τοῦτο δὲ ὅλον ἀπὸ τῆς εὐταξίας γίνεται τῆς ἐν τῇ ψυχῇ. Ὄντως ἅγιοι οὗτοι, καὶ ἐν ἀνθρώποις* [g]*ἄγγελοι. Ὁ γὰρ πολὺς φόβος ὁ τοῦ θεοῦ οὐκ ἀφίησι πρὸς* 630 *τὰ βάθη τοῦ ὕπνου κατελθεῖν, καὶ* [h]*βαπτίσαι τὴν διάνοιαν, ἀλλ'* [i]*ἐξ ἐπιπολῆς ἐπίκειται διαναπαύων αὐτοὺς μόνον.* [k]*Τοιαῦτα αὐτῶν καὶ τὰ ὀνείρατα, οὐ φαντασιώδη, οὐδὲ τερατώδη.* (308) *Ἀλλ', ὅπερ ἔφην, ἀλεκτρυὼν ἐφώνησε, καὶ εὐθέως ἐλθὼν ὁ προεστὼς, καὶ τῷ ποδὶ* [l]*τὸν κείμενον ἁπλῶς ὑπονύξας, πάντας ἀνέστησεν· οὐδὲ γὰρ γυμνοὺς ἐκεῖ καθεύδειν θέμις. Εἶτα διαναστάντες, εὐθέως ἑστήκασιν, ὕμνους ᾄδοντες προφητικοὺς μετὰ πολλῆς τῆς συμφωνίας, μετ' εὐρύθμων μελῶν.* [m]*Οὔτε κιθάρα,* B *οὔτε σύριγγες, οὔτε ἄλλο οὐδὲν ὄργανον μουσικὸν τοιαύτην ἀφίησι φωνὴν, οἵαν ἐστὶν* [n]*ἀκοῦσαι ἐν ἡσυχίᾳ βαθείᾳ καὶ ἐν ἐρημίᾳ τῶν ἁγίων ᾀδόντων ἐκείνων. Καὶ αὐτὰ δὲ τὰ ᾄσματα* [o]*πρόσφορα, καὶ φιλίας γέμοντα τῆς* [p]*πρὸς θεόν.* [14]*"Ἐν ταῖς νυξὶ,* [q]*φησὶν, ἐπάρατε τὰς χεῖρας ὑμῶν* [r]*πρὸς τὸν θεόν·" καὶ πάλιν, "Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ, ὁ θεὸς,*

14 Psal. cxxxiii. 2. Esai. xxvi. 9.

[c] *καὶ ἐνδ.* om. L. [d] *χεῖρες*] + *ἀεὶ* B.K. Sav. cet. Mox *καὶ γὰρ* om. B.K. [e] *οὐδὲ* B.I.K.L. *οὐδεὶς* Edd. [f] *οὐδὲ*] *οὐ* B. Statim *ῥιπταζομένων, οὐδὲ γυμν. ὁρᾷ κατὰ τ. ὕ.* L. [g] *ἄγγελοι*] + *καὶ μὴ θαυμάσῃς ἀκούων ταῦτα* B.K. Sav. cet. [h] *καταβαπτίσαι* C. Post *διάνοιαν* add. *αὐτῶν* B.K. [i] *ἐξ ἐπ.*] *ἐπιπολέως* (sic) L. [k] *τοιαῦτα αὐτῶν* (*αὐτῷ* C.)] *τοιούτου δὲ αὐτοῖς ὄντος τοῦ ὕπνου, τοιαῦτα εἶναι αὐτῶν ἀνάγκη* B.K. Sav. cet. [l] *τὸν κ.*] *τῶν κειμένων ἕκαστον* B.K. Statim *ἀπονύξας* K. [m] *οὔτε κιθάρας, οὔτε σύριγγος, οὔτε ἄλλου οὐδενὸς ὀργάνου μουσικοῦ τ. ἀφιέντος φ.* B.K. *ἄλλο οὐδὲν* pro *οὐδὲν ἄλλο* C.I.L. [n] *ἀκοῦσαι*] +*ἐκεῖ* L. Mox *καὶ ἐρημίᾳ* K. *καὶ ἠρεμίᾳ* L. [o] *πρόσφορα—ᾄδῃ λέγων*] *οὐ μόνον πρόσφορα καὶ τῆς πρὸς θ. φιλίας παραστατικὰ, ἀλλὰ καὶ πηγὰς κ. δ. ὅταν γὰρ ᾄδῃ λ. ἔνθεν μὲν τοῦ Ἡσαΐου, ἐκ νυκτὸς—ἐπὶ τῆς γῆς· ἔνθεν δὲ τὰ Δαυϊτικὰ* B.K. [p] *πρὸς τὸν θ.* Edd. invitis libris. [q] *φησὶν* om. C. [r] *πρὸς τὸν θ.*] *εἰς τὰ ἅγια· πρὸς τὸν θ. δηλαδὴ* L.

διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.” Καὶ τὰ ᾄσματα
[s]τὰ Δαυϊτικὰ πολλὰς πηγὰς κινοῦντα δακρύων. Ὅταν γὰρ ᾄδῃ
C λέγων· [15]“Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην
νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω·”
καὶ πάλιν, “Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον·” καὶ πάλιν, “Τί
ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; [t]Ἄνθρωπος ματαιότητι
ὡμοιώθη, καὶ αἱ ἡμέραι ἡμῶν ὡσεὶ σκιὰ παράγουσι·” καὶ, “Μὴ
φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, [v]καὶ ὅταν πληθυνθῇ ἡ δόξα
τοῦ οἴκου αὐτοῦ·” καὶ πάλιν, “Ὁ κατοικίζων μονοτρόπους ἐν
οἴκῳ·” καὶ, “Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς
δικαιοσύνης σου·” καὶ πάλιν, “Μεσονύκτιον [w]ἐξηγειρόμην τοῦ
D ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου·” καὶ,
“Ὁ θεὸς, [x]λύτρωσαι τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου·” καὶ,
“Ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ,
ὅτι σὺ μετ' ἐμοῦ [y]εἶ·” καὶ πάλιν, “Οὐ φοβηθήσομαι ἀπὸ φόβου
νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν
σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημ-
βρινοῦ·” [z]καὶ, “Ἐλογίσθημεν ὡς πρόβατα [a]σφαγῆς·” [b]ὅταν
μετὰ τῶν ἀγγέλων ᾄδωσι· καὶ γὰρ καὶ ἄγγελοι τότε ᾄδουσιν·
E “Αἰνεῖτε τὸν κύριον ἐκ τῶν [c]οὐρανῶν,” ἡμῶν χασμωμένων, κνω-
μένων, ῥεγχόντων, ἢ καὶ ὑπτίων ἁπλῶς κειμένων, καὶ μυρίας
λογιζομένων ἀπάτας· οἷόν ἐστιν ἐκείνους ἐν τούτῳ τὸ πᾶν τῆς
νυκτὸς ἀναλίσκειν;

Ἐπειδὰν δὲ ἡμέρα μέλλῃ [d]γίνεσθαι, διαναπαύονται λοιπόν·
καὶ ὅταν ἡμεῖς ἀρξώμεθα τῶν ἔργων, ἐκεῖνοι [e]καιρὸν ἔχουσι τῆς
ἀναπαύσεως. Ἡμέρας δὲ γενομένης, [f]ἡμῶν ἕκαστος [g]τὸν ἕτερον
καλεῖ, τὸν λόγον ποιεῖ τῶν ἐξοδιαζομένων, [h]εἰς ἀγορὰν ἐμβάλ-
λει, ἄρχοντι παρίσταται, τρέμει, δέδοικε τὰς εὐθύνας· ἕτερος
F ἐπὶ τῆς σκηνῆς, ἄλλος πρὸς τὸ ἐπιτήδευμα τὸ ἑαυτοῦ. Ἐκεῖνοι
δὲ πάλιν εὐχὰς ἑωθινὰς ἐπιτελέσαντες καὶ ὕμνους, πρὸς τὴν τῶν
γραφῶν ἀνάγνωσιν τρέπονται· εἰσὶ δὲ οἱ καὶ βιβλία γράφειν
μεμαθηκότες. Ἕκαστος οἴκημα ἀποτεταγμένον [i]ἐν λαβὼν,
ἡσυχίαν διαπαντὸς [k]ἀσκεῖ, οὐδενὸς φλυαροῦντος, [l]οὐδενὸς οὐδὲν

15 Psal. vi. 7. ci. 10. cxliii. 3. 4. coll. viii. 5. xlviii. 17. lxvii. 7. cxviii. 164, 62. xlviii. 16. xxii. 4. xc. 5, 6. xliii. 23. cxlviii. 1.

[s] τὰ om. I.L. Δαβιτικὰ C. (?) Sav. Mor. Statim καὶ πολλὰς L. [t] καὶ, ἄνθρ. B.K. [v] καὶ] ἢ B.K. Mox πληθυνθείη I. [w] ἐξεγ. C.K. καὶ πάλιν —δικαιοσ. σου om. Veron. [x] λυτρώσεται B.C.K. Sav. cet. [y] εἶ] + κύριε L. [z] καὶ] + πάλιν B.K. Sav. cet. [a] σφαγῆς] + τὴν εἰς θεὸν αὐτῶν διάπυρον ἀγάπην ἐνδείκνυνται (-νυται B.) B.K. Sav. cet. [b] ὅταν] + δὲ πάλιν iidem. [c] οὐρανῶν] + λέγοντες iidem. [d] γενέσθαι I.L. [e] καιρὸν—ἀναπαύσεως] λοιπὸν διαναπαύωνται (sic) L. [f] ἡμῶν] + μὲν B.K. [g] τὸν ἑταῖρον καλεῖ B.K.L. καλεῖ τὸν ἕτερον Edd. *alium vocat* Vet. [h] εἰ εἰς Edd. εἰ om. B.K. Vet. ἢ εἰς L. [i] ἐν om. L. [k] ἀσκῶν L. [l] οὐδενὸς om. L.

λέγοντος. [m]Τρίτην, ἕκτην, ἐνάτην, καὶ τὰς ἑσπερινὰς εὐχὰς 631
ἐπιτελοῦσι· καὶ εἰς τέσσαρα μέρη τὴν ἡμέραν διανείμαντες, καθ'
ἕκαστον μέρος πληρούμενον, ψαλμῳδίαις, ὕμνοις γεραίρουσι
τὸν θεόν. Πάντων δὲ [n]ἀριστώντων, γελώντων, παιζόντων,
διαρρηγνυμένων ὑπὸ τῆς γαστριμαργίας, οὗτοι τοῖς ὕμνοις
προσανέχουσιν. Οὐδαμοῦ τραπέζης [o]καιρὸς, οὐδὲ τῶν αἰσθητῶν
[p]τούτων. Πάλιν μετὰ τὸ ἄριστον τῶν αὐτῶν ἔχονται, [q]ὕπνῳ
πρότερον ἑαυτοὺς ἐκδεδωκότες. Οἱ μὲν οὖν κοσμικοὶ καὶ τὴν
ἡμέραν καθεύδουσιν· ἐκεῖνοι δὲ καὶ τὴν νύκτα [r]ἐγρηγόρασιν. B
Ὄντως υἱοὶ φωτός εἰσιν. [s]Εἶτα ἐκεῖνοι τὸ πλέον ἀναλώσαντες
ἐν τῷ [t]ὕπνῳ προΐασι βεβαρημένοι· [v]οὗτοι δὲ ἔτι νήφουσιν,
ἄσιτοι [w]μένοντες, καὶ τοῖς ὕμνοις προσανέχοντες. [x]Ἑσπέρας
πάλιν καταλαβούσης, οἱ μὲν εἰς λουτρὰ καὶ ἀνέσεις σπεύδουσιν·
ἐκεῖνοι δὲ τῶν πόνων ἀπολύσαντες ἑαυτοὺς, τότε τῇ τραπέζῃ
[y]προσανέχουσιν, οὐκ οἰκετῶν πλῆθος ἐγείροντες, οὐδὲ περιτρέ-
χοντες τὴν οἰκίαν, οὐδὲ θορυβοῦντες, οὐδὲ ὄψα [z]πολυτελῆ πα-
ρατιθέμενοι, [a]οὐδὲ κνίσης γέμοντα, ἀλλ' οἱ μὲν ἄρτον μόνον καὶ C
ἅλας, οἱ δὲ ἔλαιον [b]προστιθέντες, ἕτεροι δὲ, ὅσοι ἀσθενέστεροί
εἰσι, καὶ λαχάνων [c]ἔχονται καὶ ὀσπρίων. Εἶτα μικρὸν καθίσαν-
τες, μᾶλλον δὲ ὕμνοις τὸ πᾶν κατακλείσαντες, διαναπαύονται ἐπὶ
στιβάδος ἕκαστος πρὸς ἀνάπαυσιν [d]μόνον πεποιημένης, οὐ τρυφήν.
(309) Οὐκ ἔστι φόβος ἀρχόντων ἐκεῖ, οὐκ [e]ἔστι δεσποτῶν ἀπόνοια, [f]οὐκ
ἔστι δούλων φόβος, οὐκ ἔστι γυναικῶν θόρυβος, οὐκ ἔστι παί-
δων ταραχὴ, οὐκ ἔστι κιβωτίων πλῆθος, οὐδὲ ἱματίων ἀπόθεσις
περιττὴ, οὐ χρυσίον, οὐκ ἀργύριον· οὐκ [g]εἰσὶ φυλακαὶ καὶ προ- D
φυλακαί· οὐκ ἔστι ταμεῖον, οὐκ ἄλλο [h]τοιοῦτον οὐδέν· ἀλλὰ
πάντα εὐχῆς γέμει, πάντα ὕμνων, πάντα εὐωδίας πνευματικῆς,
οὐδὲν ἐκεῖ σαρκικόν. Ληστῶν ἐφόδους οὐ δεδοίκασιν· οὐ γὰρ
ἔχουσιν ὅτου ζημιωθῶσι· χρήματα οὐκ ἔστι, σῶμά ἐστι καὶ
ψυχή· ἂν ταύτην ἀφέλωνται, οὐκ [i]ἐζημίωσαν, ἀλλ' ὤνησαν·

[m] τρίτην] εἶτα τρ. B.K.L. Sav. cet. Mox ἐνάτην pro ἐννάτην I.K. [n] ἀριστώντων]+τῶν ἄλλων B.C.K. Sav. cet. [o] καιρὸς] ἐκεῖ σχολὴ πολυτελοῦς B.K. [p] τούτων. πάλιν μετὰ τ. ἄ.] τούτων ἁπλῶς τρυφῶν, ἀλλὰ τράπεζαν προτιθέμενοι ἐσχεδιασμένην, οὐδὲν περιττὸν ἔχουσαν οὐδὲ κεκαρυκευμένον, ὑπ' ἀκροάσει θείων λογίων σιτοῦνται. εἶτα μετὰ τ. ἄ. πάλιν B.K. [q] ὕπνῳ] οὐχ ὕπνῳ L. [r] ἐγρηγορῶσιν C. Statim οὕτως L. [s] εἶτα ἐκ.] καὶ ἐκ. μὲν B.K. [t] ὕπνῳ]+τῆς ἡμέρας B.K. Sav. cet. Post προΐασιν add. ἔτι (mox om. ἔτι) B.K. [v] οὗτοι] ἐκεῖνοι C.I.L. [w] μένοντες]+ἕως ὀψὲ B.K. Sav. cet. [x] ἑσπέρας]+δὲ I. Sav. cet. et ex corr. rec. K. [y] προσίασιν B.K. [z] πολυτελῆ omnes. πολλὰ Edd. [a] οὐδὲ om. K. Statim κνίσης K.L. κνήσης I. κνίσσης Edd. [b] προτιθέντες L. [c] ἔχονται] μετέχουσι B.K. [d] μόνον om. L. [e] ἔστι om. K. [f] οὐκ ἔστι] οὐ ter B.K. [g] εἰσὶν]+ἐκεῖ B.K. Sav. cet. καὶ προφυλακαὶ om. B.C. Mox ταμιεῖον B.C.L. [h] τοιοῦτον] τῶν τοιούτων L. [i] ἐζημιώθησαν L.

[16] "Ἐμοὶ γὰρ τὸ ζῆν, [k] φησὶ, Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρ-
δος·" ἀπέλυσαν τῶν [l] δεσμῶν. Οὕτως [17] "φωνὴ ἀγαλλιάσεως ἐν
E σκηναῖς δικαίων." Οὐκ ἔστιν ἐκεῖ ὀλολυγῆς ἀκοῦσαί ποτε οὐδὲ
κωκυτοῦ· καθαρὸς τούτων τῶν [m] ἀηδῶν ὁ ὄροφος, καθαρὸς τῆς
κραυγῆς ταύτης. Ἀποθνήσκουσι μὲν γὰρ καὶ ἐν αὐτοῖς· οὐ γάρ
εἰσιν ἀθάνατοι τὸ σῶμα· ἀλλ' οὐκ ἴσασι θάνατον τὸν θάνατον.
Μεθ' ὕμνων προπέμπουσι τοὺς ἀπελθόντας· προπομπὴν τὸ τοι-
οῦτον καλοῦσιν, οὐκ ἐκφοράν. Κἂν ἀπαγγελθῇ, ὅτι ὁ δεῖνα
τετελεύτηκε, πολλὴ [u] ἡ εὐφροσύνη, πολλὴ [o] ἡ ἡδονή· μᾶλλον δὲ
οὐδὲ τολμᾷ τις εἰπεῖν, ὅτι ὁ δεῖνα τετελεύτηκεν, ἀλλ', ὁ δεῖνα
F τετελείωται. Εἶτα εὐχαριστία, δόξα πολλὴ, εὐφροσύνη, ἑκά-
στου εὐχομένου τέλος τοιοῦτον λαβεῖν, οὕτω τὸν ἀγῶνα τοῦτον
632 ἐξελθεῖν, ἀναπαύσασθαι τῶν πόνων καὶ τῶν ἀγώνων, ἰδεῖν τὸν
Χριστόν. Κἂν [p] ἀρρωστήσῃ, οὐ δάκρυα, οὐ θρῆνος, ἀλλ' εὐχαὶ
πάλιν· οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ πίστις μόνη πολλάκις ἀπήλ-
λαξε τὸν ἄρρωστον. Εἰ [q] δὲ ἰατρῶν δεηθείη, πολλὴ καὶ ἐνταῦθα
ἡ φιλοσοφία, πολλὴ ἡ καρτερία. Οὐ παρέστηκε γυνὴ λύουσα
[r] τρίχας, οὐδὲ παιδία τὴν οὐδέπω γενομένην ὀρφανίαν ἀποδυρό-
μενα, οὐδὲ οἰκέται παρακαλοῦντες τὸν ἀποπνέοντα μετὰ ἀσφα-
λείας αὐτούς τινι παρακαταθέσθαι· ἀλλὰ πάντων τούτων ἀπηλ-
λαγμένη ἡ ψυχὴ, ἓν σκοπεῖ μόνον εἰς τὴν ἐσχάτην ἀναπνοὴν,
B ὅπως [s] παρέλθῃ τῷ θεῷ φίλη. Καν γένηται δὲ νόσος, οὐ γίνεται
ἀπὸ γαστριμαργίας, [t] οὐδὲ ἀπὸ καρηβαρίας, ἀλλὰ καὶ αὐταὶ αἱ
τῶν νόσων ὑποθέσεις ἐγκωμίων [u] γέμουσαι, οὐχὶ κατηγορίας, ὡς
[v] αὗται· ἢ γὰρ ἀγρυπνίας, ἢ νηστείας ἐπίτασις, ἤ τι τῶν τοι-
ούτων τὰς νόσους ἐργάζεται· ὅθεν καὶ εὐαπάλλακτοι γίνονται·
ἀρκεῖ γὰρ μηκέτι [w] καμόντα ὁμοίως πάντων ἀπηλλάχθαι τῶν
δεινῶν.

Εἰπὲ οὖν μοι, φησὶν, "[x] εἰ ἁγίων πόδας ἔνιψεν." Ἔνεστι
C καὶ ἐν ἐκκλησίαις τοιούτους εὑρεῖν. Μὴ γὰρ ἐπειδὴ [y] ἐκείνων
τὸν βίον διηγησάμεθα, τῶν ἐν ταῖς ἐκκλησίαις καταφρονῶμεν.
Πολλοὶ πολλάκις τοιοῦτοι καὶ ἐν μέσαις ταῖς ἐκκλησίαις εἰσὶν,
ἀλλ' ἐν τῷ λανθάνοντι. Μὴ [z] γὰρ ἐπειδὴ οἰκίας περινοστοῦσι,

16 Philipp. i. 21. 17 Psal. cxvii. 15.

[k] φησὶ ante τὸ ζῆν transp. L. post Χριστὸς I. [l] δεσμῶν] + ἑαυτοὺς πάντων B.K. Sav. cet. [m] ἀηδιῶν iidem. [n] ἡ om. C.I. Veron. [o] ἡ om. I. Veron. [p] ἀρρωστῇ B. [q] δὲ] + καὶ B.K. Sav. cet. [r] τὰς τρίχας Edd. Articulus abest ab omnibus. [s] ἀπέλθῃ K. Sav. cet. Mox νόσος δὲ κἂν γ. hoc ord. L. [t] οὐδὲ ἀπὸ] ἢ L. οὐδὲ ἀπὸ κ. om. B. [u] γέμουσιν B.K.L. Sav. cet. [v] αὗται pro αὐταὶ omnes. [w] καμόντα C. καμῶντα I. κάμνοντα L. καμόντας Edd. [x] εἰ ἁγίων—μὴ γὰρ] εἰ ἁγίων τις πόδας ἔνιψεν ἐν τῇ ἐκκλησίᾳ, εἰ ἔνεστι καὶ ἐνταῦθα τοιούτους εὑρεῖν. ἔνεστι, καὶ πάνυ ἔνεστι· μόνον μὴ B.K. Sav. cet. [y] ἐκείνων in marg. I. [z] γὰρ] οὖν B.K.

μηδὲ ἐπειδὴ εἰς ἀγορὰν ἐμβάλλουσι, μηδὲ ἐπειδὴ προΐστανται,
καταφρονῶμεν αὐτῶν. Καὶ τοῦτο ὁ θεὸς ἐπέταξε· 18 "Κρίνατε
γὰρ, φησὶν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν." Πολλαὶ τῆς ἀρε-
τῆς αἱ [a]ὁδοὶ, ὥσπερ οὖν καὶ τῶν μαργαριτῶν πολλὴ ἡ διαφορὰ,
καίτοι πάντες μαργαρῖται [b]λέγονται, ἀλλ' ὁ μὲν ἔστι λαμπρὸς D
καὶ στρογγύλος πάντοθεν, ἕτερος δὲ τοῦτο μὲν οὐκ ἔχει τὸ
κάλλος, ἕτερον δέ. Ποῖον δὴ τοῦτο; Ὥσπερ ἀπό τινος τέχνης
τὸ [c]κοράλλιον ἐπιμήκη ἔχει τὴν γραμμὴν, [d]καὶ γωνίας [e]ἐκτε-
τορνευμένας, [f]καὶ τοῦ λευκοῦ χρώματος ἕτερον ἐπιτερπέστερον,
τὸ δὲ πράσινον [g]πάλιν πάσης χλωρότητος ἐπιτερπέστερον·
ἄλλος τοῦ αἵματος τὸ ἀνθηρὸν παρέχεται τῷ [h]εὐανθεῖ, ἄλλος
τῆς [i]θαλάττης κυανώτερος, ἄλλος τῆς ἁλουργίδος στιλβότερος·
[k]ἄλλα πολλὰ ἄνθη, καὶ ἡλίου δὲ χρώματα εὕροι τις ἄν· τοι-
οῦτοι καὶ οἱ ἅγιοι· οἱ μὲν ἑαυτοὺς ἀσκοῦσιν, οἱ δὲ καὶ τὰς ἐκ- E
κλησίας. "[l]Εἰ ἁγίων, φησὶ, πόδας ἔνιψεν, εἰ θλιβομένοις
[m]ἐπήρκεσεν." Ἐπιδράμωμεν τῷ πράγματι, ἵνα ἔχωμεν καυ-
χᾶσθαι ἐκεῖ, ὅτι ἐνίψαμεν πόδας ἁγίων. [n]Εἰ πόδας αὐτῶν
νίπτειν δεῖ, πολλῷ μᾶλλον καὶ [o]ἐκ χειρὸς ἐπιδιδόναι αὐτοῖς τὰ
χρήματα. 19 "Μὴ γνώτω, [p]φησὶν, ἡ ἀριστερά σου τί ποιεῖ ἡ
δεξιά σου." Τί μυρίους παραλαμβάνεις μάρτυρας; μηδὲ οἰκέτης F
(310) [q]ἰδέτω, εἰ δυνατὸν, μηδὲ γυνή. [r]Πολλὰ τὰ σκάνδαλα τοῦ δολίου·
πολλάκις ἡ μηδέποτε ἐμποδίσασα, τότε [s]ἐμποδίζει, ἢ ὑπὸ κε-
νοδοξίας, ἢ ὑπὸ ἑτέρου τινός. Ἐπεὶ καὶ ὁ Ἀβραὰμ, καίτοι
θαυμαστὴν ἔχων γυναῖκα, τὸν υἱὸν μέλλων ἀναφέρειν, ἔκρυπτε,
καίτοιγε οὐκ εἰδὼς τὸ ἐκβησόμενον, ἀλλὰ πεπεισμένος ὅτι πάν- 633
τως ἀναιρήσει. Τί οὖν ἔμελλε λέγειν, [t]εἴ τις ἦν ἄνθρωπος τῶν
πολλῶν; [v]τίς ἐστιν οὗτος ὁ ταῦτα διαπραττόμενος; οὐκ ἂν ἐπὶ
ἀπηνείᾳ αὐτὸν [w]διέβαλε καὶ ἀγροικίᾳ; [x]Οὐδὲ ἰδεῖν κατηξιώθη

18 Esai. i. 17. 19 Matth. vi. 3.

[a] ὁδοὶ]+καὶ διάφοροι B.K. Mox καὶ ἐπὶ τῶν μ. iidem. [b] λέγονται]+ ἀλλ' οὐκ εἰσὶ πάντες ἴσοι B.K. [c] κορύλλιον C.I. Veron. κοράλιον B.K. [d] καὶ om. C. Statim τὰς γωνίας B.C.K. Sav. cet. [e] ἐκτετορνευμένας] Sic C.I.L. ἐκτετορευμένας Edd. [f] καὶ τοῦ—χλ. ἐπιτερπέστερον] καὶ ἄλλος τοῦ λ. χρ. ἐστιν εὐανθέστερος. ἄλλος τὸ πρ. ἔχων πολὺ πάσης χλ. μένει ἐπιτερπέστερος B.K. [g] πάλιν] πολὺ B.K. Sav. cet. [h] εὐανθεῖν L. [i] θαλάττης] +ἐστὶ B.K. Sav. cet. [k] ἄλλα—τοιοῦτοι] καὶ ἄλλα δὲ μυρία ἄν τις εὕροι τοῖς ἄνθεσιν ἁμιλλώμενα κατὰ τὸ ποικίλον, ἢ τοῖς τοῦ ἡλίου χρώμασιν ἐξισούμενα· τοιοῦτοι δὴ B.K. Sav. cet. [l] εἰ ἁγίων, φ.] καλῶς ἄρα ἔλεγεν, εἰ ἁγίων iidem. [m] ἐπήρκεσεν]+ὥστε γὰρ πάντας ἐπᾶραι πρὸς μίμησιν, διὰ τοῦτο οὕτως εἶπεν (εἴρηκεν B.). οὐκοῦν καὶ ἡμεῖς iidem. [n] εἰ]+δὲ iidem. χρὴ pro δεῖ L. [o] ἐκ χειρὸς] εἰς χεῖρας B.K. Post χρήματα add. καὶ σπουδάζειν λανθάνειν B.C.K. Sav. cet. [p] φησὶν] ἤκουσας B.K. [q] εἰδέτω K. et ex corr. C. [r] πολλὰ]+γὰρ L. [s] ἐμποδίσει L. [t] εἴ τις] εἴπερ B. [v] τίς (τί ante corr. K.)] οὐκ ἂν εἶπε, τίς B.K.L. Sav. cet. [w] διέβαλλε L. [x] οὐδὲ] ἀλλ' οὐδὲν—ἐργάσαιτο· διὰ τοῦτο οὐδὲ B.K. Mox ἀλλ' οὐδὲν—ἐργάσαιτο om. iidem.

τὸ παιδίον τὸ ἑαυτῆς ἡ γυνὴ, οὐδὲ ὑστέρας ἀκοῦσαι φωνῆς, οὐδὲ [y]σπαῖρον θεάσασθαι, ἀλλ' ὥσπερ αἰχμάλωτον λαβὼν, οὕτως ἀπήγαγεν. 'Αλλ' οὐδὲν τούτων ἐνενόησεν ὁ δίκαιος ἐκεῖνος, μεθύων τῷ πόθῳ. Οὐδὲν γὰρ ἄλλο ἑώρα, ἀλλὰ τὸ προσταττό-
B μενον ὅπως ἐργάσαιτο, [z]οὐδὲ παῖς ἦν ἐκεῖ, οὐδὲ γυνή· μᾶλλον δὲ οὐδὲ αὐτὸς ᾔδει τὸ ἐκβησόμενον· οὕτω πάντοθεν ἐσπούδαζε καθαρὸν τὸ ἱερεῖον [a]ἀναγαγεῖν, μὴ δάκρυσιν αὐτὸ, μὴ ἀντιλογίᾳ μολῦναι. [b]Καί φησι πρὸς αὐτὸν ὁ 'Ισαάκ· [20] "'Ιδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον;" Τί οὖν ὁ πατήρ; "'Ο θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον." Λέγεται [c]δὴ τοῦτο [d]καὶ προφητείᾳ, ὅτι τὸν υἱὸν ὄψεται [e]ἑαυτῷ, φησὶν, εἰς ὁλοκάρπωσιν· καὶ ἅμα [f]καὶ τότε ἐκβέβηκε. [g]Τί καὶ αὐτὸν
C κρύπτεις, εἰπὲ, τὸν σφαγιασθησόμενον; Ναὶ, φησὶ, δέδοικα μὴ ναρκήσῃ, δέδοικα μὴ ἀνάξιος ὀφθῇ. Εἶδες πῶς μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα ἔπραττεν, [h]ὡς εἶπεν ἡ γραφὴ, "Μὴ γνώτω ἡ ἀριστερά σου, φησὶ, τί ποιεῖ ἡ δεξιά σου;" τουτέστι, κἂν ὡς οἰκεῖον μέλος ἔχωμέν τινα, [i]μὴ σπουδάζωμεν αὐτῷ δεικνύναι, πλὴν εἰ μὴ ἀνάγκη εἴη. Πολλὰ γὰρ ἀπὸ τούτου γίνεται τὰ δεινά. Εἰς κενοδοξίαν τις αἴρεται, κώλυμα γίνεται πολλάκις. Διὰ δὴ τοῦτο [k]καὶ ἑαυτοὺς λανθάνωμεν, εἰ δυνατὸν, ἵνα τύχωμεν
D τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ 'Ιησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

ΛΟΓΟΣ ΙΕ.

[1]Νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ
E Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. Ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαὶ, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι οὖν νεωτέρας

20 Gen. xxii. 7, 8. 1 Cap. V. v. 11—15.

[y] σπαίροντα L. σπέροντα I. [z] οὐδὲ—γυνὴ] καίτοι οὐδὲ ὁ παῖς B.K. [a] ἀνενεγκεῖν L. [b] καί φησι—'Ισαὰκ] ὅρα δὲ (+ καὶ B.K.) μεθ' ὅσης ἡμερότητος ὁ 'Ισαὰκ ἐρωτᾷ, καὶ τί φησι πρὸς αὐτὸν B.K. Sav. cet. Statim πάτερ, ἰδοὺ B.K. [c] δὴ pro δὲ B.I.K.L. [d] καὶ om. I. καὶ ὡς πρ. B.K. Sav. cet. [e] ἑαυτῷ, φ.] Sic C.I.L. φ. ἑαυτῷ Veron. ἑαυτῷ θεὸς B.K. Sav. cet. [f] καὶ om. K. καὶ ἅμα—ἐκβέβηκε om. L. [g] τί—ὀφθῇ.] τί ποιεῖς, ὦ μακάριε; τί καὶ ἀπὸ τοῦ παιδὸς κρύπτεις ὃ μέλλεις ποιεῖν; εἰπὲ τὸν σφαγιασθησόμενον. οὔ, φησί· δέδοικα μή τι παρεμποδίσῃ, καὶ ἀνάξιος τοῦ ἐπιτάττοντος εὑρεθῶ. B.K. [h] ὡς] ἄρα καλῶς B.K. Sav. cet. Mox φησὶ om. iidem. [i] μὴ post αὐτῷ transp. B.K. [k] καὶ—ἀγαθῶν] παρακαλῶ, καὶ ἡμεῖς ὅταν τι ποιῶμεν πνευματικὸν, σπουδάζωμεν λανθάνειν καὶ ἑαυτοὺς, ἵνα κατὰ τὸ δοκοῦν τῷ θεῷ ἐνταῦθα πολιτευσάμενοι, τύχωμεν τῶν ἐπ. ἐν οὐρανοῖς ἀγαθῶν B.K.

[a]χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν. Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.

ΠΟΛΥΝ ὑπὲρ τῶν χηρῶν ὁ Παῦλος ποιησάμενος λόγον, F
καὶ χρόνον αὐτῶν [b]διορίζων, καὶ εἰπὼν, "Μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα," καὶ τὴν ποιότητα [c]διδάξας τῆς χηρείας, [d]καὶ εἰπὼν, "Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε," πάλιν ἐνταῦθά φησι· "Νεωτέρας δὲ χήρας παραιτοῦ." 634
Περὶ δὲ τῶν παρθένων, καίτοιγε [e]πολὺ φορτικωτέρου τοῦ πράγματος ὄντος, οὐδὲν τοιοῦτον [f]αἰνίττεται, εἰκότως. [g]Διὰ τί; Ὅτι ἐπὶ μείζοσιν ἀπεγράψατο, καὶ ἀπὸ μείζονος τῆς διανοίας [h]ἐκεῖ προέβη τὸ ἔργον τοῦτο. Τὸ μὲν οὖν, "Εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε," καὶ πάντα [i]τὰ τοιαῦτα, διὰ τοῦ εὐπροσέδρου παρέστησε, καὶ τοῦ λέγειν, [2]"Ἡ δὲ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου." Εἰ δὲ χρόνων ἕνεκεν οὐδὲν ἀκριβολογεῖται, μὴ θαυμάσῃς· μάλιστα μὲν γὰρ ἀπὸ τούτου κἀκεῖνο δῆλον. Ἄλλως δὲ [k]εἶπον, ὅτι ἀπὸ μείζονος διανοίας ἐκεῖναι τὴν B
παρθενίαν εἵλοντο. Πρὸς δὲ τούτοις, [l]ἐνταῦθα ἤδη [m]πτώματα γέγονε, καὶ αὗται παρεῖχον τὴν ἀφορμὴν τῆς τοιαύτης νομοθεσίας· ἐκεῖ δὲ τοιοῦτον οὐδὲν ἦν. Ὅτι γὰρ [n]ἐξέπεσόν τινες ἤδη, ἀπὸ τούτου δῆλον, ἀπὸ τοῦ λέγειν, "Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι·" καὶ πάλιν, "Ἤδη γὰρ ἐξετράπησάν τινες ὀπίσω τοῦ Σατανᾶ." "Νεωτέρας [o]δὲ χήρας
(311) παραιτοῦ." Διὰ τί; "Ὅταν γὰρ [p]καταστρηνιάσωσι, γαμεῖν θέλουσι." Τί ἐστιν, "ὅταν καταστρηνιάσωσιν;" Ὅταν ἀκκισθῶσιν, ὅταν [q]θρύπτωνται· καθάπερ ὅταν ἐπὶ ἀνδρός τις ἐπιεικοῦς [r]λέγῃ, [s]ὅτι ἀφεῖσα αὐτὸν, ἑτέρου γέγονε. Δείκνυσι τοίνυν C
ὅτι καὶ τὴν χηρείαν ἁπλῶς [t]εἵλοντο, οὐ κρίνασαι. [u]Ἆρα καὶ ἡ χήρα τῷ Χριστῷ ἁρμόζεται ἐν τῇ χηρείᾳ· [3]"Ἐγὼ γὰρ, φησὶ, προστάτης τῶν χηρῶν, καὶ πατὴρ τῶν ὀρφανῶν." [v]Δείκνυσιν

2 1 Cor. vii. 34. 3 Psal. lxvii. 5.

Hom. XV. [a] χήρας om. B.C.K. Mox τεκνογονεῖν accessit ex B.I.K.L. Vet. [b] διορ. καὶ εἰπὼν] διορίσας τῷ λέγειν, χήρα καταλεγέσθω B.K. Sav. cet. Mox γεγονυῖαν L. [c] δείξας K. Statim τῆς χήρας C.K. Sav. cet. [d] καὶ εἰπὼν] τῷ εἰπεῖν B.K. Sav. cet. [e] πολλοῦ K. [f] αἰνίττεται] ἐπιτάττει B.K. εἴρηκεν οὐδὲ ᾐνίξατο L. [g] διὰ—μείζοσιν] ἐπὶ μ. γὰρ B.K. Statim ἀπεγράψαντο B.K.L. Sav. cet. [h] ἐκεῖ] ἐκείναις B.K. πρ. τὸ ἔργον pro τὸ ἔργον πρ. C.I.K.L. [i] τὰ om. L. [k] εἶπεν L. et ante corr. C. Mox εἵλαντο L. [l] ἐνταῦθα] καὶ ἐντ. μὲν B.K. [m] πτῶμα K. Mox παρέσχον B. [n] ἐξέπεσαν I. [o] δὲ]+φησὶ L. [p] καταστρ.]+τοῦ Χρ. B.C.K. Sav. cet. [q] θρύπτωνται]+οὕτως εἰπὼν B.K. [r] λέγοι B.C.I.K. Cat. [s] ὅτι om. B.K. Sav. cet. Statim ἀφεῖσα αὐτὸν Cat. ἄφες αὐτὸν libri omnes cum Veron. ἄφες αὐτὴν Vet. Sav. cet. Deinde ὅτι ἑτέρου γ. B.K. Sav. cet. [t] εἵλαντο I. [u] Haec ἄρα—ὀρφανῶν infra post παραστῆσαι τῷ Χριστῷ transp. B.K. [v] δείκνυσιν] καὶ B.K.

ὅτι οὐδὲ τὴν χηρείαν ὀρθῶς αἱροῦνται, ἀλλὰ [w]καταστρηνιῶσιν· ἀλλ' ὅμως φέρει. Καὶ μὴν ἀλλαχοῦ φησιν· [4]"Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ." [x]"Ὅταν [y]ὀνομασθῶσιν αὐτῷ, φησὶ, "γαμεῖν θέλουσιν, ἔχουσαι
D κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν." Πίστιν τὴν συνθήκην [z]λέγει· τὴν ἀλήθειαν, [a]φησὶν, ἐψεύσαντο, αὐτὸν ἠθέτησαν, παρέβησαν τὰς συνθήκας. "Ἅμα [b]δὲ καὶ ἀργαὶ μανθάνουσιν." Οὐκ ἄρα ἀνδράσι μόνον ἐπιτάττει τὸ ἐργάζεσθαι, ἀλλὰ καὶ γυναιξί· πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία. Οὐ τούτῳ, φησὶ, τῷ κρίματί [c]εἰσιν ὑπεύθυνοι μόνον, ἀλλὰ καὶ ἑτέροις ἁμαρτήμασιν. [d]Εἰ ἄρα ἀνάρμοστον γυναικὶ τὸ περιϊέναι τὰς οἰκίας, [e]πολλῷ μᾶλλον παρθένῳ. "Οὐ μόνον δὲ, [f]φησὶν, ἀργαὶ
E μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι [g]οὖν νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν." Τί [h]οὖν, ὅταν καὶ ἡ τοῦ ἀνδρὸς μέριμνα ἀποστῇ, καὶ ἡ τοῦ θεοῦ μὴ κατέχῃ; [i]Εἰκότως ἀργαὶ, λάλοι, περίεργοι γίνονται. Ὁ γὰρ τὰ [k]αὐτοῦ μὴ μεριμνῶν, τὰ [l]τοῦ ἑτέρου μεριμνήσει πάντως· ὥσπερ ὁ [m]τὰ ἑαυτοῦ φροντίζων, τῶν ἑτέρων [n]οὐδένα ποιήσεται λόγον, οὐδεμίαν ἕξει φροντίδα. "Λαλοῦσαι τὰ μὴ δέοντα." Οὐδὲν οὕτως ἀνάρμοστον γυναικὶ, ὡς τὸ [o]τὰ ἑτέρων περιεργάζεσθαι μάλιστα, οὐ μόνον δὲ γυναικὶ, ἀλλὰ καὶ ἀνδρί· ἀναισχυντίας γὰρ καὶ ἰταμότητος τεκμήριον τοῦτο μέ-
F γιστον. "Βούλομαι οὖν." [p]Ἐπειδὴ αὐταὶ βούλονται, βούλομαι [q]κἀγὼ "νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν," [r]οἰκουρεῖν·
635 πολλῷ γὰρ [s]τοῦ ποιεῖν ἐκεῖνα τοῦτο βέλτιον. Ἔδει μὲν οὖν τὰ τοῦ θεοῦ μεριμνᾶν, [t]ἔδει τὴν πίστιν φυλάττειν· ἐπειδὴ δὲ ἐκεῖνα οὐ γίνεται, βέλτιον ταῦτα [v]γενέσθαι, ἢ ἐκεῖνα· οὔτε γὰρ ὁ θεὸς

[4] 2 Cor. xi. 2.

[w] καταστρηνιῶσαι τοῦ Χριστοῦ, καὶ ὅμως φ. B.K. [x] ὅταν] τί ἐστι καταστρηνιᾶν τοῦ Χριστοῦ; ὅταν B.K. [y] ὀν. αὐτῷ, φ.] ὀνομασθεῖσαί φ. τῷ Χρ. καταστρηνιάσωσιν αὐτῷ L. [z] λέγει] δηλοῖ B.K. [a] φησὶν] ὡσεὶ ἔλεγεν B.K. Sav. cet. Mox αὐτῷ pro αὐτὸν C.I.L. φησὶν post αὐτῷ transp. L. [b] δὲ] +φησὶ L. Post μανθάνουσιν add. περιερχόμεναι τὰς οἰκίας B.K. [c] εἰσιν ὑπ. μ.] Sic C.I.L. ὑπ. εἰσι μ. K. μ. εἰσὶν ὑπ. Cat. Edd. [d] εἰ om. B.K. ἄρα εἰ pro εἰ ἄρα I. [e] π. μ. παρθένῳ] εἰ δὲ ταύτῃ, π. μ. παρθένῳ, πλείονα τὴν ἀσφάλειαν ἀπαιτουμένῃ B.K. [f] φησὶν et μανθάνουσιν om. B.K. [g] οὖν] +φησὶ L. Mox χήρας om. B.C.I.K. [h] οὖν]+συμβαίνει B.K. Sav. cet. [i] εἰκότως post γίνονται transp. B.K. [k] αὐτοῦ B.C.I.K. ἑαυτοῦ Edd. [l] τοῦ om. B.K. Sav. cet. [m] τὰ] τῶν B.K.L. [n] οὐδένα] οὐ L. οὔτε οὐδένα et οὔτε οὐδεμίαν B.K. Statim ποιήσει K. [o] τὰ om. K. Mox μάλιστα δὲ οὐ μ. γυναικὶ L. [p] ἐπειδὴ]+φησὶν L. φησὶ post βούλονται add. I. αὐταὶ pro αὗται dedit Cat. [q] κἀγὼ]+τί βούλει, εἰπὲ B.K. Statim ν. χήρας Edd. Hic χήρας deest in omnibus. [r] Pro οἰκουρεῖν habent εἰκότως ταῦτα προτρέπει B.K. [s] τοῦ—βελτιον] τοῦ π. ἐκεῖνα ταῦτα βελτίω C. τοῦ π. τοῦτο βελτίων ἢ ἐκεῖνα I. τὸ π. καὶ ἐκεῖνα τούτου βελτίω L. Vulgatum tuetur Cat. [t] ἔδει om. C. [v] γίνεσθαι C.

ἀθετεῖται, οὔτε αὗται ταῦτα μανθάνουσι. Ἀπὸ μὲν γὰρ τῆς
χηρείας ἐκείνης οὐδὲν χρηστὸν ἔσται· ἀπὸ δὲ τοῦ γάμου τούτου
πολλὰ ἀγαθά· [w]τὸ κεχηνὸς καὶ ῥᾴθυμον τῆς διανοίας αὐτῆς ἐπι-
στρέψαι δυνήσεται. Καὶ τίνος [x]ἕνεκεν οὐκ εἶπεν, ἐπειδὴ χῆραι
ἐξέπεσον, πολλῆς αὐτὰς ἐπιμελείας δεῖ ἀπολαύειν, ὥστε μὴ πα-
θεῖν [y]ἅπερ εἶπον, ἀλλ' ἐπέταξε γάμον; Ὅτι οὐ κεκώλυται.
“[z]Μηδεμίαν γὰρ, φησὶ, διδόντας ἀφορμὴν τῷ ἀντικειμένῳ λοι- B
δορίας χάριν,” [a]μηδὲ λαβήν τινα. “Ἤδη γάρ τινες ἐξετρά-
πησαν ὀπίσω τοῦ Σατανᾶ.” Κωλύει τοίνυν τὰς [b]χήρας τὰς
τοιαύτας, οὐ βουλόμενος μὴ εἶναι χήρας νεωτέρας, ἀλλὰ [c]μὴ
βουλόμενος μοιχαλίδας εἶναι, μὴ βουλόμενος ἀργὰς [d]εἶναι, λαλού-
σας τὰ μὴ δέοντα, καὶ περιέργους, μὴ βουλόμενος τὸν διάβολον
ἀφορμὴν λαμβάνειν· ὡς εἰ [e]μὴ τοιοῦτον ἐγίνετο, οὐκ ἂν ἐκώλυ-
σεν. [5]“Εἰ δέ τις, [f]φησὶ, πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω
αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις C
ἐπαρκῇ.” [g]Πάλιν ὄντως χήρας λέγει ἐκείνας τὰς μεμονωμένας,
τὰς οὐδαμόθεν ἐχούσας παραμυθίαν· [h]οὕτω γὰρ βέλτιον ἦν.
Δύο γὰρ ἐγίνετο τὰ μέγιστα, καὶ ἐκεῖναι ἀφορμὴν ἐλάμβανον
τοῦ εὖ ποιεῖν, καὶ αὗται διετρέφοντο καλῶς, καὶ ἡ ἐκκλησία οὐκ
ἐβαρεῖτο. Καλῶς προσέθηκεν, “Εἴ τις πιστός·” [i]τὰς γὰρ τῶν
ἀπίστων οὐκ ἔδει παρ' ἐκείνων τρέφεσθαι, ἵνα μὴ δόξωσι δεῖσθαι
αὐτῶν. Καὶ ὅρα πῶς παραμυθητικῶς. Οὐκ εἶπε πολυτέλειάν
[k]τινα, ἀλλ', “ἐπαρκείτω [l]αὐταῖς, ἵνα ἡ [m]ἐκκλησία ταῖς ὄντως D
χήραις ἐπαρκῇ.” Ἄρα καὶ ταύτης τὸν μισθὸν αὕτη ἔχει τῆς
βοηθείας· ἡ γὰρ βοηθοῦσα ταύτῃ, οὐ ταύτῃ βοηθεῖ μόνον, ἀλλὰ
καὶ ἐκείναις, μετ' εὐρυχωρίας ἀφεῖσα αὐτὰς τρέφεσθαι. “Βού-
λομαι [n]νεωτέρας,” τί; τρυφᾶν; [o]ἀλλὰ σπαταλᾶν; οὐδὲν τοι-
οῦτον, ἀλλὰ “γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν.” [p]Πῶς
οἰκοδεσποτεῖν; Ἵνα μὴ νομίσῃς αὐτὸν εἰς τρυφὴν αὐτὰς προ-
τρέπειν, ἐπήγαγε· “Μηδεμίαν [q]διδόντας ἀφορμὴν τῷ ἀντικει-

[5] v. 16.

[w] τὸ] τὸ γὰρ L. ἐντεῦθεν τὸ B.K. Sav. cet. [x] ἕνεκεν]+φησὶν iidem. Statim οὐκ εἶπες et ἐξέπεσαν I. [y] ὅπερ L. Mox ἐπέταξας I. [z] μηδεμίαν γὰρ, φ.] ὅτι ἐν ἀσφαλείᾳ καθίστησι· διὸ καὶ ἐπάγει· μηδεμίαν B.K. Sav. cet. Statim διδόντας ἀφ. C.I.L. Vet. διδόναι ἀφ. Edd. ἀφ. διδόναι K. [a] μηδὲ λ. τινα om. B.K. ἤδη—Σατανᾶ om. L. [b] χηρείας Cat. [c] μὴ β.] β. μὴ L. [d] εἶναι]+καὶ περιέργους K. Sav. cet. Mox καὶ π. om. iidem. [e] μὴ] μηδὲν C. Statim τοῦτο K. [f] φησὶ om. B.K. Sav. cet. post πιστὸς transp. L. [g] πάλιν] ὁρᾷς πῶς πάλιν B.K. Sav. cet. [h] οὕτω γὰρ] καὶ τίνος ἕνεκεν τοῦτο παραινεῖ; ὅτι οὕτω B.K. [i] τὰς γὰρ—τρέφεσθαι] Sic C.I.L. Cat. Vet. Veron. παρὰ γὰρ τῶν ἀπίστων οὐκ ἔδει τὰς πιστὰς τρέφεσθαι B.K. Sav. cet. [k] τινα]+χορηγείτω B.K.L. Sav. cet. Statim ἐπ. φησὶν, αὐταῖς L. [l] αὐταῖς]+καὶ τὴν αἰτίαν προστίθησι. τίς οὖν αὕτη; B.K. [m] ἐκκλησία]+φησὶ B.K. Sav. cet. [n] νεωτέρας]+χήρας L. [o] ἀλλὰ om. B.K. [p] Haec πῶς οἰκοδ. accesserunt ex I. *quonam modo?* Vet. Statim ἵνα γὰρ μὴ B.C.K. Sav. cet. [q] διδόντας pro διδόναι C.I.L. Vet.

μένῳ λοιδορίας χάριν.” Ἔδει [r] μὲν αὐτὰς ἀνωτέρας εἶναι τῶν
E βιωτικῶν· ἐπειδὴ δὲ κατώτεραι γεγόνασι, κἂν ἐν αὐτοῖς στη- (312)
κέτωσαν.

[6] “Οἱ καλῶς προεστῶτες, [s] φησὶ, πρεσβύτεροι διπλῆς τιμῆς
ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ.
Λέγει γὰρ ἡ γραφὴ, Βοῦν ἀλοῶντα οὐ φιμώσεις· καὶ, Ἄξιος ὁ
ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.” Τιμὴν ἐνταῦθα τὴν θεραπείαν
λέγει, τὴν τῶν ἀναγκαίων χορηγίαν. [t] Τὸ γὰρ ἐπαγαγεῖν, “Οὐ
φιμώσεις βοῦν ἀλοῶντα,” καὶ, “Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ
F αὐτοῦ,” τοῦτο δηλοῖ. Ἄρα καὶ ὅταν λέγῃ, “Χήρας τίμα,”
[v] ταὐτὸν λέγει, περὶ τῆς τῶν ἀναγκαίων τροφῆς· “Ἵνα ταῖς
ὄντως χήραις [w] ἐπαρκέσῃ,” φησί· καὶ πάλιν, “Τίμα τὰς ὄντως
χήρας,” τουτέστι, τὰς ἐν πενίᾳ· ὅσῳ γὰρ ἄν τις ἐν πενίᾳ ᾖ,
τοσούτῳ μᾶλλόν ἐστι χήρα. Τίθησι τὸ τοῦ νόμου, τίθησι τὸ
636 τοῦ Χριστοῦ, ἀμφότερα συμφωνοῦντα. Ὁ μὲν γὰρ νόμος
φησὶν, “Οὐ φιμώσεις βοῦν ἀλοῶντα.” Ὁρᾷς πῶς βούλεται
κάμνειν τὸν διδάσκαλον; Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄλλος πόνος
τοιοῦτος, ὡς [x] ὁ ἐκείνου. Πῶς δὲ καὶ τὸ τοῦ Χριστοῦ τίθησιν;
“Ἄξιος [y] γὰρ, φησὶν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.” Μὴ τῷ
μισθῷ τοίνυν προσέχωμεν [z] μόνον, ἀλλὰ καὶ [a] πῶς προσέταξε·
[b] φησὶ γὰρ, “Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.”
Ὥστε εἴ τις τρυφᾷ καὶ ἀνίεται, οὐκ ἔστιν ἄξιος· εἰ μή τις ἐστὶ
B βοῦς ἀλοῶν, καὶ πρὸς πνῖγος καὶ πρὸς ἀκάνθας τὸ ζεῦγος
ἀνέχων ἕλκει, καὶ οὐ πρότερον [c] ἀφίσταται, [d] οὐκ ἔστιν ἄξιος.
Ἄρα δεῖ μετὰ ἀφθονίας ἐπιρρέειν τοῖς [e] διδασκάλοις τὴν τῶν
ἀναγκαίων χορηγίαν, ἵνα μὴ κάμνωσι μήτε ἐκλύωνται, μηδὲ περὶ
τὰ μικρὰ σχολάζοντες τῶν μεγάλων ἀποστερῶσιν ἑαυτούς· ἵνα
τὰ πνευματικὰ ἐργάζωνται, μηδένα τῶν βιωτικῶν ποιούμενοι
λόγον. Τοιοῦτοι ἦσαν οἱ Λευῖται· οὐδὲν αὐτοῖς ἔμελε τῶν
C βιωτικῶν, [f] ὥσπερ οὖν καὶ τοῖς λαϊκοῖς ἔμελε τῆς αὐτῶν προ-
νοίας, καὶ νόμῳ [g] τέτακτο τὰ τῶν προσόδων, αἱ δεκάται, τὰ ἀπὸ

[6] v. 17, 18.

[r] μὲν] + γὰρ B.K. Sav. cet. Mox ἀν. εἶναι pro εἶναι ἀν. C.I.K.L. [s] φησὶ om. B.K. Sav. cet. [t] τῷ B.K. [v] ταὐτὸν] τοῦτο B.K. Sav. cet. [w] ἐπαρκῇ C. ποτὲ pro φησὶ L. [x] ὁ om. K. Post ἐκείνου add. ἀλλ' ἐκεῖνο μὲν τοῦ νόμου B.K. Sav. cet. [y] γὰρ φησὶ] λέγων B.K. [z] μόνον B.I.K.L. μόνῳ Edd. [a] πῶς] τῷ πῶς τοῦτον B.K. [b] φησὶ γὰρ—ἐστιν] ἄξιος, φησὶν, ὁ ἐ. τοῦ μισθοῦ αὐτοῦ, τουτέστι, τῆς τρ. B.K. ἄξ. γὰρ, φησὶν, ὁ ἐ. τοῦ μ. αὐτοῦ καὶ τῆς τρ. αὐτοῦ ἐστιν L. [c] ἀφίσταται] + ἕως ταῖς ἀποθήκαις τοὺς καρποὺς εἰσκομίσει B.K. Sav. cet. [d] οὐκ ἔστιν ἄ.] ὁ δὲ τοῖς πόνοις ἀπειρηκὼς (cum gloss. ἀπειπὼς K.) οὐδὲ τῆς τρ. ἐστιν ἄ. B.K. [e] διδασκάλοις] + τὴν τῶν ἀγαθῶν ἀφθονίαν καὶ L. [f] ὥσπερ οὖν καὶ] ὅτι B.K. Sav. cet. Mox ἔμελλε I. ut bis Veron. [g] τέτακτο B.C.I.K. τέτακται L. ἐτέτακτο Edd. Mox οἷον αἱ δ. B.K. Sav. cet.

[h]τῶν χρυσίων, αἱ ἀπαρχαὶ, αἱ εὐχαὶ, καὶ πολλὰ ἕτερα. Ἀλλ'
ἐκείνοις μὲν εἰκότως ταῦτα ἐνομοθέτει, ἅτε τὰ παρόντα ζητοῦσιν·
ἐγὼ δὲ πλέον οὐδὲν λέγω [i]δεῖν τοὺς προεστῶτας ἔχειν τροφῆς
καὶ σκεπασμάτων, ἵνα μὴ περιέλκωνται εἰς ταῦτα. Τί δέ ἐστι,
"διπλῆς τιμῆς;" Διπλῆς τῆς πρὸς τὰς χήρας, ἢ τῆς πρὸς τοὺς
διακόνους, ἢ ἁπλῶς διπλῆς [k]τιμῆς πολλῆς φησι. Μὴ [l]τοῦτο
τοίνυν μόνον σκοπῶμεν, ὅτι διπλῆς τιμῆς αὐτοὺς ἠξίωσεν, ἀλλ'
ὅτι προσέθηκε, "τοὺς καλῶς προεστῶτας." [m]Τί δέ ἐστι,
"καλῶς προεστῶτας," ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος· D
[7] "Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν
προβάτων." Ἄρα τοῦτό ἐστι καλῶς προεστάναι, μηδενὸς
φείδεσθαι τῆς ἐκείνων κηδεμονίας ἕνεκεν. "Μάλιστα, φησὶν, οἱ
κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ." Ποῦ [n]νῦν εἰσιν οἱ λέγοντες
μὴ [o]δεῖν λόγου, μηδὲ διδασκαλίας, ὅπου γε καὶ Τιμοθέῳ τοσαῦτα
παραινεῖ λέγων, "Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι·" καὶ πάλιν,
"Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει· τοῦτο γὰρ ποιῶν καὶ
σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς [p]σου;" Καὶ τούτους μά- E
λιστα πάντων τῶν ἄλλων τιμᾶσθαι βούλεται· καὶ τὴν αἰτίαν
τίθησιν, ὅτι πολὺν πόνον ὑπομένουσι, φησίν· εἰκότως. Ὅταν
γὰρ ὁ μὲν ἕτερος μήτε ἀγρυπνῇ, μήτε φροντίζῃ, ἀλλὰ ἁπλῶς
συνεδρεύῃ ἐν ἀδείᾳ καὶ ἀμεριμνίᾳ, ἐκεῖνος δὲ [q]κόπτηται φροντί-
ζων, μελετῶν, καὶ μάλιστα ὅταν ἄπειρος ᾖ καὶ λόγων τῶν
ἔξωθεν, [r]πῶς οὐ μάλιστα δεῖ τιμῆς ἀπολαύειν καὶ πρὸ τῶν
ἄλλων ἁπάντων αὐτὸν, εἰς τοσούτους πόνους ἑαυτὸν ἀφιέντα;
Μυρίαις γὰρ γλώσσαις ἐστὶν ὑπεύθυνος· ὁ [s]δεῖνα ἐμέμψατο,
ἕτερος ἐπῄνεσεν, ἄλλος ἔσκωψεν, ἄλλος διέβαλε τὴν μνήμην καὶ
τὴν σύνθεσιν· καὶ δεῖ αὐτῷ πολλῆς ἰσχύος, ὥστε ταῦτα φέρειν. F
Μέγα γὰρ τοῦτο, μέγα πρὸς ἐκκλησίας οἰκοδομὴν, καὶ πολὺ
συντελεῖ τὸ διδακτικοὺς εἶναι τοὺς προεστῶτας· κἂν τοῦτο μὴ
παρῇ, πολλὰ τῶν ἐν ταῖς ἐκκλησίαις οἴχεται. Διὰ τοῦτο μετὰ
τῶν ἄλλων, μετὰ τοῦ φιλοξένου καὶ [t]τοῦ ἐπιεικοῦς, μετὰ τοῦ 637
ἀλήπτου καὶ τοῦτο ἀριθμεῖ λέγων, [8] "διδακτικόν." Ἐπεὶ διὰ
τί διδάσκαλος λέγεται; Ναὶ, φησὶν, [v]ἵνα τῷ βίῳ διδάσκῃ φι-

[7] Joan. x. 11. [8] 1 Tim. iii. 2.

[h] τῶν om. I. τὰ ἀπὸ τ. χ. om. B.C.K. inclusum a Sav. [i] δεῖν] τοῦ δεῖν B.K. Sav. cet. Mox τροφῆς καὶ σκεπασμάτων omnes. Edebatur τροφὰς καὶ σκεπάσματα. [k] τιμῆς π. φ.] εἶπεν ἀντὶ τοῦ πολλῆς B.K. [l] τοῦτο τοίνυν] τοίνυν τοῦτο B.C.K. Cat. Mox τιμῆς αὐτοὺς pro αὐτοὺς τιμῆς B.C.K.L. Cat. [m] τί—προεστῶτας om. C. [n] νῦν] τοίνυν B.K.L. [o] δεῖν] + αὐτοῖς B. + αὐτοὺς K. [p] σου assumtum ex C.I.K.L. Statim καὶ om. B.K. Mox τῶν ἄλλων om. Veron. [q] κόπτεται C.I. [r] πῶς οὐ] πόσης C.I.L. Statim μ. δεῖ C.I.K.L. δεῖ μ. Edd. [s] δεῖνα] + με C.L. Veron. + μὲν I. [t] τοῦ om. L. [v] ἵνα] ἀλλ' ἵνα B.K.

λοσοφίαν. [w]Ταῦτα περιττά· δεῖ γὰρ καὶ τῆς ἀπὸ τῶν λόγων
[x]διδασκαλίας. Διὰ τοῦτο ὁ Παῦλός φησι, "Μάλιστα οἱ κοπι-
ῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ·" ὅταν γὰρ περὶ δογμάτων ᾖ
λόγος, ποῖος βίος ἐνταῦθα ἰσχὺν ἔχει; Τίνα λόγον δέ φησιν; (313)
Οὐ τὸν κομπώδη, οὐδὲ τὸν τὴν [y]κομψείαν ἔχοντα τὴν ἔξωθεν,
B ἀλλὰ τὸν ἰσχὺν πολλὴν [z]κεκτημένον, τὸν συνέσεως γέμοντα καὶ
φρονήσεως. Οὐ κατασκευῆς οὖν αὐτῷ καὶ φράσεως δεῖ, ἀλλὰ
νοημάτων, ὅπως ἂν λέγηται, οὐδὲ συνθήκης, ἀλλὰ φρενῶν.

[9] "Κατὰ [a]πρεσβυτέρου, φησὶ, κατηγορίαν μὴ παραδέχου,
ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων." Κατὰ γὰρ νεωτέρου
δεῖ ἐκτὸς μαρτύρων κατηγορίαν δέχεσθαι; κατὰ δὲ ὅλως τινός;
[b]οὐχὶ μετὰ ἀκριβείας πάντοτε δεῖ τὰς [c]ἀκροάσεις ποιεῖσθαι;
Τί οὖν ἐστιν ὃ λέγει; Οὐδὲ ἐπὶ ἄλλων, φησὶ, μάλιστα δὲ [d]ἐπὶ
πρεσβυτέρου. Πρεσβύτερον γὰρ ἐνταῦθά [e]φησιν, οὐχὶ τὸ
ἀξίωμα, ἀλλὰ τὴν ἡλικίαν, ἐπειδήπερ εὐκολώτερον ἁμαρτάνου-
C σιν οἱ νέοι τῶν πρεσβυτέρων. [f]Δῆλόν ἐστιν ἐντεῦθεν, ὅτι
ἐκκλησίαν λοιπὸν ἦν ἐμπεπιστευμένος ὁ Τιμόθεος, [g]ἢ καὶ ἔθνος
ὁλόκληρον τὸ τῆς Ἀσίας· διὸ καὶ περὶ πρεσβυτέρων αὐτῷ
διαλέγεται. [10] "Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε,
[h]φησὶν, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι." Τουτέστι, μὴ ταχέως
ἔκκοπτε, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα περιεργάζου·
ὅταν μέντοι μάθῃς σαφῶς, σφοδρῶς ἐπέξιθι, ἵνα [i]καὶ οἱ ἄλλοι
σωφρονισθῶσιν. Ὥσπερ γὰρ τὸ ἁπλῶς κατακρίνειν βλαβερὸν,
D [k]οὕτω τὸ μὴ ἐπεξιέναι τοῖς φανεροῖς ἁμαρτήμασιν, ὁδόν ἐστι
δοῦναι τοῖς ἄλλοις τοῦ τὰ αὐτὰ ποιεῖν καὶ τολμᾶν. Ἔλεγχε δὲ
[l]οὐχ' ἁπλῶς, φησὶν, ἀλλὰ μετὰ ἀποτομίας· οὕτω γὰρ καὶ οἱ
λοιποὶ φόβον ἕξουσι. Πῶς οὖν φησιν ὁ Χριστὸς, [11] "Ὕπαγε,
ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, ἐὰν εἰς σὲ ἁμάρτῃ;"
Πλὴν [m]κἀκεῖνον συγχωρεῖ ἐν τῇ ἐκκλησίᾳ ἐλέγχεσθαι. Τί οὖν;
οὐχὶ σκανδαλίζει μᾶλλον τὸ ἐνώπιον πάντων ἐλέγχεσθαι; Πῶς;

[9] v. 19. [10] v. 20. [11] Matth. xviii. 15.

[w] ταῦτα (καὶ ταῦτα C.) π. δεῖ γὰρ καὶ] ὥστε ταῦτα π. καὶ οὐ δεῖ B.K. Sav. cet. [x] διδασκαλίας]+εἰς προκοπὴν B.C. (?) Sav. cet. +εἰς προτροπὴν K. Statim καὶ πῶς ὁ Π. B.K. Sav. cet. [y] κομψίαν K. Ben. [z] κεκτημένον] +τοῦ πνεύματος B.K. Sav. cet. [a] πρεσβυτέρων K. φησὶ om. B.K. Sav. cet. [b] οὐχὶ] καὶ οὐχὶ iidem. [c] ἀκροάσεις] Sic C.I.L. Edebatur κρίσεις, consentiente Cat. [d] ἐπὶ] Sic nostri omnes et Cat. κατὰ Edd. [e] φησιν, οὐχὶ τὸ ἀ.] οὐχὶ τὸ ἀ. λέγει B.K. [f] δῆλον]+δὲ Edd. δὲ om. C.I.L. δῆλον —ἦν ἐμπ.] καὶ ὅτι περὶ τούτων τοῦτο ἐπήγαγε, δῆλον ἐντεῦθεν· ἐκκλησίαν ἦν ἐμπ. B.K. [g] ἢ καὶ] μᾶλλον δὲ B.K. [h] φησὶν om. B.K. Sav. cet. [i] καὶ assumtum ex B.C.K.L. Cat. [k] οὕτω]+καὶ L. Mox ἐστιν ἄλλοις δοῦναι τοῖς τὰ αὐτὰ idem. [l] οὐχ ἁπλῶς, φ.] εἶπε, δηλῶν ὅτι οὐχ (μὴ B.K.) ἁπλῶς B.K. Sav. cet. Mox ἔχωσι B.I. [m] κἀκεῖνο C.

Ὅταν γὰρ τὸ ἁμάρτημα ὦσιν εἰδότες, τὴν δὲ κόλασιν [n] μηκέτι,
μᾶλλον σκανδαλίζονται. Ὥσπερ γὰρ ἀτιμωρήτων μενόντων E
τῶν ἁμαρτανόντων, πολλοὶ οἱ πλημμελοῦντες, [o] οὕτω κολαζο-
μένων, πολλοὶ οἱ κατορθοῦντές εἰσιν. Οὕτω καὶ ὁ θεὸς ἐποίησε·
τὸν Φαραὼ εἰς μέσον ἀγαγὼν ἐκόλασε, καὶ τὸν Ναβουχοδονόσορ,
καὶ πολλοὺς ἑτέρους, καὶ κατὰ πόλιν καὶ κατὰ ἄνθρωπον, ὁρῶ-
μεν δίκην δεδωκότας. Ἄρα βούλεται πάντας φόβον ἔχειν παρὰ
τοῦ ἐπισκόπου, καὶ πᾶσιν αὐτὸν ἐφίστησιν. Ἐπειδὴ γὰρ πολλὰ
[p] ἀπὸ ὑπονοίας κρίνεται, δεῖ, φησὶν, εἶναι τοὺς μαρτυροῦντας, καὶ
διελέγχοντας αὐτὸν κατὰ τὸν παλαιὸν [q] νόμον· [12] "Ἐπὶ γὰρ F
δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα." "Κατὰ πρε-
σβυτέρου, φησὶ, κατηγορίαν μὴ παραδέχου." Οὐκ εἶπε, μὴ
κατακρίνῃς, ἀλλὰ, [r] μηδὲ δέξῃ κατηγορίαν, μηδὲ ὅλως εἰς κρίσιν
[s] καθῇς. Τί οὖν, ἂν καὶ οἱ δύο ψεύδωνται; Τοῦτο σπανιάκις
συμβαίνει· ἔνι δὲ ἀπὸ τῆς κρίσεως ἐξεταζόμενον [t] καὶ τοῦτο 638
γενέσθαι δῆλον. Τὰ γὰρ ἁμαρτήματα ἀγαπητὸν καὶ δύο
μάρτυρας ἔχειν, διὰ τὸ λάθρα γίνεσθαι καὶ κεκρυμμένως· ὥστε
πολλῆς δοκιμασίας [v] σημεῖον τοῦτο. Τί οὖν, [w] ἂν μὲν ὡμολογη-
μένα ᾖ τὰ ἁμαρτήματα, μάρτυρας δὲ μὴ ἔχῃ, ἀλλὰ πονηρὰν
ὑπόνοιαν; Εἶπον ἄνω, φησὶ, "Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν
καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν."

Μετὰ φόβου τοίνυν ἀγαπῶμεν τὸν θεόν. Δικαίῳ μὲν γὰρ
νόμος οὐ κεῖται· οἱ δὲ πολλοὶ καὶ τὴν ἀρετὴν ἀνάγκῃ μετερχό-
μενοι, καὶ οὐ προθέσει, μεγάλα ἀπὸ τοῦ φόβου καρποῦνται,
πολλάκις τὰς ἐπιθυμίας ἐκκόπτοντες τὰς ἑαυτῶν. Διὰ τοῦτο B
περὶ γεέννης [x] ἀκούωμεν, ἵνα πολύ τι καρπωσώμεθα ἀπὸ τῆς
ἀπειλῆς καὶ τοῦ φόβου τούτου. Εἰ γὰρ μέλλων ἐμβάλλειν εἰς
αὐτὴν τοὺς ἁμαρτάνοντας, μὴ προεῖπε ταύτης τὴν ἀπειλὴν,
πολλοὶ ἐνέπεσον ἂν εἰς αὐτήν. Εἰ γὰρ νῦν τοῦ φόβου κατα-
σείοντος ἡμῶν τὰς ψυχὰς, εἰσί τινες [y] οἱ οὕτω ῥᾳδίως ἁμαρτά-
νοντες, ὡς οὐδὲ οὔσης αὐτῆς· εἰ μηδὲν τούτων εἴρητο, [z] μήτε
ἠπείλητο, τί οὐκ ἂν εἰργασάμεθα δεινόν; Ὥστε, [a] ὅπερ ἀεί
φημι, τῆς βασιλείας οὐχ [b] ἧττον ἡ γέεννα τοῦ θεοῦ τὴν κηδεμο-
νίαν δείκνυσιν. Ἡ γέεννα γὰρ [c] τῇ βασιλείᾳ συμπράττει, τοὺς C
ἀνθρώπους τῷ φόβῳ ὠθοῦσα πρὸς αὐτήν. [d] Μὴ δὴ ἀπηνείας

[12] Deut. xix. 15.

[n] μηκέτι pro οὐκέτι C.I.L. Statim τότε μᾶλλον I. τότε pro μᾶλλον C. [o] οὕτω]+καὶ I. [p] ἀπὸ] ὑπὸ I. [q] νόμον]+οὕτω διαγορεύοντα B.K. Mox γὰρ om. iidem. [r] μὴ (μηδὲ K.) παραδέξῃ B.K. [s] Vid. Annot. [t] καὶ om. C.I.L. [v] σημ. τοῦτο] πρὸς τοῦτο δεῖ B.K. [w] ἐὰν ὡμ. μὲν ᾖ C.L. Sic, sed μὲν superscripto, I. [x] ἀκούομεν ex corr. C. [y] οἱ om. B. [z] μηδὲ L. [a] ἅπερ B. (?) Mor. Ben. [b] ἥττων L. Veron. ἧττων (sic) I. [c] τὴν βασιλείαν L. [d] μὴ δὴ] Sic C. μὴ οὖν B.K. μηδὲ Edd.

μηδὲ ὠμότητος εἶναι τὸ πρᾶγμα νομίσωμεν, ἀλλὰ ἐλέου καὶ φιλανθρωπίας [e]πολλῆς καὶ κηδεμονίας καὶ φίλτρου τοῦ περὶ (314) ἡμᾶς. Εἰ μὴ ἠπειλήθη καταστροφὴ ἐπὶ Ἰωνᾶ, οὐκ ἂν ἐκωλύθη ἡ καταστροφή· εἰ μὴ εἶπεν, ὅτι καταστραφήσεται [f]Νινευΐ, οὐκ
D ἂν ἔστη Νινευΐ· εἰ μὴ ἠπειλήθη γέεννα, ἅπαντες ἂν εἰς γέενναν [g]ἐνεπέσομεν· εἰ μὴ ἠπειλήθη πῦρ, οὐδεὶς ἂν [h]διέφυγε τὸ πῦρ. Ἐναντία ὧν βούλεται πράττειν λέγει, ἵνα πράττῃ ἃ βούλεται. Οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, καὶ λέγει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἵνα μὴ [i]ἐμβάλῃ εἰς θάνατον. Οὐκ εἶπε ῥήματι μόνον, ἀλλὰ καὶ τὸ ἔργον δείκνυσιν, ἵνα φεύγωμεν. Ἵνα δὲ μή τις νομίσῃ ἀπειλὴν εἶναι τὸ πρᾶγμα μόνον, ἀλλὰ καὶ [k]ὄντως εἶναι, ἀπὸ τῶν ἐνταῦθα, [l]φησὶ, γεγονότων δῆλόν ἐστιν. Ἢ οὐ δοκεῖ σοι τῆς γεέννης εἶναι σύμβολον [m]ὁ κατακλυσμὸς ὁ
E τῆς παντελοῦς πανωλεθρίας τοῦ ὑετοῦ, τοῦ πυρός; [13] “[n]Ὥσπερ γὰρ, φησὶν, ἐν ταῖς ἡμέραις [o]Νῶε ἦσαν γαμοῦντες καὶ [p]γαμίζοντες, οὕτω καὶ [q]τότε.” Προεῖπε πρὸ πλείονος [r]χρόνου, καὶ νῦν προλέγει πρὸ ἐτῶν τετρακοσίων, ἢ καὶ πλειόνων, ἀλλ' οὐδεὶς [s]ὁ προσέχων· πάντες μύθους τὸ πρᾶγμα εἶναι νομίζουσι, πάντες γέλωτα, οὐδένα φόβος ἔχει, οὐδεὶς δακρύει, οὐδεὶς πατάσσει τὸ στῆθος. Ὁ ποταμὸς τοῦ πυρὸς [t]ἀναβράσσεται, ἡ φλὸξ ἐκκαίεται, καὶ ἡμεῖς γελῶμεν καὶ τρυφῶμεν καὶ ἁμαρτάνομεν
F ἀδεῶς. Οὐδεὶς εἰς νοῦν τὴν ἡμέραν ἐκείνην λαμβάνει [v]ποτὲ, οὐδεὶς ἐννοεῖ, ὅτι παρέρχεται τὰ παρόντα, ὅτι πρόσκαιρα ταῦτα, καίτοι τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων, καὶ φωνὴν ἀφιέντων. Οἱ ἄωροι θάνατοι, αἱ τῶν πραγμάτων μεταβολαὶ καὶ ζώντων ἡμῶν γινόμεναι, οὐ παιδεύουσιν ἡμᾶς, αἱ
639 ἀρρωστίαι καὶ τὰ λοιπὰ νοσήματα. Οὐκ ἐν τοῖς ἡμετέροις δὲ σώμασι τὰς μεταβολὰς μόνον, ἀλλὰ καὶ ἐν [w]αὐτοῖς τοῖς στοιχείοις ἴδοι τις ἄν· [x]καὶ ἐν ταῖς ἡλικίαις δὲ καθ' ἑκάστην ἡμέραν τὸν θάνατον μελετῶμεν, καὶ ἐν πᾶσι τὸ ἄστατον [y]πανταχοῦ διὰ τῶν πραγμάτων χαρακτηρίζεται. Οὐδέποτε χειμὼν ἔμεινεν, οὐδέ-

[13] Matt. xxiv. 38.

[e] πολλῆς καὶ κ. om. K. [f] Νινευὴ I. et bis K. [g] ἐνεπέσαμεν I.L. [h] ἔφυγε K. [i] ἐμβάλλῃ L. [k] ὄντως]+πρᾶγμα L. [l] φησὶ om. B.K. Sav. cet. Mox τοῦτο ἐποίησεν pro ἐστιν iidem. [m] ὁ κ. ὁ] τὸν κατακλυσμὸν τὸν I. [n] ΗΘΙΚΟΝ. Περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως· καὶ πῶς δυνάμεθα μιμεῖσθαι τὸν θεόν· καὶ περὶ τῆς ἀγάπης τοῦ Χριστοῦ τῆς εἰς ἡμᾶς, ἥτις δείκνυται μάλιστα ἐκ τῆς θείας μεταλήψεως. Veron. [o] τοῦ Νῶε B.K. [p] ἐγγαμ. ex recent. corr. K. ἐκγαμ. Sav. cet. reclamantibus libris. [q] τότε] νῦν B.K. Sav. cet. [r] χρόνου]+τότε B.C.K. Sav. cet. πρὸ π. χ. om. L. Statim προλέγει καὶ νῦν hoc ord. B. [s] ὁ πρ.] προσέχει L. Statim μύθον (sic) I. [t] ἀναβράζεται L. [v] ποτὲ om. B.K. [w] αὐτοῖς om. L. [x] καὶ—μελετῶμεν] καὶ ἐν ταῖς ἐναλλαγαῖς δὲ (δὲ om. K.) τῶν ἡλικιῶν ἡμῶν καὶ ταῖς ἑκάστης ἡμέρας παραδρομαῖς τὸν θάνατον ἐκμανθάνομεν B.K. [y] πανταχοῦ] καὶ π. B.K.

ποτε θέρος, [z]οὐδὲ ἔαρ, οὐδὲ μετόπωρον, ἀλλὰ πάντα τρέχει καὶ
ἀφίπταται καὶ ῥεῖ. Ἀλλὰ [a]τί εἴπω; τὰ [b]ἄνθη; ἀλλὰ τί βού-
λει; τὰ ἀξιώματα, τοὺς βασιλεῖς τοὺς νῦν ὄντας, καὶ αὔριον οὐκ
[c]ὄντας; ἀλλὰ τοὺς πλουτοῦντας; ἀλλὰ τὰ οἰκοδομήματα τὰ
λαμπρά; ἀλλὰ νύκτα καὶ ἡμέραν; ἀλλὰ τὸν ἥλιον; ἀλλὰ τὴν
σελήνην; [d]οὐ φθίνει καὶ αὐτή; [e]αὐτὸς δὲ ὁ ἥλιος οὐκ ἐκλείπει B
πολλάκις, οὐ σκοτίζεται, οὐ νέφος αὐτὸν κρύπτει; Μή τι τῶν
ὁρωμένων παραμένει διαπαντός; [f]Οὐδὲν, ἀλλ' ἡ ψυχὴ μόνη
τῶν ἐν ἡμῖν, [g]καὶ ταύτης ἀμελοῦμεν· τῶν μὲν ἀλλοιουμένων, ὡς
μενόντων πολλὴν [h]ποιούμενοι φροντίδα, τῆς δὲ μενούσης ἀεὶ, ὡς
παρερχομένης οὐδένα ἔχοντες λόγον. Ὁ δεῖνα μεγάλα δύναται;
Ἀλλ' ἕως αὔριον, μετὰ δὲ ταῦτα ἀπολεῖται· καὶ δῆλον ἐκ τῶν
μείζονα δυνηθέντων, καὶ νῦν οὐδαμοῦ φαινομένων. Σκηνή τις
ἐστὶν ὁ βίος, καὶ ὄναρ. Καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς τοῦ
[i]σκήνους ἀρθέντος αἱ ποικιλίαι διαλύονται, καὶ τὰ ὀνείρατα τῆς C
ἀκτῖνος φανείσης πάντα [k]ἀφίπταται· οὕτω καὶ νῦν τῆς συντε-
λείας [l]γινομένης, καὶ τῆς κοινῆς καὶ τῆς ἑνὸς ἑκάστου, πάντα
[m]λύεται καὶ ἀφανίζεται. Καὶ ξύλον μὲν, ὃ ἐφύτευσας, μένει,
καὶ ἡ οἰκία, ἣν [n]οἰκοδομεῖς, καὶ αὐτὴ μένει· ὁ δὲ τεχνίτης [o]καὶ
γεωργὸς ἀπάγονται καὶ διαφθείρονται. Καὶ τούτων γινομένων,
οὐδὲ οὕτως ἐντρεπόμεθα, ἀλλ' ὡς ἀθάνατοι [p]ταῦτα πάντα κατα-
σκευάζομεν, τρυφῶντες καὶ σπαταλῶντες.

Ἄκουσον τί φησιν ὁ Σολομῶν, ὁ ἔργῳ πεῖραν λαβὼν τῶν
παρόντων πραγμάτων. [13]"Ὠικοδόμησά [q]μοι οἰκίας, φησὶν, D
ἐφύτευσα κήπους καὶ παραδείσους, ἀμπελῶνας, [r]κολυμβήθρας
ὑδάτων, ἀργύριον καὶ χρυσίον ἐγένετό μοι, ἐποίησά μοι ᾄδοντας
καὶ ᾀδούσας, ποίμνια καὶ βουκόλια." Οὐδεὶς γὰρ οὕτως ἐγένετο
τρυφηλὸς, οὐδεὶς οὕτως ἔνδοξος, οὐδεὶς οὕτω σοφὸς, οὐδεὶς οὕτως
ἄρχων, οὐδεὶς οὕτω κατὰ νοῦν πάντα εἶδεν αὐτῷ προκεχωρηκότα.
[s]Τί οὖν; Οὐδὲν τούτων ἀπώνατο· ἀλλὰ τί φησι μετὰ ταῦτα
πάντα; [14]"Ματαιότης [t]γὰρ, φησὶ, ματαιοτήτων, τὰ πάντα
ματαιότης·" οὐχ ἁπλῶς ματαιότης, ἀλλὰ καθ' ὑπερβολήν. E

[13] Eccles. ii. 4—8. [14] Ibid. i. 2.

[z] οὐδὲ] οὐδέποτε L. Statim μεθόπωρον C.I. [a] τί] + βούλει B.K. Sav. cet. [b] ἄνθη] ἔθη B.K. Statim ἀλλὰ τί β. om. B.K. Sav. cet. [c] ὄντας] ἐσομένους L. [d] οὐ] εἰπὲ οὖν μοι, οὐ B.K. [e] αὐτὸς] καὶ αὐτὸς B.K. Sav. cet. [f] οὐδὲν] οὐδαμῶς I. Statim ἀλλὰ ψ. B.K. [g] καὶ—τῶν μὲν] ἡμεῖς δὲ ταύτης μὲν (μὲν om. K.) ἀμελοῦμεν, τῶν δὲ (μὲν pro δὲ K.) B.K. [h] ποιούμενοι] Sic B.C.I.L. ποιούμεθα Edd. Statim φροντίδα B.I.K.L. Edebatur πρόνοιαν. [i] σκηνοῦντος B.K. [k] ἀφίσταται I. [l] γιν. pro γεν. B.I.K.L. [m] διαλύεται B.K. [n] ᾠκοδόμησας B.L. [o] καὶ ὁ γ. B.K. Sav. cet. [p] ταῦτα π.] π. ταῦτα C.I. [q] μου L. Idem mox ἐφ. μου κήπους. [r] καὶ κολ. Edd. καὶ deest in omnibus. [s] τί οὖν;—πάντα] τί οὖν τούτων ἀπώνατο; οὐδέν. διὸ καὶ μετὰ τ. π. φησὶ B.K. [t] γὰρ om. L. γὰρ, φησὶ om. B.C.K.

Πεισθῶμεν [v]αὐτῷ, παρακαλῶ, τῷ διὰ πείρας ἥκοντι· πεισθῶμεν
αὐτῷ, καὶ ἐπιλαβώμεθα πραγμάτων, ἔνθα οὐκ ἔστι ματαιότης,
ἔνθα ἀλήθεια, ἔνθα πάντα πάγια καὶ βέβαια, ἔνθα πάντα ἐπὶ
τῆς πέτρας ᾠκοδόμηται, ἔνθα γῆρας οὐκ ἔνι, οὐδὲ πάροδος, ἔνθα (315)
πάντα ἀνθεῖ, ἔνθα πάντα ἀκμάζει, ἔνθα παλαιούμενον οὐδὲν, οὐδὲ
[w]γηράσκον, οὐδὲ ἐγγὺς ἀφανισμοῦ. Ποθήσωμεν, παρακαλῶ,
γνησίως τὸν θεὸν, μὴ φόβῳ γεέννης, ἀλλ' ἐπιθυμίᾳ βασιλείας.
Τί γὰρ, εἰπέ μοι, τοῦ τὸν Χριστὸν ἰδεῖν ἴσον; [x]Οὐδὲν οὐκ ἔστι.
F Τί τοῦ ἀπολαῦσαι τῶν ἀγαθῶν ἐκείνων [y]ἴσον; Οὐκ ἔστιν [z]οὐδέν.
[15]"Ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν
ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν [a]ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν."
Ἐκείνων ἐπιτυχεῖν σπουδάσωμεν, καταφρονήσωμεν τούτων.
640 Οὐχὶ μυριάκις [b]αὐτῶν κατηγοροῦμεν, ὅτι οὐδὲν ὁ βίος ὁ ἀνθρώ-
πινος; Τί σπουδάζεις περὶ τὸ μηδέν; [c]τί πόνους ὑφίστασαι
περὶ τὸ μηδέν; Ἀλλ' ὁρᾷς οἰκοδομὰς λαμπρὰς, καὶ τούτων
ἀπατᾷ σε ἡ θέα; [d]Εὐθέως ἴδε εἰς τὸν οὐρανὸν, ἀνάβλεψον ἀπὸ
τῶν λίθων καὶ τῶν κιόνων πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ ὄψει [e]ὅτι
ταῦτα μυρμήκων καὶ κωνώπων [f]ἐστὶν ἔργα. Ἐμφιλοσόφησον
τῇ θέᾳ· [g]ἄνιθι πρὸς τὰ ἐν τῷ οὐρανῷ· ἐκεῖθεν κατάμαθε τὰς
λαμπρὰς οἰκοδομὰς, καὶ [h]ὄψει οὐδὲν οὔσας, ἀλλὰ παίδων [i]ἀθύρ-
B ματα μικρῶν. [k]Εἶδες πῶς λεπτότερος, πῶς κουφότερος, πῶς
καθαρώτερος καὶ διαυγέστερος ὁ ἀὴρ, ὅσῳ ἂν ἀναβαίνῃς [l]πρὸς
ὕψος; Ἐκεῖ οἱ τὴν ἐλεημοσύνην ἐργαζόμενοι τὰς οἰκίας ἔχουσι,
τὰς σκηνάς. Ταῦτα ἐν τῇ ἀναστάσει καταλύεται, μᾶλλον δὲ
[m]καὶ πρὸ τῆς ἀναστάσεως χρόνος [n]ἐπελθὼν διέφθειρε καὶ ἠφά-
νισε καὶ διέλυσε· καὶ πρὸ τοῦ χρόνου δὲ ἐν αὐτῇ πολλάκις τῇ
ἀκμῇ καὶ τῇ ὥρᾳ ἢ σεισμὸς κατήνεγκεν, ἢ καὶ ἐμπρησμὸς τὸ
πᾶν ἐλυμήνατο. [o]Οὐ γὰρ δὴ ἐν ταῖς ἡλικίαις τῶν ἀνθρώπων,
ἀλλὰ καὶ ἐν ταῖς οἰκοδομαῖς εἰσιν ἄωροι θάνατοι· καὶ πολλάκις
C τὰ μὲν σαθρὰ τῷ χρόνῳ γενόμενα, τῆς γῆς τιναχθείσης, ἔμεινεν

[15] 2 Cor. ii. 9.

[v] αὐτῷ, παρακαλῶ] τοίνυν B.K. [w] γηρασκόμενον C. [x] οὐδὲν οὐκ ἔστιν om. B.K. Statim τί δὲ τοῦ B.K. Sav. cet. οὐδέν. οὐκ ἔστι τι τοῦ interpungit I. [y] ἴσον] μεῖζον B.K. [z] οὐδὲν] + εἰκότως B.K. Sav. cet. Iidem pergunt, οὔτε γὰρ ὀφθ. εἶδεν, οὔτε...οὔτε. Pro ἃ μήτε ὀ. εἶδε habet ἃ ὀ. οὐκ εἶδε L. [a] ὁ θ.] ὁ θ. φησὶ B.K. Sav. cet. φησὶν ὁ θ. I. [b] αὐτὸν I. [c] τί—μηδὲν om. I. [d] εὐθέως] ἀλλ' εὐθέως B.K. Sav. cet. [e] ὅτι ταῦτα omnes. ταῦτα ὅτι Edd. [f] εἰσὶν L. [g] ἀνάβηθι B.K. [h] ὄψει] + ταύτας B.K. [i] ἄθυρμα L. μικρῶν om. B.K. [k] εἶδες—ὕψος] ὅσῳ ἂν ἀναβαίης (-βαίνῃς ex corr. K.) πρὸς ὕψος, νοήσεις πῶς λεπτότερος, πῶς καθ. κ. δ. ὁ ἀὴρ B.K. [l] πρὸς] Sic B.I.K.L. εἰς Edd. [m] καὶ accessit ex B.I.K.L. [n] ἐπελθὼν] ὁ μακρὸς B.K. Statim διέλυσε καὶ ἠφ. καὶ διέφθειρε hoc ord. C. καὶ διέλυσε om. B.K. [o] οὐ γὰρ—θάνατοι] καὶ μὴ θαυμάσῃς ἀκμὴν καὶ ὥραν ἀκούων ἐπὶ ἀψύχων· εἰσὶ γὰρ ταῦτα καὶ ἐπὶ τούτοις. καὶ ὥσπερ ἐν ταῖς ἡ. τῶν ἀ. ἄωροι συμβαίνουσι θ. οὕτω συμβαίνει καὶ ἐν ταῖς οἰκοδομαῖς B.K.

ἀκλινῆ· τὰ δὲ ἀπαστράπτοντα, καὶ πεπηγότα, καὶ νεοκατα-
σκεύαστα, ὑπὸ βροντῆς μόνης κατεσείσθη καὶ ἀπώλετο· καὶ
τοῦτο [p]τοῦ θεοῦ οἰκονομοῦντος, [q]οἶμαι, ἵνα μὴ μέγα φρονῶμεν
[r]ἐν ταῖς οἰκοδομαῖς. Βούλει καὶ ἑτέρως μὴ ἀθυμεῖν; ἐπὶ τὰ
κοινὰ ἐλθὲ οἰκοδομήματα, ὧν ἴσον μετέχεις καὶ σύ. Οὐ γάρ
ἐστιν, οὐκ ἔστιν οἰκία, κἂν σφόδρα ᾖ λαμπρὰ, τῶν δημοσίων
οἰκοδομημάτων λαμπροτέρα. Ἐνδιάτριψον ὅσον [s]θέλεις χρόνον
ἐκεῖ· σά ἐστιν ἐκεῖνα, σά ἐστι μετὰ τῶν ἄλλων· κοινά ἐστι, καὶ
οὐκ ἴδια. Ἀλλ' οὐ τέρπει [t]ταῦτα, φησίν. Οὐ τέρπει, πρῶτον D
μὲν τῇ συνηθείᾳ, δεύτερον δὲ τῇ πλεονεξίᾳ. Ἄρα τὸ [v]τερπνὸν
ἡ πλεονεξία ἐστὶν, οὐχὶ τὸ κάλλος· ἄρα ἡ τέρψις ἡ πλεονεξία
ἐστὶ, καὶ τὸ [w]τὰ πάντων βούλεσθαι ἰδιοποιεῖσθαι. Μέχρι
τίνος τούτοις [x]προσηλώμεθα, [y]τῇ γῇ προσπεπήγαμεν, [z]καθά-
περ οἱ σκώληκες, περὶ τὸν βόρβορον ἐγκαλινδούμεθα; Τὸ σῶμα
ἡμῖν ἔδωκεν ὁ θεὸς ἀπὸ γῆς, ἵνα καὶ αὐτὸ εἰς οὐρανὸν [a]ἀναγά-
γωμεν, οὐχ ἵνα δι' αὐτοῦ καὶ τὴν ψυχὴν [b]εἰς γῆν κατασπάσωμεν·
γεῶδές ἐστιν, ἀλλ', ἐὰν [c]θέλω, οὐράνιον γίνεται. Ὅρα πόσῃ E
τετίμηκεν ἡμᾶς τιμῇ, τοιοῦτον ἔργον ἐπιτρέψας ἡμῖν. Ἐποίησα,
φησὶν, ἐγὼ γῆν καὶ οὐρανόν· δίδωμι καὶ σοὶ δημιουργίαν, ποίη-
σον τὴν γῆν οὐρανόν· δύνασαι γάρ. [16]"Ὁ ποιῶν [d]πάντα, καὶ
μετασκευάζων αὐτὰ," περὶ τοῦ θεοῦ εἴρηται. [e]Ταύτην καὶ τοῖς
ἀνθρώποις ἔδωκε τὴν ἐξουσίαν· [f]καθάπερ τις πατὴρ φιλόστορ-
γος ζωγραφῶν οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὸ παιδίον [g]βούλεται
ἄγειν εἰς τὴν ἴσην μάθησιν. Ἐποίησα, φησὶν, ἐγὼ σῶμα καλόν·
δίδωμί σοι τοῦ κρείττονος τὴν δημιουργίαν· ποίησον σὺ ψυχὴν F
[h]καλήν. Εἶπον ἐγὼ, [17]"Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου,
καὶ πᾶν ξύλον κάρπιμον·" εἰπὲ [i]καὶ σὺ, ἐξαγαγέτω [k]αὕτη ἡ γῆ
καρπὸν [l]τὸν ἴδιον, καὶ ἐξελεύσεται ὃ ἐὰν θέλῃς ἐνεργῆσαι.
[18]Ποιῶ θέρος καὶ ὁμίχλην, στερεῶ βροντὴν, καὶ κτίζω πνεῦμα,
ἔπλασα δράκοντα ἐμπαίζειν αὐτῷ, τουτέστι, τὸν διάβολον.
Οὐδὲ σοὶ ταύτης ἐφθόνησα τῆς ἐξουσίας· ἔμπαιξον καὶ σὺ, εἰ 641
θέλεις· δύνασαι γὰρ ὡς στρουθίον δῆσαι αὐτόν. Ἀνατέλλω τὸν

16 Amos. v. 8. 17 Gen. i. 11. 18 Amos. iv. 13. Psal. ciii. 26.

[p] τοῦ om. L. [q] οἶμαι] ἅμα C.I.L. [r] ἐπὶ τοῖς οἰκοδομήμασι B.K. [s] θέλεις (θέλῃς L.) χρ. pro χρ. θέλεις I.K.L. [t] ταῦτα—τέρπει om. C.I.L. Vet. Veron. [v] τέρπον I. [w] τὰ πάντα C.L. πάντα B.K. [x] προσηλούμεθα L. [y] τῇ] μέχρι τίνος τῇ B.K. Sav. cet. [z] καθ.] καὶ καθ. iidem. Statim οἱ om. B.K. Tum ἐν τῷ βορβόρῳ προσκαλινδ. I. [a] ἀγάγωμεν I.L. [b] εἰς τὴν γῆν C. Statim κατασπάσωμεν B.C.K.L. διασπάσωμεν I. Edebatur διασπῶμεν. [c] θέλωμεν B.K.L. [d] πάντα] ταῦτα L. [e] ταύτην] ἀλλὰ ταύτην B.K. Sav. cet. [f] καθάπερ—φιλόστοργος] ὅμοιόν τι ποιῶν, οἷον ἂν εἰ πατὴρ φ. τις (τις om. K.) B.K. [g] βούλεται ἄ.] ἄ. βούλοιτο B.K. [h] καλὸν C. [i] καὶ om. C. [k] αὕτη ἡ γῆ pro ἡ γῆ αὕτη omnes. [l] τὸν om. B.K.

ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς· μίμησαι καὶ σὺ, μετάδος τῶν
σῶν καὶ ἀγαθοῖς καὶ πονηροῖς. Ὑβριζόμενος [m]φέρω, καὶ εὐερ-
γετῶ τοὺς ὑβρίζοντας· μίμησαι καὶ σύ· δύνασαι γάρ. Εὖ ποιῶ,
οὐκ ἐπὶ ἀντιδόσει· [n]μίμησαι καὶ σὺ, καὶ μὴ [o]οὕτως εὖ ποιήσῃς
ἐπὶ ἀντιδόσει, μηδὲ ἐπὶ ἀμοιβῇ. Ἀνῆψα φωστῆρας εἰς τὸν
οὐρανόν· ἄναψον καὶ σὺ τούτων λαμπροτέρους· δύνασαι γάρ·
τοὺς ἐν πλάνῃ φώτισον· μείζων ἡ εὐεργεσία [p]ἐκείνη τοῦ τὸν (316)
ἥλιον ὁρᾶν, τὸ ἐμὲ ἐπιγινώσκειν. Ἄνθρωπον οὐ δύνασαι ποιῆ-
B σαι, ἀλλὰ δίκαιον δύνασαι ποιῆσαι καὶ εὐάρεστον τῷ θεῷ. Ἐγὼ
τὴν οὐσίαν εἰργασάμην· σὺ καλλώπισον τὴν προαίρεσιν. Ὅρα
πῶς σε [q]φιλῶ, καὶ ἐν τοῖς μείζοσί σοι ἔδωκα τὴν ἰσχύν. Ὁρᾶτε,
ἀγαπητοὶ, πῶς τετιμήμεθα· καί τινες τῶν ἀλογίστων καὶ ἀγνω-
μόνων λέγουσι, διὰ τί τῆς προαιρέσεώς ἐσμεν κύριοι; Ταῦτα
πάντα ὅσα [r]διήλθομεν, ἐν οἷς δυνάμεθα μιμεῖσθαι τὸν θεὸν, εἰ
μὴ προαίρεσις ἦν, οὐκ ἂν ἦν ἡμῖν δυνατὸν μιμήσασθαι. Ἄρχω,
φησὶν, ἀγγέλων ἐγώ· καὶ σὺ διὰ τῆς ἀπαρχῆς. [s]Ἐπὶ θρόνου
κάθημαι βασιλικοῦ· καὶ σὺ συγκάθησαι διὰ τῆς ἀπαρχῆς·
C 19 “Συνήγειρε, [t]φησὶ, καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ τοῦ [v]θεοῦ.”
Προσκυνεῖ σε [w]τὰ Χερουβὶμ, τὰ Σεραφὶμ, πᾶσα ἡ ἀγγελικὴ
δύναμις, ἀρχαὶ, ἐξουσίαι, [x]θρόνοι, κυριότητες διὰ τῆς ἀπαρχῆς.
Μὴ κατηγόρει τοῦ σώματος, ὃ τοσαύτης ἀπολαύει τιμῆς, ὃ
τρέμουσιν [y]αἱ ἀσώματοι δυνάμεις. Ἀλλὰ τί εἴπω; οὐ τούτοις
τὸ φίλτρον [z]ἐπιδείκνυμαι μόνον, ἀλλὰ καὶ οἷς ἔπαθον. Διὰ σὲ
ἐνεπτύσθην, ἐρραπίσθην, τὴν δόξαν ἐκένωσα, τὸν πατέρα εἴασα,
καὶ πρὸς σὲ ἦλθον τὸν μισοῦντά με καὶ ἀποστρεφόμενον, καὶ
D οὐδὲ ἀκοῦσαι βουλόμενον τὸ ὄνομά μου· κατεδίωξα καὶ ἐπέδρα-
μον, ἵνα σε κατάσχω· ἥνωσά σε καὶ συνῆψα ἐμαυτῷ· φάγε [a]με,
εἶπον, πίε με· καὶ ἄνω σε ἔχω, καὶ κάτω συμπλέκομαί σοι. Οὐκ
ἀρκεῖ σοι, ὅτι [b]σου τὴν ἀπαρχὴν ἔχω ἄνω; οὐ παραμυθεῖται
[c]τοῦτο τὸν πόθον; καὶ κάτω πάλιν [d]κατέβην· οὐχ ἁπλῶς
μίγνυμαί σοι, ἀλλὰ συμπλέκομαι, τρώγομαι, λεπτύνομαι κατὰ
μικρὸν, ἵνα πολλὴ ἡ ἀνάκρασις γένηται καὶ ἡ μίξις καὶ ἡ ἕνωσις.
Τὰ γὰρ ἑνούμενα ἐν οἰκείοις ἕστηκεν ὅροις· ἐγὼ δὲ συνυφαίνομαί
σοι. Οὐ βούλομαι λοιπὸν εἶναί τι μέσον· ἓν εἶναι βούλομαι τὰ

19 Ephes. ii. 6.

[m] φέρω] χαίρω K. [n] μίμησαι—ἀντιδόσει om. I.L. [o] οὕτως om. B.K. Sav. cet. Mox οὐδὲ pro μηδὲ L. [p] ἐκείνη] αὕτη, κρεῖττον B.K. [q] φιλῶν K. [r] ἤλθαμεν I. Mox ἡμῖν in text. om. idem. [s] ἐπὶ—ἀπαρχῆς om. L. Veron. [t] φησὶ om. L. [v] θεοῦ omnes. Edebatur πατρός. [w] τὰ om. K. Mox καὶ τὰ Σ. Edd. καὶ om. B.C.I. δοξάζει τὰ Σ. L. [x] θρόνοι om. B.K. [y] αἱ ἀσ.] Sic B.I.K.L. Ben. αἱ om. C. καὶ ἀσ. Veron. Sav. Mor. [z] ἐπιδείκνυμι L. Statim μόνον pro μόνοις omnes. [a] με om. ante corr. K. [b] σου om. L. Statim ἀρχὴν C. [c] τοῦτον I. Veron. [d] κατέβην om. L.

ἀμφότερα. Ταῦτα οὖν [e]εἰδότες, καὶ τὴν [f]πολλὴν αὐτοῦ κηδεμονίαν, ἅπαντα πράττωμεν, ἅπερ ἂν ἡμᾶς μὴ ἀναξίους [g]δύναται δεικνύναι τῶν μεγάλων αὐτοῦ δωρεῶν· ὧν γένοιτο πάντας ἡμᾶς E ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΣ. 642

[1]Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς [a]προκρίματος, μηδὲν ποιῶν κατὰ [b]πρόσκλισιν. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει [c]ἁμαρτίαις ἀλλοτρίαις. Σεαυτὸν ἁγνὸν τήρει. Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. B

ΔΙΑΛΕΧΘΕΙΣ περὶ ἐπισκόπων, περὶ διακόνων, ἀνδρῶν, γυναικῶν, περὶ [d]χηρῶν, περὶ πρεσβυτέρων, περὶ τῶν ἄλλων ἁπάντων, καὶ δείξας ὅσων ἐστὶν ὁ ἐπίσκοπος κύριος, [e]ὅτε περὶ κρίσεως ἔλεγεν, ἐπήγαγε· "[f]Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ [g]πρόσκλισιν." Καὶ φρικτῶς παραγγέλλει λοιπόν· οὐ γὰρ ἐπειδὴ Τιμόθεος ἦν τὸ τέκνον τὸ ἀγαπητὸν, ᾐδέσθη. Ὁ γὰρ C περὶ ἑαυτοῦ μὴ αἰσχυνθεὶς εἰπεῖν, [2]"Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι," πολλῷ μᾶλλον περὶ Τιμοθέου οὐκ ἂν ᾐδέσθη οὐδὲ ᾐσχύνθη. Ἀλλὰ τὸν μὲν πατέρα καὶ τὸν υἱὸν καλῶς [h]παραλαμβάνει εἰς μαρτυρίαν· τοὺς [i]μέντοι ἐκλεκτοὺς ἀγγέλους τίνος ἕνεκεν; Ἀπὸ πολλῆς ἐπιεικείας· ἐπεὶ καὶ Μωϋσῆς οὕτω φησί· [3]"Διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν," διὰ τὴν πολλὴν ἐπιείκειαν τοῦ δεσπότου· καὶ πάλιν, "Ἀκούσατε, φάραγγες, θεμέλια τῆς γῆς." Καλεῖ δὲ [k]μάρτυρα τὸν πατέρα καὶ τὸν υἱὸν τῶν λεχθέντων, εἰς τὴν μέλ- D λουσαν ἡμέραν ἀπολογούμενος αὐτοῖς, εἴ τι [l]γένοιτο παρὰ τὸ

[1] Cap. V. v. 21—23. [2] 1 Cor. ix. 27. [3] Deut. iv. 26. Mich. vi. 2.

[e] εἰδότες] + ἀγαπητοὶ B.K. [f] πολλὴν] πολλὴν περὶ ἡμᾶς B. Sav. cet. περὶ ἡμᾶς πολλὴν K. [g] δύναται δεικνύναι] δείξῃ B.K. Hom. XVI. [a] ὑποκρίματος ter K. [b] πρόσκλισιν] Sic L. Cat. Mor. Ben. πρόσκλησιν B.C.I. Veron. Sav. πρόκλησιν K. [c] ἐν ἁμαρτίαις Veron. Sav. Mor. ἐν deest in omnibus. [d] χηρῶν] + ὁμοίως B.K. [e] ὅτε] τότε (om. ἔλεγεν) C.I.L. invitis Cat. Vet. Post ἐπήγαγε add. καί φησιν L. [f] διαμ.] + ὑμῖν L. + λέγων B.K. Mox ἡμῶν om. L. [g] πρόσκλησιν C.I.K. Veron. Sav. πρόκλησιν B. [h] παραλαμβάνεις C. [i] μέντοι] δὲ L. [k] μάρτυρας L. Mox τῶν λεγομένων idem. [l] γένηται B.K.

δέον, ὡς τὸ πᾶν ἀποδυσάμενος. "Ἵνα ταῦτα, [m]φησὶ, φυλάξῃς (317)
χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ [n]πρόσκλισιν." Του-
τέστιν, ἵνα κοινὸς ᾖς καὶ ἴσος τοῖς δικαζομένοις [o]τοῖς ἐπὶ σοῦ
κρινομένοις, ἵνα σε μηδεὶς προκαταλάβῃ, μηδὲ [p]οἰκειώσηται.
[q]Τίνες δέ εἰσιν οἱ ἐκλεκτοὶ ἄγγελοι; Ἄρα ὡς ὄντων τινῶν [r]οὐ
τοιούτων. Ἐπεὶ καὶ ὁ Ἰακὼβ τὸν θεὸν λαμβάνει ἰδίᾳ μάρτυρα,
καὶ τὸν βουνόν. Οὕτω καὶ ἡμεῖς πολλάκις [s]καὶ ὑπερέχοντα καὶ
ἐλάττονα πρόσωπα εἰς μαρτυρίαν λαμβάνομεν· οὕτω μέγα
E ἐστὶν ἡ μαρτυρία. Ὡς ἂν εἰ ἔλεγε· μάρτυρα καλῶ τὸν θεὸν
καὶ τὸν υἱὸν αὐτοῦ καὶ τοὺς [t]δούλους αὐτοῦ, ὅτι παρήγγειλά
σοι· ἐπ' [v]αὐτῶν σοι παραγγέλλω. Φοβεῖ τὸν Τιμόθεον. Εἶτα
τοῦτο εἰπὼν, ὃ πάντων μάλιστα [w]καιριώτατον ἦν, ἐπήγαγε,
καὶ ὃ μάλιστα συνέχει τὴν ἐκκλησίαν, τὸ τῶν [x] χειροτονιῶν.
"Χεῖρας γὰρ, φησὶ, ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει
F ἁμαρτίαις ἀλλοτρίαις." Τί ἐστι, "ταχέως;" [y]Μὴ ἐκ πρώτης
δοκιμασίας, μηδὲ δευτέρας, μηδὲ τρίτης, ἀλλὰ πολλάκις περι-
σκεψάμενος καὶ ἀκριβῶς ἐξετάσας· οὐ γὰρ ἀκίνδυνον τὸ πρᾶγμα.
643 Τῶν γὰρ ἡμαρτημένων ἐκείνῳ καὶ σὺ δίκην ὑφέξεις ὁ τὴν ἀρχὴν
παρασχὼν, καὶ τῶν παρελθουσῶν ἁμαρτιῶν [z]καὶ τῶν γενησομέ-
νων. [a]Ὁ γὰρ ἀφεὶς τὰς πρώτας ἀκαίρως, ὑπεύθυνος ἔσῃ καὶ
τῶν ἐσομένων, [b]ὡς σὺ αἴτιος ὢν, τῶν τε παρελθουσῶν, ὡς οὐκ
ἀφεὶς αὐτὰς [c]πενθῆσαι, οὔτε ἐν κατανύξει γενέσθαι. Ὥσπερ
γὰρ τῶν κατορθωμάτων κοινωνεῖς, οὕτω καὶ τῶν ἁμαρτημάτων.
"Σεαυτὸν ἁγνὸν τήρει." Περὶ σωφροσύνης [d]φησὶν ἐνταῦθα.
"Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν
σου καὶ τὰς πυκνάς σου ἀσθενείας." Εἰ δὲ ἀνδρὶ μέχρι τοσούτου
B νηστείαις προσεσχηκότι, καὶ ἐπὶ τοσοῦτον ὕδατι [e]χρησαμένῳ,
ὡς καὶ ἀσθενεῖν, καὶ πυκνῶς ἀσθενεῖν, παραγγέλλει σωφρονεῖν,
καὶ [f]οὐκ ἀναίνεται ἐκεῖνος· πολλῷ μᾶλλον ἡμεῖς, ὅταν [g]ἀκού-
σωμεν παρά τινος, οὐκ ὀφείλομεν δυσχεραίνειν. Τί δήποτε [h]δὲ
οὐκ ἔρρωσεν αὐτοῦ τὸν [i]στόμαχον; οὐ γὰρ τὰ ἱμάτια νεκροὺς

[m] φησὶ om. C. [n] πρόσκλησιν C.I.L. Veron. Sav. πρόκλησιν B.K. [o] τοῖς ἐπὶ σοῦ κρ. om. B.K. Statim σε om. K. [p] οἰκειώσηται (–εται C.) omnes. προοικ. Edd. [q] τίνες—ἐπεὶ] τῷ δὲ εἰπεῖν ἐκλεκτῶν ἀγγ. δείκνυσιν ἆρα καὶ ὡς οὐ τινῶν ὄντων τοιούτων. οὕτω B.K. [r] οὐ om. I. Cat. [s] καὶ om. K. εἰς μαρτ. post πολλάκις transp. L. [t] δούλους] ἀγγέλους B.K. [v] αὐτῶν] + ἰδοὺ B.K. Sav. cet. [w] κυριώτατον B.K. Sav. Mor. [x] χειρ.] + λέγω B.K. Mox γὰρ, φησὶ om. iidem. [y] μηδὲ C.L. [z] καὶ τῶν γεν. om. C.I.L. Veron. Vet. [a] ὁ γὰρ ἀφ.] ἀφ. γὰρ B.K. Sav. cet. [b] ὡς—ὢν] τούτων μὲν ὡς αἴτιος ὢν σὺ τοῦτον ἐπὶ τὴν ἀρχὴν ἀγαγὼν iidem. Statim τῶν δὲ π. B.K. Cat. τε om. L. [c] πενθῆσαι] Sic B.I.K. Sav. cet. πενθεῖν L. πενθηθῆναι C. Veron. Cat. [d] φησὶν om. C. [e] χρησαμένου L. [f] οὐκ ἀπανένεται (sic) I. οὐ δυσχεραίνει B.K. [g] ἀκούσωμεν] + νουθεσίαν B.K. Sav. cet. [h] δὲ om. C.I.L. Cat. [i] στόμαχον] + οὐχ ὡς ἀδυνατῶν, ἀλλὰ μέγα τι καὶ ἐντεῦθεν οἰκονομῶν B.K. Sav. cet.

ἀνίστη, εὔδηλον ὅτι καὶ τοῦτο ἐδύνατο. Τίνος οὖν ἕνεκεν; [k]Ἵνα,
κἂν νῦν ἴδωμεν ἄνδρας μεγάλους καὶ ἐναρέτους ἀσθενοῦντας, μὴ
σκανδαλιζώμεθα· καὶ γὰρ καὶ [l]ἐκεῖνο συμφερόντως ἐγένετο. Εἰ
γὰρ αὐτῷ [4]ἐδόθη ἄγγελος Σατᾶν, ἵνα μὴ ὑπεραίρηται, πολλῷ C
μᾶλλον Τιμοθέῳ· ἱκανὰ γὰρ ἦν τὰ σημεῖα εἰς ἀπόνοιαν ἆραι.
Διὰ τοῦτο νόμῳ ἰατρείας ἀφίησιν αὐτὸν δουλεῦσαι, ἵνα καὶ αὐ-
τὸς μετριάζῃ, καὶ οἱ ἄλλοι [m]μήτε σκανδαλίζωνται, καὶ [n]μάθω-
σιν, ὅτι τῆς φύσεως ὄντες τῆς ἡμετέρας, οὕτω κατώρθουν ἅπερ
κατώρθουν. Δοκεῖ [o]γάρ μοι καὶ ἄλλως ἐπίνοσος εἶναι, καὶ
τοῦτο δείκνυσι λέγων, "διὰ τὰς πυκνάς σου ἀσθενείας," ἀπό
[p]τε τοῦ στομάχου, ἀπό τε τῶν ἄλλων μερῶν. Οὐ μὴν ἀνῆκεν D
αὐτὸν [q]ἀνέδην ἐμφορεῖσθαι τοῦ οἴνου, ἀλλ' ὅσον πρὸς ὑγείαν,
οὐ πρὸς [r]τρυφήν.

[5]"Τινῶν ἀνθρώπων αἱ [s]ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι
εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν." Ἐπειδὴ περὶ χειροτο-
νιῶν [t]ἔλεγε, "Μὴ κοινώνει, [v]φησὶν, ἁμαρτίαις ἀλλοτρίαις," [w]τί
οὖν, ἂν ἀγνοῶ, φησί; "Τινῶν [x]ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί
εἰσι, προάγουσαι αὐτοὺς εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι."
Τινῶν μὲν, [y]φησὶ, δῆλοί εἰσιν, ὅτι προλαμβάνουσι· τινῶν δὲ οὔ, E
ἀλλ' ἐπακολουθοῦσιν. [6]"Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά
ἐστι, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ [z]δύναται." [7]"[a]Ὅσοι
εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας ἀξίους πάσης τι-
μῆς ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία
βλασφημῆται." Πάσης τιμῆς ἀξίους, [b]φησὶν, ἡγείσθωσαν. Μὴ
γὰρ, ἐπειδὴ πιστὸς εἶ, νομίσῃς ἐλεύθερος εἶναι· τοῦτό ἐστιν
[c]ἐλευθερίας, τὸ μᾶλλον δουλεύειν. Ὁ γὰρ ἄπιστος, ἂν μὲν ἴδῃ
διὰ τὴν πίστιν αὐθαδῶς προσφερομένους, βλασφημήσει [d]πολλὰ F
ὡς στάσιν ἐμποιοῦν τὸ δόγμα· ὅταν δὲ ἴδῃ πειθομένους, μᾶλλον
[e]πεισθήσεται, μᾶλλον προσέξει τοῖς λεγομένοις. [f]Καὶ γὰρ καὶ 644

4 2 Cor. xii. 7. 5 v. 24. 6 v. 25. 7 Cap. VI. v. 1.

[k] ἵνα—σκανδαλιζώμεθα] οὐκ ἔρρωσε; δι' ἡμᾶς· ἵνα μὴ σκ. ὅταν ἴδωμεν ἄ. μ. κ. ἐ. ἀσθενοῦντας B.K. [l] ἐκείνῳ B.K.L. [m] μήτε] μὴ B.K. Sav. cet. [n] μάθωσιν] ἵνα δειχθῇ B.K. Post ὄντες add. κἀκεῖνοι B.K. Sav. cet. [o] γὰρ] δὲ iidem. [p] τε] + γὰρ B.K. Iidem post μερῶν add. ἠσθένει. [q] ἀναίδην C.I. [r] τρυφὴν] + συγχωρεῖ χρῆσθαι B.K. [s] ἁμαρτίαι] + φησὶ L. [t] ἔλεγε] λέγων προσέθηκε τὸ B.K. [v] φησὶν om. B.K.L. ἀλλοτρίαις om. C. [w] τί οὖν—δῆλοί εἰσιν ὅτι] ἵνα μὴ εἴπῃ, τί οὖν ἂν ἀγνοῶ, ἐπήγαγε (+ τὸ K.) τινῶν αἱ ἁ. π. εἰσι· τουτέστι, τινῶν μέν εἰσι δῆλοι ὅτι B.K. [x] ἀνθρώπων accessit ex C.I.L. Mox αὐτοὺς om. C. [y] φησὶν] + αἱ ἁμαρτίαι L. [z] δύνανται L. Post δύναται haec habent B.K. τί ἐστι, προάγουσαι εἰς κρίσιν; τουτέστι, τῶν πονηρῶν πράξεων—τοῖς κατορθοῦσιν. Vid. infra, p. 644 B. [a] ὅσοι] + φησὶν L. [b] φησὶν om. C. [c] ἐλευθερίας B.C.I.K. Cat. Vet. ἐλευθερία Edd. [d] πολλὰ] Sic nostri omnes et Cat. Edebatur πολλάκις. [e] πεισθήσεται] ἐπαινέσεται B.K. [f] καὶ γὰρ καὶ] εἰ δὲ B.K. καὶ γὰρ L.

ὁ θεὸς καὶ τὸ κήρυγμα μέλλει [g]βλασφημεῖσθαι. Τί οὖν, [h]φησὶν, ἂν πιστοὶ ὦσιν οἱ δεσπόται; Καὶ οὕτως ὑπείκειν χρὴ διὰ (318) τὸ τοῦ θεοῦ ὄνομα. [8]"Οἱ [i]γὰρ πιστοὺς ἔχοντες, φησὶ, δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι." [k]Εἰ γὰρ τοσαύτης ἠξιώθητε τιμῆς, φησὶν, ὡς ἀδελφοὺς ἔχειν τοὺς δεσπότας, διὰ τοῦτο μάλιστα ὀφείλετε εἴκειν. "[l]Προάγουσαι, φησὶν, εἰς κρίσιν·" τουτέστιν, [m]ὅτι B τῶν πονηρῶν πράξεων αἱ μὲν [n]λανθάνουσιν, αἱ δὲ οὔ· ἐκεῖ δὲ οὐδὲ τὰ κακὰ, οὐδὲ τὰ καλὰ [o]λαθεῖν δύναται. Τί ἐστι, "Προάγουσαι εἰς κρίσιν;" [p]Οἷον ὅταν τις ἁμαρτάνῃ τὰ ἤδη αὐτὸν κατακρίνοντα, ὅταν τις ἀδιόρθωτος ᾖ, ὅταν τις ἐλπίζηται διορθώσασθαι, μηδὲν δὲ τοιοῦτον πράξῃ. Τί οὖν; [q]πρὸς τί τοῦτο εἴρηται; Ὅτι κἂν ἐνταῦθά τινες λάθωσιν, ἀλλ' ἐκεῖ οὐ [r]λήσονται· ἐκεῖ πάντα γυμνά ἐστιν. Αὕτη δὲ μεγίστη παραμυθία τοῖς κατορθοῦσιν. [s]Ἐπειδὴ εἶπε, "Μηδὲν κατὰ [t]πρόσκλισιν," C "Ὅσοι εἰσὶ, φησὶν, ὑπὸ ζυγὸν δοῦλοι." [v]Τί οὖν τοῦτο πρὸς τὸν ἐπίσκοπον; Καὶ πάνυ, ἵνα [w]παραινῇ. Καὶ ὁρῶμεν αὐτὸν πανταχοῦ τοῖς δούλοις μᾶλλον ἢ τοῖς δεσπόταις [x]ἐπιτάττοντα· ἐκείνοις μὲν μετὰ πολλῆς τῆς ἐπιεικείας, καὶ πολὺν τούτου [y]ποιούμενον λόγον· τοῖς δὲ δεσπόταις, [9]"Ἀνιέντες, φησὶ, τὴν ἀπειλήν." Τί δήποτε; Ἐπὶ [z]μὲν τῶν ἀπίστων, εἰκότως· [a]οὐ D γὰρ εἶχε διαλέγεσθαι τοῖς μὴ προσέχουσιν· ἐπὶ δὲ τῶν πιστῶν, τίνος ἕνεκεν; Ὅτι μείζονα παρὰ [b]τοῦ δεσπότου εἰσφέρεται τοῖς δούλοις, ἢ παρὰ τῶν οἰκετῶν τοῖς δεσπόταις. [c]Ἐκεῖνοί

8 v. 2. 9 Ephes. vi. 9.

[g] βλασφημεῖσθαι] + εἰ μὴ πείθονται L. + μὴ πειθομένων Sav. cet + μὴ πειθομένων, πάντως δοξασθήσεται, πειθαρχούντων τοῖς δεσπόταις καὶ ὑποτασσομένων B.K. [h] φησὶν om. K. Statim πιστοὶ pro ἄπιστοι ex sola Cat. rescripsimus. [i] γὰρ] δὲ B.K. [k] εἰ γὰρ] ὡσεὶ ἔλεγεν, εἰ B.K. Sav. cet. Mox φησὶν om. B.K. [l] προάγουσαι—τοῖς κατορθοῦσιν hic om. B.K. [m] ὅτι om. B.K. Sav. cet. Post πονηρῶν add. φησὶ I.L. Sav. cet. [n] λανθάνουσιν] + ὧδε B.K. Sav. cet. [o] λαθεῖν] μαθεῖν K. Statim δύνανται L. [p] οἷον] τουτέστιν L. [q] πρὸς] καὶ πρὸς B.K. Sav. cet. [r] λαθήσονται L. [s] ἐπειδὴ] εἶτα ἐπειδὴ B.K. Sav. cet. Iidem post πρόσκλισιν add. ἀναγκαίως ἑρμηνεύων αὐτὸ ἐπήγαγε τὸ, omisso mox φησίν. [t] πρόσκλισιν L. πρόκλησιν B.K. πρόσκλησιν Edd. [v] τί οὖν] καὶ τί B.K. Sav. cet. Post ἐπίσκοπον add. φησὶ B.C.K. Sav. cet. [w] παραινῇ] + φησὶ L. + ἵνα καὶ τούτους διδάσκῃ. καλῶς δὲ καὶ ἐνταῦθα περὶ τούτων διατάττεται B.K. Sav. cet. Statim καὶ γὰρ ὁρῶμεν iidem. [x] ἐπιτάττοντα—τί δήποτε;] ἐπιτάττοντα, καὶ τρόπους ὑποταγῆς ὑποδεικνύντα, καὶ πολὺν αὐτῶν ποιούμενον λόγον. ἐκείνοις μὲν οὖν μετὰ πολλῆς τῆς ἐπ. ὑποτάττεσθαι παραινεῖ· τοῖς δὲ δ. ἀνεῖναι τὸν φόβον παρακαλεῖ, ἀν. λέγων, τὴν ἀπ. καὶ τί δήποτε ταῦτα διατάττεται; B.K. Sav. cet. [y] ποιούμενον L. Veron. ποιούμενος I. ποιουμένοις C. [z] μὲν] + γὰρ B.K. Sav. cet. [a] οὐ γὰρ—προσέχουσιν] οὐδὲ γὰρ εἶχε λόγον τοῖς μὴ πρ. διαλ. ὡς προσέχουσιν B.K. λόγον post εἶχε add. Sav. cet. [b] τῶν δεσποτῶν B.K. Sav. cet. [c] ἐκεῖνοι] + γὰρ iidem.

εἰσιν οἱ καὶ χρυσίον καταβάλλοντες, [d]καὶ ὑπὲρ τῆς τῶν ἀναγ-
καίων εὐπορίας, καὶ ὑπὲρ ἐνδυμάτων, καὶ τῶν ἄλλων μεριμνῶντες
ἁπάντων. Ὥστε μείζονα αὐτοῖς δουλείαν εἰσάγουσιν οἱ δεσπό-
ται· ὅπερ καὶ ἐνταῦθα ᾐνίξατο, [e]καί φησιν, "Ὅτι πιστοί εἰσι
καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι." [f]Κόπτον-
ται καὶ ταλαιπωροῦνται ὑπὲρ τῆς [g]ὑμετέρας ἀναπαύσεως, [h]καὶ
οὐκ ὀφείλουσι πολλῆς ἀπολαύειν τιμῆς [i]παρὰ τῶν οἰκετῶν; E

[k]Εἰ δὲ τοῖς δούλοις οὕτως ἐπέταττε τοσαύτῃ κεχρῆσθαι τῇ
ὑπακοῇ, ἐννοήσατε πῶς ἡμᾶς πρὸς τὸν δεσπότην διακεῖσθαι
χρὴ, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγόντα, τὸν
τρέφοντα, τὸν ἐνδιδύσκοντα. Εἰ καὶ μηδαμῶς οὖν ἑτέρως, κἂν
ὡς οἱ οἰκέται οἱ ἡμέτεροι, δουλεύσωμεν αὐτῷ. Οὐχὶ πᾶσαν τὴν
ζωὴν εἰς τοῦτο κατεστήσαντο ἐκεῖνοι, εἰς τὸ ἀναπαύεσθαι τοὺς
δεσπότας αὐτῶν; [l]καὶ τοῦτο ἔργον αὐτοῖς ἐστι, καὶ οὗτος
[m]βίος, τὰ δεσποτικὰ μεριμνᾶν. Οὐχὶ τὰ τοῦ δεσπότου πᾶσαν
τὴν ἡμέραν μεριμνῶσι, τὰ δὲ [n]αὐτῶν πολλάκις μικρὸν ἑσπέρας F
μέρος; Ἡμεῖς δὲ τοὐναντίον, τὰ μὲν ἡμέτερα διαπαντὸς, τὰ δὲ
τοῦ δεσπότου οὐδὲ μικρὸν μέρος, καὶ ταῦτα οὐ δεομένου τῶν
ἡμετέρων, καθάπερ οἱ δεσπόται τῶν δούλων, ἀλλὰ καὶ τούτων
αὐτῶν πάλιν εἰς ἡμέτερον προχωρούντων κέρδος. Ἐκεῖ μὲν γὰρ 645
ἡ διακονία τοῦ οἰκέτου τὸν δεσπότην ὠφελεῖ· ἐνταῦθα δὲ ἡ δια-
κονία τοῦ δούλου τὸν μὲν δεσπότην οὐδὲν, πάλιν δὲ [o]αὐτὸν τὸν
οἰκέτην ὀνίνησι. [10]"Τῶν ἀγαθῶν γάρ μου, φησὶν, οὐ χρείαν
ἔχεις." Εἰπὲ γάρ μοι, τί τῷ θεῷ κέρδος, [p]ἵνα ἐγὼ δίκαιος ὦ;
ποία δὲ βλάβη, ἐὰν ἄδικος; οὐχὶ ἀκήρατος ἡ φύσις ἐκείνη; οὐχὶ
ἀβλαβής; οὐχὶ παντὸς ἀνωτέρα πάθους; Οἱ οἰκέται οὐδὲν
[q]ἴδιον ἔχουσιν, ἀλλὰ πάντα δεσποτικὰ, κἂν μυριάκις πλουτῶ-
σιν· ἡμεῖς δὲ πολλὰ ἴδια ἔχομεν. Οὐχ ἁπλῶς τοσαύτης τιμῆς
ἀπολαύομεν παρὰ τοῦ τῶν ὅλων βασιλέως. Ποῖος δεσπότης B
ὑπὲρ οἰκέτου τὸν υἱὸν ἔδωκε τὸν ἑαυτοῦ; Οὐδείς· ἀλλὰ πάντες
ἂν [r]ἕλοιντο τοὺς οἰκέτας ὑπὲρ τῶν παίδων δοῦναι. Ἐνταῦθα δὲ
τοὐναντίον· τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάν-
των παρέδωκεν αὐτὸν, ὑπὲρ [s]πάντων τῶν ἐχθρῶν, τῶν μισούν-
των αὐτόν. Οἱ οἰκέται, κἂν βαρέα τινὰ ἐπιτάττωνται, οὐδὲ

10 Psal. xv. 2.

[d] καὶ om. L. [e] καί φ.] εἰπὼν B.K. Sav. cet. [f] κόπτονται] + γοῦν B. κοπτόμενοι γοῦν καὶ ταλαιπωροῦντες K. [g] ὑμετ.] ἡμετ. C. τῶν οἰκετῶν B.K. [h] καὶ om. B. ἀεὶ pro καὶ K. [i] παρὰ τῶν οἰκ.] παρ' αὐτῶν B.K. [k] ΗΘΙΚΟΝ. Ἔλεγχος πρὸς τοὺς μὴ δουλεύοντας τῷ θεῷ, ὅσον ἀπαιτοῦσιν οὗτοι δουλεύεσθαι ὑπὸ τῶν ἰδίων οἰκετῶν. Veron. [l] καὶ] + οὐ L. [m] ὁ βίος Edd. ὁ om. B.K.L. fere erasum in I. βίος οὗτος hoc ord. L. Statim τὸ τὰ δ. L. [n] ἑαυτῶν L. [o] αὐτὸν om. L. δοῦλον pro οἰκέτην I. [p] ἵνα] ἐὰν B.K. Sav. cet. [q] ἴδιον om. L. [r] ἕλοιντο] + μᾶλλον B.K. Sav. cet. [s] πάντων] ἡμῶν B.K. πάντων om. Sav. cet. Mox αὐτὸν om. L.

οὕτω δυσχεραίνουσι, καὶ μάλιστα ἂν ὦσιν εὐγνώμονες· ἡμεῖς δὲ
ἀποδυσπετοῦμεν μυρία. Τοῖς οἰκέταις οὐδὲν ἐπαγγέλλεται τοι-
οῦτον ὁ δεσπότης, οἷον ἡμῖν ὁ θεός· ἀλλὰ τί; ἐλευθερίαν, [t]φησὶ, (319)
C τὴν ἐνταῦθα, τὴν πολλάκις τῆς δουλείας χαλεπωτέραν. Πολ-
λάκις γὰρ κατέλαβε λιμὸς, καὶ πικροτέρα δουλείας αὕτη ἡ ἐλευ-
θερία γέγονε, καὶ τὸ δῶρον τοῦτο τὸ [v]μέγιστον. Παρὰ δὲ τῷ
θεῷ οὐδὲν [w]ἐπίκηρον, οὐδὲν φθαρτὸν, ἀλλὰ τί; [11]"[x]Οὐ λέγω
ὑμᾶς δούλους, φησίν· ὑμεῖς φίλοι μού ἐστε." Αἰσχυνθῶμεν,
ἀγαπητοὶ, φοβηθῶμεν· κἂν ὡς οἱ οἰκέται ἡμῖν δουλεύουσι, δου-
λεύσωμεν ἡμεῖς τῷ δεσπότῃ· μᾶλλον δὲ [y]οὐδὲ πρὸς τὸ πολλο-
στὸν μέρος τὴν δουλείαν ἡμεῖς ἐπιδεικνύμεθα. Ἐκεῖνοι διὰ τὴν
ἀνάγκην φιλοσοφοῦσι, σκεπάσματα μόνον ἔχουσι καὶ τροφάς·
D ἡμεῖς δὲ [z]ὑβρίζομεν εἰς τὴν τρυφήν. Εἰ μηδαμόθεν ἄλλοθεν,
κἂν παρ' ἐκείνων δεχώμεθα τῆς φιλοσοφίας τοὺς κανόνας. Οἶδε
γὰρ ἡ γραφὴ οὐχὶ πρὸς οἰκέτας, ἀλλὰ καὶ πρὸς ἄλογα πέμπειν
τοὺς ἀνθρώπους· οἷον ὅταν [12]τὴν [a]μέλισσαν, ὅταν τοὺς μύρμηκας
κελεύῃ μιμεῖσθαι. Ἐγὼ δὲ κἂν τοὺς οἰκέτας μιμήσασθαι παρ-
αινῶ· ὅσα ἐκεῖνοι διὰ τὸν φόβον τὸν ἡμέτερον πράττουσι, κἂν
τοσαῦτα διὰ τὸν τοῦ θεοῦ φόβον ἡμεῖς πράττωμεν· [b]οὐ γὰρ
E εὑρίσκομεν πράττοντας ὑμᾶς. Ἐκεῖνοι διὰ τὸν [c]φόβον τὸν
ἡμέτερον ὑβρίζονται μυριάκις, καὶ παντὸς φιλοσόφου μᾶλλον
ἑστήκασι σιγῶντες· ὑβρίζονται καὶ δικαίως καὶ ἀδίκως, καὶ οὐκ
ἀντιλέγουσιν, ἀλλὰ παρακαλοῦσιν, ἀδικοῦντες οὐδὲν πολλάκις.
[d]Οὐδὲν πλέον τῆς χρείας λαμβάνοντες, πολλάκις δὲ καὶ ἔλαττον,
στέργουσι· [e]καὶ ἐπὶ στιβάδος καθεύδοντες, καὶ ἄρτου [f]μόνον
πληρούμενοι, καὶ τὴν ἄλλην πᾶσαν δίαιταν ἔχοντες εὐτελῆ, οὐκ
ἐγκαλοῦσιν, οὐδὲ δυσχεραίνουσιν ἐκεῖνοι διὰ τὸν παρ' ἡμῶν φό-
βον. Ἐμπιστευόμενοι χρήματα, πάντα ἀποδιδόασι· μὴ γάρ μοι
F τοὺς μοχθηροὺς [g]εἴπῃς τῶν οἰκετῶν, ἀλλὰ τοὺς μὴ λίαν κακούς·
ἂν ἀπειλήσωμεν, εὐθέως συστέλλονται. [h]Ἆρα οὐ φιλοσοφίας
ταῦτα; Μὴ [i]γὰρ ὅτι ἀνάγκῃ γίνεται εἴπῃς, ὅτι καὶ ἐπὶ σοὶ

11 Joan. xv. 15. 12 Prov. vi. 6—8. in Graeco.

[t] φησὶ om. B.K. Sav. cet. [v] μέγιστον] + τὴν ἐσχάτην αὐτῷ ἤνεγκε βλάβην B.K. [w] ἐπίκηρον] Sic C.L. ἐπίκαιρον Edd. [x] οὐ] βούλει μαθεῖν; ἄκουε. οὐκέτι B.K. Sav. cet. [y] οὐδὲ, quod aberat, est in C.I.L. οὐδὲ τὸ π. μέρος πρὸς τὴν δ. B.K. [z] ὑβρ. εἰς τὴν τρ.] μυρία, τὰ μὲν ἔχοντες, τὰ δὲ ἐλπίζοντες, ὑβρ. τῇ τρυφῇ εἰς τὸν εὐεργέτην B.K. Sav. cet. [a] μέλιτταν C.I.K. Mox τὸν μύρμηκα K. [b] οὐ γὰρ—ὑμᾶς om. L. οὐ γὰρ—ἐκεῖνοι] οὐ γὰρ εὑρισκόμεθα πράττοντες ἡμεῖς διὰ τὸν φόβον τοῦ θεοῦ, ὅσα ἐκεῖνοι I. καὶ μὴ καταγνῷς βαρύτητα τοῦ λόγου ἡμῶν, διὰ τοῦτο λέγομεν (λέγουσιν B.) ὅτι οὐχ εὑρ. πράττοντάς τι ὑμᾶς. ἐκεῖνοι B.K. [c] φ. τὸν ἡμ. pro ἡμ. φ. omnes. [d] οὐδὲν] + ἐκεῖνοι B.K.L. Sav. cet. [e] καὶ om C. [f] μόνου L. [g] εἴπῃς omnes. εἴποις Edd. [h] ἆρα] + οὖν C. [i] γὰρ] + μοι L. μὴ γὰρ—εἴπῃς] καὶ μή μοι εἴπῃς ὡς ἀνάγκῃ γίνεται B.K.

ἀνάγκη τῆς γεέννης ἐπίκειται, [k]καὶ οὐδὲ οὕτω σωφρονεῖς, οὐδὲ
τοσαύτην παρέχεις τιμὴν τῷ θεῷ, [l]ὅσης ἀπολαύεις παρὰ τῶν 646
οἰκετῶν. Ἔχει ἕκαστος τῶν οἰκετῶν οἴκημα τὸ νενομοθετημένον,
καὶ οὐκ ἐπεμβαίνει τῷ τοῦ πλησίον, οὐδὲ λυμαίνεται τῇ ἐπιθυμίᾳ
τοῦ πλείονος. [m]Καὶ ταῦτα ἴδοι τις ἂν ἐν οἰκέταις διὰ τὸν τῶν
δεσποτῶν φόβον [n]παραφυλαττόμενα· καὶ σπανίως [o]ἂν ἴδοις
οἰκέτην τὰ τοῦ οἰκέτου ἁρπάζοντα, ἢ λυμαινόμενον. Παρὰ δὲ
ἀνθρώποις ἐλευθέροις τὰ ἐναντία τούτων γίνεται· ἀλλήλους
δάκνομεν, κατεσθίομεν, [p]οὐ δεδοίκαμεν τὸν δεσπότην, τὰ τῶν
συνδούλων ἁρπάζομεν, κλέπτομεν, τύπτομεν, ὁρῶντος αὐτοῦ·
τοῦτο δὲ οὐκ ἂν ποιήσειεν οἰκέτης, ἀλλὰ κἂν τύπτῃ, μὴ ὁρῶντος B
τοῦ δεσπότου, κἂν ὑβρίζῃ, μὴ ἀκούοντος· ἡμεῖς δὲ τοῦ θεοῦ
πάντα καὶ ὁρῶντος καὶ ἀκούοντος, τολμῶμεν. Φόβος ὁ τοῦ
δεσπότου πρὸ τῶν ὀφθαλμῶν ἐκείνων διαπαντός· ἡμῶν δὲ [q]οὐ-
τος οὐδέποτε. Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, πάντα
συγκέχυται καὶ διέφθαρται· καὶ αὐτοὶ μὲν οὐδὲ εἰς νοῦν λαμβά-
νομεν τὰ [r]ἡμαρτημένα, τοὺς δὲ οἰκέτας τοὺς ἡμετέρους ἁμαρτά-
νοντας [s]μετὰ ἀκριβείας ἅπαντα ἐξετάζομεν, καὶ τὰ μικρότατα.
Ταῦτα λέγω, οὐχὶ τοὺς οἰκέτας ὑπτίους ποιῆσαι βουλόμενος,
ἀλλὰ τὸ [t]ἡμέτερον ὕπτιον ἐπιστρέψαι, τὸ ῥᾴθυμον διεγεῖραι, C
ἵνα κἂν οὕτω δουλεύωμεν τῷ θεῷ, ὡς ἡμῖν οἱ οἰκέται, οὕτω τῷ
πεποιηκότι ἡμᾶς, ὡς ἡμῖν οἱ ὁμοούσιοι, καὶ μηδὲν τοιοῦτον
ἔχοντες παρ' ἡμῶν. Ἐλεύθεροι τῇ φύσει καὶ οὗτοί [v]εἰσιν·
[13]"Ἀρχέτωσαν τῶν ἰχθύων," καὶ τούτοις εἴρηται. Οὐκ ἔστιν
αὕτη φύσεως ἡ δουλεία, ἀλλ' [w]ἀξίας ἐστὶ καὶ περιστάσεως·
ἀλλ' ὅμως πολλὴν ἡμῖν παρέχουσι τὴν τιμήν. Ἡμεῖς δὲ τού-
τοις μὲν μετὰ πάσης ἀκριβείας ἐπιτιθέμεθα τῆς ἡμετέρας [x]ἕνε-
κεν διακονίας· τῷ δὲ θεῷ οὐδὲ τὸ πολλοστὸν παρέχομεν μέρος,
καὶ ταῦτα πάλιν εἰς ἡμᾶς στρεφομένης τῆς ὠφελείας. Ὅσῳ D
γὰρ ἂν σπουδαιότερον δουλεύσωμεν τῷ θεῷ, τοσούτῳ μᾶλλον
[y]ἑαυτοὺς ὀνήσομεν, καὶ αὐτοὶ μᾶλλον κερδανοῦμεν. Μὴ δὴ
τοσαύτης ἀποστερήσωμεν ὠφελείας ἡμᾶς [z]αὐτούς· ὁ μὲν γὰρ
θεὸς αὐτάρκης ἐστὶ καὶ ἀνενδεής, ἡ δὲ ἀμοιβὴ καὶ τὸ κέρδος
πάλιν εἰς ἡμᾶς ἀνατρέχει. Ὡς οὖν οὐ τὸν θεὸν θεραπεύοντες,

13 Gen. i. 26.

k καὶ] ἀλλ' B. l ὅσην C. m καὶ om. K. n παραφυλ. omnes. φυλ. Edd. o ἂν ἴδοις] ὄψεταί τις B.K. p οὐ δ. τὸν δ. om. B.K. Iidem post κλέπτομεν add. καὶ οὐ δ. τὸν δ. et mox post αὐτοῦ, καὶ οὐ συστελλόμεθα. q οὕτως L. r ἡμαρτ.] + ἡμῖν B.K. Sav. cet. Statim τῶν δὲ οἰκετῶν τῶν ἡμ. ἁμαρτανόντων iidem. s μετὰ] + πάσης C. Mox διεξετάζομεν καὶ τὰ σμ. L. t ὑμέτερον C. v εἰσι· τὸ ἀρχ. B.K. w ἀξίας] αἰτίας B.K. Sav. cet. ἐστὶ om. B.K. x ἕνεκα C.L. y ἑαυτοὺς—μᾶλλον om. I. z ἑαυτοὺς L.

ἀλλ' ἡμᾶς αὐτοὺς, οὕτω [a]διακείμεθα, καὶ δουλεύσωμεν αὐτῷ (320)
μετὰ φόβου καὶ τρόμου, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγα-
θῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, [b]μεθ' οὗ τῷ πατρὶ ἅμα
E τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

647
ΛΟΓΟΣ ΙΖ.

[1]Ταῦτα δίδασκε καὶ παρακάλει. Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ
[a]προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μη-
δὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας,
ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραὶ,
B διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπε-
στερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν
εὐσέβειαν. Ἀφίστασο ἀπὸ τῶν τοιούτων. Ἔστι δὲ πορι-
σμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. Οὐδὲν γὰρ εἰση-
νέγκαμεν εἰς τὸν κόσμον τοῦτον· δῆλον ὅτι [b]οὐδὲ ἐξενεγκεῖν
τι δυνάμεθα.

C ΟΥΚ [c]αὐθεντίας δεῖ τῷ διδασκάλῳ μόνον, ἀλλὰ καὶ προσ-
ηνείας πολλῆς, ὥσπερ οὐ προσηνείας μόνον, ἀλλὰ καὶ αὐθεντίας.
Καὶ ταῦτα πάντα διδάσκει ὁ μακάριος Παῦλος, ποτὲ μὲν λέγων,
“ [d]Παράγγελλε ταῦτα καὶ δίδασκε,” ποτὲ δὲ, “ Ταῦτα δίδασκε
καὶ παρακάλει.” Εἰ γὰρ ἰατροὶ τοὺς κάμνοντας παρακαλοῦσιν,
οὐχ ἵνα αὐτοὶ τῆς ὑγείας ἐπιτύχωσιν, ἀλλ' ἵνα ἐκείνους ἀπαλλά-
ξωσι τῆς ἀσθενείας καὶ κειμένους ἀναστήσωσι· πολλῷ μᾶλλον
D ἡμᾶς τούτῳ πρὸς τοὺς διδασκομένους [e]κεχρῆσθαι· τῷ ἤθει χρὴ
παρακαλοῦντας. Οὐδὲ γὰρ δοῦλος αὐτῶν εἶναι παραιτεῖται ὁ
μακάριος Παῦλος, [f]λέγων· [2]“ Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν,
φησὶν, ἀλλὰ Χριστὸν Ἰησοῦν, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ
Ἰησοῦν·” καὶ πάλιν, “Πάντα ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε
Ἀπολλώς.” Καὶ δουλεύει τὴν δουλείαν ταύτην μετὰ προθυμίας·
οὐ γάρ ἐστι δουλεία, ἀλλ' ἐλευθερίας βελτίων. [3]“ Ἐκεῖνος γάρ
ἐστι, φησὶ, δοῦλος, ὁ ποιῶν τὴν ἁμαρτίαν.” “ Εἴ τις [g]ἑτερο-
διδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ

[1] Cap. VI. v. 2—7. [2] 2 Cor. iv. 5. 1 Cor. iii. 21, 22. [3] Joan. viii. 34.

[a] διακείμεθα] διακεώμεθα, παρακαλῶ B.K. Sav. cet. [b] μεθ' οὗ—τιμὴ] ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι L.
Hom. XVII. [a] προσέρχεται τῇ κατ' εὐσ. διδ. καὶ τοῖς ὑγ. λ. τοῖς τ. κ. ἡ. Ἰ. Χ. hoc ord. L. [b] οὔτε B.L. [c] αὐθεντείας bis I.K. Cat. [d] παράγγελε C. [e] κεχ. τῷ ἤθει (ἔθει Cat.)] Sic C.I.K. Cat. τῷ ἤ. κεχ. Edd. [f] λέγων] οὕτω λ. C. Mox φησὶν om. L. [g] ἑτεροδ.] + φησὶ L. Mox τοῖς ὑγιαίν. K.

κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, E
τετύφωται, μηδὲν [h]*ἐπιστάμενος."* Οὐκ ἄρα ἐκ τοῦ εἰδέναι τὸ
εἰς ἀπόνοιαν αἴρεσθαι συμβαίνει, ἀλλ' ἐκ τοῦ μὴ εἰδέναι. Ὁ
γὰρ εἰδὼς τοὺς κατ' εὐσέβειαν λόγους, οὗτος μάλιστα καὶ με-
τριάζειν οἶδεν· ὁ τοὺς ὑγιαίνοντας ἐπιστάμενος λόγους, οὐ νοσεῖ.
Ὅπερ [i]γὰρ ἐπὶ σωμάτων φλεγμονὴ, τοῦτο ἐν ταῖς ψυχαῖς
ἀπόνοια· ὥσπερ ἐκεῖ τὸ φλεγμαῖνον οὔ φαμεν ὑγιαίνειν, οὕτως
οὐδὲ ἐνταῦθα τοὺς ἀλαζόνας. Ἆρα ἔστιν εἰδότα τι [k]μηδὲν
εἰδέναι· ὁ γὰρ μὴ εἰδὼς ἅπερ εἰδέναι χρὴ, οὐδὲν οἶδε. Καὶ ὅτι F
ἐκ τοῦ μηδὲν εἰδέναι ὑπερηφανία γίνεται, δῆλον ἐκεῖθεν. Ὁ
Χριστὸς ἐκένωσεν ἑαυτόν· ὁ [l]τοῦτο τοίνυν εἰδὼς οὐ [m]μέγα
φρονήσει ποτέ· οὐδὲν γὰρ ἔχει ἄνθρωπος, εἰ μὴ παρὰ τοῦ θεοῦ·
οὐκοῦν οὐ μέγα φρονήσει· [4]"Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;" Αὐτὸς
τοὺς πόδας ἔνιψε τῶν μαθητῶν· ὁ τοῦτο εἰδὼς, πῶς ἐπαρθήσε-
ται; Διὰ τοῦτό φησιν, [5]"Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι 648
ἀχρεῖοι δοῦλοί ἐσμεν." Ὁ τελώνης ἀπὸ μόνης ταπεινοφροσύνης
εὐδοκίμησεν, ὁ Φαρισαῖος ἐξ ἀλαζονείας ἀπώλετο. Ὁ τοίνυν
τετυφωμένος οὐδὲν τούτων ἐπίσταται. Αὐτὸς πάλιν ὁ Χριστός
φησιν· [6]"Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ
δὲ καλῶς, τί με [n]δέρεις;" "Ἀλλὰ νοσῶν, φησὶ, περὶ ζητήσεις."
Ἆρα νοσεῖν ἐστι τὸ ζητεῖν. "Καὶ [o]λογομαχίας·" εἰκότως.
Ὅταν γὰρ ὑπὸ τῶν λογισμῶν [p]ἡ ψυχὴ πυρέττῃ, ὅταν [q]χειμά-
ζηται, τότε ζητεῖ· ὅταν δὲ ἐν ὑγείᾳ ᾖ, [r]οὐ ζητεῖ, ἀλλὰ τὴν
πίστιν δέχεται. Ἀπὸ δὲ ζητήσεως καὶ λογομαχίας οὐδέν ἐστιν B
εὑρεῖν. Ἃ γὰρ ἡ πίστις ἐπαγγέλλεται μόνη, ἡ ζήτησις ἐπειδὰν
(321) ἀναδέξηται, οὔτε δείκνυσιν, οὔτε [s]συνεῖναι ἀφίησιν. Οὐδὲ γὰρ
εἴ τις μύσας τοὺς ὀφθαλμοὺς, [t]βούλοιτο εὑρεῖν τι τῶν ζητου-
μένων, δυνήσεται, ἢ αὖ πάλιν, [v]εἰ τούτων ἀνεῳγμένων, κατορύ-
ξας ἑαυτὸν, καὶ τὴν ἀκτῖνα ἀποστραφεὶς, ἐκεῖ ζητοίη, δυνήσεταί
τι εὑρεῖν. Οὕτω πίστεως χωρὶς οὐδὲν εὑρίσκεται, ἀλλὰ μάχας
ἀνάγκη τίκτεσθαι. "Ἐξ ὧν [w]γίνονται βλασφημίαι, ὑπόνοιαι
πονηραί·" τουτέστι, δόξαι καὶ δόγματα πονηρὰ ἀπὸ τῶν ζητή- C
σεων. Τότε περὶ θεοῦ ἃ μὴ δεῖ ὑποπτεύομεν, ὅταν εἰς ζητήσεις

[4] 1 Cor. iv. 7. [5] Luc. xvii. 10. [6] Joan. xviii. 23.

[h] *ἐπιστάμενος*] + *ἀλλὰ νοσῶν* B.K. [i] *γὰρ*] + *ἐστιν* B.K. *γὰρ* om. I.L. Mox *τοῦτο ἐπὶ ψυχῆς ἀπ.* L. [k] *μηδὲν*] *μὴ* bis C. [l] *τοῦτον* C. [m] *μέγα φρ.*] *μεγάλα φρ.* L. *μεγαλοφρ.* B.I. [n] *δαίρεις* C. [o] *λογομαχίας*] *λογομαχεῖν* ex corr. rec. K. *λογομαχίας ἐγείρειν* Cat. *λογομαχίαι* Sav. cet. repugnantibus libris. [p] *ἡ* om. I.L. [q] *χειμάζηται*] + *τότε νοσεῖ* L. [r] *τότε οὐ ζ.* Edd. *τότε* deest in nostris omnibus et Cat. Mox *τῇ πίστει* B.K. [s] *συνιέναι* Sav. cet. invitis libris. [t] *βούλοιτο* pro *βούλεται* omnes. [v] *εἰ* om. I. [w] *γίνονται*] *γίνεται φθόνος, ἔρις* B.K.

ἐμπέσωμεν. "[x] Διαπαρατριβαί·" τουτέστι, σχολὴ, [y] ἢ διατριβή.
Ἢ, "[z] διαπαρατριβαὶ," τοῦτό φησι· καθάπερ τὰ ψωραλέα τῶν
προβάτων [a] παρατριβόμενα νόσου καὶ τὰ ὑγιαίνοντα ἐμπίπλη-
σιν, οὕτω καὶ οὗτοι οἱ πονηροὶ ἄνδρες. "[b] Καὶ ἀπεστερημένων,
φησὶ, τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν."
Ὁρᾷς πόσα τίκτειν φησὶ τὰς λογομαχίας; αἰσχροκέρδειαν,
ἄγνοιαν, ἀπόνοιαν· τὴν γὰρ ἀπόνοιαν ἡ ἄγνοια τίκτει. "[c] Καὶ
D ἀπὸ τούτων, φησὶν, ἀφίστασο." Οὐκ εἶπεν, ὁμόσε [d] χώρει.
7 "Αἱρετικὸν γὰρ, φησὶν, ἄνθρωπον μετὰ μίαν ἢ δευτέραν
νουθεσίαν παραιτοῦ." Δείκνυσιν αὐτοὺς οὐκ ἀπὸ ἀγνοίας τοσοῦ-
τον, ὅσον ἀπὸ ῥᾳθυμίας καὶ αὐτὴν τὴν ἄγνοιαν ἔχοντας. Ἀν-
θρώπους γὰρ χρημάτων ἕνεκεν μαχομένους πότε δυνήσῃ πεῖσαι;
Ἄλλως οὐ πείσεις τοὺς τοιούτους, ἂν μὴ δῷς πάλιν, [e] καὶ οὐδὲ
οὕτως αὐτῶν τὴν ἐπιθυμίαν ἐμπλήσεις· 8 "Πλεονέκτου γὰρ
[f] ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι." Δεῖ τοίνυν [g] τοὺς ἀδιορ-
θώτως ἔχοντας ἐκτρέπεσθαι. Εἰ δὲ τῷ τοῦ μάχεσθαι πολλὴν
E ἔχοντι τὴν ἀνάγκην παραινεῖ μὴ ὁμόσε χωρεῖν μηδὲ συμπλέκε-
σθαι, πολλῷ μᾶλλον τοῖς μαθητευομένοις ἡμῖν, τοῖς ἐν τάξει
μαθητῶν οὖσιν. Εἰπὼν δὲ ὅτι νομίζουσι πορισμὸν εἶναι τὴν
εὐσέβειαν, ἐπήγαγεν· "Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια
μετὰ αὐταρκείας·" οὐχ ὅταν χρήματα ἔχῃ, ἀλλ' ὅταν μὴ ἔχῃ.
Ἵνα γὰρ μὴ καταπέσῃ εἰς ἀθυμίαν διὰ τὴν πενίαν, ἀνίστησιν
αὐτὸν καὶ ἀνορθοῖ. "Νομίζουσι, φησὶν, ὅτι πορισμός ἐστιν."
Ἔστι μὲν γὰρ, ἀλλ' οὐχ οὕτως, ἀλλὰ μειζόνως. Εἶτα πρότε-
F ρον καταβαλὼν ἐκείνην, τότε ταύτην ἐπαίρει. Ὅτι γὰρ οὐδέν
ἐστιν ὁ πορισμὸς [h] οὗτος, δῆλον ἐκ τοῦ μένειν ἐνταῦθα, [i] καὶ μὴ
συμμεθίστασθαι ἡμῖν, μηδὲ συναποδημεῖν. [k] Πόθεν τοῦτο δῆλον;
Ὅτι οὐδὲν ἔχοντες ἤλθομεν εἰς τὸν βίον· οὐκοῦν οὐδὲ ἀπελευσό-
649 μεθα ἔχοντες· γυμνὴ γὰρ παρεγένετο ἡ φύσις, γυμνὴ καὶ
ἄπεισιν. Οὐ τοίνυν ἡμῖν δεῖ τῶν περιττῶν· εἰ μηδὲν εἰσηνέγκαμεν,
[l] μηδὲ ἔχοντες, φησὶν, ἀπελευσόμεθα. "Ἔχοντες, [m] φησὶ, δια-
τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα." Τοσαῦτα

7 Tit. iii. 10. 8 Sirac. xiv. 9.

[x] δι' ἃ παρατριβαὶ bis Cat. [y] ἢ] ἡ C.I. ἢ om. Cat. [z] διαπ. τ. φ.] Sic C.I.L. Cat. τ. φ. διαπ. Edd. ἢ διαπ. τ. φ.] ἡ γὰρ παρατριβὴ, διατριβή ἐστιν. ὃ δὲ λέγει τοῦτό ἐστι B.K. [a] διαπαρατρ. L. Statim νόσους I. [b] καὶ] διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ B.K. Mox φησὶ om. iidem. [c] καὶ om. B.I.K. Sav. cet. φησὶν om. B.K. [d] χώρει] + ἀλλ' ἀφίστασο, τουτέστιν, ἐκτρέπου B.K. Sav. cet. [e] καὶ] ἀλλ' B.K. [f] ὀφθαλμὸς] + φησὶν B.K. Sav. cet. [g] τοὺς pro αὐτοὺς libri omnes et Cat. [h] οὗτος] ὁ τοιοῦτος B.K. [i] καὶ μὴ omnes. μηδὲ Cat. Edd. [k] πόθεν] + δὲ B.K. [l] μηδὲ] οὐδὲν δὲ B.K. Mox φησὶν om. B.K. Sav. cet. [m] φησὶ] δὲ iidem. φησὶ om. C.

ἐσθίειν χρὴ [n]καὶ τοιαῦτα, ἃ θρέψαι ἀρκεῖ· τοιαῦτα ἀμφιέννυ-
σθαι, ἃ σκεπάσαι μόνον ἡμᾶς ὀφείλει, καὶ περιστεῖλαι τὴν γύ-
μνωσιν, μηδὲν περιττόν· τοῦτο δὲ καὶ τὸ τυχὸν [o]ποιῆσαι δύναται
ἱμάτιον.

Εἶτα ἀπὸ τῶν ἐνταῦθα προτρέπει· [9]"Οἱ δὲ βουλόμενοι,
[p]φησὶ, πλουτεῖν." Οὐχ [q]ἁπλῶς οἱ πλουτοῦντες, ἀλλ', "οἱ B
βουλόμενοι." Ἔστι γάρ τινα καὶ χρήματα ἔχοντα καλῶς οἰκο-
νομεῖν, καταφρονοῦντα αὐτῶν, καὶ εἰς πένητας διανέμοντα. Οὐκ
ἄρα τοὺς τοιούτους, ἀλλὰ τοὺς ἐπιθυμοῦντας διαβάλλει. "Οἱ
δὲ βουλόμενοι, φησὶ, πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ
παγίδα [r]τοῦ διαβόλου, καὶ ἐπιθυμίας πολλὰς [s]ἀνονήτους καὶ
βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους." Καλῶς εἶπε,
"[t]βυθίζουσιν," ὡς μηδὲ ἀνενεγκεῖν δύνασθαι. "Εἰς ὄλεθρον καὶ
[v]ἀπώλειαν," καὶ τὴν ἐνταῦθα καὶ τὴν μέλλουσαν. [10]"Ῥίζα
γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι
ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ περιέπειραν ἑαυτοὺς C
ὀδύναις πολλαῖς." Ἰδοὺ δύο τίθησιν, ἀλλ' ὃ μᾶλλον αὐτοῖς
ἰσχυρότερον εἶναι δοκεῖ, [w]τὸ ἐνταῦθα ὕστερον [x]τέθεικε, τὸ,
"ὀδύναις πολλαῖς." Καὶ ταῦτα ἑτέρως οὐκ ἔστι μαθεῖν, ἢ τοῖς
πλουσίοις παροικοῦντα, πόσα ἀποδύρονται, πόσα θρηνοῦσι.
[11]"Σὺ δὲ, ὦ [y]ἄνθρωπε τοῦ θεοῦ." Μέγα ἀξίωμα· πάντες μὲν
(322) γὰρ ἄνθρωποι τοῦ θεοῦ, ἀλλὰ κυρίως οἱ δίκαιοι, οὐ κατὰ τὸν
τῆς δημιουργίας λόγον μόνον, ἀλλὰ καὶ κατὰ [z]τὸν τῆς οἰκειώ-
σεως καὶ τῆς κτίσεως. Εἰ τοῦ θεοῦ ἄνθρωπος, φησὶν, εἶ, μὴ
ζήτει τὰ περιττὰ, καὶ οὐκ ἄγοντα πρὸς τὸν θεόν· ἀλλὰ, "ταῦτα D
φεῦγε, δίωκε δὲ δικαιοσύνην." Ἀμφότερα [a]μετ' ἐπιτάσεως.
Οὐκ εἶπεν, ἀφίστασο, καὶ πρόσιθι, ἀλλὰ [b]καὶ φεῦγε, καὶ δίωκε·
"δικαιοσύνην," ὥστε μὴ πλεονεκτεῖν· "εὐσέβειαν," τὴν τῶν
δογμάτων· "πίστιν," ἥπερ ἐστὶν ἐναντία τῇ ζητήσει· "ἀγάπην,
ὑπομονὴν, πραότητα." [12]"Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς
πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς·" ἰδοὺ καὶ ὁ μισθός· "εἰς
ἣν ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν·" ἐπὶ ἐλπίδι,

[9] v. 9. [10] v. 10. [11] v. 11. [12] v. 12.

[n] καὶ τ. ἃ] ὅσα B.K. [o] π. δύναται] δύναται π. C.L. [p] φησὶ] εἰπὼν B.K. [q] ἁπλῶς] + εἶπεν Sav. cet. Ita ex corr. rec. K. οὐχ ἁπλῶς—πλουτεῖν om. L. [r] τοῦ δ. om. C. Statim καὶ εἰς ἐπ. I.L. [s] καὶ ἀνοήτους Edd. καὶ om. B.C.I.L. Cat. ἀνονήτους C.I. et corr. ab eadem man. K. [t] βυθίζουσιν] + τοὺς ἀνθρώπους I. + οὕτω γὰρ τοῦτο ποιοῦσιν B.K. [v] ἀπώλειαν] + φησὶ L. Sequentia καὶ τὴν ἐνταῦθα καὶ τὴν μέλλουσαν (+ φησὶ B.K.) accesserunt ex nostris omnibus et Cat. *et hujus temporis et futuri* Vet. [w] τὸ] τοῦτο B.K. Sav. cet. [x] ἔθηκε B.I.K. Post ὀδύναις add. λέγω B.K. Mox καὶ om. iidem. [y] ἄνθρωπε] + φησὶ L. [z] τὸν] + τῆς εὐαρεστήσεως καὶ B.K. Mox καὶ τῆς κτίσεως om. B.K. Cat. Vet. Sav. cet. πίστεως pro κτίσεως L. [a] μετὰ ἐπ. C.I. [b] καὶ assumtum ex B.I.K.L.

[c]φησὶ, ζωῆς αἰωνίου· "ἐνώπιον πολλῶν μαρτύρων." Τουτέστι,
E μὴ καταισχύνῃς τὴν παρρησίαν ἐκείνην· [d]τί ἀνόνητα κάμνεις;
Ποῖον δὲ πειρασμὸν καὶ παγίδα φησὶν ὑπομένειν τοὺς βουλομένους πλουτεῖν; [e]Τῆς γὰρ πίστεως αὐτοὺς ἀποπλανᾷ, κινδύνοις αὐτοὺς περιβάλλει, καὶ ἀτολμοτέρους ἐργάζεται. "Καὶ ἐπιθυμίας [f]ἀνονήτους," φησί. Πῶς γὰρ οὐκ ἀνόνητος ἐπιθυμία, ὅταν μωροὺς ἔχωσιν, ὅταν [g]νάνους, οὐ φιλανθρωπίας ἕνεκεν, ἀλλὰ τέρψεως; ὅταν ἰχθῦς ἀποκλείωσιν ἐν ταῖς αὐλαῖς, ὅταν θηρία τρέφωσιν, [h]ὅταν περὶ κύνας ἠσχόληνται, ὅταν ἵππους κοσμῶσι, καὶ τῶν παίδων οὐχ ἧττον περὶ αὐτοὺς διακέωνται; Πάντα ταῦτα [i]ἀνόνητα καὶ περιττὰ, οὐδὲν ἀναγκαῖον, οὐδὲν
F χρήσιμον. [k]"Ἐπιθυμίας, φησὶν, ἀνονήτους καὶ βλαβεράς." Ποῖαι βλαβεραί; Ὅταν ἐρῶσιν ἔρωτας ἀτόπους, ὅταν τῶν [l]τοῦ πλησίον ἐφίενται, ὅταν τῇ τρυφῇ προσπαλαίωσιν, ὅταν μέθης ὀρέγωνται, ὅταν σφαγῆς καὶ τῆς ἑτέρων ἀπωλείας.
650 [m]Πολλοὶ δὲ καὶ τυραννίδι μανίας ἐπέθεντο, καὶ ἀπώλοντο· [n]ὅτι κάμνει εἰς ἀνόνητα, μᾶλλον δὲ καὶ βλαβερά. Καὶ καλῶς εἶπεν, "ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως" οὐ γὰρ ἀφίησιν αὐτοὺς [o]τὴν ὁδὸν ἰδεῖν ἀνθέλκουσα τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὴν ἡ φιλαργυρία, καὶ κατὰ μικρὸν ὑποκλέπτουσα. Καθάπερ γάρ τις [p]ὁδὸν εὐθεῖαν βαδίζων, καὶ πρὸς ἕτερόν τι τὸν νοῦν ἐσχηκὼς, βαδίζει μὲν, οὐκ εἰδὼς δὲ παρέρχεται τὴν πόλιν πολλάκις ἐκείνην, εἰς ἣν ἔσπευδεν, ἑλκομένων αὐτῷ τῶν ποδῶν ἁπλῶς καὶ μάτην· τοιοῦτόν τι καὶ ἡ φιλαργυρία ἐστί. "Καὶ περιέπειραν ἑαυτοὺς
B ὀδύναις πολλαῖς," [q]φησίν. Ὁρᾷς, [r]τῷ "περιέπειραν" τί ᾐνίξατο; [s]Καθάπερ γὰρ ὄντως ἄκανθαί εἰσιν· ὅθεν ἂν ἅψωνται, ᾕμαξαν τὰς χεῖρας, τραύματα ἐργαζόμεναι. Πόσας ἔχουσι φροντίδας,

[c] φησὶ accessit ex C.I.L. Vet. [d] τί ἀ. κάμνεις] μὴ ἀνόνητα (ἀνόητα B.) κάμῃς B.K. [e] τῆς γὰρ π.] τὴν ἀπὸ τῆς π. ἔκπτωσιν· ταύτης γὰρ B.K. Post ἀποπλανᾷ add. τὴν φιλαργυρίαν λέγει L. [f] ἀνονήτους B.C.I.K. ἀνοήτους Edd. Mox ἀνόνητος pro ἀνόητος omnes. [g] ὤνους an ἄνους incertum L. ἄνους Veron. [h] ὅταν—ἠσχόληνται om. K. [i] ἀνόνητα B.I.K.L. ἀνόητα Edd. Mox ἀνονήτους pro ἀνοήτους omnes. [k] ἐπιθυμίας—βλαβεραί;] εἰπὼν δὲ ἐπιθυμίας ἀν. προστίθησι καὶ βλαβεράς. πῶς γὰρ οὐ βλαβεραί; B.K. Post βλαβεραὶ add. φησὶν I.L. [l] τοῦ om. K. Statim ἐφίωνται ex corr. K. Mox διαθρύπτωνται pro προσπαλαίωσιν B.K. [m] πολλοὶ—ἐπέθεντο] πολλοὶ δὲ (γὰρ B.K.) ἀπὸ τῶν τοιούτων ἐρώτων καὶ (καὶ om. B.K.) τυραννίδι (+ βασιλείας B.K.) ἐπέθεντο B.K. Sav. cet. [n] ὅτι] ὢ τί L. ὄντως ὁ τοιοῦτος B.K. Sav. cet. Statim εἰς (ὡς K.) ἀν. κάμνει hoc ord. B.K. [o] τὴν] + εὐθεῖαν B.K. [p] ὁδὸν εὐθ. pro εὐθ. ὁδὸν omnes. [q] φησὶν assumtum ex omnibus. [r] τῷ] τὸ C.I.L. Veron. τῷ π. τί] πῶς τῷ π. τὰ εἰρημένα B.K. [s] καθάπερ—ἐργαζόμεναι] ὃ δὲ βούλεται δηλοῦν διὰ τῆς ἐμφάσεως, τοῦτό ἐστιν· ἄκανθαί εἰσιν αἱ ἐπιθυμίαι, καὶ καθάπερ ἐν (ἐπ' B.) ἀκάνθαις, ὅθεν ἄν τις ἅψηται (ἅψ. τις K.) αὐτῶν, ᾕμαξε τὰς χ. καὶ τρ. ἐργάζεται· οὕτω καὶ ἀπὸ τῶν ἐπιθυμιῶν τὸ αὐτὸ πείσεται ὁ ταύταις ἐμπεσὼν, καὶ τὴν ψυχὴν ἀλγηδόσι περιβαλεῖ B.K. Sav. cet.

πόσας [t]ὀδύνας; Διὰ τοῦτό φησι, "Ταῦτα φεῦγε, δίωκε [v]δὲ
δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα."
Ἀπὸ γὰρ τῆς ἀγάπης ἡ [w]πραότης. Ἐνταῦθα αὐτοῦ τὴν παρ- C
ρησίαν καὶ τὴν ἀνδρείαν ἐπαινεῖ· ὅτι μετὰ παρρησίας, φησὶν,
ἐπὶ πάντων ὡμολόγησας. [x]Ἀναμιμνήσκει τῆς κατηχήσεως
[y]αὐτόν· "Ἐπιλαβοῦ, φησὶ, τῆς αἰωνίου [z]ζωῆς." Οὐκ ἄρα
ὁμολογίας χρεία μόνον, ἀλλὰ καὶ [a]ὑπομονῆς, ὥστε διαπαντὸς
ἐμμένειν τῇ ὁμολογίᾳ, καὶ ἀγῶνος σφοδροῦ καὶ μυρίων ἱδρώτων,
[b]εἰκότως, ὥστε μὴ περιτραπῆναι· πολλὰ γὰρ τὰ σκάνδαλα,
πολλὰ τὰ κωλύματα. Διὰ τοῦτο στενὴ καὶ τεθλιμμένη ἡ ὁδός.
Πάντοθεν οὖν χρὴ συνεστράφθαι, πάντοθεν [c]χρὴ εὔζωνον εἶναι·
μυρίαι πανταχόθεν φαίνονται ἡδοναὶ ἕλκουσαι τῆς ψυχῆς τοὺς D
ὀφθαλμοὺς, αἱ τῶν σωμάτων, αἱ τῶν χρημάτων, αἱ τῆς τρυφῆς, αἱ
τῆς ῥᾳθυμίας, αἱ τῆς δόξης, αἱ τῆς ὀργῆς, αἱ τῆς δυναστείας, αἱ τῆς
φιλαρχίας· καὶ φαίνονται λαμπρὰς ὄψεις ἔχουσαι καὶ ἐπερά-
στους, ἱκανὰς ἐπισπάσασθαι τοὺς ἐπτοημένους, τοὺς μὴ σφόδρα
τῆς ἀληθείας ἐρῶντας. Αὕτη μὲν [d]γὰρ ἀπεσκληκυῖά ἐστι, καὶ
οὐδὲν ἐπιτερπὲς ἔχουσα. Τί δήποτε; Ὅτι πᾶσαν τὴν ἡδονὴν
ἐν τῷ μέλλοντι [e]ὑπισχνεῖται· ἐκεῖναι δὲ προτείνουσιν ἤδη τιμὰς,
ἡδονὰς, ἀναπαύσεις, οὐκ ἀληθεῖς, ἀλλ' ἐπικεχρωσμένας. Ἂν
τοίνυν βάναυσος ᾖ τις καὶ μαλακὸς καὶ ἄνανδρος, ἐκείνων ἀνθέ- E
(323) ξεται, ἐκλυθεὶς πρὸς [f]τοὺς πόνους. Οὕτω καὶ ἐπὶ τῶν ἀγώνων
τῶν [g]ἔξωθεν τῷ μὲν μὴ σφόδρα ἐρῶντι τῶν στεφάνων, ἔξεστιν
ἐκ πρώτης συμποσίοις, [h]μέθαις προσανέχειν· [i]οὕτω γοῦν οἱ
δειλοὶ καὶ ἄνανδροι τῶν πυκτευόντων ποιοῦσιν· οἱ δὲ πρὸς τὸν
στέφανον ὁρῶντες, μυρίας [k]αἴρουσι πληγάς· τῇ γὰρ ἐλπίδι
τῶν μελλόντων τρέφονται καὶ διανίστανται.

[l]Φύγωμεν τοίνυν τὴν ῥίζαν τῶν κακῶν, καὶ πάντα φευξόμεθα.
"Ἡ φιλαργυρία, φησὶν, [m]ἐστὶν ἡ ῥίζα." Παῦλος ἐφθέγξατο, F
μᾶλλον δὲ ὁ Χριστός. Ἴδωμεν δὲ [n]τοῦτο πῶς καὶ αὐτὴ τῶν

[t] ὀδύνας] + οἱ περιπαρέντες, εἰπέ μοι; οὐκ ἔστιν εἰπεῖν iidem. [v] δὲ om. B.K. [w] πραότης] + ἀγωνίζου τὸν καλὸν ἀγῶνα B.K. Sav. cet. [x] ἀναμιμνήσκει] + δὲ καὶ iidem. [y] αὐτὸν] + λέγων (om. φησὶ) B.K. [z] ζωῆς] + εἰς ἣν ἐκλήθης καὶ ὡμολόγησας B.K. [a] ὑπομονῆς] + εἰκότως B.K. [b] καὶ εἰκότως L. εἰκότως om. B.K. [c] χρὴ om. B.K. [d] γὰρ] + ἡ ἀλήθεια L. αὕτη μὲν γὰρ] ἀλλ' ἡ μὲν τῆς κακίας τοιαύτη· ἡ δὲ τῆς ἀρετῆς B.K. [e] ὑπισχνεῖται] + αἰῶνι B.K. Mox προτείνουσιν ἤδη om. I. [f] τοὺς] + ὑπὲρ ἀρετῆς B.K. + ὑπὲρ τῆς ἀρετῆς Sav. cet. [g] ἔξωθεν] + γίνεται B.K. [h] μέθαις] καὶ μέθαις B.K. Sav. cet. μέθαις τε L. [i] οὕτω γ. οἱ] ἀλλ' οἱ μὲν B.K. Mox πυκ. οὕτω ποιοῦσιν iidem. [k] αἴρουσι] Sic Sav. cet. αἰροῦσι (sic) Veron. ἐκλέγονται C.I.L. ἀναδέχονται B.K. [l] ΗΘΙΚΟΝ. Κατὰ φιλαργυρίας· καὶ ὅτι ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρατεῖν παθῶν. Veron. [m] ἐστὶ ῥίζα Sav. cet. φησὶν—ἐφθέγξατο] ῥίζα ἐστὶ τῶν κακῶν, Π. ἀπεφήνατο B.K. Post Χριστὸς add. διὰ Παύλου iidem. [n] τούτῳ C.I. Mox αὐτῇ (sic) L.

πραγμάτων μαρτυρεῖ ἡ πεῖρα. Τί γὰρ κακὸν οὐ διὰ τὰ χρή-
651 ματα, [o]μᾶλλον δὲ οὐ διὰ τὰ χρήματα, ἀλλὰ διὰ τὴν κακὴν
προαίρεσιν τῶν οὐκ εἰδότων αὐτοῖς κεχρῆσθαι; Ἐπεὶ [p]ἐξῆν τοῖς
χρήμασιν εἰς δέον κεχρῆσθαι, ἐξῆν καὶ βασιλείαν δι' αὐτῶν
κληρονομεῖν· νυνὶ δὲ [q]ἅπερ ἐδόθη εἰς ἐπικουρίαν τῶν πενήτων,
εἰς παραμυθίαν τῶν ἡμαρτημένων ἡμῖν, εἰς εὐδοκίμησιν καὶ ἀρέ-
σκειαν θεοῦ, τούτοις κεχρήμεθα κατὰ τῶν ἀθλίων πενήτων,
μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς, καὶ εἰς προσκρουσμὸν τοῦ
θεοῦ. [r]Τὸν μὲν γὰρ χρήματα ἀφείλετό τις, καὶ πενίᾳ περιέ-
βαλεν, ἑαυτὸν δὲ θανάτῳ· καὶ τοῦτον μὲν ἐνταῦθα τῇ πενίᾳ
B κατατήκει, ἑαυτὸν δὲ τῇ διηνεκεῖ τιμωρίᾳ. Ἆρα μὴ ἴσον ἐστί;
Τί τοίνυν κακὸν οὐ διὰ ταῦτα; οὐχὶ πλεονεξίαι; οὐχ ἁρπαγαί;
οὐκ ὀλοφυρμοί; οὐκ ἔχθραι; οὐ μάχαι; οὐ φιλονεικίαι; οὐχὶ
μέχρι τῶν νεκρῶν τὰς χεῖρας ἐξέτειναν; οὐχὶ καὶ μέχρι πατέ-
ρων καὶ ἀδελφῶν; οὐχὶ φύσεως νόμους, καὶ θεοῦ προστάγματα,
καὶ πάντα ἁπλῶς [s]ἀνέτρεψαν, ὑπὸ τῆς ἐπιθυμίας ἐκείνης κατε-
χόμενοι; τὰ δικαστήρια οὐ τούτων ἕνεκεν; Ἄνελε τοίνυν τὴν
φιλοχρηματίαν, καὶ πέπαυται πόλεμος, πέπαυται μάχη, πέπαυ-
ται ἔχθρα, [t]πέπαυται ἔρις καὶ φιλονεικία. Ὥσπερ λυμεῶνας
C [v]καὶ λύκους ἐλαύνεσθαι τοὺς τοιούτους ἐκ τῆς οἰκουμένης ἐχρῆν.
Καθάπερ γὰρ ἄνεμοί τινες ἐναντίοι καὶ σφοδροὶ εἰς γαληνὸν
ἐμπεσόντες πέλαγος ἐκ βάθρων αὐτὸ ἀναστρέφουσιν, [w]ὡς καὶ
τὴν βύθιον ἄμμον τοῖς ἄνω μίγνυσθαι κύμασιν· οὕτως οἱ φιλο-
χρήματοι πάντα ἄνω [x]καὶ κάτω ποιοῦσιν. Οὐδένα οἶδεν [y]ὁ
φιλοχρήματος φίλον· τί δὲ λέγω φίλον; οὐδὲ αὐτὸν τὸν θεὸν
ἐπίσταται· [z]ὑπὸ τῆς ἐπιθυμίας ἐκείνης κατεχόμενος, μέμηνεν.
Οὐχ ὁρᾶτε τοὺς [a]Τιτᾶνας ξιφήρεις προϊόντας; Ἐκεῖνα μανίας
ἐστὶν ὑπόκρισις· οὗτοι δὲ [b]τοιοῦτοί εἰσιν ἀληθῶς, μαινόμενοι καὶ
D ἐξεστηκότες· κἂν ἀποδύσῃς αὐτῶν τὴν ψυχὴν, οὕτως εὑρήσεις
ἐσκευασμένην, οὐχ ἓν ξίφος οὐδὲ δύο, ἀλλὰ μυρία κατέχουσαν,
οὐδένα ἐπιγινώσκουσαν, ἀλλὰ κατὰ πάντων λυττῶσαν, πᾶσιν

[o] μᾶλλον δὲ οὐ] ἀλλ' οὐχ ἁπλῶς B.K. [p] ἐξῆν—κεχρῆσθαι om. C. [q] ἅπερ Edd. ὅπερ Codd. [r] τὸν] τῷ I. τὰ L. καὶ εἰς πρ.—περιέβαλεν] καὶ εἰς τὸ προσκροῦσαι θεῷ. χρήματα ἂν ἀφέληταί τις, πενίᾳ μὲν περιέβαλεν ὃν ἀφείλετο αὐτὰ B.K. [s] ἀνέτρεψαν] Sic B.C.I.L. ἀνέστρεψαν Edd. Statim οἱ ὑπὸ L. [t] πέπανται (sic) Veron. Statim ἔρεις C. αἱρέσεις I.L. Veron. Vet. Mox φιλονεικίαι C.I.L. Veron. Vet. [v] καὶ λύκους] κοινοὺς B. [w] ὡς—κύμασιν] ἐπὶ τοσοῦτον ὡς καὶ τὴν ἐν βάθει ἄμμον τῇ ἄνω ἐπιφανείᾳ ποιεῖν μίγνυσθαι B.K. [x] καὶ om. I. [y] ὁ om. C. οἶδε φίλον ὁ φιλ. hoc ord. B.K. Statim δὲ om. B.K. [z] ὑπὸ] + γὰρ B.K. Sav. cet. [a] Τιτᾶνας] μαινομένους πολλάκις I. T. ξ. προϊόντας] μαινομένους πῶς προΐασι διὰ τῆς ἀγορᾶς πολλάκις ξιφήρεις B.K. Statim ἀλλ' ἐκεῖνα B.I.K. [b] τοιοῦτοί εἰσιν ἀληθῶς] Sic L. Veron. εἰσιν om. C. οὐ τοιοῦτοι, ἀλλ' ἀληθῶς (+ εἰσὶ B.K.) B.K. Sav. cet. ἐστὶν ὑπ.—ἀληθῶς] ἐστὶ, φησίν· οὕτω καὶ οὗτοί εἰσιν, ἀληθῶς I.

ἐπιπηδῶσαν καὶ ὑλακτοῦσαν κατὰ πάντων, οὐ κύνας [c]σφάζουσαν, ἀλλὰ ψυχὰς ἀνθρώπων, καὶ εἰς τὸν οὐρανὸν αὐτὸν μεγάλα βλασφημοῦσαν. [d]Ὑπὸ τούτων πάντα ἀνατέτραπται [e]καὶ διόλωλεν, ἀπὸ τῆς τῶν [f]χρημάτων μανίας. Τίνας [g]γὰρ, τίνας αἰτιάσομαι, οὐκ οἶδα· οὕτως οὗτος ὁ λοιμὸς [h]πάντας κατέχει, τοὺς μὲν ἐκ πλείονος, τοὺς δὲ ἐξ ἐλάττονος μοίρας, πάντας δὲ E
[i]ὅμως. Καθάπερ πυρά τις εἰς ὕλην ἐμπεσοῦσα καταστρέφει πάντα καὶ ἐρημοῖ, οὕτω καὶ αὕτη τὴν οἰκουμένην [k]ἀνέτρεψε· βασιλεῖς, ἄρχοντες, ἰδιῶται, πένητες, γυναῖκες, ἄνδρες, παῖδες ἐξ ἴσης [l]πάντες κατέχονται τῷ κακῷ. Καθάπερ ζόφου τινὸς τὴν οἰκουμένην [m]ἐπιπνέοντος, οὐδεὶς ἀνανήφει· ἀλλὰ κατηγορίαι μὲν μυρίαι κατὰ πλεονεξίας καὶ ἰδίᾳ καὶ δημοσίᾳ γίνονται, διόρθωσις δὲ οὐδαμοῦ. Τί οὖν ἂν γένοιτο; πῶς [n]σβέσομεν τὴν φλόγα; Ἔνεστι γὰρ, κἂν [o]πρὸς αὐτὸν ἀρθῇ τὸν οὐρανὸν, [p]θελῆσαι μόνον, καὶ [q]περιγενέσθαι τῆς πυρᾶς. Ὥσπερ γὰρ ἀπὸ τοῦ F
θέλειν ηὐξήθη, οὕτω καὶ ἀπὸ τοῦ θέλειν [r]καθαιρεθήσεται. [s]Οὐχὶ ἡ προαίρεσις ἡ ἡμετέρα αὐτὴν ἐποίησεν; [t]δυνήσεται καὶ [v]ἡ προαίρεσις σβέσαι· μόνον βουληθῶμεν. Πῶς δὲ τὸ θέλειν
[w]ἐγγενήσεται; Ἂν ἴδωμεν αὐτῆς τὸ μάταιον καὶ περιττόν· ὅτι 652
ἐκεῖ ἡμῖν συναπελθεῖν οὐ [x]δυνήσεται, ὅτι καὶ ἐνταῦθα ἡμᾶς ἀφίησιν· [y]ὅτι αὐτὴ μὲν ὧδε μένει, τὰ δὲ ἐξ αὐτῆς ἡμῖν τραύματα συναπέρχεται· ἂν ἴδωμεν, ὅτι πολὺς ἐκεῖ πλοῦτός ἐστιν· [z]πρὸς ἐκεῖνον τοῦτον παραβάλωμεν, [a]καὶ βορβόρου εὐτελέστερος φανεῖται· ἂν ἴδωμεν, ὅτι μυρίους ἔχει κινδύνους, ὅτι ἡδονὴν πρόσκαιρον, ὅτι ἡδονὴν ἀναμεμιγμένην ἀθυμίαις· ἂν ἐκεῖνον τὸν
(324) πλοῦτον καλῶς περισκεψώμεθα τὸν τῆς αἰωνίου ζωῆς, [b]οὕτω δυνησόμεθα τούτου καταφρονεῖν· ἂν ἴδωμεν, ὅτι οὐδὲν ἡμᾶς ὀνίνησιν, οὐ πρὸς δόξαν, οὐ πρὸς ὑγείαν, οὐ πρὸς ἄλλο οὐδὲν, B
ἀλλὰ τοὐναντίον καὶ βυθίζει εἰς ὄλεθρον καὶ ἀπώλειαν. [c]Ἐνταῦθα πλουτεῖς καὶ πολλοὺς ἔχεις ὑπὸ σαυτὸν, ἐκεῖ δὲ ἀπελθὼν, ἔρημος [d]ἀπελεύσῃ καὶ γυμνός. Ἂν ταῦτα ἐπᾴδωμεν συνεχῶς,

[c] σφάττουσαν L. [d] ὑπὸ] ὑπὲρ B.C.K. [e] καὶ] πάντα B.K. Sav. cet. [f] χρημάτων] + ἐπιθυμίας, μᾶλλον δὲ C. [g] γὰρ] οὖν B.K. [h] πάντας κ.] πάντων κ. C.L. πάντας (πάντων K.) κρατεῖ καὶ κ. B.K. [i] ὁμοίως C.I.L. Veron. Statim καὶ καθάπερ Sav. cet. καὶ om. B.C.I.L. et ante corr. K. [k] ἀνέτρεψε pro ἀνέστρεψε B.C.I.K. [l] ἅπαντες B.I.K. [m] ἀναπνέοντος L. [n] σβέσωμεν C.I. [o] πρὸς] εἰς L. [p] θελῆσαι] + δεῖ B.K. Sav. cet. [q] περιγενέσθαι] πάντως περιεσόμεθα iidem. [r] καθαιρεθ.] Sic C.I.K.L. καθαιρηθ. Edd. [s] οὐχ L. [t] δυν.] οὐκοῦν δυν. B.K. Sav. cet. [v] ἡ πρ.] αὐτὴ L. [w] γενήσεται B.K. [x] δύναται B. [y] ὅτι] + καὶ L. Statim αὕτη B.K. [z] πρὸς] ἂν πρὸς B.K. Sav. cet. [a] καὶ β.] ἂν τοῦτο ποιήσωμεν, β. παντὸς B.K. [b] οὕτω om. B.K. Mox καταφρονῆσαι L. [c] ἐνταῦθα] ἂν μάθῃς ὅτι ἐνταῦθα (+ μὲν B.K.) B.K. Sav. cet. [d] ἀπελεύσῃ] ἔσῃ L.

καὶ παρὰ τῶν ἄλλων ἀκούωμεν, ἴσως [e]ἔσται τις ὑγεία, ἔσται
τις ἀπαλλαγὴ [f]τῆς κολάσεως ταύτης τῆς χαλεπῆς. Καλὸν ὁ
μαργαρίτης; [g]ἐννόησον ὅτι ὕδωρ ἐστὶ θαλάττιον, ὅτι ἐν τοῖς
C κόλποις αὐτῆς τὸ πρότερον ἦν ἐρριμμένος. Καλὸν τὸ χρυσίον
καὶ τὸ ἀργύριον; ἀλλ' ἐννόησον ὅτι γῆ καὶ σποδὸς καὶ ἦν
καὶ [h]ἔστι. Καλὰ τὰ σηρικὰ ἱμάτια; ἀλλὰ σκωλήκων [i]ἐστὶν
ὕφασμα· ὑπόληψίς ἐστι καὶ πρόληψις [k]ἀνθρωπίνη, οὐκ ἐν τῇ
φύσει τὸ κάλλος ἔχει. Τὰ γὰρ ἐν τῇ φύσει τὸ κάλλος ἔχοντα,
οὐ δεῖται τῶν διδασκόντων. Σὺ δὲ [l]ἂν ἴδῃς νόμισμα χαλκοῦν
ἁπλῶς ἀνακεχρωσμένον χρυσῷ, πρῶτον μὲν θαυμάζεις, χρυσὸν
αὐτὸν ὀνομάζων· ὅταν δὲ οἱ περὶ ταῦτα δεινοὶ τὴν ἀπάτην σε
D διδάξωσι, [m]συνεξῆλθε τὸ θαῦμα μετὰ τῆς ἀπάτης. Ὁρᾷς ὅτι
οὐκ ἐν τῇ φύσει ἔχει τὸ καλόν; [n]Ἀλλ' οὐδὲ ὁ ἄργυρος· καὶ
γὰρ ἂν ἴδῃς κασσίτερον, θαυμάζεις ὡς ἄργυρον, [o]κἂν χαλκὸς ᾖ,
ὡς χρυσόν· [p]καὶ χρεία τῶν διδασκόντων [q]εἰ χρὴ θαυμάζειν.
Οὕτως οὐκ ἀρκοῦσιν ἡμῖν οἱ ὀφθαλμοὶ πρὸς [r]τὴν διάγνωσιν.
Τὰ δὲ ἄνθη οὐ τοιαῦτα, [s]ἐκείνων βελτίω. [t]Ῥόδον ἂν ἴδῃς, οὐ
χρεία τῶν διδασκόντων, ἀλλ' οἶδας ἀφ' ἑαυτοῦ τὴν ἀνεμώνην
E διαιρεῖν· [v]καὶ ἴα οὕτω, καὶ κρίνα, καὶ ἕκαστον ἄνθος. Οὐδὲν
οὖν ἕτερόν [w]ἐστιν ἡ πρόληψις τὸ γινόμενον. Καὶ ὅτι προλή-
ψεώς ἐστι [x]τὸ ὀλέθριον τοῦτο [y]πάθος, εἰπέ μοι, εἰ ἔδοξε τῷ
βασιλεῖ τιμιώτερον νομοθετῆσαι τοῦ χρυσοῦ τὸ ἀργύριον, οὐ
μετεθήκατε ἂν τὸ θαῦμα καὶ τὸ φίλτρον; Οὕτω πανταχοῦ τῆς
πλεονεξίας ἐσμὲν καὶ τῆς ὑπονοίας. Καὶ [z]ὅτι οὕτως ἐστὶ, καὶ
τῷ σπανίῳ τιμᾶται, ἀλλ' οὐ τῇ φύσει· εἰσὶ καρποὶ παρ' ἡμῖν
εὐτελεῖς, [a]ἐν δὲ τῇ Καππαδοκῶν χώρᾳ τίμιοι, καὶ τῶν παρ' ἡμῖν
F τιμίων πολυτελέστεροι· πάλιν ἐν τῇ Σηρῶν χώρᾳ ἕτεροι, ὅθεν
τὰ ἱμάτια ταῦτα· [b]ἐν τῇ ἀρωματοφόρῳ Ἀραβίᾳ καὶ Ἰνδίᾳ,
ἔνθα εἰσὶν οἱ λίθοι, πολλὰ τοιαῦτα ἔστιν εὑρεῖν. [c]Οὕτω πρό-
ληψίς ἐστιν, οὕτως ὑπόνοιά ἐστιν ἀνθρωπίνη [d]ταῦτα· καὶ οὐδὲν

[e] ἔσται τις ὑ. om. B.C.K. [f] τῆς et ταύτης om. L. [g] ἐννοήσωμεν C. ἀλλ' ἐννόησον B.K. Sav. cet. [h] ἔσται L. [i] εἰσὶν L. Statim ὑφάσματα K.L. [k] ἀνθρωπίνη] ἀνθρώπων L. [l] ἂν] + μὲν B.K. [m] ἐξῆλθε L. [n] ἀλλ' οὐδὲ] ὁμοίως δὲ καὶ B.K. [o] κἂν χ. ᾖ] ὥσπερ τὸν χαλκὸν B.K. Sav. cet. [p] καὶ χρεία—τὰ δὲ ἄνθη] οὕτως οὐκ ἀ. ἡ. οἱ ὀ. πρὸς τ. δ. τοῦ ποῖα χρὴ θ. ἀλλὰ χρεία τ. δ. ἀλλ' οὐ τὰ ἄνθη B.K. [q] εἰ] ποῖα Sav. cet. Mox οὕτως· οὐ γὰρ ἀρκ. L. [r] τὴν om. L. [s] ἐκείνων] ἀλλ' ἐκείνων B.K. Sav. cet. καὶ ἐκείνων I. Post βελτίω add. πολλῷ B.K. Sav. cet. [t] ῥόδον] + γὰρ B.K. [v] καὶ ἴα] οὕτω καὶ ἴα I.K. καὶ ἴα om. B. [w] ἐστιν om. B.K. Sav. cet. Mox ἐστι post πρόληψις add. B.K. [x] τὸ ὀλέθριον om. B.K. [y] πάθος] + φέρε B.K. Sav. cet. [z] ὅτι superscript. in I. [a] ἐν δὲ] οὐδὲ I. [b] ἐν] + δὲ B.K. Sav. cet. [c] οὕτω—ἔτυχεν] οὕτω προλήψει, οὕτως ὑπονοίᾳ ἀνθρωπίνῃ κρίνομεν ταῦτα. οὕτως οὐδὲν κρίσει, ἀλλ' ἁ. κ. ὡς ἔ. ἀποφαινόμεθα B.K. [d] ταῦτα omnes. τὰ τοιαῦτα Edd.

κρίσει πράττομεν, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν. Ἀνανήψωμεν τοίνυν ποτὲ ἐκ τῆς μέθης ταύτης· ἴδωμεν τὸ ὄντως καλὸν, τὸ φύσει 653
καλὸν, τὴν εὐσέβειαν, τὴν δικαιοσύνην, [e]ἵνα ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΗ.

[1]Παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ B
πάντα, καὶ [a]κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἣν καιροῖς ἰδίοις [b]δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν [c]δύνα- C
ται· ᾧ τιμὴ [d]καὶ κράτος αἰώνιον. Ἀμήν.

(325) ΠΑΛΙΝ τὸν θεὸν μαρτύρεται, πρὸ μικροῦ τοῦτο ποιήσας, ὁμοῦ καὶ τὸν φόβον αὔξων, καὶ ἀσφαλέστερον [e]καθιστὰς τὸν μαθητὴν, καὶ δεικνὺς ὡς οὐκ ἀνθρώπινα τὰ παραγγέλματα, [f]ἵνα ὡς παρ' αὐτοῦ τοῦ δεσπότου λαμβάνων τὴν παραγγελίαν, ἵνα ἀεὶ τὸν μάρτυρα [g]ἐν διανοίᾳ ἔχων, [h]ἐφ' οὗ ἤκουσε, κατασείηται τὴν διάνοιαν τῇ μνήμῃ. "Παραγγέλλω σοι, φησὶν, ἐνώπιον D
τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα." Ἐνταῦθα καὶ παράκλησίς ἐστι πρὸς τοὺς κινδύνους, καὶ τῆς ἀναστάσεως ὑπόμνησις. "Καὶ [i]Χριστοῦ Ἰησοῦ, φησὶ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου." Πάλιν ἀπὸ τοῦ διδασκάλου ἡ [k]προτροπή· ὥσπερ [l]ἐκεῖνος ἐμαρτύρησε, φησὶν, ἵνα κατ' ἴχνος αὐτοῦ βαίνωμεν. "Τὴν καλὴν [m]ὁμολογίαν." Ὅπερ καὶ ἐν τῇ πρὸς Ἑβραίους ποιεῖ λέγων· [2]"Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ E
τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε

[1] Cap. VI. v. 13—16. [2] Hebr. xii. 2, 3.

[e] ἵνα—ἀγαθῶν] καὶ παυσώμεθα κεχηνέναι πρὸς τὰ παρόντα· ἵνα καὶ τῶν ἐπ. ἀγαθῶν δυνηθῶμεν ἐπιτυχεῖν B.K. Haec ὧν—ἀξιωθῆναι assumta ex I.L. Vet. Hom. XVIII. [a] κυρίου om. C. [b] δείξῃ I. [c] δυνήσεται K. [d] καὶ om. L. [e] καθιστῶν I. [f] ἵνα ὡς] ἵν' ὥσπερ K. Statim παρὰ τοῦ δ. B. [g] ἐν τῇ δ. C. [h] ἐφ' οὗ omnes. *sub quo* Vet. ἀφ' οὗ Edd. [i] Χρ. Ἰ.] κυρίου Ἰ. Χρ. B.K. φησὶ om. B.I.K. [k] προτροπὴ] + ὃ δὲ λέγει, τοῦτό ἐστιν B.K. Sav. cet. [l] ἐκεῖνος] + ἐποίησεν, οὕτω, φησὶ, καὶ ὑμᾶς (ἡμᾶς B.) χρὴ ποιεῖν. διὰ τοῦτο γὰρ (mox om. φησὶν) iidem. [m] ὁμολ.] + φησὶν L.

σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ [n]κεκάθικεν. Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ [o]κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι·" [p]τοῦτο καὶ νῦν ποιεῖ [q]τὸν μαθητήν. Ὡς ἂν εἰ [r]ἔλεγε, μὴ δείσῃς τὸν θάνατον· θεοῦ γὰρ εἶ δοῦλος τοῦ τὰ πάντα δυναμένου ζωογονεῖν. [3] "[s]Ἐγὼ ἦλθον, φησὶ, μαρτυρῆσαι τῇ ἀληθείᾳ." Ποίαν δὲ λέγει καλὴν ὁμολο-
F γίαν; Εἰπόντος τοῦ Πιλάτου, "Εἰ βασιλεὺς [t]εἶ;" φησὶν, "Ἐγὼ εἰς τοῦτο γεγέννημαι." "Ἴδε οὗτοί μου ἤκουσαν." [v]Οἱ δέ φασιν, ὅτι υἱὸν ποιεῖς [w]σεαυτὸν τοῦ θεοῦ. Καὶ πολλὰ ἕτερα
654 ἐμαρτύρησε καὶ ὡμολόγησε. "Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, [x]ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·" τουτέστι, μέχρι τῆς σῆς τελευτῆς, μέχρι τῆς ἐξόδου. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ, "μέχρι τῆς ἐπιφανείας," [y]εἶπεν, ἵνα μᾶλλον αὐτὸν διεγείρῃ. Τί ἐστι, "Τηρῆσαί σε τὴν ἐντολὴν [z]ἄσπιλον;" Μήτε [a]δογμάτων ἕνεκεν, μήτε βίου, κηλῖδά τινα [b]προστριψάμενον. "Ἣν καιροῖς ἰδίοις δείξει, φησὶν, ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ
B κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον." Περὶ τίνος ταῦτα εἴρηται; ἆρα περὶ τοῦ πατρός; ἆρα περὶ τοῦ υἱοῦ; Περὶ τοῦ υἱοῦ πάντως. "Ἣν καιροῖς ἰδίοις δείξει, [c]φησὶν, ὁ μακάριος καὶ μόνος δυνάστης." Καὶ ταῦτα πάλιν εἰς παραμυθίαν, ἵνα μὴ θαυμάζῃ, [d]μηδὲ δεδοίκῃ τοὺς ἐνταῦθα βασιλεῖς. "[e]Ἣν καιροῖς [f]ἰδίοις·" τουτέστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις· [g]ὥστε μὴ ἀσχάλλειν, ὅτι μηδέπω γέγονε. [h]Ὅτι δὲ δείξει, μόνος ἐστὶ δυνάστης· οὐκοῦν δείξει.

[3] Joan. xviii. 37, 21.

[n] κεκάθηκε I.K. Post h. v. add. καὶ πάλιν B.K. Sav. cet. [o] κάμητε B.C. I.K. κάμνητε Edd. Mox ὑμῶν om. B.K. [p] τοῦτο] + οὖν L. [q] τὸν μ.] Sic C.I. τὸν μ. διεγείρων B. πρὸς τὸν μ. δ. K. ἐν τῇ πρὸς τὸν μ. L. Edebatur πρὸς τὸν μ. [r] ἔλεγε] λέγων I. [s] ἐγὼ—τοῦ θεοῦ] ποίαν δὲ λ. κ. ὁμολογίαν; ἣν ἀνερωτῶντος Πιλάτου, οὐκοῦν β. εἶ σύ; ἐγὼ εἰς τ. γεγέννημαι, ἔφη. καὶ πάλιν, ἐγὼ ἦλθον μ. τῇ ἀλ. ἴδε οὗτοί μ. ἤκουσαν. ἢ οὖν διὰ τοῦτό φησιν, ἢ ὅτι εἶπεν, ἐρωτώμενος εἰ υἱὸς θεοῦ ἐστι, σὺ λέγεις ὅτι υἱὸς θεοῦ εἰμι ἐγὼ B.K. Sav. cet. [t] εἶ] + σὺ L. Mox ἴδε—ἤκουσαν om. idem. [v] οἱ δὲ] + Ἰουδαῖοι L. [w] ἑαυτὸν I. τοῦ om. a 1ma m. C. [x] καὶ ἀν. Edd. καὶ om. B.C.I.L. [y] εἶπεν] τοῦ κυρίου B.K. [z] ἄσπιλον om. C. [a] δογμάτων] + φησὶν B.K. [b] προστρ.] + τοῦτο γὰρ ἐμφαίνει διὰ τῆς ἐπαγωγῆς· οὐ μόνον εἰπὼν ἄσπιλον, ἀλλὰ καὶ ἀνεπίληπτον ἐπαγαγὼν B.K. Mox φησὶν om. iidem. [c] φησὶν om. B.K. Sav. cet. [d] μηδὲ δεδοίκῃ C.I. Cat. μηδὲ δέδοικε L. μηδὲ φοβῆται B.K. μὴ δέδοικε Veron. μὴ δεδοίκῃ Sav. cet. [e] ἣν assumtum ex C.I. Cat. ἣν κ. ἰ. τουτέστι] τί ἐστι κ. ἰ. B.K. [f] ἰδίοις] + δείξῃ I. + δείξει, φησὶν, ὁ μακ. κ. μ. δυνάστης· καιροῖς ἰδίοις L. [g] ὥστε] τοῦτό φησιν ὥστε B.K. Mox μηδέπω omnes. οὐδέπω Edd. [h] ὅτι—μόνος] ὅτε δεῖ δήξῃ· μόνος γὰρ I. καὶ πόθεν δῆλον ὅτι δείξει; ἐκ τοῦ εἶναι δυνάστην· μόνος γὰρ B.K. Sav. cet.

"Ὁ μακάριος," [i]ἡ αὐτομακαριότης· οὐδὲν ἐκεῖ λυπηρὸν, [k]οὐδὲν C ἀηδές. [l]Ἐνταῦθα, "Ὁ μακάριος, φησὶν, ὁ μόνος δυνάστης," πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρώπων, ἢ διὰ τὸ [m]ἀγέννητον· ὃ καὶ ἡμεῖς λέγομεν [n]πάλιν περὶ ἀνθρώπων. "Ὁ μόνος ἔχων ἀθανασίαν," [o]φησί. Τί οὖν; ὁ υἱὸς οὐκ ἔχει; οὐκ αὐτοαθανασία [p]ἐστί; "Φῶς οἰκῶν ἀπρόσιτον," [q]φησίν. Ἄλλο [r]τὸ φῶς, ἄλλο ὃ οἰκεῖ; οὐκοῦν [s]καὶ τόπῳ [t]ἐμπεριείληπται. [v]Ὁρᾷς καὶ D ὅταν μέγα τι φθέγξασθαι βουληθῇ ἡ γλῶττα, πῶς ἐξασθενεῖ; "[3]Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, [w]φησὶν, οὐδὲ ἰδεῖν δύναται·" ὥσπερ [x]οὖν τὸν υἱὸν οὔτε εἶδέ τις, οὔτε ἰδεῖν δύναται. "[y]Ὧι τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν." Καλῶς ἐθεολόγησεν ἐνταῦθα, καὶ ἀναγκαίως. Ἐπειδὴ γὰρ μάρτυρα αὐτὸν ἤγαγε, πολλὰ περὶ τοῦ μάρτυρος διαλέγεται, ὥστε μᾶλλον τὸν μαθητὴν [y]ἐντρέψαι. Τουτέστι, δόξα αὐτῷ· τοῦτο μόνον δυνάμεθα λέγειν, τοῦτο μόνον ποιεῖν, οὐ περιεργάζεσθαι τίς ἐστιν. Εἰ τοίνυν E τὸ κράτος αὐτοῦ αἰώνιον, μὴ δείσῃς· κἂν νῦν μὴ γένηται, ἀεὶ τιμὴ αὐτῷ, ἀεὶ κράτος αὐτῷ.

(326) [4]"Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ [z]ὑψηλοφρονεῖν." Καλῶς εἶπεν, "ἐν τῷ νῦν αἰῶνι·" εἰσὶ γὰρ [a]καὶ ἄλλοι πλούσιοι ἐν τῷ μέλλοντι. [b]Οὐδὲν γὰρ οὕτω τίκτει τῦφον, ὡς χρήματα, [c]καὶ ἀπόνοιαν καὶ ἀλαζονείαν. Εἶτα εὐθέως αὐτοὺς [d]κατέσπασεν, εἰπών· "Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι." Ἀπὸ γὰρ τούτου ἡ ἀπόνοια· ὡς ὅ γε εἰς θεὸν ἐλπίζων, οὐκ ἐπαίρεται. Τί ἐλπίζεις ἐπὶ τὸ ἀθρόον μεθιστάμενον; τοῦτο F γὰρ ὁ πλοῦτος· καὶ πῶς εἰς ἐκεῖνον ἐλπίζεις ὑπὲρ οὗ θαρρῆσαι οὐκ [e]ἔστι; Πῶς δὲ δυνήσονται μὴ ὑψηλοφρονεῖν; Ἂν ἴδωσιν ὅτι οὗτος ἄστατος, [f]ἀβέβαιος· ἂν ἴδωσιν ὅτι μείζων τοῦ πλού- 655

[3] v. 16. [4] v. 17.

[i] ἡ αὐτομ.] τουτέστιν ἡ αὐτομ. B. τουτέστιν ἡ μ. K. Post αὐτομ. add. τοῦτο δὲ λέγει δηλῶν ὅτι B.K. Sav. cet. [k] οὐδὲ B. [l] ἐνταῦθα—πρὸς] τὸ δὲ, μόνος, ἢ πρὸς B.K. Sav. cet. [m] ἀγένητον I. Post h. v. add. εἴρηκεν B.C.K. Sav. cet. [n] πάλιν περὶ (+τῶν L.) ἀ.] πόλλακις περὶ ἀ. οὓς ἐξαιρεῖν βουλόμεθα (+τοῦτο καὶ αὐτὸς εἰπὼν περὶ τοῦ θεοῦ B.K.) B.K. Sav. cet. [o] φησὶ om. B.K. [p] ἐστι]+καὶ πῶς, τῆς αὐτῆς ὢν οὐσίας τῷ πατρὶ B.K. Sav. cet. [q] φησὶν] καὶ τί φ. B.K. [r] τὸ φῶς] φῶς αὐτὸς, καὶ B.K. τὸ φ. αὐτὸς καὶ Sav. cet. [s] καὶ om. B.K. [t] ἐμπ.]+ἄπαγε. οὐχ ἵνα τοῦτο νοήσωμεν, ἀλλ' ἵνα τὸ ἀκατάληπτον τῆς θείας φύσεως παραστήσῃ, φῶς οἰκεῖν αὐτὸν εἶπεν ἀπρόσιτον, οὕτω θεολογήσας ὡς ἦν αὐτῷ δυνατόν. B.K. Sav. cet. [v] ὁρᾷς]+ὅτι I. Mox βουληθῇ pro βουληθείη Catenae debetur. [w] φησὶν om. B.K. [x] οὖν]+οὐδὲ B.K. [y] ἐντρέψαι]+ᾧ τιμὴ, κρ. αἰώνιον, φησὶ L. [z] ὑψηλ.]+μηδὲ ἠλπ. ἐπὶ πλ. ἀδ. L. [a] καὶ om. L. ἄλλοι om. B.K. [b] οὐδὲν γὰρ] ταῦτα δὲ παραινεῖ, εἰδὼς ὅτι οὐδὲν B.K. Sav. cet. [c] καὶ ἀπ. καὶ ἀλ. post τῦφον transp. L. Veron. Sav. cet. καὶ ἀπ. καὶ ἀλ.] οὐ μόνον δὲ τῦφον, ἀλλ' ἀπ. καὶ ἀλ. B.K. [d] κατέσπασεν pro κατέσπακεν B.C.I.L. Cat. εἶτα—ἀδηλότητι] μηδὲ ἠλπ. ἐπὶ π. ἀ. ὅρα πῶς εὐθ. αὐτοὺς κατ. οὕτως εἰπὼν B.K. [e] ἔνι L. Statim καὶ πῶς δυν. B.K. Post ὑψηλοφρονεῖν add. φησὶν B.K. Sav. cet. [f] ἀβ.] ὅτι οὗτος ἀβ. L.

του ἡ ἐλπὶς [g]ἡ παρὰ τοῦ θεοῦ· ἂν ἴδωσιν ὅτι καὶ τούτου αὐτοῦ
αἴτιος ὁ θεός. "Ἀλλ' ἐπὶ τῷ θεῷ, [h]φησὶ, τῷ ζῶντι, τῷ
παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν." Καλῶς εἶπε,
"πάντα πλουσίως," τὰς ἐτησίους [i]τροπὰς αἰνιττόμενος, τὸν
ἀέρα, τὸ φῶς, τὸ ὕδωρ, τὰ ἄλλα πάντα. Ὁρᾷς πῶς πλουσίως
παρέχει [k]μετὰ πολλῆς τῆς ἀφθονίας; Εἰ πλοῦτον ζητεῖς, ἐκεῖ-
νον ζήτει τὸν μένοντα, τὸν βέβαιον, τὸν ἀπὸ τῶν ἔργων γινό-
μενον τῶν ἀγαθῶν. [l]Ποίων δὴ τούτων; [5]"Ἀγαθοεργεῖν, φησὶ,
B πλουτεῖν ἐν ἔργοις [m]καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς· τὸ
μὲν [n]τῶν χρημάτων, τὸ δὲ τῆς ἀγάπης. "Κοινωνικοὺς," ὁμιλη-
τικούς φησι, προσηνεῖς. [6]"Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέ-
λιον [o]καλὸν εἰς τὸ μέλλον." Ἐκεῖ οὐδὲν ἄδηλον, [p]ἔνθα βέβαιος
ὁ θεμέλιος, οὐδὲν ἄστατον, ἀλλὰ πάντα βέβαια, ἀκίνητα, πάγια,
μόνιμα. "Ἵνα ἐπιλάβωνται, [q]φησὶ, τῆς αἰωνίου ζωῆς." Ἡ
γὰρ τῶν ἀγαθῶν ἔργων πρᾶξις [r]τὴν ἐκείνης ἡμῖν ἀπόλαυσιν
προξενῆσαι δύναται. [7]"Ὦ Τιμόθεε, τὴν [s]παρακαταθήκην φύ-
λαξον." [t]Μὴ μειώσῃς· οὐκ ἔστι σὰ, τὰ ἀλλότρια ἐνεπιστεύθης·
μηδὲν ἐλαττώσῃς. "Ἐκτρεπόμενος, [v]φησὶ, τὰς βεβήλους κενο-
C φωνίας." [w]Ἆρα ἐστὶ καὶ οὐ βέβηλος κενοφωνία. "Καὶ ἀντι-
θέσεις τῆς ψευδωνύμου γνώσεως." [x]Καλῶς εἶπεν. Ὅταν γὰρ
πίστις μὴ ᾖ, γνῶσις οὐκ ἔστιν· ὅταν ἐκ τῶν οἰκείων λογισμῶν
τίκτηταί τι, γνῶσις οὐκ ἔστιν. [y]Οὕτω γάρ τινες ἑαυτοὺς ἐκά-
λουν τάχα τότε γνωστικοὺς, ὡς πλέον τι τῶν ἄλλων εἰδότες.
"Ἥν τινες ἐπαγγελλόμενοι, [z]φησὶ, περὶ τὴν πίστιν ἠστόχη-
D σαν." Ὁρᾷς πῶς πάλιν κελεύει [a]μηδὲ ὁμόσε χωρεῖν πρὸς τοὺς
τοιούτους; "Ἐκτρεπόμενος, φησὶ, τὰς ἀντιθέσεις." Ἆρα εἰσὶν
ἀντιθέσεις, πρὸς ἃς οὐδὲ [b]ἀποκρίνεσθαι χρή. Διὰ τί; Ὅτι τῆς
πίστεως ἐκβάλλουσιν, [c]οὐκ ἀφιᾶσιν ἑστάναι βεβαίως οὐδὲ πε-
πηγέναι.

[d]Μὴ δὴ ταύτης ἐχώμεθα, ἀλλὰ τῆς πίστεως, τῆς πέτρας τῆς
ἀρραγοῦς. Οὔτε γὰρ ποταμοὶ, οὔτε ἄνεμοι προσπεσόντες δυνή-

[5] v. 18. [6] v. 19. [7] v. 20.

[g] ἡ om. C.K. [h] φησὶ om. B.K. [i] τροφὰς Cat. [k] μετὰ] καὶ μετὰ B.K. Sav. cet. [l] ποίων δὴ τ.] τοῦτο καὶ αὐτὸς δηλῶν iidem. [m] καλοῖς] ἀγαθοῖς L. [n] τῶν χρ. et τῆς ἀγ. transp. L. Statim κοινωνικοὺς om. idem. [o] εἰς τὸ μ. καλὸν inverso ord. B.K. [p] ἔνθα]+δὲ K. Sav. cet. [q] φησὶ om. B.K. [r] τὴν—δύναται] δύναται ἡμῖν προξ. ἐκείνης τῆς ζωῆς τὴν ἀπ. L. [s] παραθήκην I. [t] μὴ μ.] μὴ μ. φησὶν L. ὅρα, φησὶ, μὴ μ. B.K. [v] φησὶ om. B.K. [w] ἆρα—κενοφωνία (–ίας C.)] Sic C.I.L. ἆρα ἐστὶ βέβηλος πᾶσα κ. B.K. Clausula deest in Edd. et Vet. [x] καλῶς]+οὕτως B.K. Sav. cet. [y] οὕτω γὰρ] ἢ τάχα τοῦτό φησι, διότι (+οὕτω B.K.) B.K. Sav. cet. Mox τάχα om. B.C.K. Sav. cet. invita Cat. [z] φησὶ om. B.K. [a] μηδὲ]+εἰς τὸ αὐτὸ L. [b] ἀποκρίνασθαι B. [c] οὐκ] ὅτι οὐκ B.K. Sav. cet. [d] ΗΘΙΚΟΝ. Ὅτι πέτρα ἀρραγὴς ἡ πίστις, καὶ ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρατεῖν παθῶν· καὶ κατὰ φιλαργυρίας. Veron.

σονταί τι λυμήνασθαι ἡμῖν· ἑστήκαμεν γὰρ ἐπὶ τῆς πέτρας
ἀπαρασάλευτοι. Οὕτω καὶ ἐπὶ τοῦ [e]βίου τούτου, ἐὰν ἐκεῖνον
ἑλώμεθα τὸν ὄντως θεμέλιον, ἑστήκαμεν πάλιν οὐδὲν πάσχοντες
δεινόν. Ὁ τὸν πλοῦτον αἱρούμενος ἐκεῖνον, οὐδὲν πείσεται δει-
νὸν, ὁ τὴν εὐδοκίμησιν, ὁ τὴν δόξαν, ὁ τὴν τιμὴν, ὁ τὴν ἡδονήν· E
πάντα ἐκεῖνα βέβαια, μεταβολὴ οὐδεμία· πάντα τὰ ἐνταῦθα
ἀλλοιοῦται καὶ [f]ὑπὸ τροπὴν κεῖται, πάντα μεταβάλλεται. Τί
γὰρ [g]βούλει; δόξαν; [8] "Οὐ συγκαταβήσεται, φησὶν, ἡ δόξα
αὐτοῦ ὀπίσω αὐτοῦ·" πολλάκις δὲ οὐδὲ ζῶντι παραμένει. Ἀλλ'
οὐ τὰ τῆς ἀρετῆς τοιαῦτα, ἀλλὰ πάντα μένει. Ὁ ἐνταῦθα
ἔνδοξος ἀπὸ τῆς ἀρχῆς, ἑτέρου τὴν ἀρχὴν διαδεξαμένου, γέγονεν
εὐτελὴς, καὶ τῶν ἀρχομένων εἷς· ὁ πλούσιος, ἢ λῃστῶν ἐπιθεμέ-
νων, ἢ συκοφαντῶν καὶ ἐπιβούλων, ἄφνω γέγονε πένης. Ἀλλ' F
[h]οὐ παρ' ἡμῖν οὕτως· ὁ σώφρων ἐὰν ἑαυτῷ προσέχῃ, οὐδεὶς αὐ-
τοῦ τὴν σωφροσύνην ἀφελέσθαι δυνήσεται· τὸν ἄρχοντα ἑαυτοῦ
[i]κρατοῦντα οὐδεὶς ἰδιώτην, οὐδὲ ἀρχόμενον ἐργάσεται. Ὅτι γὰρ 656
αὕτη μείζων ἐκείνης ἡ ἀρχὴ, ἀπὸ τῆς ἐξετάσεως μάνθανε. Τί
γὰρ ὄφελος, εἰπέ μοι, ἐθνῶν ὁλοκλήρων ἄρχειν, καὶ δοῦλον
εἶναι τῶν παθῶν; ποία δὲ βλάβη μηδενὸς ἀνθρώπων ἄρχειν, καὶ
τῆς τῶν παθῶν τυραννίδος ἀνώτερον εἶναι; Τοῦτο ἐλευθερία,
τοῦτο ἀρχὴ, τοῦτο βασιλεία [k]καὶ δυναστεία· [l]ἐκεῖνο δουλεία,
(327) κἂν μυρία τις διαδήματα περίκειται. Ὅταν γὰρ ἔνδοθεν ἄρχῃ
αὐτοῦ τῶν δεσποτῶν τὸ πλῆθος, [m]τὴν φιλαργυρίαν λέγω, τὴν
φιληδονίαν, τὴν ὀργὴν, τὰ ἄλλα πάθη, τί τοῦ διαδήματος ὄφε- B
λος; Μείζων ἡ τυραννὶς τῶν παθῶν, ὅταν μηδὲ ὁ στέφανος
αὐτὸν ἰσχύῃ ταύτης ἐξελέσθαι τῆς ὑποταγῆς. [n]Ὥσπερ ἂν εἰ
παρὰ βαρβάροις γενόμενος ἐδούλευεν, εἶτα ἐκεῖνοι [o]βουλόμενοι
μείζονα δεῖξαι τὴν ἀρχὴν, μήτε τὴν ἁλουργίδα, μήτε τὸ διά-
δημα ἀφέλοιντο, ἀλλὰ μετ' ἐκείνων καὶ ὑδροφορεῖν, καὶ μαγει-
ρεύειν, καὶ τὰ ἄλλα πάντα διακονεῖσθαι προστάττοιεν, ὥστε
αὐτοῖς μὲν μείζονα τὴν τιμὴν, ἐκείνῳ δὲ τὴν αἰσχύνην γενέσθαι·
οὕτω [p]καὶ νῦν, παντὸς βαρβάρου βαρβαρικώτερον ταῦτα τὰ
πάθη ἡμῖν προσφέρεται. [q]Ὁ μὲν γὰρ τούτων καταφρονῶν, C

[8] Psal. xlviii. 18.

[e] β. τούτου] ὀρθοῦ β. B.K. Statim ἐὰν pro ἂν omnes. [f] ὑπὸ τρ. κεῖται] μετατρέπεται L. [g] βούλει; δόξαν;] τῶν ἐνταῦθα βούλει εἰπεῖν; δόξαν; ἀλλ' οὐ συνακολουθεῖ τοῖς κεκτημένοις B.K. Statim οὐ σ. γὰρ, φ. iidem. [h] οὐ] +τὰ B.K. Sav. cet. [i] καὶ κρ. iidem. [k] καὶ δυν. om. B.C.K. inclusum a Sav. δυν. καὶ βασ. hoc ord. L. [l] ἐκεῖνο B.C.I.K. ἐκεῖνα Edd. Mox περικέηται Sav. cet. invitis libris. [m] ἡ φιλ. λέγω, ἡ φιλ. ἡ ὀργὴ B.K. [n] ὥσπερ] καὶ ταὐτὸν γίνεται ὥσπερ B.K. Post βαρβάροις add. βασιλεύς τις B.K. Sav. cet. [o] βουλόμενοι om. I. [p] καὶ νῦν om. B.K. [q] ὁ μὲν γὰρ] ἀλλ' ὁ μὲν B.K.

καὶ τῶν βαρβάρων καταγελάσεται· ὁ δὲ [r]τούτοις ὑποκύπτων,
πολλῷ δεινότερα πείσεται, ἢ παρὰ τῶν βαρβάρων. Ὁ βάρ-
βαρος, ὅταν μεγάλα ἰσχύσῃ, τὸ σῶμα αἰκίζεται, [s]αὗται δὲ τὴν
ψυχὴν [t]βασανίζουσι καταξαίνουσαι πάντοθεν· ὁ βάρβαρος
ὅταν μεγάλα ἰσχύσῃ, θανάτῳ [v]τούτῳ παρέδωκεν, αὗται δὲ τῷ
μέλλοντι. Ὥστε μόνος ἐλεύθερος ἐκεῖνος ὁ τὴν ἐλευθερίαν οἴκο-
θεν ἔχων, ὥσπερ καὶ δοῦλος ἐκεῖνος ὁ τοῖς ἀλόγοις πάθεσιν
D ὑποκύπτων. Οὐδεὶς ἐπιτάττει δεσπότης, κἂν σφόδρα [w]ἀπηνὴς
ᾖ, τοιαῦτα ὠμὰ καὶ ἀπηνῆ προστάγματα· καταίσχυνόν σου,
φησὶ, τὴν ψυχὴν εἰκῇ καὶ μάτην, πρόσκρουσον τῷ θεῷ, τὴν
φύσιν αὐτὴν ἀγνόησον, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, [x]μηδεμίαν ἔχε
αἰδῶ, στῆθι κατ' αὐτῶν. Τοιαῦτα γὰρ τῆς φιλαργυρίας τὰ
ἐπιτάγματα. Θῦσόν μοι, [y]φησὶ, μὴ μόσχους, ἀλλὰ ἀνθρώπους.
[9]« Θύσατε [z]γὰρ, φησὶν ὁ προφήτης, ἀνθρώπους· [a]μόσχοι γὰρ
ἐκλελοίπασιν·» αὕτη δὲ οὐ τοῦτό [b]φησιν, ἀλλὰ, μόσχων ὄντων,
E θῦσον [c]τοὺς ἀνθρώπους, κατάθυσον τοὺς μηδὲν ἠδικηκότας· κἂν
εὐηργετημένος ᾖς, ἀπόκτεινον. [d]Πᾶσιν ἔσο πολέμιος, κοινὸς
ἐχθρὸς ἁπάντων περιέρχου, καὶ τῆς φύσεως αὐτῆς, καὶ τοῦ θεοῦ·
σύναγε χρυσίον, οὐχ ἵνα ἀπολαύσῃς, ἀλλ' ἵνα φυλάξῃς, ἵνα μεί-
ζονα ἐργάσῃ τὴν βάσανον. Οὐ γὰρ ἔνι τὸν φιλάργυρον καὶ
ἀπολαυστικὸν εἶναι· δέδοικε γὰρ μὴ ἐλαττωθῇ τὸ χρυσίον, μὴ
πενιχροὶ γένωνται οἱ θησαυροί. Ἀγρύπνει, φησὶ, πάντας ἔχε
δι' ὑποψίας, καὶ οἰκέτας καὶ φίλους· ἔσο φύλαξ τῶν ἀλλοτρίων.
F Ἂν ἴδῃς πένητα λιμῷ [e]φθειρόμενον, μὴ μεταδῷς, ἀλλ', εἰ δυνα-
τὸν, καὶ τὸ δέρμα αὐτὸν ἀπόδυσον. Ἐπιόρκει, ψεύδου, ὄμνυε,
κατηγόρει, συκοφάντει, κἂν εἰς πῦρ ἐμβῆναι δέῃ, μὴ παραιτήσῃ,
κἂν μυρίους [f]ὑποστῆναι θανάτους, κἂν λιμῷ διαφθαρῆναι, [g]καὶ
προσπαλαῖσαι νόσῳ. Ἢ οὐχὶ ταῦτα νομοθετεῖ ἡ φιλαργυρία;
657 Ἰταμὸς ἔσο καὶ ἀναίσχυντος, ἀναιδὴς καὶ θρασὺς, μιαρὸς καὶ
μοχθηρὸς, ἀγνώμων, ἀναίσθητος, ἄφιλος, ἄσπονδος, ἄστοργος,
[h]πατραλοίας, θηρίον μᾶλλον ἢ ἄνθρωπος. Παρέλασον πάντα
ὄφιν τῇ πικρίᾳ, πάντα λύκον τῇ ἁρπαγῇ, ὑπέρβηθι καὶ τῆς φύ-
σεως ἐκείνης τὴν θηριωδίαν· κἂν εἰς δαίμονος ἐλθεῖν κακίαν δέῃ,

[9] Osee xiii. 2.

[r] τοιούτοις C. [s] αὗται δὲ] τὰ δὲ πάθη L. [t] βασανίζονται Edd. repugnantibus libris. Statim καὶ καταξαίνουσι π. L. [v] τοῦτον C.L. Mox ταῦτα pro αὗται L. [w] ἀπηνὴς] ἀναίσχυντος καὶ ἀπότομος L. [x] μηδένα I. [y] φησὶ] λέγει B.K. [z] γὰρ] + μοι C. θύσατε—προφήτης] καὶ ὁ μὲν πρ. θύσατε, φησὶν (φησὶν, θύσατε K.) B.K. Sav. cet. [a] οἱ μ. Edd. repugnantibus libris. [b] φησιν om. B.K. Post ἀνθρώπους add. κελεύει iidem. [c] τοὺς assumtum ex omnibus. [d] πᾶσιν] Sic C.I. Vet. πάλιν L. Edd. Neutrum habent B.K. [e] τηκόμενον L. [f] ὑποστῆναι om. L. Hic desinit Codex B. [g] καὶ] κἂν K. Sav. cet. [h] πατρολώας C.I.L.

μὴ παραιτήσῃ· ἀγνόησον τὸν εὐεργέτην. [i]Οὐχὶ ταῦτα λέγει,
καὶ ἀκούεται; Ὁ δὲ θεὸς τὰ ἐναντία· ἔσο πᾶσι φίλος, ἔσο ἐπι-
εικὴς, παρὰ πάντων ἀγαπώμενος, μηδενὶ πρόσκρουε εἰκῇ καὶ
μάτην, τίμα τὸν πατέρα, [k]τίμα τὴν μητέρα, δόξης ἀπόλαυε
χρηστῆς, ἔσο μὴ ἄνθρωπος, [l]ἀλλὰ ἄγγελος· μηδὲν ἀναίσχυντον
εἴπῃς, μηδὲν ψευδὲς, ἀλλὰ μηδὲ ἐννοήσῃς· ἐπικούρει τοῖς δεομέ- B
νοις, μὴ ἀναγκάζου πράγματα ἔχειν ἁρπάζων, μὴ ἔσο ὑβριστὴς
μηδὲ θρασύς· καὶ οὐδεὶς ὁ ἀκούων. Ἆρα οὐ δικαίως ἡ γέεννα;
οὐκ εἰκότως τὸ πῦρ, ὁ σκώληξ ὁ ἀτελεύτητος; Μέχρι τίνος
κατὰ κρημνῶν ὠθοῦμεν ἑαυτούς; μέχρι τίνος ἐπὶ τῶν ἀκανθῶν
βαδίζομεν; μέχρι τίνος ἥλοις διαπείρομεν ἑαυτοὺς, καὶ [m]χάριν
ἔχομεν; Ὠμοῖς τυράννοις ὑποκείμεθα, [n]τὸν προσηνῆ δεσπότην
παραιτούμεθα, τὸν οὐδὲν ἐπαχθὲς λέγοντα, οὐδὲ [o]φορτικὸν, C
οὐδὲ βάρβαρον, οὐδὲ ἀνόνητον, ἀλλὰ πάντα χρήσιμα καὶ ἐπι-
κερδῆ καὶ ὠφέλειαν ἡμῖν μεγάλην παρέχοντα. Διαναστῶμέν
ποτε, συστρέψωμεν ἑαυτοὺς, συγκροτήσωμεν, ἀγαπήσωμεν, ὡς
δεῖ, τὸν θεὸν, [p]ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν
τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς [q]τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν.

[i] οὐχὶ] ἀλλ' ἐκείνην (sic) μὲν K. Post θεὸς add. κελεύων idem. [k] τίμα] καὶ L. [l] ἀλλ' ἀγγ. I.K. Pergit μὴ μόνον μηδὲν ἀν. εἴπῃς, μηδὲ ψ. ἀλλὰ μ. νοήσῃς K. [m] χάριν]+ἄχαριν L. [n] τὸν]+δὲ K. [o] φ. οὐδὲ β. pro β. οὐδὲ φ. omnes. Mox ἀνόητον C.I. Veron. et ex corr. L. [p] ἵνα καὶ τῶν ἐπ. καταξ. ἀγ. K. [q] τοὺς]+ἀτελευτήτους L.

Ed. Ben.
Tom. XI.
p. 658.

Ed. Sav.
Tom. IV.
p. (329.)

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΔΕΥΤΕΡΑΝ.

ΛΟΓΟΣ Α.

A [1]Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, Τιμοθέῳ ἀγαπητῷ τέκνῳ χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.

ΤΙ δήποτε καὶ δευτέραν ἐπιστέλλει τῷ Τιμοθέῳ ἐπιστολήν;
B Εἶπεν, [2]"Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον·" οὐκ [a]ἐξεγένετο τοῦτο· παραμυθεῖται αὐτὸν διὰ γραμμάτων ἀντὶ τῆς παρουσίας, ἴσως τεθλιμμένον καὶ διὰ τοῦτο, καὶ διὰ τὸ ἀρχῆς ἤδη ἧφθαι τότε. Κἂν γὰρ μεγάλοι τινὲς ἄνδρες ὦσιν, [b]ὅταν ἀναδέξωνται τοὺς οἴακας καὶ τὴν κυβέρνησιν τῆς ἐκκλησίας, ξενοπαθοῦσι, πολλοῖς πολλαχόθεν βαπτιζόμενοι [c]κύμασι, καὶ μάλιστα τότε, ὅτε ἡ ἀρχὴ τοῦ κηρύγματος ἦν, ὅτε πάντα [d]ἀνήροτα, ὅτε πάντα ἐχθρὰ, ὅτε πάντα προσίστατο. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αἱρέσεις ἦσαν ἐξ Ἰουδαϊκῶν [e]διδασκαλιῶν ἀρχόμεναι, ἅπερ καὶ ἐν τῇ προτέρᾳ ἐνέφηνεν ἐπιστολῇ. Οὐ διὰ γραμμάτων δὲ αὐτὸν παραμυθεῖται μόνον, ἀλλὰ [f]καὶ καλεῖ πρὸς ἑαυτόν· [3]"Σπου-

[1] Cap. I. v. 1, 2. [2] 1 Tim. iii. 14. [3] 2 Tim. iv. 9, 13.

Codices C.I.K. [a] ἐγένετο Cat. [b] ὅταν] ἀλλ' ὅταν K. [c] κύμασι] Sic C.I. πράγμασι Veron. πραγμάτων κύμασι K. Sav. cet. [d] ἀνήροτα] πολέμια K. [e] διδασκαλιῶν] Sic C. secundum conjecturam Dunaei. *observationibus* Vet. διδασκάλων Edd. [f] καὶ om. I.

δασον γὰρ ἐλθεῖν πρός με ταχέως," φησί· καί, "Ἐρχόμενος
φέρε τὰ βιβλία, μάλιστα τὰς μεμβράνας." Δοκεῖ δέ μοι πρὸς C
τῷ τέλει εἶναι αὕτη ἡ ἐπιστολή· [4]"Ἐγὼ γὰρ ἤδη, φησὶ,
σπένδομαι·" καὶ πάλιν, "Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς
μοι συμπαρεγένετο." Ταῦτα [g]δὴ πάντα διορθούμενος, καὶ τὴν
παράκλησιν ποιεῖται ἀπὸ τῶν οἰκείων πειρασμῶν, καί φησι·
"Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, κατ'
ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ." Εὐθέως ἀνέστησεν
αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ προοιμίου. Μή μοι τοὺς ἐνταῦθα
κινδύνους εἴπῃς, φησίν· οὗτοι τίκτουσιν ἡμῖν τὴν αἰώνιον ζωὴν,
ἔνθα τοιοῦτον οὐδέν ἐστιν, ἔνθα [5]"ἀπέδρα ὀδύνη [h]καὶ λύπη καὶ
στεναγμός." Οὐ γὰρ διὰ τοῦτο ἀποστόλους ἡμᾶς ἐποίησεν, ἵνα
[i]κινδυνεύωμεν μόνον, φησὶν, ἀλλ' ἵνα καὶ ἀποθνήσκωμεν, ἵνα τοι-
αῦτα πάσχωμεν. Ἐπειδὴ γὰρ [k]τὸ τὰ οἰκεῖα διελθεῖν κακὰ οὐχὶ 659
παράκλησις [l]μόνον ἦν, ἀλλὰ καὶ προσθήκη λύπης, εὐθέως ἀπὸ
τῆς ἀρχῆς ποιεῖται τὴν παραμυθίαν· "Κατ' ἐπαγγελίαν,
[m]φησὶ, ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ." Εἰ δὲ ἐπαγγελία ἐστὶ,
μὴ [n]ζήτει αὐτὴν ἐνταῦθα. [6]"Ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν
ἐλπίς." "Τιμοθέῳ ἀγαπητῷ τέκνῳ." [o]Οὐχὶ ἁπλῶς, τέκνῳ,
ἀλλὰ, "ἀγαπητῷ." Ἔστι γὰρ [p]εἶναι τέκνα μὴ ἀγαπώμενα·
[q]ἀλλ' οὐ σὺ τοιοῦτος, φησὶν, [r]οὐδὲ ἁπλῶς τέκνον σε καλῶ,
ἀλλὰ τέκνον ἀγαπητόν. Ἐπειδὴ καὶ Γαλάτας τέκνα καλεῖ,
(330) [s]ἀλλ' ὅμως καὶ ἀλγεῖ ὑπὲρ αὐτῶν, [7]"Τεκνία μου, [t]λέγων, οὓς B
πάλιν ὠδίνω." Μάλιστα [v]δὲ πολλὴν αὐτῷ μαρτυρεῖ τὴν [w]ἀρε-
τήν· ὅταν γὰρ μὴ ἐκ φύσεως ᾖ [x]ἡ ἀγάπη, [y]ἀρετῆς [z]ἐστιν. Οἱ
[a]γὰρ ἐξ ἡμῶν τεχθέντες, οὐ δι' ἀρετὴν [b]μόνον ἡμῖν εἰσιν ἀγα-
πητοὶ, ἀλλὰ καὶ διὰ τὴν τῆς φύσεως ἀνάγκην· οἱ δὲ κατὰ πίστιν
ὅταν ὦσιν ἀγαπητοὶ, δι' οὐδὲν ἕτερόν εἰσιν, [c]ἀλλ' ἢ δι' ἀρετήν·
ἐπεὶ πόθεν ἄλλοθεν; καὶ μάλιστα παρὰ Παύλῳ τῷ οὐδὲν ποι-
οῦντι κατὰ [d]πρόσκλισιν. [e]Δείκνυσι τοίνυν, ὅτι οὐκ ὀργιζόμενος C

4 2 Tim. iv. 6, 16. 5 Esai. xxxv. 10. 6 Rom. viii. 24. 7 Gal. iv. 19.

g δὴ] + οὖν C. h καὶ accessit ex C.I. Cat. i κινδυνεύωμεν C.K. -ύσωμεν Edd. φησὶν om. K. k τὸ om. C. l μόνον] + οὐκ K. Sav. cet. m φησὶ] λέγων iidem. ζωῆς om. I. n ζήτει] + φησὶν K. o οὐχ K. Mox ἀλλ' ἀγ. C.K. p εἶναι] + καὶ K. Sav. cet. q ἀλλ' οὐ σὺ] σὺ δὲ οὐ C. φησὶν om. K. r οὐδὲ] + ἐπειδὴ C. Veron. + ἐγὼ I. + γὰρ K. Statim ἁπλῶς τ. σε καλῶ hoc ord. I.K. τ. ἁπλῶς σε κ. C. τ. σε κ. ἁπλῶς Edd. s ἀλλ' ὅμως] ἀλλ' οὐκ ἀγαπητὰ, ἀλλ' K. t λέγων] φησὶν Veron. λέγων om. C. v δὲ] μὲν γὰρ K. w ἀρετὴν] + ἀγαπητὸν καλῶν. πῶς; K. Sav. cet. x ἡ om. I. y ἀπὸ ἀρετῆς Edd. ἀπὸ om. I. Cat. z ἐστιν] λείπεται μόνης εἶναι K. a γὰρ] γοῦν K. Sav. cet. b μόνην K. c ἀλλ' ἢ] ἀλλὰ I. Cat. d πρόσκλησιν C.I. Veron. πρόκλησιν K. e δ. τοίνυν] ἄλλως δὲ δείκνυσι διὰ τοῦ εἰπεῖν, τέκνῳ ἀγαπητῷ K. Sav. cet. Mox καὶ τοῦτο—ἀγαπητῷ om. iidem.

πρὸς αὐτὸν, [f]οὐχὶ καταφρονῶν αὐτοῦ, οὐχὶ κατεγνωκὼς αὐτοῦ,
[g]οὐ παρεγένετο. Καὶ τοῦτο ἐδήλωσεν ἐν τῷ εἰπεῖν, "τέκνῳ
ἀγαπητῷ." "Χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χρι-
στοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν." Ἅπερ καὶ πρότερον, ταῦτα
αὐτῷ καὶ νῦν ἐπεύχεται. Καὶ ὅρα πῶς εὐθέως ἐν τῷ προοιμίῳ
πρὸς [h]ἐκεῖνο ἀπολογεῖται, ὅτι οὐκ ἦλθε πρὸς αὐτὸν, οὐδὲ εἶδεν
αὐτόν. Καὶ γὰρ τὸ, [8]"Ἕως ἔρχομαι," καὶ τὸ, "Σπουδάζω
ἐλθεῖν πρὸς σὲ τάχιον," ταχεῖαν ἐποίει προσδοκᾶν τὴν παρου-
σίαν. Πρὸς τοῦτο οὖν εὐθέως ἀπολογεῖται. Καὶ τὴν μὲν αἰτίαν
εὐθέως οὐ λέγει, δι' ἣν οὐκ ἦλθεν, ἵνα μὴ σφόδρα λυπήσῃ· αὕτη
D δὲ ἦν τὸ κατέχεσθαι αὐτὸν [i]παρὰ τοῦ Καίσαρος· ὅτε δὲ αὐτὸν
ἐκάλεσε πρὸς ἑαυτὸν πρὸς τῷ τέλει, τότε αὐτὴν ἐνέφηνεν. Εὐ-
θέως δὲ αὐτὸν ἐκ προοιμίων οὐκ ἐμβάλλει εἰς λύπην, ἀλλ' ἐλπί-
δας ὑποφαίνει τοῦ αὐτὸν ὄψεσθαι· [9]"Ἐπιποθῶ σε [k]ἰδεῖν," καὶ,
"Σπούδασον ἐλθεῖν πρός με ταχέως."

Εὐθέως οὖν ἐκ [l]τοῦ προοιμίου ἀνίστησιν αὐτὸν, [m]καὶ τὰ ἑξῆς
λέγει μετ' ἐγκωμίου. [10]"Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ
προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ
σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας, ἐπιποθῶν σε
E ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ." Εὐ-
χαριστῶ τῷ θεῷ, ὅτι μέμνημαί σου, φησίν· οὕτω σε φιλῶ.
[n]Τοῦτο ὑπερβαλλούσης ἀγάπης, ὅταν [o]καὶ κοσμῆταί τις τῇ
φιλίᾳ ἐκ τοῦ σφόδρα φιλεῖν. "Χάριν ἔχω, φησὶ, τῷ θεῷ, ᾧ
λατρεύω·" [p]πῶς; "ἐν καθαρᾷ συνειδήσει ἀπὸ προγόνων·" [q]ὅτι
τὸ συνειδὸς αὐτοῦ οὐκ [r]ἦν βλαβέν. Ἄλλως δὲ ἐνταῦθα περὶ
βίου φησὶ, καὶ πανταχοῦ τὴν συνείδησιν [s]τὸν βίον λέγει. Ἢ
ὅτι οὐδὲν ὧν προεθυμούμην καλῶν δι' ἀνθρωπίνην αἰτίαν προὔ-
F δωκα, οὐδὲ τότε ὅτε ἐδίωκον. Διό φησιν, [11]"Ἀλλ' ἠλεήθην, ὅτι
ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ." Μονονουχὶ λέγων, μὴ ὑποπτεύσῃς
τὸ πρᾶγμα [t]κολακείαν εἶναι. Καλῶς συνίστησιν αὐτοῦ τὸ ἦθος,
660 ἵνα ἀξιόπιστον δειχθῇ τὸ περὶ τὴν ἀγάπην· [v]ὅτι οὐδὲν ψεύ-

8 1 Tim. iv. 13. iii. 14. 9 2 Tim. i. 4. iv. 8. 10 v. 3, 4.
11 1 Tim. i. 13.

[f] οὐχὶ] οὐδὲ K. οὐχὶ κατεγν. αὐτοῦ om. idem. [g] οὐ superscript. in K. [h] ἐκεῖνο] Sic K. ἐκεῖνον Edd. [i] παρὰ] ὑπὸ I. [k] ἰδεῖν]+φησὶ C. [l] τοῦ om. C. [m] καὶ] εἶτα K. λέγει om. idem. [n] τοῦτο ὑπ. ἀγ.] τουτέστι μεθ' ὑπ. ἀγ. C. Veron. τουτέστι μεθ' ὑπερβολῆς ἁπάσης I. [o] καὶ κοσμῆται] κεκοσμῆται C. κεκόσμηται Veron. [p] πῶς]+εἰπὲ K. [q] ὅτι—προεθυμούμην] τοῦτο λέγει, ὅτι τὸ συνειδὸς καθαρὸν εἶχεν ἀπὸ πάσης κηλῖδος· ἢ οὖν διὰ τοῦτο οὕτως εἶπεν, ἢ ἐνταῦθα περὶ βίου αἰνίττεται, καὶ πανταχοῦ εὑρήσεις αὐτὸν βίον τὴν σ. λέγοντα. ἑαυτὸν δὲ ἐγκωμιάζει, δεικνὺς ὅτι οὐδὲν ὧν προεθυμεῖτο K. Mox προὔδωκεν et ἐδίωκε idem. [r] ἦν βλ.] ἔβλαψεν I. [s] τοῦ βίου C. [t] κολακείαν] κακίαν K. Sav. cet. *malitiam* Vet. sed in marg. *adulationem*. [v] ὅτι] ὃ δὲ λέγει, τοῦτό ἐστιν K. Sav. cet.

δομαι, οὐδὲ ἄλλα ἔχω, καὶ ἄλλα λέγω. Ὥστε καὶ τότε ἀναγκασθεὶς ἑαυτὸν [w]ἐνεκωμίασεν, ὥσπερ τὸ τῶν Πράξεων βιβλίον δηλοῖ. [x]Ἐπειδὴ ὡς στασιαστὴν αὐτὸν διέβαλλον καὶ νεωτεροποιὸν, διὰ τοῦτο [y]ἔλεγεν· [12]"Ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν [z]ἐκ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς [a]αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας." Οὕτω καὶ ἐνταῦθα, ἵνα μὴ λάβῃ ἀφίλου καὶ ἀσυνειδήτου δόξαν B
ὡς ἐπιλελησμένος, εἰκότως ἑαυτὸν ἐγκωμιάζει λέγων, "Ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν·" καὶ οὐχ ἁπλῶς, ἀλλ', "ἐν ταῖς δεήσεσί μου." Τουτέστιν, εὐχῆς μοι ἔργον ἐστὶ, τὸν πάντα [b]χρόνον διηνεκῶς, "νυκτὸς καὶ ἡμέρας," ὑπὲρ τούτου τὸν θεὸν παρεκάλουν, "ἐπιποθῶν σε ἰδεῖν." Ὁρᾷς ζέοντα πόθον; ὁρᾷς [c]μανίαν ἀγάπης; ὁρᾷς ταπεινοφροσύνην; πῶς ἀπολογεῖται τῷ μαθητῇ; Εἶτα [d]δείκνυσιν ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ. Ἔδειξε [e]μὲν καὶ ἤδη, δείκνυσι δὲ καὶ ἐνταῦθα· φησὶ γὰρ, "Μεμνημένος C
σου τῶν δακρύων." [f]Εἰκὸς ἦν αὐτὸν ἀποσχιζόμενον κλαίειν καὶ ὀδύρεσθαι μᾶλλον, ἢ παιδίον τοῦ μαστοῦ [g]τῆς τίτθης ἀποσπώμενον καὶ τοῦ γάλακτος. "[h]Ἵνα χαρᾶς, φησὶ, πληρωθῶ," ἐπιποθῶ σε ἰδεῖν. Οὐκ ἂν οὖν ἐμαυτὸν τοσαύτης ἀπεστέρησα ἡδονῆς, [i]εἰ καὶ σφόδρα ἀναίσθητος ἤμην καὶ ὠμὸς καὶ θηριώδης· [k]ἱκανὰ ἦν τὰ δάκρυα ἐκεῖνα εἰς μνήμην ἐλθόντα κάμψαι. Νυνὶ δὲ οὐχ εἷς τῶν τοιούτων [l]εἰμὶ, ἀλλὰ τῶν καθαρῶς λατρευόντων
(331) τῷ θεῷ. Ὥστε πολλαί με ἦγον ἀνάγκαι πρὸς σέ. Ἄρα οὖν D
[m]κλαίει. [n]Καὶ ἑτέραν τίθησιν αἰτίαν ἅμα καὶ παρακλητικήν· [13]"Ὑπόμνησιν, φησὶ, λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως."

Εἶτα καὶ ἄλλο [o]ἐγκώμιον, ὅτι οὐκ ἐξ ἐθνῶν, [p]οὐδὲ ἐξ ἀπίστων, ἀλλ' ἄνωθεν ἀπὸ οἰκίας ἦν τῷ Χριστῷ δουλευούσης. "Ἥτις ἐνῴκησε, [q]φησὶν, ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ ἐν τῇ

12 Act. xxii. 14, 15. 13 v. 5.

[w] ἐνεγκωμίασεν C. Statim ὡς pro ὥσπερ I. ὥς που K. Sav. cet. [x] ἐπειδὴ] +γὰρ K. Sav. cet. [y] ἔλεγε]+καὶ (καὶ om. C.) εἶπεν (+φησὶν K.) Ἀνανίας (+φησὶ C.) πρός με C.K. Vet. Sav. cet. [z] ἐκ]+τοῦ C. [a] αὐτοῦ om. K. [b] χρόνον δ.] χρόνον διατελῶ τοῦτο ποιῶν διηνεκῶς. τοῦτο γὰρ ἐμφαίνει τῷ εἰπεῖν K. Sav. cet. [c] μανίας ἀγάπην C. μανικὴν ἀγάπην K. [d] δεικνὺς C. [e] μὲν]+οὖν K. Sav. cet. [f] εἰκὸς—κλαίειν] τί δήποτε τοῦτο λέγει; ὅτι εἰκὸς ἦν ἀποχωριζόμενον αὐτὸν οὕτως ἀλγεῖν ὡς καὶ κλαίειν K. [g] καὶ τῆς Edd. καὶ deest in omnibus. Mox καὶ τοῦ γ. om. K. [h] ἵνα]+τοίνυν K. φησὶ om. idem. [i] εἰ καὶ] κἂν C. [k] ἱκανὰ]+γὰρ K. Sav. cet. [l] εἰμὶ] εἶ I. [m] ἔκλαιε K. Sav. cet. [n] καὶ ἑτέραν—λαμβάνων] δῆλον τοῦτο ποιεῖ καὶ ἑτέραν αἰτίαν τιθεὶς ἐνδεικτικὴν ἅμα τούτου καὶ παρακλητικήν. ποίαν δὴ ταύτην; ἣν μετὰ τὸ εἰπεῖν, μεμ. σου τῶν δ. ἐπάγει καὶ λέγει, ὑπόμ. λαμβάνων K. [o] ἐγκώμιον] +ἐμφαῖνον K. [p] οὐδὲ ἐξ ἀπίστων om. C. Mox ἦν om. I. [q] φησὶν] πρῶτον K.

μητρί σου Εὐνείκῃ.” [14] “[q]Ἦν γάρ, φησὶν, υἱὸς [r]γυναικὸς Ἰου-
δαίας πιστῆς.” [s]Πῶς Ἰουδαίας; πῶς πιστῆς; [t]Ἐξ Ἰουδαίων
πιστῆς, οὐκ ἐξ ἐθνικῶν· διὰ δὲ τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην
E ὑπῆρχε, καὶ διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκεί-
νοις, ἔλαβε καὶ περιέτεμεν αὐτόν. Ὁρᾷς πῶς ἤρχετο ὁ νόμος
καταλύεσθαι, τῶν [v]ἐπιμιξιῶν τούτων γινομένων; [w]Ὅρα πόσα
ἔθηκεν. [x]Ἐγὼ λατρεύω τῷ θεῷ, φησί· συνείδησιν ἔχω ἀληθῆ·
σὺ δὲ τὰ δάκρυα. Οὐ διὰ τὰ δάκρυα μόνον, ἀλλὰ καὶ διὰ τὴν
πίστιν, ὅτι ἀληθείας εἶ [y]ἐργάτης, ὅτι οὐδὲν δολερὸν παρὰ σοί.
Ὅταν οὖν καὶ σαυτὸν ἄξιον τοῦ φιλεῖσθαι παρέχῃς, οὕτω μὲν
ὢν φιλόστοργος, οὕτω δὲ γνήσιος [z]τοῦ Χριστοῦ μαθητὴς, ὅταν
F μηδὲ ἐγὼ τῶν ἀστόργων ὦ, ἀλλὰ τῶν ἀληθεύειν σπουδαζόντων,
τί τὸ κωλύον [a]ἦν ἐμὲ ἐλθεῖν; “Πέπεισμαι δὲ, [b]φησὶν, ὅτι καὶ
661 ἐν σοί.” Ἄνωθεν ἔχεις τοῦτο τὸ καλὸν, ἐκ προγόνων διεδέξω
τὴν πίστιν τὴν ἀνυπόκριτον. Τὰ γὰρ τῶν προγόνων ἐγκώμια,
ὅταν μὲν [c]αὐτοῖς κοινωνῶμεν, καὶ ἡμῶν ἐστιν· ὅταν δὲ μὴ, οὐδὲν
ἰσχύει, ἀλλὰ καὶ μᾶλλον κατακρίνει. [d]Διὸ ἐπήγαγε, “Πέ-
πεισμαι δὲ ὅτι καὶ ἐν σοί.” Οὐ στοχάζομαι, φησὶν, ἀλλὰ πέ-
πεισμαι καὶ πεπληροφόρημαι. Εἰ τοίνυν δι’ οὐδὲν ἀνθρώπινον
ἦλθες ἐπὶ τοῦτο, οὐδέν σε παρασαλεῦσαι δυνήσεται. [15] “Δι’ ἣν
αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ
ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου.” Ὅρα πῶς
B δείκνυσιν αὐτὸν ἐν ἀθυμίᾳ ὄντα πολλῇ, πῶς ἐν κατηφείᾳ. [e]Διὰ
τοῦτο, μὴ νομίσῃς, φησὶν, ὅτι κατεφρόνησά σου· ἀλλ’ [f]εἰδὼς
ὅτι [g]οὐ κατέγνων, οὐδὲ ἐπελήσθην, [h]εἰ καὶ μηδένα ἕτερον, τὴν
μάμμην καὶ τὴν μητέρα ἐννόει. Διὸ ἐπειδὴ οἶδα, ὅτι ἀνυπόκρι-
τον ἔχεις πίστιν, [i]δεῖ σοι προθυμίας πρὸς τὸ ἀναζωπυρῆσαι τὸ
χάρισμα τοῦ θεοῦ. Καθάπερ τὸ πῦρ [k]δεῖται ξύλων, οὕτω καὶ

14 Act. xvi. 1. 15 v. 6.

[r] γυναικὸς] + τινος C. [s] πῶς] + εἰ ex corr. C. + καὶ bis K. [t] ἐξ Ἰουδαίων (Ἰουδαίας C.) πιστῆς] Sic C.I. Cat. Haec desunt in Edd. Mox ἐθνῶν C. ἐξ Ἰουδαίων—τὸν π. αὐτοῦ] οὐκ ἐξ ἐθνικῶν ἁπλῶς, ἐξ Ἰουδαίας πιστῆς. ἐπεὶ οὖν ἀπὸ μητρὸς ἦν πιστευσάσης Ἰουδαίας καὶ πατρὸς ἐθνικοῦ, διὰ τὸν π. αὐτοῦ K. [v] ἐπιμίξεων K. Mox γενομένων C.K. [w] ὅρα] καὶ ὅρα Sav. cet. καὶ βλέπε K. Post ἔθηκε add. πληροφορῶν ὅτι οὐ κατεφρόνησεν (+ τὴν ἑαυτοῦ συνείδησιν K.) K. Sav. cet. [x] ἐγὼ—καὶ σαυτὸν] μάρτυς γάρ μου ὁ θεὸς, ᾧ λατρεύω ἐν καθαρᾷ συνειδήσει, φησί· τὰ ἐκείνου δάκρυα· οὐ τὰ δ. δὲ μόνον, ἀλλὰ καὶ τὴν π. ὅτι ἀλ. εἶ ἐργάτης, φησὶν, καὶ ὅτι οὐδὲν δ. παρὰ σοί. διὰ πάντων τοίνυν ἐνδείκνυται τούτων, ὅτι οὔτε αὐτὸς πρὸς τὸ καταφρονεῖν, οὔτε ἐκεῖνος ἄξιος τοῦ καταφρονεῖσθαι. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὅταν καὶ σαυτὸν K. [y] ἐραστὴς Cat. *amator* Vet. [z] τοῦ Χρ. μ. pro μ. τοῦ Χρ. omnes. [a] ἦν] καὶ K. [b] φησὶν om. K. Sav. cet. Post τοῦτο add. φησὶ iidem. [c] αὐτοῖς] + κατ’ ἀρετὴν K. [d] διὸ] + καὶ Edd. invitis libris. [e] διὰ τοῦτο] μονονουχὶ γὰρ τοῦτό φησι (mox om. φησὶ) K. Sav. cet. [f] εἰδὼς] + ἔσο iidem. [g] οὐ] οὔτε I.K. Sav. cet. Mox οὔτε ἐπιλέλησμαι K. [h] εἰ καὶ] καὶ εἰ I.K. Sav. cet. Statim μηδὲν Cat. [i] δεῖ] ἀναμιμνήσκω· δεῖ γὰρ K. Sav. cet. [k] δεῖται] δεῖ τῶν K.

ἡ χάρις τῆς προθυμίας τῆς ἡμετέρας, ἵνα ἀεὶ ἀναζέῃ. "[l] Ἀνα-
μιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ ἐστιν [m] ἐν
σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου·" τουτέστι, τὴν χάριν
τοῦ πνεύματος, ἣν ἔλαβες εἰς προστασίαν τῆς ἐκκλησίας, εἰς C
σημεῖα, εἰς τὴν λατρείαν ἅπασαν. Ἐν ἡμῖν γάρ ἐστι καὶ σβέσαι
καὶ ἀνάψαι τοῦτο· διὸ ἀλλαχοῦ λέγει, [16] "Τὸ πνεῦμα μὴ σβέν-
νυτε." Ὑπὸ μὲν γὰρ ἀκηδίας καὶ ῥᾳθυμίας σβέννυται, ὑπὸ δὲ
νήψεως καὶ [n] προσοχῆς διεγείρεται. Ἔνεστι μὲν γὰρ ἐν σοὶ,
πλὴν ἀλλὰ σφοδρότερον ἐργάζου αὐτὸ, τουτέστι, παρρησίας
ἔμπλησον [o] αὐτὸ, χαρᾶς, εὐφροσύνης· στῆθι γενναίως. [17] "Οὐ
γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγά-
πης καὶ σωφρονισμοῦ." Τουτέστιν, οὐ διὰ τοῦτο τὸ πνεῦμα
ἐλάβομεν, ἵνα ὑποστελλώμεθα, ἀλλ' ἵνα [p] δυναμώμεθα, ἵνα παρ- D
ρησιαζώμεθα. Πολλοῖς γὰρ δίδωσι πνεῦμα δειλίας, οἷον ἐπὶ
τῶν πολέμων [q] ἐν ταῖς Βασιλείαις γέγονε. [18] "Καὶ [r] ἔπεσε,
φησὶ, πνεῦμα δειλίας ἐπ' αὐτούς·" τουτέστι, φόβον αὐτοῖς ἐνέ-
θηκεν. Ἀλλὰ σοὶ ἔδωκε [s] τοὐναντίον, ἀγάπης τῆς εἰς αὐτόν.
Ἄρα καὶ τοῦτο ἀπὸ χάριτός ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ἀπὸ χάρι-
τος, ἀλλ' [t] ὅταν καὶ ἡμεῖς πρότεροι ἐπιδειξώμεθα τὰ παρ' ἑαυ-
τῶν. Τὸ γὰρ ποιοῦν ἡμᾶς κράζειν, Ἀββᾶ ὁ πατὴρ, [v] καὶ τὴν
ἀγάπην [w] τίθησι τὴν πρὸς αὐτὸν, καὶ τὴν πρὸς τὸν πλησίον,
φησὶν, ἵνα ἀλλήλους ἀγαπῶμεν· ἀπὸ γὰρ τῆς δυνάμεως καὶ τοῦ
μὴ δειλιᾶν [x] καὶ ἡ ἀγάπη γίνεται. Οὐδὲν γὰρ οὕτω φιλίαν δια- E
λύειν εἴωθεν, ὡς δειλία καὶ [y] προδοσίας φήμη. "Οὐ γὰρ ἔδωκεν
ἡμῖν ὁ θεὸς, φησὶ, πνεῦμα δειλίας, ἀλλὰ [z] ἀγάπης καὶ δυνάμεως
καὶ [a] σωφρονισμοῦ." Ἤτοι [b] σωφρονισμὸν [c] τὴν ὑγείαν λέγει
(33²) τῆς διανοίας καὶ τῆς ψυχῆς, ἢ "σωφρονισμοῦ," ὥστε σωφρονί-
ζεσθαι ἡμᾶς, κἂν τι δεινὸν γένηται, ἵνα σωφρονίζῃ ἡμᾶς, καὶ τὰ
περιττὰ [d] περικόπτῃ.

[16] 1 Thess. v. 19. [17] v. 7. [18] 1 Reg. xxvi. 12?

[l] ἀναμ. σε] τί ἀναμιμνήσκεις, εἶπε (sic) K. Statim ἀναζ. φησὶ, τὸ idem. [m] ἐν] ἐπὶ I. [n] προσευχῆς I. [o] αὐτὸ] σαυτὸν C. αὐτὸ om. K. [p] δυναμώμεθα] Sic I. δυνώμεθα C. Cat. Veron. ἵνα δυν. om. K. Sav. cet. [q] ἐν om. I. γέγραπται pro γέγονε K. [r] ἐπέπεσε C. ἐποίησεν Cat. [s] τοὐν.] τὸ ἐν. C. Cat. πνεῦμα δυνάμεως καὶ K. τοὐν. πν. δυνάμεως καὶ Sav. cet. Statim ἀγάπῃ τῇ I. Cat. [t] ὅταν] ὅτι C. πρότεροι om. K. [v] καὶ τὴν—ἀγαπῶμεν] τοῦτό ἐστιν ἡ ἀγάπη. διὰ τοῦτο ἐν κοινῷ λέγειν αὐτὸ ἐδιδάχθημεν, ἵνα ἀγαπῶμεν ἀλλήλους· ἀπὸ τούτων προτρέπει καὶ τὴν εἰς θεὸν ἀγάπην ἐπιδείκνυσθαι, καὶ τὴν εἰς τὸν πλησίον K. [w] ἐντίθησι C. Cat. Mox φησὶν post ἀλλήλους transp. Sav. cet. [x] καὶ accessit ex C. I. Cat. [y] προδ. φήμη] προδοσία φιλίας K. [z] δυν. καὶ ἀγ. hoc ord. C.K. [a] σωφροσύνης ante corr. C. [b] σωφροσύνην C. σωφρονισμὸν—περικόπτῃ] σωφρονισμὸν λέγει τὴν τῆς δ. καὶ τῆς ψ. εὐεξίαν, ἢ ὥστε σωφρονεῖν ἡμᾶς καὶ πρὸς τὰ περιστατικὰ τὰ συμβαίνοντα K. [c] τὴν ὑ. λ.] λ. τὴν ὑ. C.I. [d] περικόπτῃ] Sic C.I. Cat. κόπτῃ Edd.

[e]Μὴ τοίνυν ἀλγῶμεν ἐπὶ τοῖς [f]δεινοῖς τοῖς συμπίπτουσι·
F σωφρονισμὸς τοῦτό ἐστι. [19]"Μὴ σπεύσῃς, φησὶν, ἐν καιρῷ
ἐπαγωγῆς." Πολλοὶ πολλὰ κατ' οἶκον ἔχουσι λυπηρὰ, καὶ τῇ
μὲν λύπῃ κοινωνοῦμεν ἀλλήλοις, τῇ δὲ ὑποθέσει οὐκέτι· [g]ἀλλ' ὁ
μὲν ἀπὸ γυναικὸς, ὁ δὲ ἀπὸ παιδὸς, ἕτερος ἀπὸ οἰκέτου, ἄλλος
662 ἀπὸ φίλου, ἄλλος ἀπὸ ἐχθροῦ, ἄλλος ἀπὸ γείτονος, ἄλλος ἀπὸ
ζημίας, καὶ πολλαὶ καὶ διάφοροί εἰσιν αἱ αἰτίαι τῆς λύπης· καὶ
ὅλως οὐκ ἔστιν εὑρεῖν τινα [h]λύπης καθαρὸν καὶ ἀθυμίας, ἀλλὰ ὁ
μὲν μικρὰ, ὁ δὲ μείζονα ἔχει τὰ λυποῦντα. Μὴ τοίνυν ἀσχάλ-
λωμεν, μηδὲ αὐτοὶ μόνοι νομίζωμεν εἶναι ἐν λύπῃ. Οὐ γὰρ
ἔστιν ἄνθρωπον ὄντα καὶ τὸν ἐπίκηρον τοῦτον ζῶντα βίον,
λύπης εἶναι χωρίς· ἀλλ' ἂν μὴ σήμερον, αὔριον· ἂν μὴ αὔριον,
μετὰ ταῦτα συμβαίνει [i]τὸ λυπηρόν. Ὥσπερ γὰρ οὐκ ἔνι τινὰ
B πλέοντα μὴ εἶναι ἐν ἀγωνίᾳ, πλέοντα λέγω πέλαγος μέγα· οὕ-
τως οὐδὲ [k]τὸν βίον τοῦτον ζῶντα οὐχ οἷόν τε μὴ εἶναι ἐν ἀθυ-
μίᾳ· [l]κἂν πλούσιον εἴπῃς, ἐπειδὴ πλούσιός ἐστι, πολλὰς ἀφορ-
μὰς [m]ἀθυμιῶν ἔχει· κἂν αὐτὸν τὸν βασιλέα· καὶ γὰρ καὶ αὐτὸς
ὑπὸ πολλῶν κρατεῖται, καὶ οὐ πάντα κατὰ γνώμην πράττει,
ἀλλὰ πολλὰ παρὰ τὸ δοκοῦν αὐτῷ χαρίζεται, καὶ μάλιστα
πάντων ἐκεῖνός ἐστιν ὁ [n]πάντα πράττων ἃ μὴ θέλει. Τί δή-
ποτε; Ὅτι πολλοὺς ἔχει τοὺς ἐκ τῶν ἐκείνου λαμβάνειν βουλο-
C μένους. [o]Ἐννόησον δὴ, ἐν ὅσῃ ἐστὶν ἀθυμίᾳ, ὅταν βούληται
μέν τι πράττειν, μὴ δύνηται δὲ, ἢ διὰ δέος, ἢ δι' ὑποψίαν, ἢ διὰ
πολεμίους, ἢ διὰ φίλους. Πολλάκις δὲ, ὅταν καὶ φιλονεικήσῃ τι
πρᾶξαι τῶν αὐτῷ δοκούντων, τὸ πᾶν [p]αὐτῷ τῆς ἡδονῆς ἠφάνισται
[q]τῆς ἐκ τῆς πράξεως ἐκείνης, πολλῶν [r]ὄντων τῶν ἀπεχθανομέ-
νων αὐτῷ. Ἀλλὰ τί; νομίζεις τοὺς ἀπράγμονα βίον ζῶντας
εἶναι ἐν βίῳ λύπης [s]καθαρῷ; Οὐκ ἔστιν. [t]Ὥσπερ οὐκ ἔστιν
D [v]εἶναι ἀθάνατον ἄνθρωπον ὄντα, οὕτως οὐδὲ λύπης χωρίς. Πόσα
εἰκὸς ὑπομένειν αὐτοὺς πράγματα, ἃ λόγῳ μὲν παραστῆσαι οὐκ
ἔστιν, ἔργῳ δὲ ἐκείνους μόνους δυνατὸν εἰδέναι; πόσοι μυριάκις

19 Sirac. ii. 2.

[e] ΗΘΙΚΟΝ. Ὅτι ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἄνθρωπον ἀθάνατον, οὕτως οὐδὲ χωρὶς λύπης ζῶντα ἐν τῷ βίῳ· καὶ ὅτι μία λύπη ἐπωφελὴς, ἡ δι' ἁμαρτίας· καὶ περὶ ἐλεημοσύνης. Veron. [f] δ. τοῖς συμπίπτουσι] συμπίπτουσι δ. C. δ. τοῖς συμβαίνουσι I. [g] ἀλλ' om. K. [h] λ. καθαρὸν] ἐκτὸς λ. K. [i] τὰ λυπηρὰ K. [k] τὸν β. τοῦτον] Sic omnes. τὸν τοῦτον τὸν β. Edd. [l] κἂν πλ. εἴπῃς] καὶ πλούσιος I. Statim ἐπειδὴ γὰρ πλ. K. Sav. cet. [m] ἀθυμιῶν C.I. *moestitiae* Vet. Edebatur ἐπιθυμιῶν. [n] πάντα om. K. [o] ἐννόησον δὴ] Sic nostri omnes. *considera denique* Vet. ἐν ὅσῃ δὲ Edd. [p] αὐτοῦ K. Mox ἠφάνισται C. Edebatur ἠφάνισε. [q] τῆς] τῶν C. τῆς om. K. [r] ὄντων] γενομένων K. [s] καθαρῷ] Sic C.I. ut conjecerat Dun. καθαροὺς Edd. [t] ὥσπερ]+γὰρ K. Sav. cet. [v] εἶναι ἀθ. ἄνθ. ὄντα] εἶναι ἀθ. ὄντα ἄνθ. C. ἄνθ. ἀθ. ὄντα I. ἄνθ. ἀθ. εἶναι K. Statim οὕτως om. Veron.

ηὔξαντο ἀποθανεῖν ἐν ἐκείνῳ τῷ πλούτῳ καὶ τῇ τρυφῇ; Τὸ γὰρ
τρυφᾶν οὐ πάντως [w]καὶ ἐκτὸς λύπης ποιεῖ εἶναι· μᾶλλον [x]δὲ
αὐτὸ τὸ τρυφᾶν μυρίας τίκτει λύπας, νόσους, ἀηδίας· καὶ [y]χωρὶς
τούτων, αἰτίας μὴ ὑποκειμένης. Ὅταν γὰρ ἡ ψυχὴ ἐν ἕξει τοι-
αύτῃ καταστῇ, καὶ ἁπλῶς οἶδεν ἀλγεῖν. Καὶ γὰρ ἰατρῶν λέ-
γουσι παῖδες ὅτι καὶ παρὰ στομάχου [z]κατασκευὴν ἄκαιροι γί- E
νονται λῦπαι. Ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο [a]συμπίπτειν εἰκὸς,
ὅταν ἀλγῶμεν, καὶ μὴ εἰδῶμεν τῆς λύπης τὴν ὑπόθεσιν; Καὶ
ὅλως οὐκ ἔστιν εὑρεῖν τινα λύπης χωρίς· εἰ δὲ οὐ τοσαύτην
ἔχουσι [b]λύπης ἀφορμὴν, ὅσην ἡμεῖς, [c]οὕτως ἕκαστος νομίζει· τὸ
γὰρ οἰκεῖον μᾶλλον αὐτὸν λυπεῖ τοῦ ἀλλοτρίου. Ὥσπερ γὰρ
οἱ [d]τὰ μέρη τῶν σωμάτων ἀλγοῦντες, νομίζουσι [e]τοὺς πλησίον
πλεονεκτεῖν ταῖς ἀλγηδόσι, [f]καὶ ὁ νοσῶν τὸν ὀφθαλμὸν, οὐδὲν
ἕτερον [g]ἡγεῖται πάθος, οἷον τὸ αὐτοῦ· πάλιν ὁ τὸν στόμαχον F
[h]ἀλγῶν, τοῦτο πάντων χαλεπώτερον εἶναί φησι, καὶ ἕκαστος
ἐν ᾧ κατέχεται, τοῦτο πάντων εἶναι [i]ἀνιαρότερόν φησιν· οὕτω
καὶ ἐπὶ τῆς [k]ἀθυμίας, ὑπὸ τῆς λύπης ἧς κατέχεται, ταύτην φη-
σὶν εἶναι ἀλγεινοτέραν· μετὰ γὰρ τῆς πείρας τῆς οἰκείας τοῦτο
κρίνει. Οἷον, ὁ παῖδας οὐκ ἔχων, οὐδὲν οὕτω δεινὸν, [l]φησὶν, ὡς
ἀπαιδία· ὁ πολλοὺς [m]ἔχων μετὰ πενίας, οὐδὲν οὕτως ὡς πολυ- 663
παιδίαν αἰτιᾶται· ὁ ἕνα ἔχων, οὐδὲν χεῖρον τοῦ ἕνα ἔχειν [n]νομί-
ζει. Ἐντεῦθεν γὰρ, φησὶ, καὶ ῥᾴθυμος γίνεται, καὶ ἐν [o]λύπῃ
τὸν πατέρα καθίστησιν, ἀεὶ περιπόθητος αὐτῷ τυγχάνων, καὶ
οὐδεμίαν ἐπιστροφὴν δεχόμενος. Ὁ καλὴν ἔχων γυναῖκα, οὐδὲν,
[p]φησὶ, χεῖρον τοῦ καλὴν [q]ἔχειν· ὑποψίας γὰρ τὸ πρᾶγμα
γέμει καὶ ἐπιβουλῆς· ὁ [r]ἄμορφον, οὐδὲν χεῖρον, φησὶ, τοῦ
ἄμορφον ἔχειν γυναῖκα· ἀηδίας γὰρ τὸ πρᾶγμα ἐμπέπλησται.
Ὁ ἰδιώτης, οὐδὲν, [s]φησὶν, ἀχρηστότερον τοῦ βίου τούτου, οὐδὲ B
εὐτελέστερον· ὁ στρατιώτης, οὐδὲν [t]μοχθηρότερον, φησὶν, οὐδὲ

[w] καὶ om. K. λύπης π. εἶναι pro εἶναι λ. π. omnes. [x] δὲ om. K. [y] χωρὶς τούτων om. K. Post αἰτίας add. πολλάκις K. Sav. cet. [z] κατασκ.] +ἀσθενῆ iidem. [a] συμπίπτειν εἰκὸς] συμπίπτει iidem. *contingit* Vet. Mox ἴδωμεν I. [b] λ. ἀφορμὴν pro ἀφορμὴν λ. omnes. [c] οὕτως] ὅμως οὕτως ἔχειν K. Sav. cet. [d] τὰ om. I. [e] τοὺς] τὸν I. τῷ Veron. [f] καὶ ὁ] ὅ τε γὰρ K. νοσῶν τ. ὀ. pro τ. ὀ. νοσῶν omnes. [g] ἡγεῖται]+τοιοῦτον εἶναι Edd. εἶναι om. C. τοιοῦτον εἶναι om. I.K. Mox οἷον τὸ αὐτοῦ (ἑαυτοῦ K. Sav. cet.) om. C. [h] ἀλγῶν omnes. Edebatur νοσῶν. [i] ἀνιαρώτερον C. (?) Edd. εἶναι ἀν. pro ἀν. εἶναι omnes. Statim ἡγεῖται pro φησιν K. Sav. cet. [k] ἐπιθυμίας K. Statim ἕκαστος ὑπὸ K. Sav. cet. [l] φησὶν] νομίζει K. Sav. cet. Statim ἀπαιδίαν iidem. [m] ἔχων]+πάλιν iidem. [n] νομίζει] ὑπολαμβάνει K. [o] λύπῃ] συμφορᾷ I.K. [p] φ. χεῖρον pro χεῖρόν φ. omnes. [q] ἔχειν γυναῖκα Edd. γυναῖκα deest in omnibus. Etiam ἔχειν om. I. [r] ἄμορφον] Sic C.I. δυσειδῆ Edd. φησὶ om. K. Mox ἀηδίας—ἐμπέπλησται om. idem. [s] φησὶν post τούτου vulgo legitur, invitis libris. [t] μοχ. φ.] Sic Edd. φ. μοχ. τοῦ βίου τούτου C.I. μοχ. καλεῖ τοῦ β. τ. K. Mox στρατιᾶς I.

ἐπισφαλέστερον τῆς στρατείας· βέλτιον γὰρ ἄρτῳ [v]κεχρῆσθαι (333)
μόνῳ καὶ ὕδατι, ἢ τοσαύτας [w]φέρειν ἐπαχθείας. Ὁ ἐν ἀρχῇ
ὢν, οὐδὲν ἐπιπονώτερον, [x]φησὶ, τοῦ τῶν ἄλλων τὰς ἀνάγκας
θεραπεύειν· ὁ ἀρχόμενος, οὐδὲν δουλικώτερον, φησὶν, ἑτέρων ἐξ-
ουσίᾳ ὑποκεῖσθαι. Ὁ γεγαμηκὼς, οὐδὲν χεῖρον, [y]φησὶ, γυναικὸς
καὶ φροντίδος· [z]ὁ μὴ γεγαμηκὼς, οὐδὲν ἀνελευθεριώτερον, [a]φησὶ,
τοῦ μὴ γαμεῖν, καὶ οἰκίας ἀπεστερῆσθαι καὶ ἀναπαύσεως. Ὁ
C [b]ἔμπορος τὸν γεωργὸν μακαρίζει τῆς ἀσφαλείας· ὁ γεωργὸς
τὸν ἔμπορον τοῦ πλούτου. Καὶ [c]ὅλως δυσάρεστόν πως τὸ
γένος τὸ ἀνθρώπινον, μεμψίμοιρον καὶ βαρύθυμόν [d]ἐστιν. Ὅτε
πάντων τῶν ἀνθρώπων [e]καταγινώσκει, τότε φησὶν, οὐδὲν ἄν-
θρωπος, τὴν πᾶσαν λέγοντες φύσιν, ἐπίμοχθον ζῶον καὶ ταλαί-
πωρον. Πόσοι τὸ γῆρας θαυμάζουσι; πόσοι τὴν νεότητα
μακαρίζουσιν; Οὕτω καὶ [f]ταῖς ἡλικίαις πολλὴ ἡ ἀθυμία.
[g]Ὅταν ἴδωμεν κατηγορουμένους ἡμᾶς διὰ τὴν ἡλικίαν, φαμὲν,
διὰ τί μὴ ἦμεν γέροντες; ὅταν [h]λευκαίνηται ἡ κορυφὴ, πάλιν,
D ποῦ ἡ νεότης; Καὶ [i]ὅλως μυρίας ἔχομεν ἀφορμὰς τοῦ λυπεῖ-
σθαι. Μία μόνη ἐστὶν ὁδὸς ταύτης ἀπηλλαγμένη τῆς ἀνωμα-
λίας, ἡ κατὰ ἀρετήν· μᾶλλον δὲ καὶ αὕτη λύπην ἔχει, ἀλλὰ
λύπην οὐκ ἀνόνητον, ἀλλὰ κέρδος καὶ ὠφέλειαν ἔχουσαν. Ἢ
γὰρ ἥμαρτέ τις, καὶ διὰ τῆς λύπης κατανυγεὶς, ἀπενίψατο [k]τὸ
ἁμάρτημα· ἢ πεπτωκότι ἀδελφῷ συνήλγησε, καὶ ἐνταῦθα πάλιν
ἔχει τὸν μισθὸν οὐ μικρόν. Τὸ γὰρ συναλγεῖν τοῖς ἐν συμφο-
ραῖς οὖσι, πολλὴν ἡμῖν πρὸς [l]τὸν θεὸν δίδωσι τὴν παρρησίαν.
E Ἄκουσον ὅσα περὶ τοῦ Ἰὼβ φιλοσοφεῖ ἡ θεία γραφή· ἄκουσον
καὶ Παῦλος τί φησι· [20]"Κλαίειν μετὰ [m]κλαιόντων·" "Τοῖς
ταπεινοῖς συναπαγόμενοι." Ἡ γὰρ κοινωνία τῶν λυπουμένων τὸ
σφόδρα φορτικὸν τῆς λύπης [n]ἀφαιρεῖν εἴωθεν. Ὥσπερ γὰρ ἐπὶ
φορτίου, ἂν τοῦ βάρους τις κοινωνήσῃ, ἐπελάφρυνε [o]τῷ μόνῳ τὸ
ἄχθος φέροντι, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. [p]Νυνὶ δὲ τῶν
μὲν οἰκείων ἡμῖν τινος τετελευτηκότος, πολλοὶ οἱ παρακαθήμενοι,
F πολλοὶ οἱ παραμυθούμενοι· καὶ ὄνον πεσόντα πολλάκις διεγεί-
ρομεν· τῶν δὲ ἀδελφῶν ἡμῶν τὰς ψυχὰς πιπτούσας ὄνου μᾶλλον

20 Rom. xii. 15, 16.

[v] κεχ. μόνῳ] μόνῳ κεχ. I.K. [w] φέρειν] ἔχειν I. [x] φησὶ] λέγει K. [y] φησὶ] ὀνομάζει K. Mox φροντίδων I. [z] ὁ] ὥσπερ ὁ K. [a] φησὶ om. K. Idem post γαμεῖν add. λέγει. [b] ἔμπορος] + πάλιν K. [c] ὅλον I. [d] ἐστι post ἀνθρώπινον transp. K. [e] καταγνῷ K. [f] ταῖς] ἐν ταῖς C.K. Mox ἡ om. I. [g] ὅταν] + γὰρ K. Mox ἡμᾶς om. I. [h] λευκαίνηται] λευκὴ γένηται C. Mox κορυφὴ C.I. κεφαλὴ Edd. [i] ὅμως C.I.K. [k] τὸ ἁμ.] Sic omnes. τὰ ἁμαρτήματα Edd. Mox πεπ. ἀδελφῷ pro ἀδελφῷ πεπ. omnes. [l] τὸν assumtum ex C.K. [m] κλαιόντων] + καὶ πάλιν K. Sav. cet. [n] ἀφαιρεῖν] φέρειν I. [o] τῷ—φέροντι] Sic C.I. αὐτῷ τούτῳ μόνῳ τὸ ἄ. τῷ φέροντι K. τὸν μόνον τὸ ἄ. φέροντα Edd. Mox ἁπάντων om. C. [p] νυνὶ pro νῦν omnes.

παραβλέπομεν καὶ παρατρέχομεν. Καὶ ἐὰν εἰς καπηλεῖον [q]αὐτὸν ἴδωμεν ἀσέμνως εἰσιόντα, οὐκ ἀνακόπτομεν· κἂν μεθύοντα, [r]οὐ 664 κωλύομεν, κἂν ὅτι δήποτε ἕτερον ποιοῦντα τῶν ἀτόπων· ἀλλὰ [s]πάντα συμπράττομεν. Διὰ τοῦτο [t]Παῦλος ἔλεγεν, 21 "Οὐ μόνον [v]αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι." Καὶ συμμορίας [w]μέθης καὶ πότου ποιοῦσιν οἱ πολλοί. Ποίησον, ἄνθρωπε, συμμορίας, ὥστε ἀποθέσθαι τὴν [x]μανίαν τῆς μέθης· τοῖς δεδεμένοις καλὰ ταῦτα [y]τὰ φιλικὰ, [z]τοῖς ἐν θλίψει οὖσι. Τοιοῦτόν τι καὶ Κορινθίοις ἐπέταξεν ὁ Παῦλος· 22 "Ἵνα μὴ, ὅταν ἔλθω, φησὶ, τότε λογίαι γίνωνται." Νῦν δὲ μέθης μὲν καὶ τρυφῆς καὶ σπατάλης [a]ἕνεκεν πάντα πράττομεν, καὶ κλίνην B κοινὴν, καὶ τράπεζαν κοινὴν, καὶ οἶνον κοινὸν, καὶ ἀνάλωμα κοινὸν ποιοῦμεν· ἐλεημοσύνην δὲ οὐδεὶς ἐποιήσατο κοινήν. Τοιαῦτα ἦν ἐπὶ τῶν ἀποστόλων τὰ φιλικὰ, [b]πάντα εἰς μέσον κατετίθεντο τὰ ὑπάρχοντα. Ἐγὼ δὲ οὐ πάντα [c]κελεύω, ἀλλὰ μέρος τι· "Ὃ ἂν τις εὐοδῶται, φησὶν, ὁρισάτω ἕκαστος [d]κατὰ μίαν σαββάτων," ὥσπερ τινὰ φόρον φέρειν ὑπὲρ τῶν ἑπτὰ ἡμερῶν, καὶ κατατίθεσθαι, καὶ οὕτω διδόναι ἐλεημοσύνην, κἂν μικρὸν, [e]κἂν μέγα. 23 "Οὐκ ὀφθήσῃ [f]γὰρ, φησὶ, κενὸς ἐνώπιον κυρίου." [g]Ἰουδαίοις ταῦτα ἐλέγετο· πόσῳ μᾶλλον ἡμῖν; Διὰ τοῦτο C ἑστήκασιν οἱ πένητες πρὸ τῶν θυρῶν, ἵνα μηδεὶς εἰσίῃ κενὸς, ἵνα μετὰ ἐλεημοσύνης [h]εἰσίῃ. Εἰσέρχῃ ἐλεηθῆναι· ἐλέησον πρότερον. [i]Ὁ δὲ ὕστερος ἐρχόμενος, πλέον ὀφείλει· ὅταν [k]γὰρ ἀρξώμεθα ἡμεῖς, ὁ δεύτερος πλέον κατατίθησι. Ποίησόν σοι ὀφειλέτην τὸν θεὸν, καὶ τότε αὐτὸν [l]αἴτησον· δάνεισον, καὶ τότε ἀπαίτει, ἵνα μετὰ τόκου λάβῃς· βούλεται τοῦτο ὁ θεὸς, οὐκ ἀποφεύγει. Ἂν μετὰ ἐλεημοσύνης αἰτῇς, χάριν ἔχει· ἂν [m]μετὰ ἐλεημοσύνης ἀπαιτῇς, δανείζεις καὶ τόκους λαμβάνεις. Ναὶ, παρακαλῶ. Οὐκ ἐν τῇ ἐκτάσει τῶν χειρῶν τὸ ἀκούεσθαί ἐστιν· ἔκτεινόν σου [n]τὰς χεῖρας, μὴ εἰς τὸν οὐρανὸν, ἀλλ' εἰς D τὰς τῶν πενήτων χεῖρας. Ἂν εἰς τὰς τῶν πενήτων χεῖρας ἐκ-

21 Rom. i. 32. 22 1 Cor. xvi. 2. 23 Deut. xvi. 16.

[q] αὐτὸν om. C. [r] οὐ κωλύομεν post ἀτόπων transp. K. [s] πάντα] μᾶλλον καὶ Sav. cet. + μᾶλλον καὶ K. [t] ὁ Παῦλος C. [v] αὐτὰ omnes. αὐτοὶ Edd. [w] μ. καὶ π. pro π. καὶ μ. omnes. [x] μωρίαν I. [y] τὰ om. C. [z] τοῖς] ἀλλὰ τοῖς K. Statim θλίψεσιν C. [a] ἕνεκα C.I. [b] πάντα Edd. πάντες Codd. et Vet. [c] κελεύω] + φησὶ I. Mox φησὶν om. idem. [d] κατὰ] μετὰ K. Statim τῶν σαβ. Edd. τῶν om. C.I. [e] κἂν] εἰ μὴ K. [f] γὰρ om. K. Mox ἐναντίον μου pro ἐνώπιον κυρίου idem. [g] Ἰουδ.] εἰ Ἰουδ. I. [h] εἰσίῃ] εἰσέλθῃ K. εἰσείη bis I. Statim εἰ εἰσέρχῃ K. [i] ὁ δὲ ὕστερος] Sic Reg. 744. ὁ δεύτερος C.I. ὁ γὰρ ὕστερον K. ὁ δὲ ὕστερον Edd. Statim ἀρχόμενος K. εἰσελθὼν I. *qui autem posterior venit* Vet. [k] γὰρ om. K. Mox πάλιν pro πλέον I. [l] αἴτησον omnes. αἴτησαι Edd. [m] μετὰ—δανείζεις] δι' ἐλεημοσύνης δανείζῃς K. [n] τὴν χεῖρα K.

τείνης τὴν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ· ὁ γὰρ
ἐκεῖ καθήμενος λαμβάνει τὴν ἐλεημοσύνην· ἂν δὲ ἀκάρπους ἀνα- (334)
τείνης, οὐδὲν ὤνησας. Εἰπὲ [o] *γάρ μοι, εἴ σε ὁ βασιλεὺς προσ-*
ελθὼν ᾔτησε μετὰ τῆς ἁλουργίδος, οὐκ ἂν προθύμως ἅπαντα
E *τὰ ὄντα* [p] *ἔδωκας;* Οὐ *γὰρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδὲ ἐν*
τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τοῖς ἔργοις τὸ [q] *ἐπακούεσθαί*
ἐστιν. Ἄκουε *γὰρ* [r] *τοῦ προφήτου λέγοντος·* [24] "Ὅταν *τὰς*
χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ'
ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν."
Δέον γὰρ σιγᾶν, καὶ μηδὲ ἀνανεύειν εἰς τὸν οὐρανὸν τὸν ἐλέου
δεόμενον, [s] *ὁ δὲ ὡς παρρησίαν ἔχων καὶ πολλὰ φθέγγεται.*
Ἀλλὰ *τί φησι;* "Κρίνατε *ὀρφανῷ* [t] *καὶ ταπεινῷ, καὶ δικαιώ-*
F *σατε χήραν, καὶ μάθετε καλὸν ποιεῖν."* Οὕτω *δυνησόμεθα ἀκού-*
εσθαι, κἂν κάτω τὰς χεῖρας ἔχωμεν, κἂν μὴ φθεγγώμεθα, μηδὲ
ζητῶμεν. Ταῦτα *τοίνυν ζηλώσωμεν,* [v] *ἵνα τύχωμεν τῶν ἐπηγ-*
γελμένων ἡμῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ *τῷ κυρίῳ ἡμῶν,*
μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

665 ΛΟΓΟΣ Β.

[1] Μὴ *οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν, μηδὲ ἐμὲ*
τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ
κατὰ δύναμιν θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλή-
σει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν,
καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ *πρὸ χρόνων*
B *αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος*
ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΟΥΔΕΝ *χεῖρον, ἢ ὅταν τις ἀνθρωπίνοις λογισμοῖς τὰ θεῖα*
κρίνῃ καὶ μετρῇ πράγματα· οὕτω γὰρ ἀποπεσεῖται τῆς πέτρας
ἐκείνης ἐκ πολλοῦ τοῦ μέτρου, καὶ τοῦ φωτὸς ἀποστερηθήσεται.
Εἰ *γὰρ ὁ* [a] *τὰς ἀκτῖνας ἀνθρωπίνοις θέλων καταλαβεῖν ὀφθαλ-*
C *μοῖς, οὐ μόνον οὐ καταλήψεται οὐδὲ ἀνθέξεται τοῦ προκειμένου,*

24 Esai. i. 15, 17. 1 Cap. I. v. 8—10.

[o] *γὰρ*] *δὴ* K. Mox *ὁ β. προσελθὼν* (*προελθὼν* C.) pro *προσ. ὁ β.* omnes. [p] *ἔδωκας* omnes. *δέδωκας* Edd. Post h. v. add. *νῦν δὲ οὐχ ὑπὸ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ οὐρανίου διὰ τῶν πενήτων αἰτούμενος ἕστηκας παρορῶν καὶ τὴν δόσιν ὑπερτιθέμενος; καὶ πόσης οὐκ ἂν εἴης κολάσεως ἄξιος;* K. Sav. cet. [q] *ὑπακ.* I. [r] *τοῦ πρ.*] Ἡσαΐου vel *τοῦ* Ἡσ. K. [s] *ὁ δὲ ὡς π. ἔχων*] Sic C. *ὡς π. ἔχοντα* I.K. *ὁ π. ἔχων* Edd. Mox *φθέγγεσθαι* K. [t] *καὶ ταπεινῷ* om. C.K. inclusum a Sav. [v] *ἵνα τύχωμεν κ. τ. ἑ.*] *ταῦτα πράττειν διαναστῶμεν, ἵνα καὶ τῶν ἐπ. ἀγαθῶν ἀξιωθῶμεν ἐπιτυχεῖν, χάριτι καὶ φιλ. κ. τ. ἑ.* K. Hom. II. [a] *τὰς*] + *ἡλιακὰς* C. + *τοῦ ἡλίου* K. Sav. cet.

ἀλλὰ καὶ ἀποπεσεῖται, καὶ μυρίαν ὑποστήσεται βλάβην· πολλῷ
μᾶλλον ὁ βουλόμενος πρὸς ἐκεῖνο τὸ φῶς ἀτενὲς ἰδεῖν διὰ τῶν
οἰκείων λογισμῶν, [b]τοῦτο πείσεται, [c]καὶ ὑβρίζει εἰς τὴν τοῦ
θεοῦ δωρεάν. Ὅρα [d]γοῦν Μαρκίωνα καὶ [e]Μάνην καὶ Οὐαλεν-
τῖνον, καὶ πάντας τοὺς τὰς λοιπὰς [f]αἱρέσεις καὶ τὰ ὀλέθρια
δόγματα ἐπεισαγαγόντας τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ὅπως ἀνθρω-
πίνοις λογισμοῖς τὰ τοῦ θεοῦ μετρήσαντες ᾐσχύνθησαν [g]ἐπὶ τῇ
οἰκονομίᾳ. Καίτοι οὐκ αἰσχύνης, ἀλλὰ πολλοῦ καυχήματος D
[h]ἀξία ἂν εἴη, τὸν σταυρὸν λέγω τοῦ Χριστοῦ. Οὐδὲν γὰρ
οὕτω τῆς [i]φιλανθρωπίας αὐτοῦ τεκμήριον μέγα, οὐκ οὐρανὸς,
οὐ θάλαττα, οὐ γῆ, οὐ τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα
παραγαγεῖν, οὐ τὰ ἄλλα πάντα, ὡς ὁ σταυρός. Διὸ καὶ Παῦλος
ἐπ' αὐτῷ καυχᾶται λέγων, [2]"Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι,
εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." Ἀλλ'
οἱ ψυχικοὶ καὶ μηδὲν πλέον θεῷ νέμοντες τῶν ἀνθρώπων, κατα-
πίπτουσι καὶ αἰσχύνονται. Διὰ τοῦτο ἄνωθεν τῷ μαθητῇ παρ-
ῄνει [k]λέγων, καὶ δι' ἐκείνου πᾶσι· "Μὴ οὖν ἐπαισχυνθῇς," [l]ὅτι E
τὸν ἐσταυρωμένον κηρύττεις· τοῦτο γάρ ἐστι τὸ μαρτύριον·
τὸν θάνατον, φησὶ, τοῦ Χριστοῦ. [m]Αὐτὰ μὲν γὰρ καθ' ἑαυτὰ,
θάνατος καὶ δεσμωτήρια καὶ δεσμὰ, αἰσχύνης ἄξια καὶ ὀνειδι-
σμοῦ· ἀλλ' ἐάν τις τὴν αἰτίαν προσθῇ, καὶ τὸ μυστήριον [n]εἰδῇ
καλῶς, πολλοῦ καυχήματος, πολλῆς σεμνότητος ἑκάτερα ὄντα
εὑρήσει. Ὁ γὰρ θάνατος ἐκεῖνος τὴν οἰκουμένην ἀπολλυμένην
ἔσωσεν· ὁ θάνατος ἐκεῖνος τῇ γῇ συνῆψε τὸν οὐρανόν· ὁ θάνατος
ἐκεῖνος τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε, τοὺς ἀνθρώπους
ἀγγέλους ἐποίησε [o]καὶ θεοῦ υἱούς· ὁ θάνατος ἐκεῖνος τὴν ἡμετέ- F
ραν φύσιν [p]ἀνήγαγεν εἰς τὸν θρόνον τὸν βασιλικόν· τὰ δεσμὰ
ταῦτα πολλοὺς [q]ἐπέστρεψε. "Μὴ οὖν ἐπαισχυνθῇς, φησὶ, τὸ
(335) μαρτύριον τοῦ κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ
συγκακοπάθησον τῷ εὐαγγελίῳ." Τουτέστι, κἂν αὐτὸς ταῦτα
πάθῃς, μὴ αἰσχυνθῇς. Ὅτι γὰρ τοῦτο ᾐνίξατο, καὶ διὰ τῶν
ἀνωτέρω εἰρημένων δῆλον, [r]διὰ τοῦ εἰπεῖν, "Ἔδωκεν ἡμῖν ὁ θεὸς 666

[2] Gal. vi. 14.

[b] τοῦτο π. pro π. τοῦτο omnes. [c] καὶ ὑβρ.] ὡς ὑβρίζων K. [d] γοῦν] τοίνυν C.I. οὖν Cat. [e] Μάνεντα K. Μάνητα Cat. [f] αἱρέσεις]+τεκόντας C. Mox ἐπεισάγοντας Cat. et ante corr. I. [g] ἐπὶ] ἐν I. [h] ἀξία (ἄξια Edd. invito Vet.) ἂν εἴη] ἄξια ἂν εἶεν C. ἄξιον εἶναι I. ἀξία—Χριστοῦ] ἄξια τὰ τῆς οἰκονομίας καὶ ὁ σταυρὸς τοῦ Χρ. K. [i] φ. αὐτοῦ pro αὐτοῦ φ. omnes. [k] λέγων post πᾶσι transp. C. [l] ὅτι—ἐστι om. C. ὅτι—Χριστοῦ] τὸ μ. τοῦ κυρίου ἡμῶν. τουτέστι, μὴ αἰσχύνου ὅτι τὸν ἐστ. κ. ἀλλὰ καὶ ἐναβρύνου K. Sav. cet. κηρύττεις pro κηρύσσεις omnes. [m] αὐτὰ] ταῦτα C.I. Cat. Mox καὶ δεσμὰ om. C. [n] εἰδῇ C.K. Cat. ἴδῃ Edd. [o] καὶ θ. υἱοὺς] τί λέγω ἀγγέλους; υἱοὺς θ. K. [p] ἤγαγεν C.I. non Cat. [q] ἐπέστρεψαν I. [r] διὰ γὰρ τοῦ K. Post πάλιν add. τοῦτο ἐμφαίνει idem.

πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ·" καὶ διὰ τῶν
μετὰ ταῦτα πάλιν. "᾿Αλλὰ συγκακοπάθησον," [s]φησί· του-
τέστι, μὴ ἁπλῶς μὴ ἐπαισχυνθῇς, ἀλλὰ τῇ πείρᾳ μὴ ἐπαισχυν-
θῇς. Καὶ οὐκ εἶπε, μὴ φοβηθῇς, μηδὲ [t]δείσῃς, ἀλλὰ μᾶλλον
αὐτὸν θαρρύνων [v]φησὶ, "μὴ ἐπαισχυνθῇς," ὡς οὐκ [w]ὄντος κιν-
δύνου, εἰ τῆς αἰσχύνης τις περιγένοιτο. [x]Τοῦτο μόνον [y]ἔχει
φορτικὸν τὸ τῆς αἰσχύνης. Μὴ τοίνυν ἐπαισχυνθῇς, εἰ ἐγὼ ὁ
B νεκροὺς ἐγείρων, ὁ μυρία ἐργαζόμενος σημεῖα, ὁ τὴν οἰκουμένην
περιδραμὼν, δέδεμαι νῦν· οὐ γὰρ ὡς κακοῦργός εἰμι δεσμώτης,
ἀλλὰ τοῦ σταυρωθέντος ἕνεκεν. Εἰ σταυρὸν οὐκ ἐπῃσχύνθη μου
ὁ δεσπότης, οὐδὲ τὰ δεσμὰ ἐγώ. Καὶ καλῶς [z]παρακαλῶν αὐτὸν
μὴ ἐπαισχυνθῆναι, πρότερον [a]αὐτὸν τοῦ σταυροῦ ἀνέμνησεν.
Εἰ τὸν σταυρὸν οὐκ ἐπαισχύνῃ, [b]φησὶ, μηδὲ δεσμά· εἰ ὁ δεσπό-
της ἡμῶν καὶ διδάσκαλος σταυρὸν ὑπέμεινε, πολλῷ μᾶλλον
ἡμεῖς τὰ δεσμά. [c]῞Απερ γὰρ αὐτὸς ὑπέμεινεν ὁ αἰσχυνόμενος,
C καὶ τὸν σταυρωθέντα ἐπαισχύνεται. [d]Οὐ γὰρ δι' ἐμαυτὸν,
φησὶ, φέρω ταῦτα τὰ δεσμά. Μηδὲν οὖν ἀνθρώπινον πάθῃς,
ἀλλὰ τοῖς αὐτοῖς [e]κοινώνησον. "᾿Αλλὰ συγκακοπάθησον,
φησὶ, τῷ εὐαγγελίῳ," οὐχ ὡς τοῦ εὐαγγελίου [f]κακοπαθοῦντος.
"Κατὰ δύναμιν θεοῦ, [g]φησὶ, τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαν-
τος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ [h]κατ' ἰδίαν
πρόθεσιν, καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ ᾿Ιησοῦ πρὸ
D χρόνων αἰωνίων." [i]῎Αλλως δὲ, ἐπεὶ φορτικὸν ἦν τὸ εἰπεῖν,
κακοπάθησον, πάλιν αὐτὸν παραμυθεῖται. Μὴ γὰρ δυνάμει,
[k]φησὶ, τῇ σῇ; δυνάμει τῇ τοῦ θεοῦ ταῦτα φέρε· σὸν τὸ
ἑλέσθαι καὶ προθυμηθῆναι.

Εἶτα καὶ τῆς δυνάμεως αὐτοῦ δείκνυσι τὰ τεκμήρια· πῶς ἐσώθης, [l]φησὶ, πῶς ἐκλήθης; ὥσπερ φησὶν ἀλλαχοῦ, [3]"Κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἡμῖν." Οὕτω τοῦ ποιῆσαι τὸν [m]οὐρανὸν μείζων δύναμις αὕτη ἦν, τὸ πεῖσαι τὴν

[3] Ephes. iii. 20.

[s] φησὶ] τῷ εὐαγγ. C. [t] δειλιάσῃς I. [v] φησὶ om. K. Post ἐπαισχυνθῇς add. φησὶν, οὕτως εἰπὼν idem. [w] ὄντος]+λοιπὸν K. Sav. cet. Mox περιγένηται I. [x] τοῦτο]+γὰρ K. Sav. cet. [y] ἔχει φ.] οὐχὶ τὸ φ. C.I. ἔχει—αἰσχύνης] ἔχει φ. αἰσχύνη, τὸ ἡττᾶσθαι αὐτῆς K. Sav. cet. [z] παρακαλεῖ I. [a] αὐτὸν om. K. Mox ἀναμνήσας idem. [b] φησὶ om. I. [c] ἅπερ] ἅμα I. Veron. [d] οὐ γὰρ] ὥστε οὐ K. φησὶ om. idem. φέρω, φησὶ inverso ord. C.I. [e] κοινώνησον]+τοῦτο οὖν αἰνιττόμενος, συγκακοπάθησον, εἶπεν K. [f] κακοπαθ.]+ἀλλὰ τὸν μαθητὴν διεγείρων ὑπὲρ τοῦ εὐαγ. πάσχειν K. Sav. cet. [g] φησὶ om. K. ante θεοῦ transp. I. [h] κατὰ τὴν ἰ. K. [i] ἄλλως δὲ om. C.K. Vet. [k] φησὶ assumtum ex C.I. Cat. Vet. μὴ γὰρ—φέρε] λέγων, οὐ κατὰ τὰ ἔργα ἡμῶν· τουτέστι, μὴ τῇ δυνάμει λογίζου τῇ σῇ, ἀλλὰ τῇ τοῦ θ. τὸ (τὸ om. K.) ταῦτα φέρειν K. Sav. cet. Statim σὸν μὲν γὰρ τὸ, et post προθυμηθῆναι add. θεοῦ δὲ τὸ κουφίσαι καὶ παῦσαι iidem. [l] φησὶ] ἐννόει K. Sav. cet. Mox ὥσπερ καὶ ἀλλαχοῦ φησὶν K. [m] οὐρανὸν] ἄνθρωπον I.

οἰκουμένην. Πῶς οὖν [n]*ἐκλήθη; φησί.* "Κλήσει ἁγίᾳ." Του-
τέστιν, ἁγίους εἰργάσατο ἁμαρτωλοὺς ὄντας καὶ ἐχθρούς· E
[4]"*καὶ* [o]*ταῦτα οὐκ ἐξ ἡμῶν, θεοῦ τὸ δῶρον.*" Εἰ *τοίνυν* [p]*καὶ*
δυνατός ἐστι [q]*τῷ καλέσαι, καὶ ἀγαθὸς τῷ κατὰ χάριν, ἀλλὰ μὴ*
κατὰ ὀφειλὴν τοῦτο ποιῆσαι, οὐ δεῖ [r]*δεδοικέναι.* Ὁ *γὰρ, ἡνίκα*
ἡμᾶς ἔδει [s]*σωθῆναι, καὶ ἐχθροὺς ὄντας, χάριτι* [t]*σώσας, ὅταν*
καὶ ἐργαζομένους ἴδῃ, οὐ πολλῷ μᾶλλον συμπράξει; "Οὐ *κατὰ*
τὰ ἔργα ἡμῶν, φησὶν, ἀλλὰ [v]*κατ' ἰδίαν* [w]*πρόθεσιν·*" *οὐδενὸς*
ἀναγκάζοντος, οὐδενὸς συμβουλεύοντος, ἀλλ' ἐξ ἰδίας προθέ- F
σεως, οἴκοθεν ἐκ τῆς ἀγαθότητος αὐτοῦ ὁρμώμενος [x]*ἔσωσε.*
"Κατ' *ἰδίαν,* [y]*φησὶ, πρόθεσιν, καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν*
Χριστῷ Ἰησοῦ *πρὸ χρόνων αἰωνίων.*" Τουτέστιν, *ἀνάρχως*
ταῦτα [z]*τετύπωτο ἐν τῷ* Χριστῷ *γενέσθαι.* Οὐ [a]*μικρὸν καὶ*
τοῦτο, τὸ ἄνωθεν βούλεσθαι· οὐκ ἐκ μετανοίας ἄρα. Πῶς οὖν 667
οὐκ ἀΐδιος ὁ υἱός; καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐβούλετο ἐξ ἀρχῆς.
"Φανερωθεῖσαν *δὲ νῦν διὰ τῆς ἐπιφανείας,* [b]*φησὶ, τοῦ σωτῆρος*
ἡμῶν Ἰησοῦ Χριστοῦ, *καταργήσαντος μὲν τὸν θάνατον, φωτί-*
σαντος δὲ [c]*ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου.*" Εἶδες
δύναμιν, εἶδες δωρεὰν, οὐχὶ δι' ἔργων γενομένην, ἀλλὰ διὰ τοῦ
εὐαγγελίου; ἐλπίδος γὰρ ταῦτά ἐστιν. Ἐν *μὲν γὰρ τῷ αὐτοῦ*
σώματι ἀμφότερα ταῦτα γεγένηται, ἐν δὲ τῷ ἡμετέρῳ ἔσται·
πῶς; "Διὰ *τοῦ εὐαγγελίου.*" [5]"Εἰς ὃ [d]*ἐτέθην ἐγὼ κήρυξ καὶ*
ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν." Τί *δήποτε τοῦτο συνεχῶς* B
λέγει, διδάσκαλον ἐθνῶν ἑαυτὸν καλῶν; Πεῖσαι *βουλόμενος,*
ὅπερ ἔφην, ὅτι χρὴ καὶ [e]*ἔθνεσι πλησιάζειν.* Μὴ *καταπέσῃς,*
[f]*φησὶν, ἐν τοῖς ἐμοῖς παθήμασι· καταβέβληται τοῦ θανάτου τὰ*
νεῦρα. Οὐχ *ὡς κακοῦργος ταῦτα ὑπομένω, ἀλλὰ διὰ τὴν διδα-*
σκαλίαν τῶν ἐθνῶν. Ἅμα *καὶ ἀξιόπιστον ποιεῖ τὸν λόγον.*
(336) [6]"Δι' ἣν *αἰτίαν* [g]*καὶ ταῦτα, φησὶ, πάσχω· ἀλλ' οὐκ* [h]*ἐπαισχύ-*
νομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι
τὴν [i]*παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.*" "Ἀλλ'
οὐκ ἐπαισχύνομαι," *φησίν.* Αἰσχύνης *γὰρ, εἰπέ μοι, τὰ δεσμά;* C

[4] Ephes. ii. 8. [5] v. 11. [6] v. 12.

[n] *ἐκλήθης* (om. *φησὶ*) K. [o] *τοῦτο* C.K. [p] *καὶ* om I.K. [q] *τῷ .. τῷ*] *τὸ .. τοῦ* Veron. *τὸ* bis I. [r] *δεδοικέναι*] Sic Edd. et Cat. *φοβηθῆναι* Codd. [s] *σωθῆναι*] *ἀπολέσθαι* C. [t] *ἔσωσεν* I. [v] *κατὰ τὴν ἰ.* K. [w] *πρόθεσιν*] +*τουτέστιν* K. Sav. cet. Mox *οἰκείας* pro *ἰδίας* I. [x] *ἔσωσε*] +*τοῦτο γάρ ἐστι τὸ* K. Sav. cet. [y] *φησὶ* assumtum ex C. Cat. Vet. [z] *τετύπωτο* C.I.K. Cat. *προτετ.* Edd. Statim *ἐν τῷ Χρ.* C.K. Cat. *ἐν Χρ. Ἰησοῦ* Edd. [a] *μικρὸν*] +*δὲ* C. Mox *τὸ* om. I. Veron. [b] *φησὶ* accessit ex C.I. Vet. [c] *ζ. καὶ ἀφθ.*] *τὴν ἀφθ. καὶ ζ.* I. [d] *ἐτέθην*] +*φησὶν* K. [e] *ἔθνη* I. [f] *φησὶν*] *τοίνυν* K. Sav. cet. [g] *καὶ τ. φ. πάσχω*] *ταῦτα πάσχει δεικνύων καὶ λέγων* K. [h] *αἰσχ.* ante corr. I. [i] *παραθήκην* bis I. Cat. Veron. et ante corr. K. *παρακαταθήκην* Sav. cet.

αἰσχύνης τὰ πάθη; μὴ οὖν ἐπαισχυνθῇς. Ὁρᾷς πῶς διὰ τῶν
ἔργων ἐνδείκνυται τὴν διδασκαλίαν; Ταῦτα πάσχω, φησὶν, εἰς
δεσμωτήριον ἐμβέβλημαι, ἐλαύνομαι. "Οἶδα γὰρ ᾧ πεπί-
στευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν παραθήκην μου
φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν." [k] Τίς ἡ παραθήκη; Ἡ πίστις,
τὸ κήρυγμα. Τοῦτο αὐτὸς, φησὶν, ὁ παρακαταθέμενος ἀκέραιον
φυλάξει. Πάντα πάσχω, ὥστε μὴ τὸν θησαυρὸν συληθῆναι·
οὐκ ἐπαισχύνομαι τούτοις, ἕως ἂν αὕτη ἀκέραιος σώζηται. Ἢ
D τοὺς πιστοὺς λέγει τὴν παρακαταθήκην, ἣν ὁ θεὸς αὐτῷ [l] παρέ-
θετο, ἢ ἣν αὐτὸς τῷ θεῷ. [7] "Καὶ νῦν γὰρ, φησὶν, ἰδοὺ παρα-
τίθεμαι ὑμᾶς τῷ κυρίῳ·" τουτέστιν, [m] οὐκ ἀνόνητα ταῦτα ἔσται·
καὶ [n] Τιμόθεος τῆς παραθήκης [o] δεικνύει τὸν καρπόν. Ὁρᾷς
αὐτὸν οὐδὲ αἰσθανόμενον τῶν κακῶν διὰ τὴν ἐλπίδα τῶν μα-
θητῶν;

[p] Τοιοῦτον εἶναι τὸν διδάσκαλον χρὴ, οὕτω κήδεσθαι τῶν
μαθητῶν, [q] τούτους πάντα ἡγεῖσθαι. [8] "Νῦν ζῶμεν, φησὶν, ἐὰν
ὑμεῖς στήκητε ἐν κυρίῳ·" καὶ πάλιν, "Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ
χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ
E κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;" [r] Ὁρᾷς αὐτὸν ταῦτα μεριμνῶντα,
[s] ταῦτα φροντίζοντα, οὐχ ἧττον τῶν οἰκείων [t] τὰ τῶν μαθητῶν;
Δεῖ γὰρ τοὺς φυσικοὺς πατέρας ὑπεραίρειν, δεῖ θερμοτέρους
εἶναι. Ἀλλὰ καὶ τοὺς παῖδας φιλοστόργως πρὸς αὐτοὺς δια-
κεῖσθαι προσήκει. [9] "Πείθεσθε γὰρ, φησὶ, τοῖς ἡγουμένοις
ὑμῶν, καὶ ὑπείκετε, εἰδότες ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν
ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες." Εἰπὲ γάρ μοι, αὐτὸς
μὲν τοσούτῳ [v] κινδύνῳ ἐστὶν ὑπεύθυνος· σὺ δὲ οὐδὲ πείθεσθαι
F αὐτῷ βούλει, καὶ ταῦτα εἰς τὸ σοὶ συμφέρον; Κἂν γὰρ τὰ καθ'
ἑαυτὸν καλῶς διάθηται, ἕως ἂν τὰ σὰ μὴ [w] ᾖ καλῶς διακείμενα,
ἐναγώνιός ἐστι, διπλᾶς δίδωσι τὰς εὐθύνας. Ἐννόησον [x] δὲ ὅσον
ἐστὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἐξετάζεσθαι καὶ ἀγωνιᾶν.

7 Act. xx. 32. 8 1 Thess. iii. 8. ii. 19. 9 Hebr. xiii. 17.

[k] *τίς ἡ*] Sic C.I. *τίς ἦν ἡ* K. *τί δὲ ἦν ἡ* Cat. *τί σὴ* Veron. Sav. *τίς ἔστι* ex ingenio, ut videtur, Mor. Ben. Statim *παρακαταθήκη* C. et corr. K. receptum a Sav. cet. [l] *παρακατέθετο* Sav. cet. repugnantibus libris. [m] *οὐκ* om. K. Statim *ἀνόνητά μοι* Edd. *μοι* deest in nostris. [n] *Τιμοθέῳ* C.I. Statim *παρακαταθ.* C. Mor. Ben. [o] *δεικνύει μοι* Edd. *μοι* om. C.I. Vet. *καιρὸν* pro *καρπὸν* C.I. [p] ΗΘΙΚΟΝ. *Ὅτι δεῖ ὑπακούειν τοῖς διδασκάλοις καὶ ἱερεῦσι, καὶ μὴ κρίνειν αὐτοὺς, κἂν βίον ἔχωσι φαῦλον· ἐὰν μέντοι περὶ τὴν πίστιν πταίωσι, τότε οὐ δεῖ πείθεσθαι, ἀλλὰ καὶ ἀποφεύγειν, καὶ κρίνειν αὐτούς· καὶ ὅτι πάντας μὲν οὐ χειροτονεῖ ὁ θεὸς, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ διὰ τὸ σωθῆναι τὸν λαόν· καὶ ὅτι ἡ αὐτή ἐστι προσφορὰ,* (+ *κἂν καθαρὸν* I.) *κἂν ἀκάθαρτον βίον ἔχῃ ὁ προσφέρων.* Veron. [q] *τούτους πάντα*] *οὕτω πάντας* K. [r] *καὶ ὁρᾷς* C. [s] *ταῦτα φρ.*] Sic omnes. Haec desunt in Edd. [t] *τὰ*] *ἢ τὰ* K. *τὰ* om. ante corr. C. [v] *κινδύνων* C. Mox *σοὶ* om. I. [w] *ᾖ κ.* pro *κ. ᾖ* omnes. [x] *δὲ* om. K.

Πόσην βούλει θεῖναι τιμὴν, πόσην θεραπείαν ἀντίρροπον τῶν 668
κινδύνων τούτων; Ἀλλ' οὐδὲν ἴσον ἐρεῖς· [y]εἰ γὰρ τὴν ψυχὴν
ἐπιδῷς, αὐτὸς τὴν ψυχὴν τίθησιν ὑπὲρ σοῦ. Κἂν [z]μὴ ἐνταῦθα
καιροῦ καλοῦντος, ἀπολλύει αὐτὴν ἐκεῖ· σὺ δὲ οὐδὲ μέχρι λόγου
ὑποτάσσεσθαι βούλει. Τοῦτο πάντων [a]αἴτιον τῶν κακῶν, [b]ὅτι
τὰ τῶν ἀρχόντων ἠφανίσθη· οὐδεμία αἰδὼς, [c]οὐδεμία τιμὴ,
φόβος οὐδείς. "Πείθεσθε, φησὶ, τοῖς ἡγουμένοις ὑμῶν, καὶ
ὑπείκετε·" νυνὶ δὲ πάντα κατεστράφη καὶ συγκέχυται. Οὐχὶ
τῶν ἡγουμένων ἕνεκεν ταῦτα λέγω· τί γὰρ ἀπὸ τῆς τιμῆς
ὠφεληθήσονται τῆς [d]ἡμετέρας, ἢ τοσοῦτον ὅσον πειθηνίους B
ἕξουσιν; ἀλλὰ διὰ τὸ ὑμῖν συμφέρον. Οὗτοι μὲν γὰρ, κἂν
τιμηθῶσιν, οὐδὲν ὠφελοῦνται πρὸς τὸ μέλλον, ἀλλὰ μεῖζον
αὐτοῖς τὸ κατάκριμα· κἂν ὑβρισθῶσιν, οὐδὲν ἐβλάβησαν πρὸς
τὸ μέλλον, ἀλλὰ καὶ πλείων αὐτοῖς ἡ ἀπολογία. Ἀλλ' ὑμῶν
αὐτῶν ἕνεκεν ἅπαντα βούλομαι γενέσθαι. Ὅταν γὰρ τιμῶνται
παρὰ τῶν ἀρχομένων οἱ ἡγούμενοι, καὶ τοῦτο [e]αὐτοῖς προφέρε-
ται, καθάπερ τῷ Ἠλεὶ ἔλεγεν, [10]"Ἔλαβόν σε ἐκ τοῦ οἴκου C
τοῦ πατρός σου·" ὅταν δὲ ὑβρίζωνται, καθάπερ ἐπὶ τοῦ Σα-
μουὴλ, "Οὐ σὲ, φησὶν, ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμέ." Ὥστε ἡ
μὲν ὕβρις κέρδος αὐτοῖς ἐστιν, ἡ δὲ τιμὴ βάρος. Οὐκ αὐτῶν
τοίνυν ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. Ὁ τιμῶν τὸν
ἱερέα, καὶ τὸν θεὸν τιμήσει· ὁ δὲ μαθὼν τοῦ ἱερέως καταφρονεῖν,
ὁδῷ προβαίνων καὶ εἰς τὸν θεὸν [f]ἐνυβρίσει ποτέ. [11]"Ὁ δεχό-
μενος ὑμᾶς, φησὶν, ἐμὲ δέχεται·" [g]καὶ, "Τοὺς ἱερέας αὐτοῦ,
φησὶν, ἐντίμους ἔχε." Ἐντεῦθεν ἔμαθον [h]Ἰουδαῖοι τοῦ θεοῦ
καταφρονεῖν, ὅτι Μωϋσέως κατεφρόνησαν, ὅτι αὐτὸν ἐλίθαζον. D
Ὅταν γάρ τις πρὸς τὸν ἱερέα εὐλαβῶς διατεθῇ, πολλῷ μᾶλλον
πρὸς τὸν θεόν. Κἂν ὁ ἱερεὺς φαῦλος ᾖ, ὁ θεὸς ὁρῶν ὅτι διὰ τὴν
πρὸς αὐτὸν τιμὴν καὶ τὸν οὐκ ἄξιον τιμῆς θεραπεύεις, αὐτὸς ἀπο-
δώσει σοι τὴν ἀμοιβήν. Εἰ γὰρ, [12]"Ὁ δεχόμενος προφήτην,
[i]φησὶν, εἰς ὄνομα προφήτου, μισθὸν λήψεται προφήτου·" [k]καὶ ὁ
εἴκων καὶ ὑπακούων δηλονότι τῷ ἱερεῖ. Εἰ γὰρ, ἔνθα φιλοξενίας
[l]λόγος, ἔνθα οὐκ οἶδας τὸν καταγόμενον, τοσοῦτον λαμβάνεις E
(337) μισθόν· ᾧ [m]καὶ κελεύει ὑποτάσσεσθαι, ἂν ὑποταγῇς, πολλῷ

10 1 Reg. ii. 28. viii. 7. 11 Matth. x. 40. Sirac. vii. 29? 12 Matth. x. 41.

[y] εἰ γὰρ]+καὶ I. εἰ γὰρ—αὐτὸς] οὔπω γὰρ τὴν ψ. ἐπιδέδωκας, αὐτὸς δὲ (+καὶ τοῦτο ποιεῖ καὶ K.) K. Sav. cet. [z] μὴ]+θῇ Edd. θῇ om. C.I. [a] αἴτιον τ. κ. pro τ. κ. αἴτιον omnes. [b] ὅτι] ἐντεῦθεν K. Mox ἠφάνισται, ὅτι οὐδ. idem. [c] Haec οὐδ. τιμὴ assumta ex C. Vet. Statim φ. οὐδεὶς pro οὐδεὶς φ. omnes. [d] ὑμετέρας I. *nostro* Vet. [e] αὐτοῖς]+ὁ θεὸς I. Statim προσφ. idem. [f] ἐνυβρίσει C.K. ὑβρίσει Edd. [g] καὶ]+ἕτερος ἀλλαχοῦ K. [h] οἱ Ἰουδ. I. Mox Μωσέως C.I. Veron. [i] φησὶν om. C.K. Vet. Mox λήψεται πρ. pro πρ. λήψεται omnes. [k] καὶ] καὶ ὁ τιμῶν καὶ K. Sav. cet. καὶ ὑπακούων om. K. [l] λόγον I. [m] καὶ om. K. Mox οὐ πολλῷ μ. C. Vet.

μᾶλλον. [13] "Ἐπὶ τῆς [n] Μωϋσέως, φησὶ, καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ [o] ποιεῖτε." Οὐκ οἶδας τί ἐστιν [p] ἱερεύς; [q] ὅτι ἄγγελος κυρίου ἐστί; Μὴ γὰρ τὰ ἑαυτοῦ λέγει; Εἰ [r] καταφρονεῖς, οὐκ αὐτοῦ καταφρονεῖς, ἀλλὰ τοῦ χειροτονήσαντος [s] αὐτὸν θεοῦ. Καὶ πόθεν δῆλον ὅτι ὁ
F θεὸς ἐχειροτόνησεν αὐτόν; φησίν. Οὐκοῦν, εἰ [t] μὴ ταύτην ἔχεις τὴν ὑπόληψιν, ἡ ἐλπίς σου κεκένωται. Εἰ γὰρ μηδὲν ἐνεργεῖ ὁ θεὸς δι' αὐτοῦ, [v] οὔτε λουτρὸν ἔχεις, οὔτε μυστηρίων μετέχεις, οὔτε εὐλογιῶν ἀπολαύεις· οὐκ ἄρα Χριστιανὸς εἶ.

669 Τί οὖν; φησί· πάντας ὁ θεὸς χειροτονεῖ, καὶ τοὺς ἀναξίους; Πάντας μὲν ὁ θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ, εἰ καὶ αὐτοὶ εἶεν ἀνάξιοι, διὰ τὸ σωθῆναι τὸν λαόν. Εἰ γὰρ δι' ὄνου, καὶ διὰ Βαλαὰμ, [w] διὰ μιαροῦ ἀνθρώπου, τοῦ λαοῦ ἕνεκεν ἐλάλησε, πολλῷ μᾶλλον διὰ τοῦ ἱερέως. Τί γὰρ οὐ ποιεῖ ὁ θεὸς τῆς σωτηρίας ἕνεκεν τῆς ἡμετέρας; τί γὰρ οὐ φθέγγεται; διὰ τίνος [x] δὲ οὐκ ἐνεργεῖ; Εἰ διὰ τοῦ Ἰούδα ἐνήργησε, καὶ διὰ τῶν προφητευόντων, οἷς φησιν, [14] "Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε
B ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν," καὶ ἄλλοι δαίμονας [y] ἐξέβαλλον· πολλῷ μᾶλλον διὰ τῶν ἱερέων ἐνεργήσει. Ἐπεὶ εἰ [z] μέλλοιμεν τοὺς βίους ἐρευνᾶν τῶν ἀρχόντων, αὐτοὶ μέλλομεν εἶναι χειροτονηταὶ τῶν διδασκάλων, καὶ τὰ ἄνω κάτω γίνεται, ἄνω οἱ πόδες, καὶ κάτω ἡ κεφαλή. Ἄκουε Παύλου λέγοντος· [15] "Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας·" καὶ πάλιν, "Σὺ τί κρίνεις τὸν ἀδελφόν σου;" Εἰ τὸν ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον τὸν διδάσκαλον. Εἰ μὲν γὰρ τοῦτο ἐπέταξεν ὁ θεὸς, καλῶς ποιεῖς,
C καὶ ἁμαρτάνεις μὴ ποιῶν· εἰ δὲ τοὐναντίον, μὴ τόλμα, μηδὲ ὑπὲρ τὰ [a] ἐσκαμμένα ἐπιχείρει. Τῷ Ἀαρὼν μετὰ τὴν μοσχοποιΐαν ἐπανέστησαν οἱ περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών· τί οὖν; οὐκ ἀπώλοντο; Ἕκαστος τὰ ἑαυτοῦ μεριμνάτω. Εἰ μὲν γὰρ δόγμα ἔχει διεστραμμένον, κἂν ἄγγελος ᾖ, μὴ πείθου· εἰ δὲ ὀρθὰ διδάσκει, μὴ τῷ βίῳ πρόσεχε, ἀλλὰ τοῖς ῥήμασιν. Ἔχεις Παῦλον καὶ δι' ἔργων καὶ διὰ λόγων ῥυθμίζοντά σε πρὸς

[13] Matth. xxiii. 2, 3. [14] Ibid. vii. 23. [15] 1 Cor. iv. 3. Rom. xiv. 10.

[n] Μωσέως omnes. [o] ποιεῖτε] + νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, ἐπὶ τῆς Μ. ἐκάθησαν οἱ ἱερεῖς, ἀλλ' ἐπὶ τῆς τοῦ Χριστοῦ· τὴν γὰρ ἐκείνου διεδέξαντο διδασκαλίαν. διὸ καὶ Παῦλός φησιν, ὑπὲρ τοῦ Χρ. πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν. I. [p] ὁ ἱερεὺς Edd. invitis libris. [q] ὅτι om. K. Sav. cet. [r] καταφρονεῖς] + αὐτοῦ Edd. αὐτοῦ om. C.I. Vet. τούτου pro αὐτοῦ K. [s] αὐτὸν om. K. [t] μὴ om. K. Vet. [v] οὐδὲ I. [w] διὰ om. K. [x] δὲ] γὰρ C. δὲ om. Veron. [y] ἐξέβαλλον I.K. ἐξέβαλον Edd. [z] μέλλομεν I. Mox μέλλοιμεν C. [a] σκάμματα C.I. [ἠσκημένα Reg. 744.]

τὸ δέον. [b]Οὐ δίδωσι πένησι, φησὶν, οὐδὲ καλῶς διοικεῖ. Πόθεν D
σοι τοῦτο δῆλον; Πρὶν ἢ μάθῃς, μὴ μέμψῃ· φοβήθητι τὰς
εὐθύνας. Πολλὰ ἀπὸ ὑπονοίας κρίνεται. Μίμησαί σου τὸν
δεσπότην· ἄκουε αὐτοῦ λέγοντος· [16] "Καταβὰς ὄψομαι, εἰ
κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ." Εἰ
δὲ κατέμαθες καὶ ἐξήτασας καὶ εἶδες, ἀνάμενε τὸν κριτήν· μὴ
προαρπάσῃς τοῦ Χριστοῦ τὴν τάξιν· ἐκείνου ταῦτά [c]ἐστιν
ἐξετάζειν, οὐ σοῦ· σὺ δοῦλος εἶ ἔσχατος, οὐ δεσπότης· σὺ πρό- E
βατον εἶ· [d]μὴ περιεργάζου τὸν ποιμένα, ἵνα μὴ καὶ ἐφ' οἷς
ἐκείνου κατηγορεῖς, εὐθύνας δῷς. Καὶ πῶς ἐμοὶ λέγει, φησὶν,
[e]αὐτὸς οὐ ποιῶν; Οὐκ αὐτός σοι λέγει· εἰ αὐτῷ πείθῃ, μισθὸν
οὐκ ἔχεις· ὁ [f]Χριστὸς ταῦτα παραινεῖ. Καὶ τί λέγω; οὐδὲ
Παύλῳ πείθεσθαι χρὴ, ἄν τι ἴδιον λέγῃ, ἄν τι ἀνθρώπινον·
ἀλλὰ τῷ ἀποστόλῳ τῷ τὸν Χριστὸν ἔχοντι λαλοῦντα ἐν
ἑαυτῷ. [g]Μὴ κρίνωμεν τὰ ἀλλήλων, ἀλλὰ τὰ ἑαυτοῦ ἕκαστος·
ἐξέτασόν σου τὸν βίον. Ἀλλ' ἐκεῖνος ὀφείλει μου βελτίων F
εἶναι, φησί. Διὰ τί; Ὅτι ἱερεύς ἐστι. Καὶ τί σου πλέον οὐκ
ἔχει; οὐχὶ τοὺς μόχθους; οὐχὶ τοὺς κινδύνους; οὐχὶ τὴν ἀγω-
νίαν; οὐχὶ τὴν ταλαιπωρίαν; [h]Οὐκ ὀφείλει σου βελτίων εἶναι;
Τί οὖν; ἐπειδὴ οὐκ ἔστι σου βελτίων, [i]διὰ τί σὺ σαυτὸν ἀπολ-
λύεις; Ἀπονοίας ταῦτα τὰ ῥήματα. Πόθεν [k]γὰρ ὅτι οὐκ ἔστι 670
σου βελτίων; Ἐὰν κλέπτῃ, φησὶ, καὶ ἱεροσυλῇ. Πόθεν οἶδας,
ἄνθρωπε; τί κατὰ κρημνῶν ὠθεῖς σαυτόν; [l]Ἂν εἴπῃ τις, ὅτι ὁ
δεῖνα πορφύραν ἔχει, κἂν εἰδὼς ᾖς, ἀποφράττεις τὰ ὦτα, κἂν
ἐλέγξαι δυνάμενος ᾖς, ἀποπηδᾷς εὐθέως [m]καὶ προσποιῇ μὴ
εἰδέναι, περιττὸν κίνδυνον [n]μὴ θέλων ἀναδέξασθαι· [o]ἐνταῦθα
τοίνυν τί ἀναδέχῃ περιττὸν κίνδυνον; Ταῦτα τὰ ῥήματα οὐκ
ἔστιν ἀνεύθυνα. Ἄκουε [p]γὰρ τοῦ Χριστοῦ λέγοντος, [17] "Λέγω B
δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι,
(338) δώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως." [q]Ὅλως οἴει
τινὸς βελτίων εἶναι, καὶ οὐ στενάζεις, οὐδὲ [r]κόπτεις τὸ στῆθος,
οὐδὲ κάτω κύπτεις, [s]οὐδὲ μιμῇ τὸν τελώνην; Οὐκοῦν ἀπώλεσας
σαυτὸν, κἂν βελτίων ᾖς. Βελτίων [t]εἶ; σίγα, ἵνα μένῃς βελτίων·

16 Gen. xviii. 21. 17 Matth. xii. 36.

[b] οὐ] ἀλλ' οὐ C.K. Sav. cet. invito Vet. [c] ἐστιν ἐξ.] ἐξ. ἐστὶν I.K. Statim οὐ σὰ I. οὐ σὸν K. [d] μὴ] + τοίνυν K. Sav. cet. [e] αὐτὸς οὐ] οὗτος ὁ μὴ I.K. [f] Χριστὸς] + σοι Edd. invitis libris. [g] μὴ eras. in K. τὰ ἀλλήλων (ἄλλων C.) ἀλλὰ om. idem. [h] οὐκ ὀφείλει—ἀπολλύεις;] ταῦτα τοίνυν ἔχων πῶς οὐ βελτίων ἐστί σου; εἰ δὲ οὐκ ἔστι βελτίων, ἆρα ὀφείλεις, εἰπέ μοι, (+ διὰ τοῦτο K.) σὺ σαυτὸν ἀπολλύναι; K. Sav. cet. [i] διὰ τί σὺ] διὰ τοῦτο I. [k] γὰρ] + οἶδας C.I. + δῆλον K. [l] ἂν] καὶ σὺ μὲν, ἂν K. Sav. cet. [m] καὶ] εἰ δὲ μὴ K. [n] μὴ] οὐ C.K. [o] ἐνταῦθα τοίνυν τί] ἐνταῦθα δὲ οὐ μόνον οὐκ ἀποπηδᾷς, ἀλλὰ καὶ K. Sav. cet. [p] γὰρ et λέγω δὲ ὑμῖν ὅτι om. K. [q] ὅλως] + δὲ K. Sav. cet. [r] κόπτῃ K. [s] οὐδὲ] καὶ K. [t] εἶ] ᾖς I. Mox μείνῃς idem.

ἂν δὲ εἴπῃς, ἐκένωσας τὸ πᾶν. Ἂν νομίσῃς, [v]οὐκ εἶ· ἂν μὴ
νομίσῃς, πολὺ προσέθηκας. Εἰ γὰρ ὁ ὢν ἁμαρτωλὸς, ἐπειδὴ
ὡμολόγησε, κατῆλθε δεδικαιωμένος, ὁ μὴ ὢν [w]σφόδρα ἁμαρτω-
C λὸς, καὶ οὕτω πεπεισμένος, τί οὐ κερδανεῖ; Ἐξέτασόν σου τὸν
βίον. Οὐ κλέπτεις; ἀλλ' ἁρπάζεις, ἀλλὰ βιάζῃ, ἀλλὰ μυρία
ἕτερα τοιαῦτα ποιεῖς. Οὐκ ἐπαινῶν [x]λέγω τὴν κλοπὴν, ἄπαγε,
ἀλλὰ καὶ σφόδρα δακρύων, εἴ τις ἄρα ἐστὶ τοιοῦτος· [y]οὐ γὰρ
πείθομαι· ὅσον γὰρ [z]ἡ ἱεροσυλία κακὸν, οὐδὲ ἔστιν εἰπεῖν· ἀλλ'
ὑμῶν φείδομαι· οὐ γὰρ βούλομαι τὴν ἀρετὴν τὴν [a]ὑμετέραν
κενοῦσθαι τῷ κατηγορεῖν ἑτέρων. Τί τοῦ τελώνου χεῖρον, εἰπέ
μοι; Ἀληθὲς ἦν, ὅτι καὶ τελώνης ἦν, καὶ μυρίων ἔνοχος κακῶν·
D καὶ [b]μόνον ἵνα εἴπῃ ὁ Φαρισαῖος, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώ-
νης, πάντα ἀπώλεσε· σὺ περὶ τοῦ ἱερέως λέγεις, ὅτι οὐκ εἰμὶ ὡς
οὗτος [c]ὁ ἱερόσυλος, καὶ οὐ πάντα κενοῖς;

[d]Ταῦτα λέγειν ἀναγκάζομαι καὶ ἐπεξιέναι τούτῳ τῷ λόγῳ,
οὐκ ἐπειδὴ ἐκείνων μοι μέλει τοσοῦτον, ἀλλ' ἐπειδὴ περὶ ὑμῶν
δέδοικα, [e]μὴ κενώσητε ὑμῶν τὴν ἀρετὴν διὰ τῆς καυχήσεως ταύ-
της, διὰ τῆς κατακρίσεως. Ἄκουε γὰρ [f]τοῦ Παύλου παραινοῦν-
E τος καὶ λέγοντος· [18] "Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος,
καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν
ἕτερον." Εἰπέ μοι, ἂν εἰς ἰατρεῖον ἔλθῃς τραῦμα ἔχων, [g]ἀφεὶς
φάρμακον ἐπιθεῖναι καὶ θεραπεῦσαι τὸ ἕλκος, μὴ περιεργάζῃ τὸν
ἰατρὸν, εἴτε ἕλκος ἔχει, εἴτε οὐκ ἔχει; κἂν ἔχῃ δὲ, φροντίζεις;
[h]ἢ ἐπειδὴ ἔχει ἐκεῖνος, τὸ σαυτοῦ οὐ θεραπεύεις, καὶ λέγεις·
ἐχρῆν αὐτὸν ὑγιαίνειν [i]ἰατρὸν ὄντα· ἐπειδὴ δὲ οὐχ ὑγιαίνει
ἰατρὸς ὢν, ἀφίημι κἀγὼ τὸ ἕλκος τὸ ἐμὸν ἀνίατον; Μὴ γὰρ, ἂν
F ὁ ἱερεὺς ᾖ κακὸς, παραμυθία ἔσται τῷ ἀρχομένῳ; Οὐδαμῶς,
ἀλλὰ δώσει μὲν ἐκεῖνος δίκην [k]τὴν ὡρισμένην, δώσεις δὲ καὶ σὺ
τὴν ὀφειλομένην καὶ πρέπουσαν. Καὶ γὰρ ὁ διδάσκαλος τάξιν
[l]λοιπὸν πληροῖ μόνον. [19] "Ἔσονται γὰρ, φησὶ, πάντες διδα-
κτοὶ θεοῦ· [m]καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν κύριον, ὅτι πάντες
εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν." Τίνος οὖν

18 Gal. vi. 4. 19 Joan. vi. 45. Esai. liv. 13. Jer. xxxi. (xxxviii.) 34.

[v] οὐκ εἶ] οὐχὶ Sav. cet. reclamantibus libris et Veron. *desisti* Vet. [w] σφόδρα om. C.K. Post πεπεισμένος add. φρονεῖν K. [x] λέγω τὴν κλ.] τὴν κλ. λέγω ταῦτα K. [y] οὐ γὰρ] ἀλλ' οὐ K. [z] ἡ om. C.K. [a] ὑμετ. C. Vet. ἡμετ. Edd. [b] μ. ἵνα] ἵνα μ. K. [c] ὁ assumtum ex I.K. [d] ταῦτα] ἀλλὰ ταῦτα K. Mox τούτῳ om. idem. [e] μὴ]+ποτε K. [f] τοῦ om. C. [g] ἀφεὶς] μὴ ἀφεὶς K. Sav. cet. Mox μὴ om. C.K. Sav. cet. [h] ἢ—καὶ (ἀλλὰ C.) λέγεις] ἢ κἂν ἔχῃ ἐκεῖνος, σὺ τὸ σ. θεραπεύεις; καὶ οὐ λέγεις K. [i] ἰατρὸν ὄντα om. I. Statim ἐπειδὴ δὲ C. ἐπεὶ δὲ K. ἐπειδὴ Edd. [k] τὴν ὡρισμένην om. K. Mox καὶ πρέπουσαν om. idem. [l] λοιπὸν om. I. [m] καὶ om. C. Post εἴπωσι add. ἕκαστος τὸν πλησίον αὐτοῦ I.

ἕνεκεν, φησὶ, προκάθηται; τίνος [n] οὖν ἕνεκεν ἐφέστηκε; [o] Μὴ 671
λέγωμεν, παρακαλῶ, κακῶς τοὺς διδασκάλους, ἵνα μὴ κακῶς
ἑαυτοὺς διαθῶμεν· τὰ ἡμέτερα [p] ἐξετάζωμεν, καὶ οὐδένα ἐροῦμεν
κακῶς. Αἰδεσθῶμεν τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἡμᾶς ἐφώτισεν.
[q] Πατέρα τις ἔχει; κἂν μυρία ἔχῃ δεινὰ, πάντα συσκιάζει.
[20] "Μὴ δοξάζου γὰρ, φησὶν, [r] ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ
ἐστί σοι δόξα ὡς ὄνειδος. Κἂν [s] ἀπολείπῃ σύνεσιν, συγγνώμην
[t] ἔχε." Πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν πατέρων ταῦτα B
λεκτέον. Αἰδέσθητι ὅτι καθ' ἑκάστην ἡμέραν σοι διακονεῖται,
ἀναγινώσκεσθαι ποιεῖ τὰς γραφὰς, διὰ σὲ τὸν οἶκον κοσμεῖ, διὰ
σὲ ἀγρυπνεῖ, διὰ σὲ εὔχεται, ὑπὲρ σοῦ [v] ἕστηκε τὸν θεὸν παρα-
καλῶν, διὰ σὲ λιτὰς ποιεῖ, ὑπὲρ σοῦ πᾶσα αὐτῷ ἡ θρησκεία.
[w] Ταῦτα αἰδέσθητι, [x] ταῦτα ἐννόησον, μετὰ πάσης εὐλαβείας
πρόσιθι. Εἰπέ μοι, φαῦλός ἐστι; Καὶ τί τοῦτο; [y] ὁ γὰρ μὴ
φαῦλος αὐτός σοι χαρίζεται τὰ μεγάλα ἀγαθά; Οὐδαμῶς·
πρὸς τὴν πίστιν τὴν σὴν τὸ πᾶν ἐνεργεῖται. Οὔτε ὁ δίκαιος C
ὠφελήσει τι, μὴ ὄντος σου πιστοῦ, [z] οὔτε ὁ φαῦλος βλάψει τι,
ὄντος σου πιστοῦ. Διὰ βοῶν ἐνήργησεν ὁ θεὸς [a] ἐπὶ τῆς κιβω-
τοῦ, ὅτε ἐβούλετο σῶσαι τὸν λαόν. Μὴ γὰρ ὁ βίος τοῦ ἱερέως,
μὴ γὰρ ἡ ἀρετὴ τοσοῦτόν [b] τι συντελεῖ; Οὐκ ἔστι τοιαῦτα ἃ
χαρίζεται ὁ θεὸς, ὡς ὑπὸ [c] ἀρετῆς ἱερατικῆς ἀνύεσθαι· τὸ πᾶν
τῆς χάριτός ἐστι· τούτου ἐστὶν [d] ἀνοῖξαι τὸ στόμα, τὸ δὲ πᾶν
ὁ θεὸς ἐργάζεται· σύμβολον οὗτος πληροῖ μόνον. Ἐννόησον
ὅσον ἐστὶν Ἰωάννου καὶ τοῦ Ἰησοῦ [e] τὸ μέσον· [f] καὶ ἄκουε
Ἰωάννου λέγοντος, [21] "Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι," D
καὶ, "Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος."

20 Sirac. iii. 10, 13. 21 Matth. iii. 14. Joan. i. 26.

[n] οὖν om. K. [o] μὴ λ. παρακαλῶ] μὴ, παρακαλῶ, μηδὲν ἀκριβολογώμεθα περὶ τούτων, μηδὲ λέγωμεν K. Post διδασκάλους add. μηδὲ ἀκρ. π. τ. Sav. cet. [p] ἐξετάζωμεν (-τάσομεν I.)] + αὐτῶν μᾶλλον C. [q] π. τις ἔχει] Sic C.I. ἂν π. τις ἔχῃ Edd. πατέρα—ὄνειδος] πατήρ σοι γέγονεν ἀπ' αὐτοῦ τοῦ φωτίσματος· εἰ δὲ πατὴρ, τιμᾶσθαι δίκαιος ἂν εἴη, οὐ κατακρίνεσθαι καθὸ τοῦτο γεγένηται. καὶ πατέρα μὲν ἔχων τις θελήματος σαρκὸς, μυρία κεκτημένον ἐλαττώματα, πάντα καλύπτει καὶ συσκιάζει· σὺ δὲ τὰ τοῦτο γεγονότος τῷ πνεύματι ἐκπομπεύεις· καίτοι μὴ δοξάζου, σοφός τις φησὶν, ἐν ἀ. π. σου· οὐ γάρ ἐ. σ. τοῦτο δ. ἀλλ' ὄνειδος K. [r] ἐπ' ἀ. I. [s] ἀπολείπῃ C.I. Statim σύνεσιν omnes. Edebatur ἀπολίπῃ σύνεσις. *etsi sensum amiserit* Vet. [t] ἐχέτω K. Post h. v. add. εἰ δὲ ἐπὶ τῶν σαρκικῶν I. εἰ δὲ ἐπὶ τῶν σωματικῶν (+πατέρων Sav. cet.) K. Sav. cet. invito Vet. [v] ἕστηκε τὸν θ.] τὸν θ. ἕστηκε C. πρὸς τὸν θ. εὔχεται I. [w] ταῦτα αἰδ.] διὰ σὲ ταῦτα. αἰδ. C.I. Vet. [x] ταῦτα] + πάντα I. [y] ὁ γὰρ μὴ] μὴ γὰρ ὁ K. [z] οὔτε—πιστοῦ om. I. [a] ἐπὶ] διὰ I. [b] τι om. C. [c] ἀρ. ἱερατ. pro ἱερατ. ἀρ. omnes. [d] ἀνοῖξαι] + μόνον K. Sav. cet. Mox χαρίζεται pro ἐργάζεται K. [e] τὸ om. C. τὸ μέσον ante Ἰωάννου transp. K. cum Edd. [f] καὶ ἄ.] ἄ. γὰρ K. Sav. cet. Statim αὐτοῦ pro Ἰωάννου K.

[g] Ἀλλ' ὅμως καὶ τοσούτου ὄντος τοῦ μέσου, καὶ πνεῦμα κατη-
νέχθη, ὅπερ οὐκ εἶχεν Ἰωάννης. [22] "Ἐκ γὰρ πληρώματος
αὐτοῦ, φησὶν, [h] ἡμεῖς πάντες ἐλάβομεν." Ἀλλ' ὅμως πρὶν ἢ
βαπτισθῆναι, οὐ κατηνέχθη· οὐ μὴν οὐδὲ [i] Ἰωάννης ἐποίησεν
αὐτὸ κατενεχθῆναι. [k] Τί οὖν τοῦτο γίνεται; Ἵνα μάθῃς, [l] ὅτι
σύμβολον ὁ ἱερεὺς πληροῖ. Οὐδεὶς [m] ἀνθρώπων ἀνθρώπου
τοσοῦτον ἀφέστηκεν, ὅσον Ἰωάννης τοῦ [n] Ἰησοῦ· ἀλλ' ὅμως (339)
κατῆλθε τὸ πνεῦμα, ἵνα μάθῃς ὅτι τὸ πᾶν ὁ θεὸς ἐργάζεται,
E [o] ὅτι τὸ πᾶν ὁ θεὸς ποιεῖ. Βούλομαί τι παράδοξον εἰπεῖν,
ἀλλὰ μὴ θαυμάσητε μηδὲ θορυβηθῆτε. Τί δὴ τοῦτό ἐστιν; Ἡ
προσφορὰ ἡ αὐτή ἐστι, κἂν ὁ τυχὼν προσενέγκῃ, κἂν Παῦλος,
κἂν Πέτρος· ἡ αὐτή ἐστιν, [p] ἣν ὁ Χριστὸς τοῖς μαθηταῖς ἔδωκε,
καὶ ἣν νῦν οἱ ἱερεῖς [q] ἐπιτελοῦσιν· οὐδὲν αὕτη ἐλάττων ἐκείνης. Τί
δήποτε; ὅτι καὶ ταύτην οὐκ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ' αὐτὸς
ὁ καὶ ἐκείνην ἁγιάσας. Ὥσπερ γὰρ τὰ ῥήματα, ἅπερ ὁ [r] θεὸς
ἐφθέγξατο, τὰ αὐτά ἐστιν, ἅπερ ὁ ἱερεὺς φθέγγεται καὶ νῦν·
οὕτω καὶ ἡ προσφορὰ ἡ αὐτή ἐστι, καὶ τὸ βάπτισμα ὅπερ
F ἔδωκεν. Οὕτω τὸ πᾶν τῆς πίστεώς ἐστιν. Ἐπεπήδησεν εὐθέως
τὸ πνεῦμα ἐπὶ Κορνήλιον, ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ
ἐπεδείξατο, καὶ τὴν πίστιν εἰσήνεγκε. Καὶ τοῦτο τοίνυν σῶμά
ἐστι, κἀκεῖνο· ὁ δὲ νομίζων τοῦτο ἔλαττον [s] εἶναι ἐκείνου, οὐκ
672 οἶδεν [t] ὅτι ὁ Χριστὸς καὶ νῦν πάρεστι, καὶ νῦν ἐνεργεῖ. [v] Ταῦτα
τοίνυν εἰδότες· οὐδὲ γὰρ ἁπλῶς εἴρηται ἡμῖν ταῦτα πάντα, ἀλλ'
ἵνα διορθώσωμεν ὑμῶν τὴν γνώμην, καὶ ἀσφαλεστέρους εἰς τὸ
ἑξῆς ἐργασώμεθα· [w] πολλὴν τῶν εἰρημένων τὴν φυλακὴν ἐπιδεί-
ξασθε. Ἂν δὲ ἀεὶ μὲν ἀκούωμεν, πράττωμεν δὲ μηδέποτε, οὐδὲν
ἡμῖν ὄφελος ἔσται τῶν λεγομένων. Προσέχωμεν τοίνυν [x] αὐτοῖς
ἀκριβῶς, προσέχωμεν τοῖς λεχθεῖσι μετ' ἐπιμελείας, ἀπογρά-
ψωμεν αὐτὰ ἐπὶ τῆς διανοίας τῆς ἡμετέρας, ἔχωμεν [y] ἐγκεκολαμ-
μένα τῷ συνειδότι, καὶ διηνεκῶς δόξαν [z] ἀναπέμπωμεν τῷ πατρὶ

22 Joan. i. 16.

[g] ἀλλ' ὅμως—κατενεχθῆναι] καὶ πάλιν· ἡμεῖς ἐκ τοῦ πλ. αὐτοῦ πάντες ἐλάβομεν. ἀλλ' ὅμως καὶ τοσούτου ὄντος τοῦ μέσου, ἐπ' αὐτοῦ τὸ πν. κ. ὅπερ οὐκ εἶχεν Ἰ. οὐ μὴν πρὶν ἢ βαπτισθῇ, κατηνέχθη· ἀλλ' οὔτε Ἰ. ἐποίησε κατενεχθῆναι αὐτὸ K. [h] ἡμεῖς οἱ π. C. [i] ὁ Ἰ. C. [k] τί οὖν] τίνος οὖν ἕνεκεν K. [l] ὅτι] + τοῦ Ἰωάννου K. [m] ἀνθρώπων] δὲ ἄνθρωπος K. [n] Ἰησοῦ] Χριστοῦ K. Post ὅμως add. ἐπ' αὐτοῦ K. Sav. cet. [o] ὅτι] + δὲ K. [p] ἣν] + τότε K. [q] ἐπιτελοῦσιν] Sic omnes. ποιοῦσιν Edd. Mox haec τί δήποτε; accesserunt ex omnibus. [r] θεὸς] Χριστὸς I. Vet. Mox φθ. καὶ νῦν omnes. καὶ νῦν λέγει Edd. [s] εἶναι ἐκείνου pro ἐκείνου εἶναι C.K. εἶναι om. I. [t] ὅτι] + καὶ I.K. [v] ταῦτ' οὖν εἰδ. I. Mox ἀλλ' ἢ ἵνα idem. [w] πολλὴν] εἰ πολλὴν I. [x] αὐτοῖς assumtum ex C.I. *nobis ipsis* Vet. [y] ἐγκεκ.] Sic C.I. κεκ. Veron. ἀεὶ κεκ. K. Sav. cet. [z] ἀναπέμπωμεν] Sic Reg. 744. Edebatur ἀναπέμψωμεν.

καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας B
τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ.

[1] Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ· τὴν καλὴν [a]παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος [b]ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ· ὧν ἐστι [c]Φύγελος καὶ Ἑρμογένης. Δῴη ἔλεος [d]ὁ κύριος τῷ C
Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ [e]ἐπῃσχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερόν με ἐζήτησε, καὶ εὗρε. Δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

ΟΥ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπετίθετο τῷ μαθητῇ, D
ἀλλ' ἤδη καὶ διὰ ῥημάτων. Καὶ τοῦτο πολλαχοῦ καὶ ἐν ἄλλοις ἐδήλωσε λέγων, [2] "Εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν·" πολλῷ δὲ μᾶλλον καὶ ἐνταῦθα. Μὴ τοίνυν [f]ἐλλιπῶς εἰρῆσθαι τὰ κατὰ τὴν διδασκαλίαν νομίσωμεν· πολλὰ γὰρ αὐτῷ καὶ ἀγράφως παρέδωκεν· ἅπερ [g]οὖν ἀναμιμνήσκων αὐτὸν, ἔλεγεν· "Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων [h]ὧν παρ' ἐμοῦ ἤκουσας." Τί δέ ἐστιν ὅ φησι; Καθάπερ [i]ἐπὶ τῶν ζωγράφων [k]ἐνετυπωσάμην, φησὶν, εἰκόνα σοι τῆς ἀρετῆς καὶ τῶν τῷ θεῷ δοκούντων E
ἁπάντων, ὥσπερ κανόνα καὶ ἀρχέτυπον καὶ ὅρους καταβαλὼν εἰς τὴν [l]σὴν ψυχήν. Ταῦτα οὖν ἔχε· κἂν περὶ πίστεως, κἂν περὶ ἀγάπης, κἂν περὶ [m]σωφρονισμοῦ δέῃ τι βουλεύσασθαι, ἐκεῖθεν λάμβανε τὰ παραδείγματα· οὐ δεήσει σοι παρ' ἑτέρων εἰκόνα ζητεῖν, πάντων ἐκεῖ κατακειμένων. "Τὴν καλὴν παραθήκην φύλαξον·" πῶς; "διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν." Οὐ γάρ ἐστιν ἀνθρωπίνης ψυχῆς οὐδὲ [n]φρονήσεως, τοσαῦτα ἐμπιστευθέντα ἀρκέσαι πρὸς τὴν φυλακήν. Διὰ τί; F
Ὅτι πολλοὶ οἱ λῃσταὶ, σκότος βαθύ· ὁ διάβολος ἐφέστηκεν ἔτι καὶ [o]ἐφεδρεύει· οὐκ οἴδαμεν ποίᾳ ὥρᾳ, ποίῳ καιρῷ ἐπιτί-

[1] Cap. I. v. 13—18. [2] 2 Thess. ii. 2.

Hom. III. [a] παρακαταθ. bis C. [b] ἐν om. I. [c] Φύγελος] Sic I.K. Veron. Sav. Φύγελλος C. Cat. Φίλητος Vet. Mor. Ben. [d] ὁ om. K. [e] ἐπαισχύνθη bis C.I. Cat. [f] ἐλλιπῶς] ἐγγράφως K. [g] οὖν] + καὶ K. [h] ὧν] + τε I. [i] ἐπὶ τῶν—καταβαλὼν] ἐπὶ μαθητῶν ζωγράφων φθέγγεται, οὐδὲν ἐνδεικνύμενος ἄλλο ἢ τοῦτο, εἰκόνα σοι ἀρχέτυπον τῆς ἀρ. καὶ τῶν τ. θ. δ. ἀνετυπωσάμην, κανόνας καὶ ὅρους κατέβαλον K. [k] ἀνετυπ. Cat. Mox ὥσπερ τινὰ κανόνα Edd. τινὰ om. C.I. Cat. [l] σὴν om. I. [m] σωφροσύνης C. Mox βουλεύεσθαι idem. [n] φρονήσεως] Sic C.I. φρ. σαρκικῆς K. δυνάμεως Cat. Edd. *virtutis* Vet. [o] ἐφοδεύει K. Mox ἀρκέσωμεν I.

θεται. Πῶς οὖν ἀρκέσομεν πρὸς τὴν φυλακὴν, φησί; "Διὰ
πνεύματος ἁγίου·" τουτέστιν, ἐὰν τὸ πνεῦμα ἔχωμεν παρ' ἡμῖν
673 [p]μένον· ἐὰν μὴ τὴν χάριν φυγαδεύσωμεν, παρέσται. [3]"Ἐὰν
γὰρ μὴ κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ [q]οἰκο- (340)
δομοῦντες· ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν
οἱ φυλάσσοντες αὐτήν." Τοῦτο τεῖχος ἡμῖν, τοῦτο φρούριον,
τοῦτο καταφυγή. Εἰ τοίνυν ἐνοικεῖ, καὶ αὐτὸ φυλάσσει, τίς
χρεία παραγγελίας; Ἵνα αὐτὸ, φησὶ, κατέχωμεν, ἵνα αὐτὸ
φυλάσσωμεν, [r]μὴ διώκωμεν διὰ τῶν φαύλων πράξεων. Εἶτα
ἐξηγεῖται τοὺς πειρασμοὺς, οὐχὶ καταβαλεῖν τὸν μαθητὴν βου-
λόμενος, ἀλλὰ διαναστῆσαι, ἵνα εἴ ποτε καὶ αὐτὸς περιπέσοι
B τούτοις, μὴ ξενοπαθῇ, πρὸς τὸν διδάσκαλον ἀφορῶν, καὶ μεμνη-
μένος πάντων τῶν συμβάντων αὐτῷ. [s]Τί οὖν φησιν; Ἐπειδὴ
εἰκὸς ἦν αὐτὸν συλληφθέντα ἐγκαταλειφθῆναι, καὶ [t]μηδεμιᾶς
ἀπολαῦσαι φιλανθρωπίας, μηδὲ ῥοπῆς, μηδὲ βοηθείας, ἀλλὰ καὶ
ὑπ' αὐτῶν τῶν πιστῶν καὶ φίλων προδεδόσθαι, ἄκουε τί φησιν·
"Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ."
[v]Εἰκὸς ἦν ἐν Ῥώμῃ εἶναι πολλοὺς τότε ἀπὸ τῶν [w]τῆς Ἀσίας
μερῶν· [x]ἀλλ' οὐδείς μοι παρέστη, φησὶν, οὐδείς με ἐγνώρισε,
πάντες ἀπηλλοτριώθησαν. Καὶ ὅρα τὴν φιλόσοφον αὐτοῦ
ψυχήν. Εἶπε τὸ γενόμενον μόνον, οὐχὶ κατηράσατο [y]αὐτοῖς·
C ἀλλὰ τὸν μὲν πράξαντα τοῦτο καὶ ἐπήνεσε, καὶ ἐπεύχεται [z]αὐτῷ
μυρία ἀγαθὰ, [a]ἐκείνοις δὲ οὐ κατηράσατο, ἀλλὰ τί φησιν; "Ὧν
ἐστι [b]Φύγελος καὶ Ἑρμογένης."

"Δῴη ἔλεος ὁ κύριος, [c]φησὶ, τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολ-
λάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ἀλλὰ
γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε." Θέα
πῶς πανταχοῦ τὴν αἰσχύνην λέγει, οὐ τὸν κίνδυνον, ὥστε μὴ
[d]φοβηθῆναι τὸν Τιμόθεον, καίτοι κινδύνων τὸ πρᾶγμα ἔγεμε·
προσέκρουσε γὰρ τότε τῷ Νέρωνι, τινὰ τῶν ἀνακειμένων αὐτῷ
D οἰκειωσάμενος. "Ἀλλὰ γενόμενος, φησὶν, ἐν Ῥώμῃ," οὐ μόνον
οὐκ ἔφυγέ μου τὴν συντυχίαν, ἀλλὰ καὶ "[e]ἐπεζήτησέ με, καὶ
εὗρε. Δῴη αὐτῷ [f]ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ

3 Psal. cxxvi. 1.

[p] μένον (μένων I.) accessit ex C.I.K. Cat. Vet. [q] οἰκοδ.] + αὐτὸν I. [r] μὴ] καὶ μὴ K. Sav. cet. [s] τί οὖν φ. om. K. [t] μηδένος C. [v] εἰκὸς ἦν] τοῦτο λέγει διὰ τὸ εἰκὸς K. [w] τῆς assumtum ex I.K. Cat. [x] ἀλλ' οὐδεὶς—ἀπηλλοτριώθησαν] ὑφ' ὧν καὶ ἀπεστράφθαι δηλοῖ λέγων· πάντες με ἀπεστράφησαν· τουτέστιν, ἠλλοτριώθησαν, ἀφῆκαν· οὐδείς μοι παρέστη K. [y] αὐτοὺς C. [z] αὐτῷ] Sic I.K. Cat. τούτῳ Edd. αὐτῷ om. C. [a] ἐκείνους C. ἐκεῖνον Cat. [b] Φύγελλος C. [c] φησὶ om. K. post οἴκῳ transp. I. [d] πταιθῆναι (corrig. πτοηθῆναι, ut Reg. 744.) Cat. [e] ἐζήτησε C. [f] ὁ om. K. et ante corr. C. Mox παρὰ κυρίῳ I.

ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις."
Τοιούτους εἶναι χρὴ τοὺς πιστοὺς, μήτε φόβῳ, μήτε ἀπειλῇ,
μήτε αἰσχύνῃ κωλύεσθαι, ἀλλὰ συμπράττειν ἀλλήλοις, [g]καὶ
καθάπερ ἐν πολέμῳ παρεστάναι καὶ βοηθεῖν. Οὐ γὰρ τοῖς
κινδυνεύουσι τοσοῦτον, ὅσον ἑαυτοῖς χαρίζονται, κοινωνοὺς ἑαυ-
τοὺς ποιοῦντες διὰ τῶν [h]εἰς ἐκείνους γεγενημένων τῶν ἐκείνοις E
ὀφειλομένων στεφάνων. Οἷον, ἐν θλίψει καθέστηκέ τις τῶν
ἀνακειμένων θεῷ, πολλὰ πάσχων δεινὰ, καὶ μετὰ πολλῆς τῆς
καρτερίας ἀθλῶν· [i]σὺ οὐδέπω πρὸς τὸν ἀγῶνα τοῦτον εἱλκύσθης·
ἔξεστί σοι, εἰ βουληθείης, καὶ μὴ ἐμβάντι εἰς τὸ στάδιον,
[k]μεριστὴν γενέσθαι τῶν ἀποκειμένων αὐτῷ [l]στεφάνων, παρόντα,
ἀλείφοντα, προτρέποντα, διεγείροντα. Καὶ ὅτι [m]τοῦτο οὕτως
ἔχει, ἄκουσον τί φησιν ἑτέρωθι γράφων· [4]"Πλὴν καλῶς ἐποιή-
σατε συγκοινωνήσαντές μου τῇ θλίψει·" καὶ πάλιν, "Ὅτι καὶ ἐν
Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς [n]εἰς τὴν χρείαν μου ἐπέμψατε."
Καὶ πῶς οἱ ἀπόντες τῷ [o]μὴ παρόντι ἐκοινώνησαν ἐν ταῖς θλί- F
ψεσι; [p]Πῶς; "Ὅτι ἐπέμψατέ μοι, φησὶ, τὰ εἰς τὴν χρείαν
καὶ ἅπαξ καὶ δίς." Καὶ πάλιν περὶ τοῦ Ἐπαφροδίτου [q]λέγων
φησίν· "Ὅτι ἤγγισε μέχρι θανάτου [r]παραβουλευσάμενος τῇ 674
ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουρ-
γίας." [s]Καθάπερ ἐπὶ τῶν βασιλέων οὐχ οἱ πολεμοῦντες μόνον,
ἀλλὰ καὶ οἱ τὰ σκεύη φυλάσσοντες τιμῆς μετέχουσι, καὶ οὐχ
ἁπλῶς, ἀλλὰ καὶ τῶν ἴσων πολλάκις [t]ἐπέτυχον δώρων, καίτοιγε
οὐδὲ τὰς χεῖρας αἱμάξαντες, οὐδὲ [v]ὅπλα θέμενοι, ἀλλ' οὐδὲ ὅλως
τὴν παράταξιν θεασάμενοι τῶν [w]πολεμίων· πολλῷ μᾶλλον ἐπὶ
τούτων τῶν θλίψεων. Ὁ γὰρ βοηθῶν τῷ ἀθλητῇ λιμῷ τηκο-
μένῳ, ὁ παρὼν, ὁ λόγοις παρακαλῶν, ὁ τὴν ἄλλην θεραπείαν B
ἅπασαν παρέχων, τὸ ἴσον ἔχει τῷ ἀθλοῦντι. Μὴ γάρ μοι
Παῦλον ἐννοήσῃς τὸν ἀθλητὴν, τὸν ἄμαχον καὶ ἀκαταγώνιστον,
ἀλλὰ ἄλλον τινὰ τῶν πολλῶν, ὃς εἰ μὴ ἔτυχε πολλῆς παραμυ-
θίας, πολλῆς παρακλήσεως, οὐκ ἂν ἴσως ἔστη, οὐκ ἂν ἠγωνίσατο.
Ὥστε οἱ ἔξω τῶν ἀγώνων τῷ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότι τῆς

4 Philipp. iv. 14, 15. ii. 30.

[g] καὶ, desideratum a Dunaeo, accessit ex C.I.K. [h] εἰς om. K. [i] σὺ] + δὲ K. δὲ erasum in I. [k] μεριστὴν] Sic C. μερίτην I.K. μεριστῇ Edd. Mox edebatur παρόντι, ἀλείφοντι κ. τ. ἑ. repugnantibus libris. [l] στεφάνων] + πῶς K. [m] τοῦτο om. C. [n] εἰς om. C.K. Mox μοι pro μου I.K. [o] μὴ om. C. Mox ἐν ταῖς θλίψεσι nostri omnes et Vet. Edebatur τῆς θλίψεως. [p] πῶς] + ἄκουσον K. Mox τὰ om. C. [q] λέγων] δηλῶν K. [r] παραβολευσάμενος C. Mox ἀποπληρώσῃ K. [s] καθάπερ] + γὰρ C.K. Sav. cet. [t] ἐπέτυχον] ἀπο-λαύουσι K. Statim δωρεῶν I. [v] τὰ ὅπλα Edd. invitis libris. [w] πολε-μίων] + οὕτω καὶ οἱ τῷ Παύλῳ κοινωνήσαντες τῶν θλίψεων, τῶν ἐκείνου στεφάνων ἐπίσης ἀξιωθήσονται. εἰ γὰρ ἐπ' ἐκείνων τοῦτο συμβαίνει K.

νίκης γεγόνασιν αἴτιοι· [x]οἱ δὲ γενόμενοι τῆς νίκης αἴτιοι, καὶ
τῶν ἐπὶ τῇ νίκῃ [y]κειμένων στεφάνων γένοιντ᾽ ἂν μέτοχοι. Καὶ
τί θαυμαστὸν, εἰ τοῖς [z]ἑστῶσι κοινωνῶν τις τῶν αὐτῶν ἀξιοῦται
C τοῖς ἀγωνιζομένοις; [a]καὶ τοῖς ἀπελθοῦσι, τοῖς [b]ἤδη κειμένοις,
τοῖς ἐστεφανωμένοις, τοῖς οὐδενὸς δεομένοις [c]ἔστι κοινωνεῖν.
[d]Ἄκουε τοῦ Παύλου λέγοντος, [5]"Ταῖς μνείαις τῶν ἁγίων κοι- (341)
νωνοῦντες." Καὶ πῶς; [e]φησίν. Ὅταν θαυμάσῃς τὸν [f]ἄνδρα,
ὅταν ἐργάσῃ τι τούτων ἐφ᾽ οἷς ἐκεῖνος ἐστεφανώθη, κεκοινώνηκας
αὐτῷ τῶν ἄθλων καὶ τῶν στεφάνων δηλονότι. "Δῴη αὐτῷ,
φησὶν, ὁ κύριος εὑρεῖν ἔλεος παρὰ [g]κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ."
Ἠλέησέ με, φησίν· οὐκοῦν ἕξει τὴν ἀνταπόδοσιν ἐν ἐκείνῃ τῇ
D ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ, ἔνθα πολλοῦ ἐλέους χρεία ἡμῖν.
"Δῴη αὐτῷ, [h]φησὶν, ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου." [i]Δύο
κύριοι; Οὐδαμῶς, ἀλλ᾽ ἡμῖν εἷς [k]κύριος Ἰησοῦς Χριστὸς, καὶ εἷς
θεός. Ἐνταῦθα οἱ τὰ Μαρκίωνος νοσοῦντες ἐπιπηδῶσι τῷ
εἰρημένῳ· ἀλλὰ μανθανέτωσαν, ὡς ἔθος τῇ γραφῇ τοῦτο, καὶ
πολλαχοῦ ἔστιν εὑρεῖν ταύτῃ τῇ συνηθείᾳ τὴν γραφὴν κεχρημέ-
E νην, [l]καὶ λέγουσαν, ὅταν περί τινος διαλέγηται· "Εἶπε, φησὶν,
Ἀβραὰμ, ὅτι οὐ μὴ εἰσέλθῃ Ἀβραάμ·" ἢ ἄλλο τι τοιοῦτον.
[m]Καὶ οὐκ εἶπε, δῴη αὐτῷ ὁ κύριος ἕτερόν τι, ἀλλ᾽ ἔλεος.

[n]Εἰ δὲ Ὀνησιφόρος ὁ κινδύνοις [o]παραβαλὼν ἑαυτὸν ἀπὸ
ἐλέους σώζεται, πολλῷ μᾶλλον ἡμεῖς. Φοβεραὶ γὰρ αἱ εὔθυναι,
F φοβεραὶ, καὶ πολλῆς δεόμεναι τῆς φιλανθρωπίας, ὥστε μὴ

[5] Rom. xii. 13.

[x] Haec οἱ δὲ—αἴτιοι accesserunt ex C.K. Vet. [y] κειμένων om. K. Mox αἴτιοι pro μέτοχοι C. [z] ἑστῶσι] Sic C.I. Veron. ἑστῶσιν ἔτι K. ἔτι ζῶσι Sav. cet. *viventibus* Vet. [a] καὶ] ὥσπερ οὖν καὶ Edd. ὥσπερ οὖν om. C. [et Reg. 744.] τοῖς ἀπελθοῦσι om. K. [b] ἤδη κ.] ἠδικημένοις a man. 2da C. (prius erat οὐδὲν ἠδικημένοις). Statim τοῖς ἐστ. post δεομένοις transp. C. post κοινωνεῖν I. [c] ἔστι κ.] ἔξεστι κ. C. κοινωνεῖν ἔστι καὶ μετὰ θάνατον K. ἔστι κ. καὶ μ. θ. Sav. cet. [d] ἄκουε] καὶ ἄκουε C. ἄκουε γὰρ K. Sav. cet. αὐτοῦ pro τοῦ Π. K. [e] φησὶν] + ἔστι κοινωνεῖν K. Sav. cet. [f] ἄνδρα] + ὅταν αὐτοῦ τὸ μνῆμα οἰκοδομήσῃς C.K. non Vet. [g] κυρίῳ bis I.K. [h] φησὶν ὁ κ.] κ. φησὶν I.K. [i] δύο] ἰδοὺ δύο K. [k] κύριος om. I. Veron. Statim Ἰησ. Χρ. pro Χρ. Ἰησ. C.K. Cat. Post θεὸς add. φησὶν K. [l] καὶ λέγουσαν —τοιοῦτον] Sic Reg. 744. Cat. Vet. καὶ λέγουσαν, ὅταν π. τ. δ. εἶπε, φ. Ἀβ. ὅτι οὐ μὴ εἰσ. Ἀβ. καὶ πάλιν, ὡς ὅταν λέγῃ, εἶπεν ὁ κύριος τῷ κ. μου C. ὡς ὅταν λ. εἶπεν ὁ κ. τῷ κ. μ. I. Veron. ὡς ὅταν λ. εἶπεν ὁ κ. τῷ κ. μου· καὶ πάλιν, εἶπα τῷ κυρίῳ, κύριός μου εἶ σύ· καὶ ἀλλαχοῦ, ἔβρεξε κύριος παρὰ κυρίου (+ πῦρ ποτὲ K.) τοῦτο δὲ προσώπων ἐστὶ παραστατικὸν ὁμοουσίων, οὐ φύσεως διαιρετικόν· οὐ γὰρ ἵνα δύο οὐσίας διαφέρουσας ἀλλήλων, ἀλλ᾽ ἵνα δύο πρόσωπα νοήσωμεν τῆς αὐτῆς ὄντα οὐσίας ἑκάτερα, τοῦτο λέγει K. Sav. cet. [m] καὶ οὐκ (οὐ γὰρ I. Veron.) εἶπε—ἔλεος] Sic C.I. Cat. Veron. Vet. ὅρα δὲ πῶς καὶ εἶπε, δῴη αὐτῷ κύριος. τί τοῦτο; οὐχ ἕτερον, ἀλλ᾽ ἔλεος. ἐπεὶ γὰρ αὐτὸς ἐλέους ἔτυχε παρὰ Ὀνησιφόρου, τούτου τυχεῖν ἐπεύχεται καὶ αὐτὸν παρὰ τοῦ θεοῦ K. Sav. cet. [n] ΗΘΙΚΟΝ. Περὶ κρίσεως· καὶ ὅτι ἡ πλεονεξία οὐκ ἀπὸ τοῦ μεγέθους, ἀλλ᾽ ἀπὸ προαιρέσεως κρίνεται· καὶ περὶ τοῦ μὴ σκοπεῖν τὰ ἑτέρων ἁμαρτήματα, ἀλλὰ τὰ καθ᾽ ἑαυτούς. Veron. [o] περιβαλὼν I. Statim σεαυτὸν mendose Edd.

ἀκοῦσαι τὸ ῥῆμα τὸ φρικτὸν [p]ἐκεῖνο,[6] "Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς,
οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·" ὥστε μὴ ἀκοῦσαι πάλιν ἐκεῖνο τὸ
φοβερὸν, "Ἀπέλθετε, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον,
τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·" ὥστε 675
μὴ ἀκοῦσαι, [q]ὅτι "Χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν·" ὥστε μὴ
ἀκοῦσαι ἐκεῖνο τὸ φρίκης γέμον, "Ἄρατε αὐτὸν, καὶ [r]ἐμβάλετε
εἰς τὸ σκότος τὸ ἐξώτερον·" ὥστε μὴ ἀκοῦσαι ἐκεῖνο τὸ πολλοῦ
φόβου [s]γέμον, "Πονηρὲ δοῦλε καὶ ὀκνηρέ." Φρικτὸν γὰρ
σφόδρα τὸ δικαστήριον ἐκεῖνο καὶ φοβερόν. Καίτοι ὁ θεὸς
ἥμερός ἐστι, καίτοι προσηνής· [t]θεὸς γὰρ οἰκτιρμῶν λέγεται, καὶ
θεὸς παρακλήσεως, καὶ ἀγαθὸς ὡς οὐδεὶς ἀγαθὸς, καὶ χρηστὸς
καὶ ἐπιεικὴς καὶ πολυέλεος, καὶ οὐ βούλεται τὸν θάνατον τοῦ
ἁμαρτωλοῦ, ὡς τὸ [v]ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Πόθεν οὖν, B
πόθεν τοσαύτης ἀγωνίας ἡ ἡμέρα γέμει [w]ἐκείνη; Πυρὸς ἕλκεται
ποταμὸς πρὸ προσώπου αὐτοῦ, βίβλοι τῶν πράξεων ἡμῶν ἀνοί-
γονται, αὕτη ἡ ἡμέρα ὡς κλίβανός ἐστι καιομένη, ἄγγελοι
περιτρέχουσι, καὶ [x]κάμινοι πολλαί. Πῶς οὖν φιλάνθρωπος;
πῶς ἐλεήμων; πῶς ἀγαθός; Φιλάνθρωπος μὲν οὖν καὶ οὕτω, καὶ
ἐκ τούτων μάλιστα δείκνυται αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέ-
γεθος. Διὰ γὰρ τοῦτο τοσοῦτον ἡμῖν ἐπισείει τὸν φόβον, ἵνα
κἂν διὰ τούτων συνωθούμενοι πρὸς τὸν τῆς βασιλείας πόθον
ποτὲ διεγερθῶμεν. Θέα δέ μοι, πῶς οὐχ ἁπλῶς τῷ Ὀνησιφόρῳ C
μαρτυρεῖ, [y]ἀλλά φησι· "Πολλάκις με ἀνέψυξε." Καθάπερ
ἀθλητήν τινα ὑπὸ αὐχμοῦ πιεζόμενον [z]ὑπὸ τῶν θλίψεων, ἀνε-
κτήσατο, φησὶ, καὶ ἀνέρρωσε. "Καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε,
βέλτιον σὺ γινώσκεις." Οὐ μόνον ἐν Ἐφέσῳ, φησὶν, ἀλλὰ καὶ
ἐνταῦθα. Τοιοῦτον [a]γὰρ δεῖ εἶναι τὸν νήφοντα καὶ διεγηγερ-
μένον, οὐχ ἅπαξ ἐργάζεσθαι οὐδὲ δεύτερον οὐδὲ τρίτον, ἀλλὰ δι'
ὅλης τῆς ζωῆς. Ὥσπερ [b]γὰρ τὸ σῶμα τὸ ἡμέτερον οὐχ ἅπαξ D
τραφὲν ἔχει τῆς ὅλης ζωῆς τὴν ὑπόστασιν, ἀλλὰ δεῖται καὶ τῆς
καθημερινῆς τροφῆς· οὕτω δὴ καὶ ἐνταῦθα ἐπὶ τῆς εὐσεβείας καθ'
ἑκάστην ἡμέραν δεόμεθα τῆς ἀπὸ τῶν ἔργων βοηθείας. Πολλοῦ
γὰρ ἡμῖν ἐλέου χρεία· διὰ γὰρ τὰ ἁμαρτήματα ἡμῶν καὶ ὁ
φιλάνθρωπος θεὸς ἐκεῖνα πάντα ποιεῖ, [c]οὐδὲν μὲν αὐτῶν δεόμενος,
πάντα δὲ ποιῶν δι' ἡμᾶς. Διὰ γὰρ τοῦτο πάντα ἡμῖν ἐξεῖπε

6 Matth. vii. 23. xxv. 41. Luc. xvi. 26. Matth. xxii. 13. xxv. 26.

[p] ἐκεῖνο ante τὸ ῥῆμα transp. C.I. [q] ὅτι accessit ex omnibus. [r] ἐμβάλατε C. [s] γέμον] τὸ πολλὴν ἔχον τὴν ἀγανάκτησιν K. [t] ὁ θεὸς I. Mox θεὸς πάσης παρ. I.K. [v] ἐπιτρέψαι C.K. Sav. cet. [w] ἐκείνη] + φησὶ K. [x] κάμινοι] + προτίθενται K. Sav. cet. [y] ἀλλά φησι] ἀλλ' ἐπάγει καὶ τὴν αἰτίαν δι' ἣν μαρτυρεῖ, λέγων K. [z] ὑπὸ] ἀπὸ K. [a] γὰρ om. K. [b] γὰρ] καὶ K. [c] οὐδενὸς K.

καὶ διηγήσατο, καὶ οὐ διηγήσατο μόνον, ἀλλὰ καὶ δι' ἔργων
E πιστοῦται. Ἀξιόπιστος μὲν γὰρ ἦν καὶ ἀπὸ ῥημάτων μόνον·
ἀλλ' ἵνα μή [d]τις ὑπερβολῆς, μηδὲ ἀπειλῆς [e]μόνης εἶναι νομίσῃ
τὰ ῥήματα, καὶ τὴν ἀπὸ τῶν ἔργων πληροφορίαν προστίθησι.
Πῶς; Καὶ ἰδίᾳ καὶ κοινῇ τὰς τιμωρίας ἐπάγων. Καὶ ἵνα μάθῃς
δι' αὐτῶν τῶν [f]πραγμάτων, ποτὲ μὲν τὸν Φαραὼ ἐκόλασε, ποτὲ
[g]δὲ κατακλυσμὸν τῶν ὑδάτων ἐπήγαγε καὶ τὴν πανωλεθρίαν (342)
ἐκείνην, ποτὲ δὲ τὸν τοῦ πυρός. Καὶ νῦν δὲ ὁρῶμεν πολλοὺς
F κολαζομένους τῶν πονηρῶν, καὶ δίκην τιννύντας· ἅπερ ὑποδεί-
γματα τῆς γεέννης ἐστίν. Ἵνα γὰρ μὴ καθεύδωμεν, μηδὲ ῥᾳθυ-
μῶμεν, μηδὲ ἐπιλανθανώμεθα τῶν ῥημάτων, διὰ τῶν ἔργων ἡμᾶς
ὑπομιμνήσκει καὶ διεγείρει, ἐνταῦθα δεικνὺς κριτήρια, δικαστήρια,
εὐθύνας. [h]Εἶτα παρὰ ἀνθρώποις μὲν τοσαύτη τοῦ δικαίου ἐπι-
μέλεια, παρὰ δὲ θεῷ τῷ καὶ ταῦτα νομοθετήσαντι οὐδεὶς τούτων
676 λόγος; καὶ πῶς ἂν ἔχοι ταῦτα πίστιν; Καὶ [i]γὰρ ἐν οἰκίᾳ καὶ ἐν
ἀγορᾷ καὶ πανταχοῦ δικαστήρια ἔστιν ἰδεῖν. Ἐν οἰκίᾳ μὲν γὰρ
ὁ δεσπότης δούλοις δικάζει καθ' ἑκάστην ἡμέραν, καὶ τῶν ἁμαρ-
τημάτων αὐτοὺς ἀπαιτεῖ [k]εὐθύνας, καὶ τὰ μὲν κολάζει, τὰ δὲ
ἀφίησιν. Ἐν ἀγροῖς πάλιν ὁ γεωργὸς καὶ ἡ [l]γυνὴ δικάζεται
καθ' ἑκάστην ἡμέραν· ἐν πλοίοις ὁ κυβερνήτης δικάζει, ἐν στρα-
τοπέδοις ὁ στρατηγὸς τοὺς στρατιώτας· καὶ πολλὰ ἄν τις εὕροι
δικαστήρια· ἐν τέχναις ὁ διδάσκαλος τῷ μαθητῇ. Καὶ ἰδίᾳ τοίνυν
καὶ κοινῇ πάντες ἀλλήλοις δικάζουσι, καὶ οὐδαμοῦ τοῦ δικαίου τὸν
λόγον παραμελούμενον ἴδοι τις ἄν, ἀλλὰ πάντας εὐθύνας διδόν-
B τας πανταχοῦ. [m]Εἶτα ἐνταῦθα μὲν οὕτω διέσπαρται [n]καὶ κατὰ
πόλιν καὶ κατὰ οἰκίας καὶ καθ' ἕνα ἕκαστον ἡ τοῦ δικαίου ζήτη-
σις· [o]ἐκεῖ δὲ, ἔνθα [7] "δικαιοσύνης πλήρης ἡ δεξιὰ τοῦ θεοῦ," καὶ
"ἡ δικαιοσύνη αὐτοῦ ὡς ὄρη θεοῦ," ἐκεῖ οὐδεὶς τοῦ δικαίου λόγος;
Καὶ πῶς [8] ὁ θεὸς [p]ὁ κριτὴς ὁ δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος
ἀνέχεται, καὶ οὐκ ἀπαιτεῖ τὰς τιμωρίας; [q]Ἐνταῦθα ἔχεις τὴν
αἰτίαν· μακρόθυμος, φησὶν, ἐστὶ, μακροθυμεῖ δὲ εἰς μετάνοιάν
σε [r]ἕλκων· ἂν δὲ ἐπιμένῃς, [9] "κατὰ τὴν σκληρότητά σου καὶ
ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν." Εἰ δίκαιος
C τοίνυν ἐστὶ, τὸ κατ' ἀξίαν [s]ἀποδίδωσι, καὶ οὐ περιορᾷ ἀτιμω-

7 Psal. xlvii. 11. xxxv. 7. 8 Ibid. vii. 12. 9 Rom. ii. 5.

[d] τις] τῆς C. Mox νομίσῃς idem. [e] μόνης εἶναι] μόνον K. [f] πραγμάτων] + ἄκουε K. [g] δὲ om. Veron. Sav. invitis libris. [h] εἶτα] καὶ C. [i] γὰρ] + καὶ K. Sav. cet. [k] τὰς εὐθ. C. [l] γυνὴ] γῆ I. Veron. [m] εἶτα ἐντ. μὲν] εἰ δὲ ἐντ. K. [n] καὶ om. I. [o] ἐκεῖ δὲ om. K. [p] ὁ om. I. Statim ὁ δίκαιος C. καὶ δίκαιος Edd. καὶ μακρόθυμος om. K. [q] ἐνταῦθα] + ζητεῖς K. Mox ἐστι, φησὶν inverso ord. C.K. [r] ἕλκων] ἄγων I. Statim ἐπιμείνῃς idem. [s] ἀποδίδωσι] + τοῦτο γὰρ καὶ ἰσχύος Veron. Sequentia καὶ οὐ—κακῶς om. I.

ρητὶ τοὺς πάσχοντας [t]κακῶς. [v]Εἰ ἰσχυρὸς, καὶ μετὰ θάνατον
ἀποδίδωσι· τοῦτο [w]γὰρ ἰσχύος ἐστί· [x]καὶ ἐν τῇ ἀναστάσει.
"Καὶ μακρόθυμος," φησίν. Εἰ μακρόθυμός [y]ἐστι, μὴ θορυβη-
θῶμεν, μηδὲ λέγωμεν, διὰ τί ἐνταῦθα οὐκ ἐπεξέρχεται; Εἰ γὰρ
τοῦτο ἐγίνετο, προανήρπαστο ἂν τὸ γένος τὸ ἀνθρώπινον, εἰ
καθ' ἑκάστην ἡμέραν ἀπῄτει δίκας [z]ἡμᾶς τῶν πεπλημμελημένων.
Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἡμέρα ἁμαρτημάτων καθαρὰ, ἀλλ' ἢ
μέγα ἢ μικρόν τι [a]προσκρούομεν. Ὥστε οὐδ' ἂν ἐφθάσαμεν
οὐδὲ εἰς εἰκοστὸν ἔτος ἕκαστος ἐλθεῖν, εἰ μὴ πολλὴ [b]αὐτοῦ ἦν ἡ D
μακροθυμία καὶ ἡ ἀγαθότης, πολλὴν ἡμῖν παρέχουσα τὴν προ-
θεσμίαν τῆς μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα.
Ἕκαστος τοίνυν μετὰ συνειδότος ὀρθοῦ [c]εἰσιὼν εἰς τὰ πεπρα-
γμένα αὐτῷ, καὶ τὸν βίον αὐτοῦ πάντα εἰς μέσον [d]ἀγαγὼν, ἐπι-
σκοπείτω, εἰ μὴ μυρίων τιμωριῶν ἄξιος καὶ κολάσεών ἐστι· καὶ
ὅταν ἀγανακτῇ, διὰ τί μὴ ὁ δεῖνα μυρία πράττων φαῦλα, δίκην
δίδωσιν; ἐννοείτω τὰ ἑαυτοῦ, καὶ παύσει τὴν ἀγανάκτησιν.
Ἐκεῖνα γὰρ μεγάλα φαίνεται, ἐπειδὴ ἐπὶ μεγάλοις γίνεται καὶ
φανεροῖς· εἰ δὲ τὰ ἑαυτοῦ [e]ἐξετάσειεν, ἴσως εὑρήσει πλείονα.
Τὸ γὰρ ἁρπάζειν καὶ πλεονεκτεῖν ὅμοιόν ἐστιν, ἄν τε ἐπὶ χρυ- E
σίου, ἄν τε ἐπὶ ἀργυρίου γένηται· ἀπὸ γὰρ τῆς αὐτῆς διανοίας
ἀμφότερα τίκτεται, καὶ ὁ τὸ μικρὸν ὑφελόμενος οὐ παραιτήσε-
ται καὶ μέγα ὑφελέσθαι· εἰ δὲ μὴ πάρεστιν, οὐ παρ' ἐκεῖνον
τοῦτο [f]γέγονεν, ἀλλὰ παρὰ τὴν τοῦ πράγματος συντυχίαν. Ὁ
τὸν πενέστερον ἀδικῶν πένης, οὐκ ἂν, εἴγε [g]ἐδύνατο, καὶ τὸν
πλουτοῦντα παρεῖδεν, ἀλλὰ τῆς ἀσθενείας, οὐ τῆς ἐκείνου προ-
αιρέσεως τὸ πρᾶγμα γίνεται λοιπόν. Ὁ δεῖνα ἄρχει, φησὶ, καὶ
τὰ τῶν ἀρχομένων ἁρπάζει. Σὺ δὲ οὐχ ἁρπάζεις, εἰπέ μοι; Μὴ
γάρ μοι εἴπῃς, ὅτι [h]ἐκεῖνος μὲν χρυσίου τάλαντα, σὺ δὲ ὀβολοὺς F
δέκα· ἐπεὶ καὶ ἐν τῇ ἐλεημοσύνῃ [i]οἱ μὲν ἔβαλον χρυσίον, ἡ δὲ
δύο λεπτὰ, καὶ οὐδὲν ἔλαττον ἤνεγκεν ἐκείνων. Διὰ τί; Ἡ γὰρ
προαίρεσις κρίνεται, καὶ οὐχ ἡ δόσις. Εἶτα ἐπὶ μὲν τῆς ἐλεημο- 677
σύνης ἀξιοῖς οὕτω δικάζειν τὸν θεὸν, καὶ μηδὲν ἔλαττον διὰ τὴν
πενίαν ἀποφέρεσθαι, εἰ δύο λεπτὰ καταβάλοις, τῶν μύρια τά-
λαντα καταθεμένων χρυσίου, ἐπὶ δὲ τῆς πλεονεξίας οὐχ οὕτω;
καὶ πῶς ἂν ἔχοι λόγον; Ὥσπερ ἐκείνη [k]δύο λεπτὰ καταβαλοῦσα,

[t] κακῶς] + τοῦτο γὰρ δικαίου I.K. Sav. cet. invito Vet. [v] εἰ] ὁ C. εἰ om. Veron. [w] γὰρ] + καὶ C.I. invita Veron. Haec τοῦτο γὰρ ἰσχ. ἐστὶ desunt in K. Sav. cet. *id quippe virtutis est* Vet. [x] καὶ om. K. Post ἀναστάσει add. τοῦτο γὰρ ἰσχυροῦ K. Sav. cet. [y] ἐστι om. C. καὶ μακρόθυμος—ἐστι] εἰ δὲ μακρόθυμος ὢν ἀνέχεται K. Sav. cet. [z] ἡμῖν I. Post πεπλημ. add. οὐκ ἂν ἐφθάνομεν ἀπολλύμενοι K. [a] πλημμελοῦμεν K. [b] αὐτοῦ ἦν] ἦν αὐτοῦ C.K. [c] εἰσίωμεν I. [d] ἄγων K. [e] ἐξετάσοιεν I. [f] γίνεται K. [g] ἠδύνατο C.K. Mox παριδεῖν C. [h] ἐκεῖνος μὲν χρ. τ.] Sic omnes. χρ. μὲν τ. ἐκεῖνος Edd. [i] ὁ μὲν ἔβαλε χρ. ὁ δὲ K. [k] δύο] ἡ δύο K.

ἀπὸ τῆς προαιρέσεως οὐδὲν [l]ἔλαττον ἤνεγκεν, οὕτω καὶ σὺ δύο
λεπτὰ ὑφελόμενος, οὐδὲν ἄμεινον ἐκείνων διάκεισαι, ἀλλ' εἰ δεῖ τι
καὶ θαυμαστὸν εἰπεῖν, μᾶλλον αὐτῶν πλεονεκτεῖς. Ὥσπερ γὰρ (343)
B κἂν τὴν τοῦ βασιλέως τις μοιχεύσῃ γυναῖκα, [m]κἂν τὴν τοῦ πένη-
τος, κἂν τὴν τοῦ δούλου, ὁμοίως ἐστὶ μοιχὸς, οὐ τῇ διαφορᾷ τῶν
προσώπων τοῦ ἁμαρτήματος κρινομένου, ἀλλὰ τῇ μοχθηρίᾳ τῆς
τοῦ τολμήσαντος προαιρέσεως· οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ μᾶλ-
λον ἐγὼ μοιχὸν ἂν εἴποιμι τὸν εἰς τὴν τυχοῦσαν μοιχευόμενον,
ἢ τὸν εἰς τὴν βασιλίδα αὐτήν· ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος καὶ ἡ ὥρα
καὶ πολλὰ [n]ἕτερα ἦν τὰ ἐπισπώμενα, ἐνταῦθα δὲ οὐδέν· ὥστε
μᾶλλον οὗτος ἂν εἴη μοιχός. Πάλιν, μέθυσον ἐκεῖνον ἂν εἴποιμι
μᾶλλον τὸν τῷ φαύλῳ οἴνῳ προσκεχρημένον· οὕτω καὶ πλεονέ-
C κτην τὸν μηδὲ [o]τῶν μικρῶν καταφρονοῦντα. Ὁ μὲν γὰρ τὰ
πολλὰ ἁρπάζων τῶν μικρῶν ἴσως καταφρονήσειεν ἄν· ὁ δὲ τὰ
μικρὰ [p]ὑφελόμενος, τῶν μεγάλων οὐδαμῶς· ὥστε μᾶλλον οὗτος
κλέπτης ἐστίν. Ὁ γὰρ μὴ καταφρονῶν ἀργυρίου, πῶς ἂν χρυ-
σίου καταφρονήσειεν; Ὥστε ὅταν τῶν ἀρχόντων κατηγορῶμεν,
τὰ ἡμέτερα [q]αὐτῶν ἀναλογισώμεθα, καὶ εὑρήσομεν μᾶλλον ἡμᾶς
αὐτοὺς καὶ κλέπτοντας καὶ πλεονεκτοῦντας πλέον ἐκείνων, εἰ μὴ
τῷ πράγματι, ἀλλὰ τῇ προαιρέσει ταῦτα κρίνομεν, ὥσπερ οὖν
D καὶ κρίνειν δίκαιον. Εἰπὲ γάρ μοι, εἴ τις προσενεχθείη τὰ τοῦ
πένητος λαβὼν, ἕτερος δὲ τὰ τοῦ πλουσίου, οὐχ ὁμοίαν ἀμφό-
τεροι [r]τιννύουσι δίκην; Τί δέ; ὁ φονεὺς οὐχ ὁμοίως ἐστὶ φονεὺς,
ἄν τε ἀνάπηρον καὶ πένητα, ἄν τε πλούσιον καὶ καλὸν ἀποκτεί-
νῃ; Ὅταν οὖν εἴπωμεν, ὅτι ὁ δεῖνα τοῦ δεῖνος τὸ χωρίον ἥρπα-
σεν, ἐννοήσωμεν τὰ ἑαυτῶν, καὶ οὕτως οὔτε τοὺς ἄλλους [s]κατα-
κρινοῦμεν, καὶ τὸν θεὸν θαυμασόμεθα τῆς μακροθυμίας, καὶ οὐκ
ἀγανακτήσομεν, ὅτι ἡ κρίσις οὐκ ἔρχεται ἐπ' αὐτοὺς, καὶ αὐτοὶ
E ὀκνηρότεροι ἐσόμεθα πρὸς τὴν τῶν κακῶν ἐργασίαν. Ὅταν γὰρ
ἴδωμεν τοῖς αὐτοῖς ὑπευθύνους ὄντας καὶ ἡμᾶς αὐτοὺς, οὐκέτι
ὁμοίως δυσχερανοῦμεν, ἀλλ' ἀποστησόμεθα τῶν [t]ἁμαρτημάτων,
καὶ ἐπιτευξόμεθα τῶν μελλόντων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ
κυρίῳ ἡμῶν, [v]μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα,
κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

[l] ἔλαττον] + ἐκείνων C. Mox σὺ om. K. [m] κἂν—πένητος om. C. [n] ἕτερα om. C. [o] τῶν om. K. [p] ὑφαιρούμενος C. ἀφαιρ. K. [q] αὐτῶν om. C. Mox ἡμᾶς superscript. in I. [r] τιννύουσι omnes. τίσουσι Edd. [s] κατακρίνομεν ex corr. C. κατακρίνωμεν . . θαυμασώμεθα . . ἀγανακτήσωμεν I. [t] ἁμαρτιῶν C.I. ἀλλ' ἀποστησόμεθα—κυρίῳ ἡμῶν] οὐκοῦν ἀποστῶμεν τοῦ δυσχεραίνειν, καὶ ἀποστησόμεθα τοῦ ἁμαρτάνειν, καὶ τῶν μ. ἐπιτευξόμεθα ἀγ. χάριτι καὶ φ. τοῦ κ. ἡ. Ἰ. Χρ. K. [v] μεθ' οὗ—πνεύματι] ᾧ μετὰ πατρὸς καὶ ἁγίου πνεύματος Mor. Ben. invitis libris.

ΛΟΓΟΣ Δ. 678

[1] *Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.* [a]*Σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου* B *πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ κύριος σύνεσιν ἐν πᾶσι.*

ΦΕΡΕΙ [b]μὲν ἐν θαλάσσῃ πολὺ τὸ θάρσος τῷ μαθητῇ τὸ τὸν διδάσκαλον ἐν ναυαγίῳ γενέσθαι καὶ διασωθῆναι· οὐ γὰρ ἡγήσεται λοιπὸν ἀπὸ τῆς οἰκείας ἀμαθίας συμπίπτειν τοὺς C χειμῶνας, ἀλλὰ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως· τοῦτο δὲ εἰς ψυχαγωγίαν οὐ μικρόν. Φέρει δὲ καὶ ἐν πολέμοις τῷ ταξιάρχῃ [c]προτροπὴν τὸ τὸν στρατηγὸν τρωθέντα ὁρᾶν, καὶ ἀνενεγκόντα πάλιν. Οὕτω δὴ καὶ [d]τοῖς πιστοῖς φέρει τινὰ παραμυθίαν τὸ τὸν ἀπόστολον [e]πολλὰ παθεῖν δεινά· οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τὰ [f]αὐτοῦ πάθη διηγεῖτο. Ὁ γὰρ Τιμόθεος ἀκούων, ὅτι ὁ τοσαῦτα δυνάμενος καὶ πάσης τῆς οἰκουμένης κρατήσας, ἐν δεσμοῖς ἐστι καὶ [g]ἐν θλίψεσι, [h]καὶ οὐκ ἀσχάλλει οὐδὲ δυσχεραίνει D ὑπὸ τῶν οἰκείων ἐγκαταλειφθεὶς, εἰ καὶ αὐτὸς τὰ αὐτὰ ἔπαθεν, οὐκ ἂν ἡγήσατο ἀνθρωπίνης τὸ πρᾶγμα εἶναι ἀσθενείας, οὐδὲ διὰ τὸ μαθητὴς εἶναι καὶ ἐλάττων [i]τοῦ Παύλου, ὅπου γε καὶ ὁ
(344) [k]διδάσκαλος ταῦτα ἔπαθεν, ἀλλὰ διὰ τὴν τοῦ πράγματος φύσιν ταῦτα πάντα συμβεβηκέναι. Καὶ γὰρ καὶ αὐτὸς [l]τοῦτο εἰργάσατο, καὶ διὰ τοῦτο ταῦτα διηγεῖται, ἵνα αὐτὸν ῥώσῃ καὶ ἀνακτήσηται. Ὅτι γοῦν τούτου ἕνεκεν τοῦτο ἐποίει, διηγησάμενος αὐτοῦ τὰς θλίψεις καὶ [m]τοὺς πειρασμοὺς, ἐπήγαγε· "Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ." Τί E λέγεις; [n]καθαιρεῖς ἡμᾶς τῷ φόβῳ; εἶπες ὅτι δέδεσαι, ὅτι ἐν θλίψει [o]εἶ, ὅτι πάντες σε ἀπεστράφησαν· καὶ ὥσπερ εἰρηκὼς ὅτι οὐδὲν πέπονθας δεινὸν, οὐδὲ ὑπό τινων ἐγκατελείφθης, οὕτως

[1] Cap. II. v. 1—7.

Hom. IV. [a] *σὺ οὖν* om. I. [b] *μὲν*] + *καὶ* K. [c] *τροπὴν* I. [d] *τοῖς* om. K. [e] *πολλὰ παθεῖν*] *ἀκούειν πολλὰ παθόντα* K. Post *δεῖνα* add. *καὶ ὑπ' οὐδενὸς τούτων* (+ *μὴ* K.) *καταμαλακισθῆναι* K. Sav. cet. [f] *ἑαυτοῦ* I. *τὰ αὐτοῦ —ἀκούων*] *Τιμοθέῳ τὰ αὐτοῦ π. δ. ἀκούων γὰρ* K. [g] *ἐν* om. K. [h] *καὶ* om. I. Mox *ἐγκαταληφθεὶς* idem. [i] *τοῦ* om. K. [k] *διδάσκαλος*] + *αὐτοῦ* I. *ταῦτα* om. K. [l] *τοῦτο*] Sic I. Vet. *ταῦτα* Edd. *τ. εἰργάσατο καὶ* om. C.K. inclusum a Sav. Mox *τοῦτο* pro *ταῦτα* C. [m] *τὸν πειρασμὸν* I.K. [n] *καθαιρεῖς*] *κατέσεισας* K. Sav. cet. [o] *εἶ* om. I.

ἐπάγεις, "Σὺ οὖν, τέκνον [p]μου, ἐνδυναμοῦ;" Εἰκότως· ὅτι [q]ταῦτά
σε μᾶλλον ἐνεδυνάμωσεν, ἢ [r]ἐκεῖνα. Εἰ γὰρ ἐγὼ Παῦλος ταῦτα
[s]πάσχω, πολλῷ μᾶλλον σὺ ταῦτα φέρειν ὀφείλεις· εἰ ὁ διδά-
σκαλος, πολλῷ μᾶλλον ὁ μαθητής. Καὶ μετὰ πολλῆς τῆς φιλο-
F στοργίας τὴν παραίνεσιν προσάγει, τέκνον αὐτὸν καλῶν, [t]καὶ
οὐχ ἁπλῶς, ἀλλὰ, "τέκνον ἐμόν." Εἰ τέκνον εἶ, φησὶ, τὸν
πατέρα μιμοῦ· εἰ τέκνον εἶ, ἐνδυναμοῦ οἷς εἶπον· μᾶλλον δὲ οὐκ
ἀπὸ τῶν διηγημάτων [v]μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς χάριτος τοῦ
679 [w]Χριστοῦ. "Ἐνδυναμοῦ γὰρ, φησὶν, ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ
Ἰησοῦ·" [x]διὰ τῆς χάριτος [y]τοῦ Χριστοῦ, φησί. [z]Τουτέστι,
στῆθι γενναίως, οἶδας τὴν παράταξιν. Ἐπεὶ καὶ ἀλλαχοῦ λέγων,
[2]"Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα," οὐχὶ κατα-
βάλλων αὐτοὺς λέγει, ἀλλὰ διεγείρων. [a]Νῆφε, φησὶ, γρηγόρει,
ἔχε τὴν χάριν τοῦ [b]κυρίου συμμαχοῦσαν καὶ συναγωνιζομένην,
πολλῇ τῇ προθυμίᾳ καὶ τῇ προαιρέσει τὰ παρὰ [c]σεαυτοῦ εἴσ-
φερε. "Καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα
παράθου πιστοῖς ἀνθρώποις." Πιστοῖς, οὐ ζητητικοῖς, οὐ συλλο-
γιστικοῖς· [d]πιστοῖς, τοῖς μὴ προδιδοῦσι τὸ κήρυγμα. "Ἃ
B ἤκουσας," οὐχ ἃ συνεζήτησας· [3]"Ἡ πίστις γὰρ ἐξ ἀκοῆς, ἡ δὲ
ἀκοὴ διὰ ῥήματος θεοῦ." Τί ἐστι, "διὰ πολλῶν μαρτύρων;"
Ὡς ἂν εἰ ἔλεγεν, οὐ λάθρα ἤκουσας οὐδὲ κρυφῇ, ἀλλὰ πολλῶν
παρόντων, μετὰ παρρησίας. Οὐκ εἶπεν, εἰπὲ, ἀλλὰ, "παράθου,"
[e]καθάπερ ἐπὶ θησαυροῦ βασιλικοῦ τὸ παρατιθέμενον ἐν ἀσφα-
λείᾳ [f]παρακατατίθεται. Πάλιν φοβεῖ τὸν μαθητὴν καὶ ἀπὸ
τῶν ἄνω καὶ ἀπὸ τῶν κάτω. [g]Ἀλλ' οὐ πιστοῖς μόνον λέγει,
"παράθου·" τί γὰρ ὄφελος, ὅταν πιστὸς μὲν [h]ᾖ, μὴ δύνηται δὲ
C καὶ εἰς ἑτέρους ἐξάγειν τὴν διδασκαλίαν; ὅταν αὐτὸς μὲν μὴ
προδῷ τὴν πίστιν, ἑτέρους δὲ μὴ κατασκευάζῃ τοιούτους; Δύο
τοίνυν ἔχειν χρὴ τὸν διδάσκαλον, καὶ πιστὸν εἶναι, καὶ διδα-
κτικόν. Διὰ τοῦτό φησιν, "Οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους
διδάξαι."

2 Ephes. vi. 12. 3 Rom. x. 17.

[p] μου ἐνδ.] ἐνδ. ἐν τῇ χάριτι K. [q] ταῦτα post σε transp. C. post ἐνεδυνάμωσεν I. [r] ἐκεῖνα] Sic C.I. ἐκεῖνα ἂν εἶπον K. ἐκεῖνον Edd. [s] πάσχω] πάσχων ὑποφέρω K. [t] καὶ om. I. Veron. [v] μόνον] + τοῦτο βούλεται K. [w] Χριστοῦ omnes. Edebatur θεοῦ. [x] διὰ] τουτέστι διὰ K. Sav. cet. Mox φησὶ om. iidem. [y] τοῦ] τῆς τοῦ K. κυρίου pro Χριστοῦ I. [z] τουτέστι om. K. [a] νῆφε, φ.] οὐκοῦν νῆφε K. οὐκοῦν νῆφε, φ. Sav. cet. [b] κυρίου] + συνεργοῦσαν καὶ C. [c] σαυτοῦ I.K. [d] πιστοῖς] + ποίοις; K. Sav. cet. [e] καθάπερ] + γὰρ K. Statim βασιλικοῦ assumtum ex K. Cat. Vet. Mox τὸ παρακατατιθ. C. [f] παρακατατίθεται] + οὕτω ποιεῖ αὐτὸς λέγων, παράθου K. [g] ἀλλ' οὐ—παράθου] σὺ δὲ ἀκούων ταῦτα, μὴ ἁπλῶς πιστοῖς παρατίθεσθαι τὴν διδασκαλίαν νομίσῃς· ἐκείνους γὰρ πιστοὺς λέγων αἰνίττεται, τοὺς δὲ τοῖς πλησίον δυναμένους τῆς ὠφελείας μεταδιδόναι K. [h] ᾖ, μὴ δ. δὲ] εἰμι, οὐ δυνατὸς δὲ I. Statim καὶ accessit ex I.K. Cat.

"Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χρι-
στοῦ." Βαβαὶ, πόσον τὸ ἀξίωμα, στρατιώτην [i]εἶναι τοῦ
Χριστοῦ. Ἐννόησον τοὺς [k]βασιλέας τοὺς ἐπὶ τῆς γῆς, [l]καὶ
πῶς μέγα τι εἶναι νομίζουσιν οἱ ὑπ' αὐτῶν στρατευόμενοι. Εἰ
τοίνυν τὸ κακοπαθεῖν βασιλικοῦ στρατιώτου, τὸ μὴ κακοπαθεῖν
οὐκ ἔστι στρατιώτου. Ὥστε οὐ χρὴ [m]δυσχεραίνειν· τοῦτο γάρ D
ἐστι στρατιώτου· ἀλλὰ δυσχεραίνειν, εἰ μὴ κακοπαθοίης. "Οὐ-
δεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα
τῷ στρατολογήσαντι ἀρέσῃ. [n]Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφα-
νοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ." Ταῦτα εἴρηται μὲν πρὸς
Τιμόθεον, λέγεται [o]δὲ πρὸς πάντα διδάσκαλον καὶ μαθητὴν δι'
ἐκείνου. Μηδεὶς τοίνυν ἀπαξιούτω τῶν τὴν ἐπισκοπὴν ἐχόντων
ταῦτα ἀκούων, ἀλλ' ἀπαξιούτω μὴ ταῦτα πράττων. "Ἐὰν ἀθλῇ
[p]τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ." Τί ἐστιν, "ἐὰν E
μὴ νομίμως;" Οὐκ, ἐὰν εἰς τὸν ἀγῶνα [q]εἰσέλθῃ, ἀρκεῖ τοῦτο,
οὐδὲ ἐὰν ἀλείψηται, οὐδὲ ἐὰν συμπλακῇ, ἀλλὰ ἂν μὴ πάντα τὸν
τῆς ἀθλήσεως νόμον φυλάττῃ, καὶ τὸν ἐπὶ σιτίων, καὶ τὸν ἐπὶ
σωφροσύνης καὶ σεμνότητος, καὶ τὸν ἐν παλαίστρᾳ, καὶ πάντα
ἁπλῶς [r]διεξέλθῃ τὰ τοῖς ἀθληταῖς προσήκοντα, οὐδέποτε στε-
φανοῦται. Καὶ ὅρα τοῦ Παύλου τὴν σοφίαν· ἀθλήσεως καὶ
στρατιωτῶν [s]ἐμνήσθη, τὸ μὲν, [t]ὥστε ἑτοίμους εἶναι πρὸς
σφαγὰς καὶ φόνους καὶ αἵματα, [v]τὸ δὲ, καρτερικῶς ἵνα πάντα F
φέρῃ καὶ γενναίως, ἵνα διαπαντὸς ἐν ἀσκήσει ᾖ. "Τὸν κοπιῶντα
γεωργὸν, [w]φησὶ, δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν."
Εἶπεν ἀπὸ τῶν αὐτοῦ παραδειγμάτων, εἶπεν ἀπὸ τοῦ διδασκά- 680
λου· λέγει λοιπὸν [x]ἀπὸ τῶν κοινῇ συμβαινόντων, τῶν ἀθλητῶν,
τῶν στρατιωτῶν· καὶ τίθησιν ἐκεῖ τὰ ἔπαθλα, [y]τὸ μὲν, ἵνα
(345) ἀρέσῃ τῷ στρατολογήσαντι· τὸ δὲ, ἵνα στεφανωθῇ. Καὶ λέγει
[z]καὶ τρίτον ὑπόδειγμα, ὃ μάλιστα αὐτῷ ἁρμόζει· τὸ μὲν γὰρ
τοῦ στρατιώτου καὶ [a]τοῦ ἀθλητοῦ καὶ τοῖς ἀρχομένοις κατάλ-

[i] εἶναι] + φησὶ K. Post Χριστοῦ add. τὸν κακοπαθοῦντα· ὅσον δὲ τοῦτο idem. [k] βασιλέας pro βασιλεῖς omnes. [l] καὶ accessit ex omnibus. Mox ὑπ' αὐτῶν I.K. ὑπ' αὐτὸν Veron. ὑπ' αὐτοὺς C. Sav. cet. Post στρατευόμενοι add. καὶ ἀπὸ τοῦ αἰσθητοῦ παραδείγματος εἴσῃ σαφῶς οἷον ἐκεῖνο K. [m] δυσχεραίνειν] + εἴ τις κακοπαθεῖ K. + εἰ κακοπαθεῖς Cat. Sav. cet. Mox κακοπαθοίη K. [n] ἐὰν—τις om. I. [o] δὲ] + καὶ K. Cat. Mox πάντα καὶ δ. K. Sav. cet. [p] τις] + φησὶν K. Sav. cet. [q] εἰσέλθῃ) + μόνον C.K. Mox ἂν pro ἐὰν bis iidem. [r] διεξέλθῃ] Sic C.I. Cat. ἂν μὴ ἐξέλθῃ K. διέλθοι Edd. [s] ἐμνημόνευσε C. Cat. [t] ὥστε] ὡς τὸ K. Statim ἑτοίμους C.I.K. Cat. Veron. Vet. ἕτοιμον Sav. cet. Mox καὶ αἵματα om. C. [v] τὸ δὲ καρτερικῶς ἵνα π. φ. (φ. π. Cat.) καὶ γενναίως] Sic Cat. Edebatur τὸ δὲ (+ ὡς K.) καρτερικὸν (—κοὺς C.I.) (+ καὶ C.) ἵνα π. γενναίως φ. [w] φησὶ om. K. [x] ἀπὸ] καὶ ἀπὸ K. Sav. cet. [y] τὸ μὲν—τὸ δὲ] τοῦτο μὲν λέγων, ἵνα τῷ στρ. ἀρέσῃ, τοῦτο δὲ K. [z] καὶ om. K. [a] τοῦ] τὸ τοῦ Edd. τὸ om. C.I. Cat.

ληλον, τὸ δὲ τοῦ γεωργοῦ λοιπὸν [b]τῷ διδασκάλῳ. Μὴ ὡς
στρατιώτης, μηδὲ ὡς ἀθλητὴς μόνον, ἀλλὰ καὶ ὡς [c]γεωργός. Ὁ
γεωργὸς οὐχ [d]ἑαυτοῦ ἐπιμελεῖται μόνον, ἀλλὰ [e]τῶν καρπῶν
καὶ τῆς γῆς· [f]τουτέστιν, οὐ μικρὰν ἀμοιβὴν τῶν πόνων καρ-
B ποῦται [g]καὶ ὁ γεωργός. Ἐνταῦθα καὶ τοῦ θεοῦ τὸ ἀνενδεὲς
δείκνυσι, καὶ τὴν ἀντίδοσιν τῆς διδασκαλίας, [h]καὶ πρᾶγμα εἶπε
κοινόν. [i]Ὥσπερ, φησὶν, ὁ γεωργὸς οὐκ ἀνόνητα πονεῖ, ἀλλὰ
πρὸ τῶν ἄλλων αὐτὸς ἀπολαύει τῶν πόνων τῶν οἰκείων, οὕτω
καὶ [k]τὸν διδάσκαλον εἰκός. Ἢ τοῦτο, ἢ περὶ τοῦ τιμᾶσθαι τοὺς
διδασκάλους φησίν. Ἀλλ' οὐκ ἔχει λόγον· πῶς [l]γάρ; οὐχ
ἁπλῶς γεωργὸν εἶπεν, ἀλλὰ τὸν κοπιῶντα· οὐδὲ ἁπλῶς τὸν
κάμνοντα, ἀλλὰ τὸν κοπτόμενον. [m]Ἐνταῦθα καὶ πρὸς τὴν
C μέλλησιν ἵνα μηδεὶς δυσχεραίνῃ, ἤδη, φησὶν, ἀπολαμβάνεις· ἢ ὅτι
ἐν αὐτῷ τῷ κόπῳ ἡ ἀντίδοσις. Ἐπεὶ οὖν τὰ παραδείγματα
ἔθηκε, [n]τὸ τῶν στρατιωτῶν, [o]καὶ ἀθλητῶν, καὶ γεωργῶν, καὶ
πάντα ἁπλῶς αἰνιγματωδῶς, "[p]Οὐδεὶς, φησὶ, στεφανοῦται, ἐὰν
μὴ νομίμως ἀθλήσῃ." Καὶ [q]εἰπὼν, "Τὸν κοπιῶντα γεωργὸν
δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν," ἐπήγαγε· "Νόει [r]ὃ
λέγω· δῴη γάρ σοι ὁ θεὸς σύνεσιν ἐν πᾶσι." Τούτων [s]γε ἕνεκεν
ταῦτα εἴρηται ἐν παροιμίᾳ καὶ παραβολῇ.

Εἶτα πάλιν τὸ φιλόστοργον αὐτοῦ [t]δεικνὺς, οὐ παύεται
D ἐπευχόμενος αὐτῷ, ἅτε ὡς ὑπὲρ γνησίου τέκνου δεδοικὼς, καί
φησι· [4]"Μνημόνευε [v]Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν,
ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ
μέχρι δεσμῶν, ὡς κακοῦργος." Τίνος ἕνεκεν ἐνταῦθα [w]τούτου
μέμνηται; Μάλιστα μὲν [x]οὖν καὶ πρὸς τοὺς αἱρετικοὺς ἀποτει-
νόμενος, ἅμα δὲ καὶ ἀνακτώμενος αὐτὸν, καὶ δεικνὺς τῶν παθημά-
των τὸ [y]κέρδος, ὅτι καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν ὁ Χριστὸς

[4] v. 8, 9.

[b] τῷ δ.] τοῦ διδασκάλου. τοῦτο δὲ εἶπεν ἵνα K. [c] γεωργὸς] + ὑπὲρ τῶν διδασκομένων πονῆται K. Statim ὁ γὰρ γ. idem. [d] ἑαυτῷ I. μόνον om. I. Cat. [e] τῶν κ. καὶ] Sic C.I.K. Cat. καὶ τῶν κ. Edd. [f] τουτέστιν] δηλῶν διὰ τούτου ὡς K. [g] καὶ om. I. [h] καὶ π. εἶπε] π. εἰπὼν K. Sav. cet. [i] ὥσπερ, φ.] ὥστε, φ. I. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν K. [k] τὸν δ.—φησὶν] περὶ τὸν δ. εἰκὸς γίνεσθαι. τοῦτο γοῦν αἰνιττόμενος, τὸ τοῦ γεωργοῦ παράδειγμα ἔλαβεν. οὐκ ἀγνοῶ δὲ ὡς περὶ τοῦ τιμᾶσθαι τοὺς δ. τινὲς τὸ λεγόμενον ἐξειλήφασιν K. [l] γὰρ] + σκόπει δὲ K. [m] ἐνταῦθα—μηδεὶς] οὐκ ἂν δὲ οὕτως εἶπεν, εἰ περὶ τοῦ τιμᾶσθαι εἰπεῖν τι ἐβούλετο· μᾶλλον δὲ τοῦτο ἐνταῦθα καὶ πρὸς τ. μ. εἶπεν, ἵνα μηδεὶς τῆς ἀντιδόσεως ταμιευομένης K. Mox ἢ ὅτι om. idem. [n] τὸ om. K. [o] καὶ] τῶν bis K. [p] οὐδεὶς, φ.] εἶπεν, οὐδεὶς K. [q] εἰπὼν] πάλιν K. [r] ὃ] ἃ K. et ex corr. I. Mox κύριος pro θεὸς I.K. [s] γε] Sic C.I. γὰρ Edd. τούτων—εἶτα om. K. [t] δεικνὺς, οὐ π.] δείκνυσι διὰ τούτου· οὐ π. γὰρ K. [v] Ἰ. Χρ. pro Χρ. Ἰ. omnes. [w] τούτου] τοῦ Χριστοῦ K. [x] οὖν superscript. in I. [y] κέρδος] + μόνον (+ οὐχὶ ex corr. rec.) γὰρ τοῦτο λέγει K.

διὰ πάθους τὸν θάνατον κατηγωνίσατο. Τοῦτο μνημόνευε, φησὶ,
καὶ ἕξεις παράκλησιν ἱκανήν. "Μνημόνευε, φησὶ, [z]Χριστὸν
Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ." Ἤδη E
γὰρ ἐξ ἐκείνου ἤρξαντό τινες τὴν οἰκονομίαν ἀνατρέπειν, ἐπαι-
σχυνόμενοι τῷ μεγέθει τῆς τοῦ θεοῦ φιλανθρωπίας. Τοιαῦτα
γὰρ ἦν ἃ εὐηργέτησεν ἡμᾶς ὁ θεὸς, [a]ὡς τοὺς ἀνθρώπους αἰσχύ-
νεσθαι περιάπτειν αὐτὰ τῷ θεῷ, καὶ ἀπιστεῖν ὅτι τοσοῦτον κα-
τέβη. "Κατὰ τὸ εὐαγγέλιόν μου," [b]φησί. Πανταχοῦ τοῦτο
τίθησι τῶν ἐπιστολῶν [c]λέγων, "κατὰ τὸ εὐαγγέλιόν μου,"
[d]ἐπειδὴ αὐτῷ πείθεσθαι ἐχρῆν, [e]καὶ ἐπειδὴ καὶ ἕτεροι ἦσαν
εὐαγγελιζόμενοι ἕτερα. "[f]Ἐν ᾧ κακοπαθῶ, φησὶ, μέχρι δε- F
σμῶν, ὡς κακοῦργος." Πάλιν παρ' ἑαυτοῦ τὴν παραμυθίαν εἰσά-
γει, πάλιν τὴν προτροπήν. [g]Καὶ τί τὸ βλάβος δύο τούτοις
παραμυθεῖται; [h]Τί γὰρ ὄφελος, ἐὰν δείξῃς τὸν διδάσκαλον 681
κακοπαθοῦντα, [i]ἀλλ' ἐπ' οὐδενὶ χρησίμῳ; [k]Τί οὖν τὸ χρήσιμον
καὶ τὸ θαυμαστόν; "Ἀλλ' ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται." [l]Εἰ
μὲν γὰρ κοσμικοὶ ἦμεν στρατιῶται, φησὶν, ἢ [m]εἰ πόλεμον ἐπολε-
μοῦμεν αἰσθητὸν, ἴσχυε ταῦτα τὰ δεσμὰ [n]τὰς χεῖρας κατέχοντα·
νῦν δὲ τοιούτους ἡμᾶς ἐποίησεν ὁ θεὸς, ὡς μηδὲν καταγωνίζεσθαι.
Δεσμοῦνται μὲν γὰρ αἱ χεῖρες, ἀλλ' οὐχ ἡ γλῶττα· [o]γλῶτταν
γὰρ οὐδεὶς δῆσαι δύναται, ἀλλ' ἡ δειλία μόνον καὶ ἀπιστία· ὡς B
ἂν [p]ταύτην μὴ ἔχωμεν, κἂν περιβάλῃς δεσμὰ, τὸ κήρυγμα οὐ
δέδεται. [q]Οἷον, γεωργόν τις ἐὰν δήσῃ, τὸν σπόρον ἐνεπόδισε,
τῇ χειρὶ γὰρ σπείρει· διδάσκαλον ἐὰν δήσῃς, τὸν λόγον οὐκ
ἐνεπόδισας· τῇ γλώττῃ γὰρ σπείρει, οὐ τῇ χειρί. [r]Οὐχ ὑπο-
βάλλεται δεσμῷ ὁ λόγος ὁ ἡμέτερος· ἡμῶν γὰρ δεδεμένων,
ἐκεῖνος λέλυται καὶ τρέχει. Πῶς; φησίν. Ὅτι ἰδοὺ καὶ δεδε-
μένοι κηρύττομεν. Τοῦτο εἰς προτροπὴν τῶν λελυμένων· εἰ
ἡμεῖς δεδεμένοι κηρύττομεν, πολλῷ μᾶλλον ὑμᾶς τοὺς λελυμένους C
τοῦτο ποιεῖν χρή. Ἤκουσας ὅτι ὡς κακοῦργος ταῦτα πάσχω·
μὴ κατηφὴς γένῃ. Πολὺ γὰρ τὸ θαῦμα, [s]δεδεμένον τὰ τῶν

[z] Χρ. Ἰ.] Ἰ. Χρ. K. [a] ὡς] + καὶ K. [b] φησὶ om. K. [c] λέγων] ὅλων I. [d] ἐπειδὴ] ἢ ἐπειδὴ K. Sav. cet. [e] καὶ] ἢ K. Sav. cet. Statim καὶ om. K. [f] ἐν ᾧ] ἐγὼ I. [g] καὶ τί—παραμυθεῖται] καὶ δύο τούτοις τὸν ἀκροατὴν ἀλείφει, τῷ τε εἰδέναι κακοπαθεῖν, καὶ τῷ μὴ (μὴ superscript. a corr. rec. in K.) ἐπ' οὐδενὶ χρησίμῳ τοῦτο (+ προσέχειν K.) ποιεῖν. οὕτω μὲν (+ γὰρ K.) κερδανεῖ, ἐκείνως δὲ καὶ βλαβήσεται K. Sav. cet. [h] τί] + καὶ K. [i] ἀλλ' (+ οὐκ Veron.) ἐπ' οὐδενὶ] μὲν, ἐπ' οὐδενὶ δὲ K. Sav. cet. [k] τί—θαυμαστὸν] ἀλλ' ἐκεῖνο θαυμαστὸν, εἰ ἐπί τινι χρησίμῳ (ἐπί τι χρήσιμον K.), εἰ ἐπ' ὠφελείᾳ τῶν διδασκομένων K. Sav. cet. [l] εἰ μὲν γὰρ] τουτέστιν, εἰ μὲν K. Sav. cet. [m] εἰ] εἰς C. εἰ om. K. [n] τὰς] τὰ Cat. Mox μηδὲν pro μηδενὶ ex Cat. Vet. receptum. [o] γλῶτταν] καὶ γλ. I. Mox ἀλλ' ἡ δειλία Edd. [p] ταύτην μὴ] μὴ ταῦτα K. [q] οἷον] σκόπει δὲ K. [r] οὐχ ὑπ.] οὐ τοίνυν ὑπ. K. οὐχ ὑπ. τοίνυν Sav. cet. δεσμῷ om. I. [s] δεδεμένον] + ὄντα Edd. ὄντα om. C.

λελυμένων ποιεῖν, δεδεμένον πάντων περιγενέσθαι, δεδεμένον
καταγωνίζεσθαι τοὺς δεδεκότας. Θεοῦ γάρ ἐστιν ὁ λόγος, οὐχ (346)
ἡμῶν· δεσμὰ δὲ ἀνθρώπινα θεοῦ λόγον περιβαλεῖν οὐ δυνήσεται.
5 "*Ταῦτα* [t]*πάσχω διὰ τοὺς ἐκλεκτούς.*" [v]*Διὰ τοῦτο γὰρ, φησὶ,*
[w]*πάντα ὑπομένω, διὰ τοὺς ἐκλεκτοὺς,* "*ἵνα καὶ αὐτοὶ σωτηρίας*
D *τύχωσι τῆς ἐν Χριστῷ* [x]*Ἰησοῦ, μετὰ δόξης αἰωνίου.*" *Ἰδοὺ* [y]*καὶ*
ἄλλη προτροπή· [z]*οὐχ ὑπὲρ ἐμαυτοῦ, φησὶν, ἀλλ' ὑπὲρ τῆς ἑτέ-*
ρων σωτηρίας ταῦτα ὑπομένω. Ἐξὸν ἦν ἀκινδύνως ζῆν, ἐξὸν ἦν
μηδὲν τούτων πάσχειν, εἴγε τὰ ἐμαυτοῦ ἐσκόπουν. Ἀλλὰ διὰ
τίνα ταῦτα [a]*πάσχω; Ὑπὲρ τῶν ἀλλοτρίων ἀγαθῶν, ἵνα ἄλλοι*
τύχωσι ζωῆς αἰωνίου. Τί οὖν καὶ [b]*ἐπαγγέλλῃ; Οὐχ ἁπλῶς*
εἶπε, διὰ τούσδε, ἀλλὰ, "*διὰ τοὺς ἐκλεκτούς.*" [c]*Εἰ ὁ θεὸς*
αὐτοὺς ἐξελέξατο, πάντα ἡμᾶς δεῖ πάσχειν ὑπὲρ αὐτῶν. "*Ἵνα*
καὶ αὐτοὶ σωτηρίας τύχωσι." [d]*Τῷ εἰπεῖν,* "*καὶ αὐτοὶ,*" [e]*ὡσανεὶ*
E *καὶ ἡμεῖς, φησί· καὶ γὰρ καὶ ἡμᾶς ὁ θεὸς ἐξελέξατο.* [f]*Ὥσπερ δι'*
ἡμᾶς ὁ θεὸς ἔπαθεν, οὕτω καὶ ἡμεῖς δι' ἐκείνους· ὥστε ἀνταπό-
δοσίς ἐστι τὸ πρᾶγμα, [g]*οὐ χάρις. Ἐπὶ* [h]*μὲν τοῦ θεοῦ χάρις*
ἦν, οὐ γὰρ [i]*πρὸ εὖ παθὼν εὐηργέτησεν· ἐπὶ δὲ ἡμῶν ἀντίδοσις·*
πρὸ εὖ παθόντες ἡμεῖς παρὰ τοῦ θεοῦ, πάσχομεν ὑπὲρ τούτων
ὧν πάσχομεν. "*Ἵνα σωτηρίας* [k]*τύχωσι.*" *Τί λέγεις; ποίας*
σωτηρίας; [l]*ὁ ἑαυτῷ αἴτιος μὴ ὢν σωτηρίας, ἀλλὰ ἀπολλύμενος,*
[m]*ἑτέρῳ σωτηρίας αἴτιος γίνῃ; Διὰ τοῦτο προσέθηκεν, οὐ ταύ-*
F *της, φησὶν, ἀλλὰ* "*τῆς ἐν Χριστῷ Ἰησοῦ,*" *τῆς ὄντως σωτηρίας.*
"*Μετὰ δόξης αἰωνίου.*" *Ὀδυνηρὰ τὰ παρόντα, ἀλλ' ἐπὶ* [n]*τῆς*
γῆς· κατηφῆ τὰ παρόντα, ἀλλὰ πρόσκαιρα· ἀηδίας μεστὰ καὶ
682 *ὀδύνης, ἀλλὰ μέχρι σήμερον καὶ αὔριον μόνον. Τὰ μέντοι χρη-*
στὰ οὐ τοιαῦτα, ἀλλ' αἰώνια, [o]*ἀλλ' ἐν οὐρανῷ. Ὄντως ἐκείνη*
δόξα, αὕτη δὲ ἀτιμία.

[p]*Θέα γάρ μοι, ἀγαπητέ· οὐκ ἔστι δόξα* [q]*ἐπὶ τῆς γῆς, ἀλλ' ἡ*

5 v. 10.

[t] *πάσχω*] *πάσχει δὲ* K. *ταύτα π. δ. τ. ἐκλεκτοὺς* om. C. [v] *διὰ—ἐκλεκτοὺς*] *ὃ καὶ δηλῶν ἐπάγει, διὰ τοῦτο ταῦτα ὑπομένω πάντα. διὰ τοῦτο, ποῖον; διὰ τοὺς ἐ. φησὶν* K. [w] *πάντα*] *ταῦτα* I. Statim *ὑπομένω* omnes. *πάσχω* Edd. [x] *Ἰησοῦ* om. I. [y] *καὶ* om. I. [z] *οὐχ*] *ὡσεὶ ἔλεγεν, οὐχ* (mox om. *φησὶν*) K. [a] *πάσχω*] +*θέλεις μαθεῖν* K. [b] *ἐπαγγέλλῃ*]+*ἵνα μᾶλλον προθυμότεροι γένωνται* K. [c] *εἰ*] *δηλῶν διὰ τούτου ὅτι εἰ* K. [d] *τῷ*] *τὸ* C.I. [e] *ὡσανεὶ—φησὶ*] *ὡσανεὶ* (*ὡσανεὶ* om. Sav. cet.) *δεικνύντος ἐστὶ καὶ λέγοντος, ὡς καὶ ἡμεῖς* K. Sav. cet. [f] *ὥσπερ*] *καὶ ὥσπερ* iidem. [g] *οὐ* pro *οὐχὶ* omnes. [h] *μὲν*] *μόνου* I. *μὲν γὰρ* K. [i] *πρὸ εὖ παθὼν*] *εὖ παθὼν* I.K. *προευπαθὼν* Edd. Mox *προευπαθόντες* Edd. *προμαθόντες* (+*τοίνυν* K.) I.K. [k] *τύχωμεν* I. [l] *ὁ ἑαυτῷ*] Sic Veron. *ὃς σαυτῷ* C. *ὡς αὐτῷ* I. *σεαυτῷ* K. *ὁ σεαυτῷ* Sav. cet. [m] *ἑτέροις* C.K. Vet. *αἴτιος* om. K. [n] *τῆς* om. I.K. [o] *ἀλλ'*] *καὶ* K. [p] ΗΘΙΚΟΝ. *Ὅτι ἀληθινὴν δόξαν, καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι αἰῶνι, οἱ ἅγιοι ἔχουσι· καὶ περὶ τῆς δόξης τοῦ ἀποστόλου καὶ Νέρωνος. θέα—ἀγαπητὲ*] *ἐντεῦθεν, ἀγαπητὲ, μανθάνει* (sic) *ὅτι* K. [q] *ἐπὶ*] *ἡ ἐπὶ* K.

ὄντως δόξα ἐν οὐρανοῖς ἐστιν. Εἰ [r]δέ τις δοξάζεσθαι βούλεται,
ἀτιμαζέσθω· [s]εἴ τις ἀνέσεως βούλεται ἐπιτυχεῖν, θλιβέσθω· εἴ
τις διαπαντὸς εὐδοκιμεῖν καὶ τρυφᾶν, τὰ πρόσκαιρα διαπτυέτω.
Ὅτι δὲ ἡ ἀτιμία δόξα ἐστὶν, ἡ δὲ δόξα ἀτιμία, φέρε, κατὰ δύ-
ναμιν τοῦτο παραστήσωμεν, ἵνα τὴν ὄντως δόξαν ἴδωμεν. [t]Οὐκ
ἔστιν ἐπὶ γῆς δοξάζεσθαι· εἰ [v]δὲ βούλει δοξάζεσθαι, δι' ἀτι-
μίας. [w]Καὶ φέρε ἐπὶ τῶν δύο προσώπων τοῦτο ἐξετάσωμεν, B
ἐπὶ τοῦ Νέρωνος καὶ τοῦ Παύλου. Ἐκεῖνος τὴν δόξαν εἶχε τοῦ
κόσμου, οὗτος τὴν ἀτιμίαν. Πῶς; Τύραννος ἦν ἐκεῖνος, πολλὰ
κατωρθωκὼς, τρόπαια στήσας, πλοῦτον ἔχων ἐπιῤῥέοντα πανταχόθεν,
στρατόπεδα ἄπειρα, τὸ πλέον τῆς οἰκουμένης μέρος [x]ὑποτεταγμένον,
τὴν βασιλίδα πόλιν ὑποτεταγμένην, τὴν σύγκλητον
ἅπασαν ὑποκύπτουσαν, τὰ βασίλεια αὐτά. Ἐν λαμπρῷ τῷ
σχήματι [y]προήει· εἴτε ὁπλίζεσθαι ἔδει, χρυσῷ καὶ λίθοις
[z]τιμίοις ὁπλιζόμενος [a]ἐξήει· εἴτε ἐν [b]εἰρήνῃ, ἁλουργίδα περικεί-
μενος. Πολλοὺς τοὺς δορυφόρους, πολλοὺς τοὺς ὑπασπιστὰς C
εἶχε· γῆς καὶ θαλάττης δεσπότης ἤκουεν, αὐτοκράτωρ, Αὔγου-
στος, Καῖσαρ, βασιλεὺς, καὶ πολλὰ ἕτερα ὀνόματα τοιαῦτα,
[c]ἅπερ κολακείαν ἐπενόει καὶ θεραπείαν· [d]καὶ οὐδὲν ἐνέλιπεν
ὅλως τῶν εἰς δόξαν, [e]ἀλλὰ σοφοὶ καὶ δυνάσται καὶ βασιλεῖς
αὐτὸν ἔτρεμον, καὶ [f]ἐδεδοίκεσαν τὸν ἄνδρα. Καὶ γὰρ καὶ
ἄλλως ὠμός τις καὶ ἰταμὸς εἶναι ἐλέγετο. [g]Οὗτος καὶ θεὸς εἶναι
ἐβούλετο, καὶ πάντων κατεφρόνει τῶν εἰδώλων, καὶ αὐτοῦ τοῦ
ἐπὶ πάντων θεοῦ, καὶ ὡς θεὸς ἐθεραπεύετο. Τί ταύτης τῆς δόξης D
κρεῖττον; μᾶλλον δὲ [h]τί τῆς ἀτιμίας χεῖρον; Ἀλλ' οὐκ [i]οἶδα
πῶς ὑπὸ τῆς ἀληθείας προὔδραμε τὸ στόμα, καὶ πρὸ τῆς κρί-
σεως τὴν ψῆφον ἤνεγκε. Τέως δὲ κατὰ τὴν τῶν πολλῶν ὑπό-
νοιαν τὸ πρᾶγμα ἐξετάσωμεν, κατὰ τὴν τῶν ἀπίστων, κατὰ τὴν
κολακείαν. Τί μεῖζον εἰς [k]δόξης λόγον τοῦ καὶ θεὸν [l]νομισθῆναι
αὐτόν; Μεγάλη [m]ὄντως ἀτιμία, τὸ ἄνθρωπον ὄντα τοιαῦτα
λυττᾶν· ἀλλὰ τέως κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν [n]τὸ πρᾶγμα
ἐξετάσωμεν. Οὐδὲν τοίνυν [o]ἔλιπεν αὐτῷ εἰς δόξαν τὴν ἀνθρω-

[r] δέ τις] τις οὖν K. [s] εἰ]+δὲ C. Mox ἐπιτυχεῖν omnes. τυχεῖν Edd. [t] οὐκ] εἰ οὐκ ex corr. I. [v] δὲ om. K. εἰ—δοξάζεσθαι om. I. [w] καὶ]+ὅτι δόξα ἐστὶ δι' ἀτιμίας K. καὶ erasum in I. [x] ὑποτεταγ.] ὑπὸ χεῖρα K. [y] προείη I. [z] τιμίοις om. I.K. [a] ἐξήει] Sic C.K. Eclog. (Tom. xii. p. 684 D.) ἔξεισι Edd. [b] εἰρήνῃ]+καθῆσθαι K. Sav. cet. Post περικείμενος add. ἐκάθητο iidem. [c] ἅπερ om. K. [d] καὶ om. K. Mox ἐνέλειπεν C. [e] ἀλλὰ]+καὶ K. Sav. cet. [f] ἐδεδοίκεσαν C.K. -κεισαν Edd. [g] οὗτος om. C. [h] τί om. I. [i] οἶδ' ὅπως K. Mox προέδραμε idem. [k] δόξης λόγον pro λόγον δόξης omnes. [l] νομισθῆναι]+μόνον Veron. [m] ὄντως]+τοῦτο Edd. repugnantibus libris. [n] τὸ πρᾶγμα] τοῦτο C. ἀλλὰ—ἐξετάσωμεν om. K. [o] ἔλιπεν I.K. ἔλειπεν C. ἐνέλιπεν Edd.

πίνην, ἀλλ' ὡς θεὸς παρὰ πάντων ἐθεραπεύετο. Ἀλλὰ [p]ἀντεπεξ-
E αγάγωμεν αὐτῷ καὶ τὸν Παῦλον, εἰ δοκεῖ. Κίλιξ ὁ ἄνθρωπος
ἦν· ὅσον δὲ Κιλικίας καὶ Ῥώμης τὸ μέσον, πάντες ἴσασι· σκυ-
τοτόμος, πένης, τῆς ἔξωθεν σοφίας ἄπειρος, [q]Ἑβραϊστὶ μόνον (347)
εἰδὼς, γλῶτταν διασυρομένην παρὰ πάντων, καὶ μάλιστα [r]παρὰ
τῶν Ἰταλῶν. Οὐ [s]γὰρ οὕτω τοὺς τὴν βάρβαρον, οὔτε τὴν
Ἑλλάδα, οὔτε ἄλλην τινὰ ἔχοντας γλῶτταν διασύρουσιν, ὡς
[t]τὴν Σύρων· αὕτη δὲ πολλὴν ἔχει τὴν κοινωνίαν πρὸς [v]ταύτην.
F Εἰ γὰρ τὴν Ἑλλάδα τὴν θαυμαστὴν καὶ καλὴν διαπτύουσι,
πολλῷ μᾶλλον [w]τὴν Ἑβραίων. [x]Ἄνθρωπος πολλάκις ἐν λιμῷ
ζήσας, καὶ κοιμηθεὶς πεινῶν, ἄνθρωπος [y]γυμνὸς, οὔτε ὅτι περι-
683 βάλοιτο ἔχων· [6]"Ἐν [z]δίψει καὶ γυμνότητι," φησίν· οὐ ταῦτα
δὲ μόνον, ἀλλὰ καὶ ἐν [a]δεσμοῖς· μετὰ λῃστῶν, μετὰ γοήτων,
μετὰ τυμβωρύχων, μετὰ ἀνδροφόνων αὐτοῦ ἐκείνου κελεύσαντος
[b]ἐβέβλητο, καὶ ἐμαστίζετο ὡς κακοῦργος, ὅπερ οὖν καὶ αὐτός
φησι. [c]Τίς οὖν λαμπρότερος; οὐχὶ ἐκείνου μὲν οὐδὲ ὄνομα
ἴσασιν οἱ πολλοὶ, τοῦτον δὲ καὶ Ἕλληνες καὶ βάρβαροι καὶ
Σκύθαι καὶ οἱ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα [d]καθ'
B ἑκάστην ᾄδουσι τὴν ἡμέραν; Ἀλλὰ [e]μήπω τὰ νῦν, ἀλλὰ τὰ τότε
ἐξετάσωμεν. [f]Τίς ἦν λαμπρότερος; [g]καὶ τίς ἐπιδοξότερος; ὁ
τὴν ἅλυσιν περικείμενος, καὶ δεδεμένος ἑλκόμενος ἐκ τοῦ δεσμω-
τηρίου, ἢ ὁ τὴν ἁλουργίδα περικείμενος, καὶ ἐκ τῶν βασιλείων
προϊών; Ὁ δεδεμένος πάντως. Πῶς; Ὅτι ἐκεῖνος μὲν καὶ
στρατόπεδα ἔχων, καὶ ἐν λαμπρῷ τῷ σχήματι προκαθήμενος,
ἅπερ ἤθελεν οὐκ [h]ἴσχυσεν ἀνύειν· ὁ δὲ δεσμώτης, καὶ ὡς κακοῦρ-
γος, [i]καὶ ἐν εὐτελεῖ σχήματι, αὐθεντικώτερον πάντα ἔπραττε.
Πῶς καὶ τίνι τρόπῳ; Ἐκεῖνος ἔλεγε, μὴ διασπείρῃς τὸν λόγον
τῆς εὐσεβείας· οὗτος ἔλεγεν, οὐκ ἀνέχομαι· οὐδὲ γὰρ δέδεται ὁ
C λόγος τοῦ θεοῦ. Καὶ διέπτυσεν ὁ Κίλιξ, [k]ὁ σκηνοποιὸς, ὁ
δεσμώτης, ὁ πένης, ὁ ἐν λιμῷ ζῶν, τὸν ἀπὸ τῆς Ῥώμης, τὸν
πλούσιον, τὸν βασιλεύοντα, τὸν [l]πάντων κρατοῦντα, τὸν μυρίοις

[6] 2 Cor. xi. 27.

[p] ἀντεπεξαγάγωμεν] Sic C. -εξάγωμεν I.K. ἀντεξετάσωμεν Eclog. Edd. [q] Ἑβραϊστὶ] + λέγειν K. [r] παρὰ om. K. [s] γὰρ] + οὐχ C. [t] τὴν] τῶν C. [v] ταύτην] + καὶ μὴ θαυμάσῃς ὅτι ταύτην διέπτυον K. Sav. cet. [w] τὴν] τῶν C. [x] ἄνθρωπος] αὐτὸς οὖν οὗτος ὁ διὰ τὴν κακιζομένην γλῶσσαν διαπτυόμενος, ἄνθρωπος ὢν K. [y] γυμνὸς—μόνον] τοσοῦτον γυμνὸς ὡς μηδὲ ὅτι π. ἔχειν, ὁ μὴ ταῦτα μόνον K. [z] δίψει] Sic C.I. ψύχει Edd. [a] δεσμοῖς] + γεγονὼς K. Sav. cet. Statim μετὰ γὰρ λ. iidem. [b] ἐβέβλητο] ἐγκέκλειστο K. [c] τίς οὖν λ.] λ. ἦν τοῦ δεσμοῦντος πολλῷ καὶ ἐπιδοξότερος K. [d] ᾄδουσι καθ' ἑ. ἡμέραν C. [e] μήπου C. Mox ἀλλὰ om. ante corr. K. [f] τίς—ἐπιδοξότερος] τίς τοίνυν λ. ἦν; τίς περιδοξότερος K. [g] καὶ om. Sav. cet. [h] ἴσχυεν K. [i] καὶ om. K. Sav. cet. [k] ὁ σκ. ὁ δ.] Sic C.I. Vet. ὁ δ. ὁ σκ. Edd. ὁ σκ. om. K. [l] πάντα C. Mox ἴσχυε idem.

μυρία παρέχοντα· καὶ τοσούτων ὄντων στρατοπέδων, οὐδὲν
ἴσχυσε. Τίς ἄρα λαμπρὸς ἦν; τίς σεμνός; ὁ ἐν δεσμοῖς νικῶν,
ἢ ὁ ἐν ἁλουργίδι νικώμενος; ὁ κάτω ἑστὼς καὶ βάλλων, ἢ ὁ ἄνω
καθήμενος καὶ βαλλόμενος; ὁ ἐπιτάττων καὶ καταφρονούμενος,
ἢ ὁ ἐπιταττόμενος καὶ [m]οὐδένα λόγον ἔχων τῶν ἐπιταγμάτων; ὁ
μόνος ὢν καὶ περιγινόμενος, ἢ ὁ μετὰ μυρίων στρατοπέδων ἡττώ-
μενος; [n]Ἀπήρχετο ὁ βασιλεὺς, τοῦ δεσμώτου κατ' αὐτοῦ τρό- D
παιον στήσαντος. Εἰπὲ οὖν μοι, ποίας ἂν τις [o]ἠβουλήθη
μερίδος εἶναι; Μὴ γάρ μοι τὰ μετὰ ταῦτα εἴπῃς, ἀλλὰ τέως
ἐκεῖνα ἐξέτασον· [p]τῆς ποίας μερίδος ἄν τις ἠθέλησεν εἶναι, τῆς
τοῦ Παύλου, ἢ τῆς τοῦ Νέρωνος; οὐ λέγω κατὰ τὸν τῆς πί-
στεως λόγον, τοῦτο γὰρ δῆλον, ἀλλὰ κατὰ τὸν τῆς δόξης καὶ
τῆς σεμνότητος καὶ τῆς λαμπρότητος. Εἴ τις εὐγνώμων, τοῦ
Παύλου ἔφησεν ἄν. Εἰ [q]γὰρ τὸ νικᾶν τοῦ νικᾶσθαι λαμπρό- E
τερον, [r]ἐκεῖνος ἐπίδοξος. Καὶ οὔπω [s]τοῦτο μέγα, ὅτι ἐνίκησεν,
ἀλλ' ὅτι ἐν τοιούτῳ σχήματι τὸν ἐν τοιούτῳ ἐνίκησε. Πάλιν
γὰρ ἐρῶ, καὶ οὐ παύσομαι τὰ αὐτὰ λέγων· ἅλυσιν περιέκειτο,
καὶ τὸν ἀναδεδεμένον τὸ διάδημα [t]ἔβαλλε. Τοιαύτη τοῦ Χρι-
στοῦ ἡ δύναμις· ἅλυσις τὸν στέφανον ἐνίκα τὸν βασιλικὸν, καὶ
λαμπρότερον τοῦτο ἐκείνου τὸ σχῆμα ἐδείκνυτο· ῥάκια περιέκειτο
[v]αὐχμῶντα, ἅτε δεσμωτήριον οἰκῶν, καὶ μᾶλλον τῆς ἁλουργίδος
πάντας ἐπέστρεφε πρὸς τὰ περικείμενα αὐτῷ δεσμά· ἐπὶ γῆς F
εἱστήκει κατεχόμενος [w]καὶ κάτω νεύων, καὶ τὸν ἐπ' ὀχήματος
χρυσοῦ ἅπαντες ἀφέντες ἐκείνῳ προσεῖχον· εἰκότως. Τὸ μὲν
γὰρ συνηθείας ἦν, βασιλέα ἰδεῖν [x]ἐπὶ ζεύγους καθήμενον λευκοῦ·
τοῦτο δὲ ξένον καὶ παράδοξον, δεσμώτην ὁρᾶν μετὰ τοσαύτης 684
παρρησίας βασιλεῖ διαλεγόμενον, μεθ' [y]ὅσης ὁ βασιλεὺς πρὸς
ἀνδράποδον οἰκτρὸν καὶ ταλαίπωρον. Ὄχλος περιειστήκει πο-
λὺς, καὶ δοῦλοι πάντες τοῦ βασιλέως ἦσαν· ἐθαύμαζον δὲ οὐ τὸν
δεσπότην [z]τὸν αὐτῶν, ἀλλὰ τὸν νικῶντα τὸν δεσπότην [a]τὸν
αὐτῶν· ὃν ἅπαντες ἐδεδοίκεσαν καὶ ἔτρεμον, τοῦτον μόνος ὢν
[b]κατεπάτει ἐκεῖνος.

[c]Εἶδες καὶ ἐν αὐτοῖς τοῖς δεσμοῖς πόση ἡ λαμπρότης; τί ἂν
τις εἴποι τὰ μετὰ ταῦτα; Ἐκείνου μὲν οὐδὲ τὸ μνῆμα δῆλον·

[m] μηδένα I. [n] ἀπήρχετο] + οὖν K. Sav. cet. [o] ἐβουλήθη K. [p] τῆς assumtum ex omnibus. [q] γὰρ] δὲ K. [r] ἐκεῖνος] ὁ δὲ πλέον ἔσχεν ἐκείνου, ὥσπερ ἐδείξαμεν, οὗτος K. [s] τοῦτο] τὸ ante corr. K. [t] ἔβαλε K. Sav. cet. Statim τοιαύτη γὰρ τοῦ I. [v] αὐχμῶντα] αὐχμῶν ἦν K. [w] καὶ om. C.I. erasum in K. [x] ἐπὶ ζ.] ἐπ' ὀχήματος ζ. I. [y] ὅσης] + ἂν C. Floril. p. 528. (Tom. xii. p. 664 D.] [z] τὸν om. K. Flor. [a] τὸν accessit ex C.I.K. Flor. Statim καὶ ὃν K. Sav. cet. [b] κατεπάτησεν I. [c] εἶδες καὶ] Sic C.K. εἶδε (sic) I. ἴδε Edd. vidisti Vet. Mox πολλὴ pro πόση I.

οὗτος δὲ πάντων βασιλέων [d]λαμπρότερον ἐν αὐτῇ κεῖται τῇ
B βασιλίδι, ἔνθα καὶ ἐνίκησεν, ἔνθα καὶ τὸ τρόπαιον ἔστησεν.
Ἐκείνου κἂν μνησθῇ τις, μετὰ ψόγου μέμνηται, καὶ τῶν [e]οἰκείων· καὶ γὰρ ἀσελγὴς λέγεται γεγενῆσθαι· τούτου μετ' εὐφημίας ἡ μνήμη πανταχοῦ, οὐ [f]παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ (348)
τοῖς ἐχθροῖς. [g]Ὅταν γὰρ ἐκλάμπῃ ἡ ἀλήθεια, [h]οὐδὲ οἱ ἐχθροὶ ἀναισχυντεῖν ἔχουσιν· εἰ γὰρ καὶ μὴ τῆς πίστεως ἕνεκεν αὐτὸν θαυμάζουσιν, ἀλλὰ τῆς παρρησίας, ἀλλὰ τῆς ἀνδρείας. Οὗτος ἐν τοῖς ἁπάντων στόμασι πανταχοῦ καθ' ἑκάστην ἡμέραν στε-
C φανούμενος ἀνακηρύττεται· ἐκεῖνος [i]δὲ βαλλόμενος ψόγοις καὶ κατηγορίαις. Ποῖα τοίνυν [k]τὰ λαμπρά; Ἀλλὰ γὰρ ἔλαθον ἀπὸ [l]τοῦ ὄνυχος τὸν λέοντα ἐπαινῶν, δέον τὰ ὄντως εἰπεῖν. Τίνα δὲ ταῦτά ἐστι; Τὰ ἐν τοῖς [m]οὐρανοῖς· πῶς ἥξει μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, μετὰ λαμπροῦ τοῦ σχήματος· πῶς ὁ Νέρων στήσεται τότε κατηφής, στυγνός. Εἰ δὲ δοκῶ σοι ἄπιστα λέγειν καὶ [n]καταγέλαστα, σὺ καταγέλαστος [o]εἶ. Εἰ γὰρ ἀπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν φθασάντων πίστευσον. Οὔπω τῶν στεφάνων ὁ καιρὸς, καὶ τοσαύτης ἀπέλαυσε τιμῆς ὁ ἀθλητής· ὅταν ὁ ἀγωνοθέτης [p]ἔλθῃ, πόσης [q]ἀπολαύσεται τιμῆς;
D Ἐν τοῖς ἀλλοτρίοις ξένος [r]ἦν καὶ παρεπίδημος, καὶ οὕτω θαυμάζεται· ὅταν ἐν τοῖς ἰδίοις ᾖ, τίνος οὐκ ἀπολαύσεται ἀγαθοῦ; Νῦν [7]"ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ," καὶ ὅμως τῶν ζώντων [s]μᾶλλον ὁ τεθνηκὼς ἐνεργεῖ καὶ τιμᾶται· ὅταν ἔλθῃ αὐτὴ ἡ ζωὴ ἡμῶν, τίνος οὐ μεθέξει; τίνος [t]οὐκ ἐπιτεύξεται; Διὰ τοῦτο ταύτης αὐτὸν τῆς τιμῆς [v]ἐποίησεν ἀπολαῦσαι ὁ θεὸς, οὐκ ἐπειδὴ ἐκεῖνος ἐδεῖτο. Εἰ γὰρ ἐν σώματι ὢν κατεφρόνει τῆς [w]παρὰ τῶν πολλῶν δόξης, πολλῷ μᾶλλον ἀπαλλαγεὶς τοῦ σώ-
E ματος. Οὐ διὰ τοῦτο δὲ ἐποίησεν αὐτὸν ἀπολαῦσαι μόνον, ἀλλ' ἵνα οἱ τοῖς μέλλουσιν ἀπιστοῦντες κἂν ἐκ τῶν παρόντων ἐνάγωνται. Λέγω ὅτι ἥξει Παῦλος μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, [x]ὅτε ἀνάστασις ἔσται, ὅτι μυρίων ἀπολαύσει τῶν ἀγαθῶν. Ἀλλ' οὐ [y]πιστεύει ὁ ἄπιστος· οὐκοῦν ἀπὸ τῶν παρόντων πι-

[7] Col. iii. 3.

[d] λαμπρότερον C.I. -ρος Edd. [e] οἰκείων]+ὢν K. Statim καὶ γὰρ καὶ ἀ. K. Sav. cet. [f] παρ'] Sic C.K. γὰρ Edd. [g] ὅταν γὰρ ἐκλ.] οὕτω λάμπει K. [h] οὐδὲ οἱ] ὅτι οὐδὲ K. [i] δὲ om. I. [k] τὰ om. C.I. [l] τοῦ om. C.K. inclusum a Sav. [m] οὐρανοῖς]+ἀγαθὰ C. [n] καταγελᾷς I.K. [o] εἶ]+γελῶν τὰ μὴ γέλωτος ἄξια K. Sav. cet. [p] ἔλθῃ C.K. Flor. Edebatur ἔλθοι. [q] ἀπ. τιμῆς] αὐτῆς ἀπ. K. τιμῆς eras. in I. [r] ἦν καὶ] Sic C.I. ἦν, ξένος καὶ K. Sav. cet. ἦν, ξένος ἦν καὶ Veron. Mox ἐπιτεύξεται pro ἀπολαύσεται K. [s] μᾶλλον ὁ τ. pro ὁ τ. μᾶλλον omnes. [t] οὐκ ἐπ.] οὐ κατατρυφήσει K. [v] ἐποίησεν ἀπ. pro ἀπ. ἐποίησεν omnes. [w] παρὰ om. K. Mox οὐ διὰ τοῦτο —μόνον om. idem. [x] ὅτε] Sic Edd. *quum* Vet. ὅτι Codd. [y] πιστεύει]+φησὶν K. Mox μελλόντων pro παρόντων idem.

στεύσει. [z]Λαμπρότερος τοῦ βασιλέως ὁ σκηνοποιὸς, ἐντιμότερος τοῦ βασιλέως· οὐδεὶς βασιλεὺς τῆς Ῥώμης γενόμενος, τοσαύτης ἀπέλαυσε τιμῆς· ἀλλ' ὁ μὲν βασιλεὺς ἐρριμμένος ἔξω που κεῖται, ὁ δὲ τὸ μέσον κατέχει τῆς πόλεως, καθάπερ [a]βασιλεύων καὶ ζῶν. F
Ἀπὸ τούτων πίστευσον καὶ περὶ τῶν μελλόντων. Εἰ ἐνταῦθα, ἔνθα ἠλαύνετο, ἔνθα ἐδιώκετο, τοσαύτης [b]ἀπέλαυσε τιμῆς, ὅταν ἔλθῃ, τί ἔσται; Εἰ ὅπου σκηνοποιὸς ἦν, οὕτως ἐγένετο λαμπρὸς, 685
ὅταν ἔλθῃ ἀντιλάμπων ταῖς ἡλιακαῖς ἀκτῖσι, τί ἔσται; Εἰ μετὰ τοσαύτης εὐτελείας, τοσαύτης μεγαλοπρεπείας περιεγένετο, ὅταν ἔλθῃ, [c]τί ἔσται; Μὴ ἔνι φυγεῖν τὰ πράγματα; Τίνα οὐκ ἐντρέπει τὸ τὸν σκηνοποιὸν ἐντιμότερον γενέσθαι τοῦ πάντων βασιλέων μᾶλλον θαυμασθέντος; Εἰ ἐνταῦθα τὰ ὑπὲρ φύσιν ἐγένετο, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. Πίστευσον, ἄνθρωπε, τοῖς παροῦσιν, [d]εἰ μὴ θέλεις τοῖς μέλλουσι· πίστευσον, ἄνθρωπε, τοῖς ὁρωμένοις, εἰ μὴ βούλει τοῖς ἀοράτοις· μᾶλλον δὲ πίστευσον τοῖς ὁρωμένοις· οὕτω γὰρ καὶ τοῖς ἀοράτοις πιστεύ- B
σεις. Εἰ δὲ οὐ θέλεις, εὔκαιρον τὸ τοῦ ἀποστόλου εἰπεῖν, [8]“[e]Καθαροὶ ἡμεῖς ἀπὸ τοῦ αἵματος ὑμῶν·” ἅπαντα γὰρ ὑμῖν διεμαρτυράμεθα, καὶ οὐδὲν [f]ἐνελίπομεν τῶν ὀφειλόντων λεχθῆναι· ὑμεῖς [g]ἑαυτοὺς αἰτιάσασθε, καὶ λογιεῖσθε τὴν ἐν τῇ γεέννῃ τιμωρίαν. [h]Ἡμεῖς δὲ, ὡς τέκνα ἀγαπητὰ, Παύλου μιμηταὶ [i]μὴ κατὰ τὴν πίστιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν βίον γενώμεθα. Ἵνα τύχωμεν δόξης ἐπουρανίου, [k]καταπατήσωμεν τὴν ἐνταῦθα δόξαν· μηδὲν ἡμᾶς [l]ἐφελκέσθω τῶν παρόντων ἁπάντων· καταφρονήσω- C
μεν τῶν ὁρωμένων, ἵνα τῶν οὐρανίων τύχωμεν· μᾶλλον δὲ καὶ τούτων [m]ἐπιτευξόμεθα δι' ἐκείνων, πλὴν προηγουμένως ἔστω ὁ σκοπὸς ἐκείνων ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(349)

ΛΟΓΟΣ Ε.

[1]Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ [a]ἀρνησόμεθα, κἀκεῖνος D
ἀρνήσεται ἡμᾶς· εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνή-

[8] Act. xx. 26. [1] Cap. II. v. 11—14.

[z] λαμπρ.] + φανεῖται K. [a] βασιλεύων] Sic C.K. Flor. βασιλεὺς I. βασιλεὺς ὢν Edd. [b] ἀπολαύει C. [c] τί ἔσται] τίνος οὐ (οὐ om. Mor. Ben.) περιέσται K. Sav. cet. [d] εἰ μὴ—μέλλουσι om. I. Veron. Mox ἄνθρωπε om. C.K. [e] καθαρὸς εἰμὶ ἀπὸ I. [f] ἐνέλειψε C. [g] ἑαυτοῖς K. [h] ἡμεῖς] ὑμεῖς omnes. Statim ὡς I. Vet. ὢ Edd. [i] μὴ] οὐ C. Mox γινόμεθα I. [k] καταπτύσωμεν I. [l] ἐφελκέτω K. [m] ἐπιτευξόμεθα C.K. –ξώμεθα Edd. Hom. V. [a] ἀρνησόμεθα] + αὐτὸν K.

σασθαι [b]*γὰρ ἑαυτὸν οὐ δύναται.* Ταῦτα *ὑπομίμνησκε, δια-*
μαρτυρόμενος ἐνώπιον τοῦ κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν
χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

ΠΟΛΛΟΙ *τῶν ἀσθενεστέρων ἀνθρώπων πρὸς μὲν τὸν τῆς*
E *πίστεως τόνον* [c]*οὐκ ἰσχύουσιν,* [d]*οὐδὲ τὴν ἀναβολὴν τῆς ἐλπίδος*
φέρουσι· τὰ παρόντα δὲ ἐπιζητοῦσι, καὶ ἀπὸ τούτων τὰ μέλ-
λοντα χαρακτηρίζουσιν. Ἐπεὶ *οὖν τὰ* [e]*μὲν ἐνταῦθα θάνατος*
ἦν, βάσανοι, δεσμά· [f]*αὐτὸς δέ φησιν, ὅτι εἰς ζωὴν αἰώνιον ἥξου-*
σιν· οὐκ ἂν δέ τις [g]*ἐπίστευσεν, ἀλλ' εἶπεν ἂν* [h]*ὅτι, ὅτε ζῶ, ἀπο-*
θνήσκω, καὶ ὅταν ἀποθάνω, ζῶ; ἐν τῇ γῇ μοι οὐδὲν [i]*ἐπαγγέλλῃ,*
καὶ ἐν τῷ οὐρανῷ δίδως; τὰ μικρὰ οὐ δίδως, καὶ τὰ μεγάλα
παρέχεις; [k]*ἵνα μηδεὶς ταῦτα ἐννοῇ, ἀναμφίβολον* [l]*ποιεῖται τὴν*
F *κατασκευὴν,* [m]*προκαταβάλλων μὲν αὐτὸ ἤδη, καὶ τεκμήρια δι-*
δούς· τὸ γὰρ, "Μνημόνευε Χριστὸν Ἰησοῦν *ἐγηγερμένον ἐκ*
νεκρῶν," τοῦτό ἐστιν, ὅτι μετὰ θάνατον [n]*ἀνέστη.* "Πιστὸς
[o]*οὖν ὁ λόγος,"* [p]*φησὶν, ὅτι ὁ ζωῆς οὐρανίου τυχὼν, καὶ αἰωνίου*
686 *τεύξεται.* [q]Πόθεν *πιστός;* "Εἰ *γὰρ συναπεθάνομεν,* [r]*φησὶ,*
καὶ συζήσομεν." Εἰπὲ *γάρ μοι, ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν*
αὐτῷ [s]*καὶ ἐν τοῖς κόπον ἔχουσι, καὶ ἐν τοῖς χρηστοῖς οὐκέτι;*
Ἀλλὰ *τοῦτο οὐκ ἂν οὐδὲ ἄνθρωπος ποιήσειε,* [t]*τὸν ἑλόμενον*
αὐτῷ συναποθανεῖν [v]*καὶ συνθλιβῆναι, εἴ ποτε ἐν ἀνέσει γένηται,*
[w]*οὐχ αἱρούμενος αὐτῷ γενέσθαι κοινωνόν.* Ποῦ *δὲ συναπεθά-*
νομεν; [x]Τοῦτον *λέγει τὸν θάνατον, τόν τε διὰ τοῦ λουτροῦ,*
καὶ τὸν διὰ τῶν παθημάτων· φησὶ γὰρ, [2]"Τὴν *νέκρωσιν τοῦ*
κυρίου ἐν τῷ σώματι περιφέροντες·" καὶ, "Συνετάφημεν *αὐτῷ*
B *διὰ τοῦ βαπτίσματος·"* [y]*καὶ,* "Ὁ *παλαιὸς ἡμῶν ἄνθρωπος*
συνεσταυρώθη·" καὶ, "Σύμφυτοι *γεγόναμεν τῷ ὁμοιώματι τοῦ*

[2] 2 Cor. iv. 10. Rom. vi. 4—6.

[b] *γὰρ* om. C. inclusum a Sav. [c] *οὐκ ἰσχύουσιν*] *ἀπαγορεύουσιν* K. Sav. cet. [d] *οὐδὲ*] *οὐ* (enatum e *καί*?) K. Mox *οὐ φέρουσι* idem. [e] *μὲν* om. in text. I. Mox *β. καὶ δεσμὰ* C. [f] *αὐτὸς δέ φ.*] *ὁ δὲ Χριστὸς ἔλεγεν* K. Statim *ὅτι ζωὴν αἰ. ἕξουσιν* I.K. [g] *ἐπίστευσεν*] + *ἁπλῶς* K. [h] *ὅτι ὅτε ζῶ*] Sic I. Veron. *ὅτι ὥσπερ τὰ ζῶα* C. Vet. *τί λέγεις; ὅτε ζῶ* K. Sav. cet. [i] *δίδως* pro *ἐπαγγέλλῃ* et hoc pro illo K. Mox *ὑπισχνῇ* pro *παρέχεις* K. [k] *ἵνα*] + *δὲ* I. + *τοίνυν* K. Sav. cet. [l] *ποιεῖται*] + *τούτου* I.K. Sav. cet. [m] *προκαταβαλὼν* C.I. *αὐτοὺς* pro *αὐτὸ* I. Statim *καὶ ἤδη* K. Sav. cet. [p] *ἀνέστη*] + *νῦν δὲ τὸ αὐτὸ πάλιν δηλῶν φησι* K. Sav. cet. [o] *οὖν* om. K. Sav. cet. [p] *φησὶν*] *πιστὸς, πῶς;* K. *φησὶν* om. Sav. cet. [q] *πόθεν πιστὸς* om. K. [r] *φησὶ* deest in nostris. [s] *καὶ—ἔχουσι* om. I.K. [t] *τὸν*] *ὥστε τὸν* K. Sav. cet. [v] *καὶ* om. I. Veron. [w] *οὐχ αἱρούμενος*] Sic Cat. *οὐκ ἀρνούμενος* I. Veron. *οὐ* (spatio relicto) C. *ἀρνήσασθαι* K. Sav. cet. Mox *κοινωνὸς* Veron. [x] *τοῦτον—φησὶ γὰρ*] *ἐν τῷ βαπτίσματι. συνετάφημεν γὰρ αὐτῷ, φησὶ, διὰ τοῦ βαπτίσματος· τοῦτον γοῦν καὶ καλεῖ θάνατον. οὐ μόνον δὲ τὸν διὰ τοῦ λ. θάνατον, ἀλλὰ καὶ τὸν διὰ π. οὕτω προσαγορεύει. φησὶ γὰρ, πάντοτε* K. Mox *καὶ συνετάφημεν—βαπτίσματος* om. idem. [y] *καὶ*] + *πάλιν* K.

θανάτου αὐτοῦ." Ἐνταῦθα δὲ [z]τὸν τῶν πειρασμῶν [a]λέγει μᾶλλον. Εἰ δι' αὐτὸν ἀπεθάνομεν, δι' αὐτὸν [b]οὐ ζησόμεθα; [c]Ἀναμφισβήτητον τοῦτό ἐστιν. "Εἰ ὑπομένομεν, [d]φησὶ, καὶ [e]συμβασιλεύσομεν." Οὐκ ἀρκεῖ τὸ ἅπαξ ἀποθανεῖν· καθ' [f]ἑκάστην ἡμέραν ἀπέθνησκεν ὁ μακάριος οὗτος· ἀλλὰ [g]δεῖ πολλῆς ὑπομονῆς, ἧς μάλιστα ἔδει Τιμοθέῳ. Μὴ γάρ [h]μοι τὰ πρῶτα C
εἴπῃς, ἀλλ' εἰ διαπαντός. [i]Εἶτα ἀπὸ τοῦ ἄλλου μέρους προτρέπει, οὐκ ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κακῶν. Εἰ γὰρ μέλλοιεν τῶν αὐτῶν μετέχειν καὶ οἱ πονηροὶ, οὐκ [k]ἔσται παράκλησις· καὶ εἰ μέλλοιεν ὑπομείναντες μὲν συμβασιλεύειν, μὴ ὑπομείναντες δὲ τοῦτο μόνον πάσχειν, τὸ μὴ συμβασιλεύειν, δεινὸν [l]μὲν καὶ τοῦτο, πλὴν ἀλλὰ τοὺς πολλοὺς οὐχ ἱκανὸν δακεῖν. [m]Διὸ τὸ φοβερώτερον λέγει· "Εἰ ἀρνησόμεθα αὐτὸν, κἀκεῖνος ἀρνήσεται ἡμᾶς." [n]Οὐκ ἐν τοῖς χρηστοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις αἱ [o]ἀμοιβαί. Τὸν δὲ ἀρνηθέντα ἐν τῇ D
βασιλείᾳ αὐτοῦ ἐννοήσατε τί παθεῖν εἰκός. [3]"Ὃς [p]ἀρνήσεταί με, φησὶν, ἀρνήσομαι κἀγὼ αὐτόν." Οὐκ ἐξ ἴσης ἡ [q]ἀντίδοσις. [r]Ἄλλως δὲ οὐδὲ βλάπτομεν αὐτόν. "Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται." [s]Τουτέστιν, E
εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, οὐδὲν ἀπὸ τούτου βλάπτεται ἐκεῖνος· ἀληθής [t]ἐστι, βέβαιός ἐστιν, ἄν τε εἴπωμεν, ἄν τε μὴ εἴπωμεν.
(350) Εἰ τοίνυν οὐδὲν παρ' ἡμῶν βλάπτεται τῶν ἀρνουμένων, δι' οὐδὲν ἕτερον ἀπαιτεῖ τὴν ὁμολογίαν ἡμῶν, ἀλλ' ἢ διὰ [v]τὸ χρήσιμον. Ἐκεῖνος γὰρ ὁ αὐτὸς μένει καὶ ἀρνουμένων καὶ μὴ ἀρνουμένων· "Ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται·" τούτεστι, μὴ εἶναι. Ἡμεῖς [w]λέγομεν ὅτι οὐκ ἔστιν, εἰ [x]καὶ τὸ πρᾶγμα οὕτως ἔχει. F

3 Matth. x. 33.

[z] τὸν] καὶ τὸν Edd. καὶ om. I. Cat. Vet. [a] λέγει μᾶλλον. εἰ] Sic C. Cat. favente Vet. λέγει. μᾶλλον δὲ εἰ I. Veron. λέγει· μᾶλλον δὲ τοῦτον· καὶ γὰρ ἐν πειρασμοῖς ἦν, ὅτε ταῦτα ἔγραψεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ K. Sav. cet. [b] οὐ ζ.] εὐξησόμεθα I. [c] ἀναμφ.] εὔδηλον· οὐκοῦν ἀναμφίβολον K. [d] φησὶ om. K. [e] συμβασ.] + οὐχ ἁπλῶς εἶπε, συμβασ. ἀλλ', εἰ ὑπομένομεν, δεικνὺς ὅτι K. Sav. cet. [f] ἑκάστην] + γὰρ K. [g] δεῖ] + καὶ K. [h] μοι] + φησὶ K. Sav. cet. Mox ἀλλ' ἀεὶ δ. C. ἀλλ' ἢ δ. I. [i] εἶτα] + καὶ K. Sav. cet. [k] ἔσται] ἔστι I. ἔστι τοῦτο K. Sav. cet. [l] μὲν] + γὰρ K. Mox δάκνειν C. [m] διὸ] διὰ I. [n] οὐκ] ἄρα οὐκ K. Sav. cet. [o] ἀμοιβαί.] + τίνες δέ εἰσιν αὗται; ἄρνησις ἐν τῇ βασιλείᾳ K. [p] ἀρνήσεται] ἐὰν ἀρνήσηται K. Sav. cet. [q] ἀντίδοσις] + εἰ καὶ οὕτω λέγων δοκεῖ· ἡμεῖς μὲν γὰρ ἄνθρωποι οἱ ἀρνούμενοι, ἐκεῖνος δὲ θεός· ὅσον (ὅσῳ K.) δὲ τὸ μέσον θεοῦ καὶ ἀνθρώπων τί δεῖ λέγειν; K. Sav. cet. [r] ἄλλως] εἶτα ἄλλως C.I. Statim οὐ pro οὐδὲ I. ἄλλως—αὐτὸν] ἄλλως δὲ ἡμεῖς ἐντεῦθεν ἑαυτοὺς βλάπτομεν, ἐκεῖνον δὲ οὐδαμῶς, οὐδὲ δυνάμεθα. διὰ τοῦτο καὶ ἐπήγαγε τὸ αὐτὸ δηλῶν K. Sav. cet. [s] τουτέστιν—οὐ δύναται om. C.I. [t] ἐστι, β. ἐστιν] γάρ ἐστι καὶ β. K. [v] τὸ] + ἡμῖν K. Sav. cet. invita Cat. [w] λέγομεν] κἂν λέγωμεν K. [x] καὶ] + μὴ Sav. cet. repugnantibus libris et Vet.

[y]Οὐκ ἔχει φύσιν μὴ εἶναι· οὐ δυνατὸν τοῦτ' ἔστιν, εἰς τὸ μὴ εἶναι
[z]ἀναχωρῆσαι· ἀεὶ μένει, ἀεὶ ἔστιν αὐτοῦ ἡ ὑπόστασις. Μὴ
687 τοίνυν ὡς χαριζόμενοι αὐτῷ, οὕτω [a]διακεώμεθα, ἢ ὡς καταβλά-
πτοντες. Εἶτα, ἵνα μή τις νομίσῃ τὸν Τιμόθεον τούτων δεῖ-
σθαι, ἐπήγαγε· "Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον
τοῦ κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ
τῶν ἀκουόντων." Φοβερὸν τοῦτο τὸ ἐπὶ μάρτυρος τοῦ θεοῦ
λέγειν [b]τότε παραδοῦναι αὐτόν. Εἰ γὰρ ἀνθρώπου μαρτυρίαν
[c]καλουμένην οὐκ ἄν τις τολμήσειεν ἀθετῆσαι, πολλῷ μᾶλλον
θεοῦ. Οἷόν τι λέγω· εἴ τις συνθήκας τιθέμενος ἢ [d]διαθήκας γρά-
φων βούλεται ἀξιοπίστους μάρτυρας καλέσαι, ἆρα τολμήσει
B τις ἀναθέσθαι ἐκεῖνα τῶν ἔξωθέν τινι; Οὐδαμῶς· κἂν βούληται,
δεδοικὼς τὸ τῶν μαρτύρων ἀξιόπιστον, φυλάττεται. [e]Τουτέστι,
μάρτυρα καλεῖ [f]τὸν θεὸν τούτων τῶν λεγομένων, τῶν πραττο-
μένων. "Μὴ [g]λογομαχεῖν εἰς οὐδὲν χρήσιμον." Οὐ τοῦτο μό-
νον, ἀλλὰ καί, "ἐπὶ καταστροφῇ τῶν ἀκουόντων." [h]Οὐ μόνον
οὐδὲν κέρδος, ἀλλὰ καὶ βλάβη πολλή. [i]Τουτέστι, κἂν κατα-
φρονῶσιν, ὁ θεὸς αὐτοὺς κρινεῖ. [k]Λίχνον γὰρ τὸ πρᾶγμα, καὶ
ἀεὶ βούλεται ἡ ἀνθρωπίνη ψυχὴ [l]μάχεσθαι καὶ λογομαχεῖν.
C [4]"Σπούδασον σεαυτὸν [m]δόκιμον παραστῆσαι τῷ θεῷ, ἐρ-
γάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας."
[n]Πανταχοῦ τὸ ἀνεπαίσχυντον. Τί [o]δήποτε πολλὴν περὶ τῆς
αἰσχύνης ποιεῖται τὴν σπουδήν; Ἐπειδὴ εἰκὸς ἦν πολλοὺς ἐπαι-
σχύνεσθαι καὶ τὸν Παῦλον αὐτόν, ἅτε σκηνοποιὸν ὄντα, καὶ τὸ
κήρυγμα, ὡς τῶν διδασκάλων ἀπολλυμένων· ὁ Χριστός, [p]φησίν,
ἐσταυρώθη, οὗτος ἔμελλεν ἀποκεφαλίζεσθαι, ὁ Πέτρος [q]κάτωθεν
D ἀνεσκολοπίσθη, [r]καὶ παρὰ ἀνθρώπων καταπτύστων καὶ ἰταμῶν·

4 v. 15.

[y] οὐκ ἔχει—τοῦτ' ἔστιν] οὐδὲ γὰρ οἴδαμεν τί τὴν οὐσίαν ἐστίν, ὅμως οὐκ ἔχει φ. τουτέστιν, οὐ δυνατὸν K. [z] ἀναχ.] χωρῆσαι K. αὐτὸν χ. Sav. cet. [a] διακεισώμεθα I. [b] Haec τότε π. αὐτὸν (+τῷ θεῷ K.) accesserunt ex C.I.K. Cat. Vet. [c] καλουμένην] γεγενημένην K. [d] διαθήκην I.K. Post γράφων pergit ἐπ' ὄψει ἀξιοπίστων μαρτύρων· εἰπέ μοι K. sed quorumnam verborum vice non constat. [e] τουτέστι] τί ἐστι, διαμαρτυρόμενος K. Sav. cet. [f] τὸν θεὸν] φησὶ K. Statim τούτων om. K. Sav. cet. [g] λογομάχει K. [h] οὐ μόνον οὐδὲν κ.] ἐπάγει, δεικνὺς ἐνταῦθα ὅτι οὐδὲν κέρδος ἐκ τούτου K. οὐ μ. οὐδὲν ἐκ τούτου κ. Sav. cet. [i] τουτέστι] ταῦτα τοίνυν ὑπομίμνησκε K. Sav. cet. [k] λίχνον—ἀεὶ] τί δήποτε καὶ περὶ τοῦ μὴ λογομαχεῖν παραινεῖ; οἶδεν ὅτι λίχνον τὸ πρ. καὶ ὅτι ἀεὶ iidem. [l] μάχεσθαι καὶ λ.] μάχεσθαι (+καὶ λ. Sav. cet.). ἵν' (ἵνα Sav. cet.) οὖν τοῦτο μὴ γίνηται, οὐχ ἁπλῶς φησι μὴ λογομαχεῖν, ἀλλὰ φοβερώτερον τὸν λόγον ποιῶν ἐπήγαγεν, ἐπὶ κ. τῶν ἀ. iidem. [m] δοκίμιον C. [n] πανταχοῦ—δήποτε om. I. [o] δήποτε] χάριν K. Mox παραγγελίαν pro τὴν σπουδὴν idem. [p] φησὶν] γὰρ K. Sav. cet. [q] κάτωθεν] κάτω καρατομούμενος I. [r] καὶ]+ταῦτα ἔπαθον K. Sav. cet.

ἐπειδὴ οὖν οὗτοι ἐκράτουν, μὴ ἐπαισχυνθῇς, [s]φησὶ, μηδὲν ὅλως
αἰσχύνου πράττειν τῶν εἰς εὐσέβειαν ἡκόντων, κἂν δουλεῦσαι
δέῃ, κἂν ὁτιοῦν παθεῖν. Πῶς [t]δὲ γίνεταί τις δόκιμος; Ἐργάτης
[v]ὢν ἀνεπαίσχυντος. [w]Ὁ ἐργάτης οὐδὲν αἰσχύνεται πράττειν·
οὕτως οὐδὲ ὁ τοῦ εὐαγγελίου ἐργάτης· πάντα γὰρ ὑφίστασθαι
δεῖ. "Ὀρθοτομοῦντα τὸν λόγον τῆς [x]ἀληθείας." Πολλοὶ γὰρ
αὐτὸν παρασπῶσι πάντοθεν καὶ παρέλκουσι· πολλὰ ἔχει [y]ἐπι-
φυόμενα. Οὐκ εἶπεν, ἀπευθύνοντα, ἀλλ', "ὀρθοτομοῦντα·"
[z]τουτέστι, τέμνε τὰ νόθα, καὶ τὰ τοιαῦτα μετὰ πολλῆς τῆς E
σφοδρότητος ἐφίστασο καὶ ἔκκοπτε· καθάπερ ἐπὶ ἱμάντος τῇ
μαχαίρᾳ τοῦ πνεύματος πάντοθεν τὸ περιττὸν καὶ ἀλλότριον
τοῦ κηρύγματος [a]ἔκτεμνε. [5] "Τὰς δὲ βεβήλους [b]καινοφωνίας
περιΐστασο." [c]Οὐδὲ γὰρ μέχρι τούτου στήσονται. Ὅταν γάρ
τι καινὸν ἐπεισενεχθῇ, ἀεὶ καινοτομίας τίκτει· καὶ ἄπειρος ἡ
πλάνη τοῦ ἐξελθόντος τὸν λιμένα τὸν εὔδιον, καὶ [d]οὐδαμοῦ
στήσεται. "Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, [e]φησὶ,
[6]καὶ ὁ λόγος αὐτῶν, ὡς γάγγραινα, νομὴν ἕξει." [f]Ἀκάθεκτον F
κακὸν, οὐκέτι ἰατρείᾳ κατασχεθῆναι δυνάμενον, ἀλλὰ τὸ πᾶν
[g]λυμαίνεται. [h]Δείκνυσιν ὅτι νόσος ἐστὶ, νόσος χαλεπωτέρα.
[i]Ἐνταῦθα τὸ ἀδιόρθωτον αὐτῶν δηλοῖ, καὶ ὅτι [k]οὐχ ἁπλῶς, 688
ἀλλ' ἑκόντες ἀπεπλανήθησαν· [l]μάλιστα οὗτοί εἰσιν ἀδιόρθωτοι.
"[7]Ὧν ἐστιν Ὑμέναιος καὶ Φίλητος, [m]φησὶν, [7]οἵτινες περὶ τὴν
ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι,
καὶ ἀνατρέπουσι τήν τινων πίστιν." [n]Καὶ καλῶς εἶπεν, "ἐπὶ
(351) πλεῖον προκόψουσι·" δοκεῖ [o]γὰρ τοῦτο μόνον εἶναι τὸ δεινόν·
ὅρα δὲ πόσα ἐξ αὐτοῦ τίκτεται [p]δεινά. Εἰ γὰρ ἤδη ἡ ἀνάστα-
σις, οὐ τοῦτο μόνον ζημιούμεθα, ὅτι τῆς μεγάλης [q]ἐκείνης δόξης
ἀπεστερήμεθα, [r]ἀλλὰ καὶ τὰ τῆς κρίσεως ἀνῄρηται, εἰ ἤδη γέ-

[5] v. 16. [6] v. 17. [7] v. 18.

[s] φησὶ] + τουτέστι iidem. Statim μηδὲ ὅ. I. [t] δὲ om. K. Post δόκιμος add. ἑρμηνεύων φησὶν idem. [v] ὢν om. C.I. [w] ὁ] ὥσπερ ὁ K. [x] ἀληθείας] + καλῶς οὕτως (τοῦτο pro οὕτως Sav. cet.) εἶπε K. Sav. cet. [y] ἐπ. οὐκ] τὰ ἐπ. καὶ οὐκ iidem. [z] τουτέστι—πολλῆς] δηλῶν διὰ τούτου, ὅτι δεῖ τέμνειν τὰ ν. τῶν τοιούτων. μετὰ πολλῆς τοίνυν K. [a] ἔκτεμνε] Sic Edd. ἔκκοπτε C.I. Neutrum habet K. [b] κενοφ. C.I. [c] οὐδὲ γὰρ] διὰ τί; ὅτι οὐ K. [d] οὐδαμοῦ στήσεται (ἵσταται C. Cat.)] δεικνὺς πῶς οὐδαμοῦ στήσονται, ἐπάγει K. [e] φησὶ om. K. [f] ἀκάθεκτον—λυμαίνεται] τί δήποτε τοῦτό φησιν; ἀκαθ. οἶδε τὸ τοιοῦτο κακόν. ἅπαξ γὰρ ἁψάμενον σώματος, οὐκέτι ἰ. κ. δύναται, ἀλλὰ τῷ παντὶ λ. K. [g] λυμαίνεται—χαλεπωτέρα] λυμαίνεσθαι δείκνυσιν I. [h] δείκνυσιν] + ἐνταῦθα C.K. Statim ὅτι ν. ἐστὶν ἡ καινοφωνία, μᾶλλον δὲ νόσου χαλεπωτέρα K. Sav. cet. [i] ἐνταῦθα τὸ ἀ.] τὸ ἀ. δὲ C. διὰ τούτου δὲ καὶ τὸ ἀ. K. [k] οὐχ ἁπλῶς] οὐκ ἀνάγκῃ K. [l] μάλιστα] ὅθεν καὶ μ. K. Sav. cet. [m] φησὶν om. K. [n] καὶ assumtum ex C.I. Vet. [o] γὰρ] μὲν γὰρ K. Sav. cet. [p] τὰ δεινά C. δεινὰ om. K. Sav. cet. invita Cat. [q] ἐκείνης δ. pro δ. ἐκείνης omnes. [r] ἀλλὰ] ἀλλ' ὅτι K. ἀλλὰ ὅτι Sav. cet. Mox εἰ ἤδη γέγονε om. K.

B γονε, καὶ τὰ τῆς ἀντιδόσεως. Εἰ γὰρ [s]ἤδη ἡ ἀνάστασις, [t]καὶ ἡ ἀνταπόδοσις. Οὐκοῦν ἀπέλαυσαν μὲν οἱ ἀγαθοὶ τῶν θλίψεων καὶ τῶν ὀδυνῶν· [v]κολάζονται δὲ οἱ πονηροὶ, καλῶς γε, [w]οὐ γάρ; ἐν τρυφῇ ὄντες πολλῇ. Βέλτιον ἦν εἰπεῖν, ὅτι οὐκ ἔστιν ἀνάστασις, ἢ ὅτι ἤδη [x]ἐστίν. "Καὶ ἀνατρέπουσι, φησὶ, τήν τινων πίστιν." Οὐ πάντων, ἀλλὰ, τινῶν. Εἰ γὰρ ἀνάστασις οὐκ ἔστι, καὶ τὰ τῆς πίστεως [y]ἀνατέτραπται· εἰ ἀνάστασις οὐκ ἔστι, κενὸν [z]τὸ κήρυγμα ἡμῶν, [a]οὐδὲ Χριστὸς ἀνέστη· εἰ δὲ μὴ ἀνέστη, οὐδὲ ἐγεννήθη, οὐδὲ εἰς οὐρανοὺς ἀνῆλθεν. Ὁρᾷς πῶς δοκεῖ μὲν
C τῷ τῆς ἀναστάσεως ἐναντιοῦσθαι λόγῳ, πολλὰ δὲ συνεφέλκεται δεινά; [b]Τί οὖν; φησίν· οὐδὲν δεῖ ποιεῖν ὑπὲρ τῶν ἀνατρεπομένων; [8]"Ὁ μέντοι, φησὶ, στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ· καὶ, Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κυρίου." Δείκνυσιν ὅτι καὶ [c]πρὶν ἀνατραπῆναι οὐκ ἦσαν βέβαιοι· οὐ γὰρ [d]ἂν ἀνετράπησαν ἀπὸ τῆς πρώτης προσβολῆς, ὥσπερ οὖν [e]οὐδὲ
D Ἀδὰμ πρὸ τῆς ἐντολῆς βέβαιος ἦν. Οἱ [f]γὰρ πεπηγότες οὐ μόνον οὐδὲν πάσχουσιν ὑπὸ τῶν ἀπατεώνων, ἀλλὰ καὶ θαυμάζονται. Καὶ στερεὸς, φησὶ, καὶ θεμέλιος. Οὕτως ἔχεσθαι δεῖ τῆς πίστεως. "Ἔχων τὴν σφραγῖδα ταύτην· Ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ." Τί ἐστι τοῦτο; Ἀπὸ τοῦ Δευτερονομίου αὐτὸ ἔλαβε. Τουτέστιν, αἱ στερεαὶ ψυχαὶ [g]ἑστήκασι πεπηγυῖαι καὶ ἀκίνητοι. [h]Πόθεν δὲ [i]δῆλαί εἰσιν; Ἀπὸ τοῦ τὰ γράμματα ταῦτα [k]ἔχειν ἐπὶ τῶν πραγμάτων, ἀπὸ τοῦ γνωρίζεσθαι [l]ὑπὸ τοῦ θεοῦ, καὶ μὴ συμπαραπόλλυσθαι, [m]ἀπὸ τοῦ ἀφεστάναι ἀπὸ ἀδικίας. "Καὶ, Ἀποστήτω, φησὶν, ἀπὸ ἀδικίας πᾶς ὁ
E ὀνομάζων τὸ ὄνομα κυρίου." Ταῦτα [n]τὰ γνωρίσματα τοῦ θεμελίου· [o]καθάπερ θεμέλιος στερεὸς δείκνυται. Ὡς ἄν τις ἐπὶ

8 v. 19.

[s] ἤδη] γέγονεν ἤδη K. ἤδη γέγονεν Sav. cet. [t] καὶ] γέγονε καὶ K. Sav. cet. [v] κολ.] οὐ κολ. iidem, invita Cat. [w] οὐ γάρ;] Sic C. Veron. οἱ γὰρ I. οἱ K. Sav. cet. οὐ γὰρ om. Cat. [x] ἐστὶν] Sic C.I. γέγονε Edd. [y] ἀνατρέπεται C. [z] τὸ] καὶ τὸ I.K. [a] οὐδὲ] οὐκοῦν οὐδὲ K. [b] τί οὖν;—ἀνατρεπομένων] ταῦτα μὲν περὶ τῶν ἀνατρεπομένων· περὶ δὲ τῶν οὐ τοιούτων τί φησιν K. Mox φησὶ om. idem. [c] πρὶν]+ἢ C. [d] ἂν om. I. ἂν ἐτράπησαν Cat. Mox τῆς om. C. Cat. [e] οὐδὲ Ἀ.] Sic C. Cat. Vet. ὁ Ἀ. Edd. ὥσπερ οὖν οὐδὲ Ἀ.] οὐκοῦν οἱ ἑστῶτες βέβαιοι, ὥσπερ καὶ ὁ Ἀδὰμ K. Mox οὐ βέβαιος I. [f] γὰρ om. K. Mox ἀπατώντων Cat. [g] ἑστήκεσαν I. [h] πόθεν] ποῖαι I. [i] δῆλαι] δῆλον ὅτι τοιαῦται K. [k] ἔχειν]+ἀπὸ τοῦ ἐπιδείκνυσθαι αὐτὰ K. [l] ὑπὸ] ἀπὸ I. et ante corr. C. [m] ἀπὸ] καὶ ἀπὸ I. Cat. Veron. Haec ἀπὸ—ἀδικίας ante καὶ μὴ συμπ. transp. K. [n] τὰ om. I. [o] καθάπερ—ἐμπεπηγμένην] ὁ τοιοῦτος, καθάπερ θ. στ. πέπηγεν, ἔχων τὴν σφ. τ. ἐμπεπηγμένην. καλῶς εἶπε σφραγῖδα. ὡς γὰρ ἄν τις ἐπὶ λ. ἐπιγράψειε, διὰ τοῦτο ἐπιγράφει, ἵνα ᾖ τὰ γρ. τι σημαίνοντα. οὕτως ὁ ἐν ἑαυτῷ ἐπιγράφων ταῦτα τὰ γρ. δι' ἔργων ἐπιδείκνυσθαι δεῖ K.

λίθον ἐπιγράψειεν, ἵνα ᾖ τὰ γράμματα σημαίνοντα· [p]τὰ δὲ
γράμματα ταῦτα δι' ἔργων δείκνυται. " Ἔχων, φησὶ, τὴν
σφραγῖδα ταύτην" ἐμπεπηγμένην. "[q]Πᾶς ὁ ὀνομάζων, φησὶ,
τὸ ὄνομα [r]κυρίου." Ὥστε ὅταν ᾖ τις ἄδικος, οὐκ ἔστι τοῦ θεμε-
λίου. Ὥστε καὶ τοῦτο σφραγῖδος, τὸ μὴ πράττειν ἄδικα.
[s]Μὴ τοίνυν τὸ σήμαντρον τὸ βασιλικὸν καὶ τὸ γνώρισμα F
ἀποθώμεθα, ἵνα μὴ ἀσφράγιστοι ὦμεν, ἵνα μὴ σαθροὶ, ἵνα
θεμέλιοι ὦμεν, καὶ θεμέλιοι στερεοὶ, ἵνα μὴ περιφερώμεθα.
Τοῦτο δείκνυσι τοὺς τοῦ θεοῦ, [t]τοὺς ἀφισταμένους ἀπὸ ἀδικίας.
Πῶς γάρ τις τοῦ θεοῦ [v]δύναται εἶναι δικαίου ὄντος, ὁ ἄδικα
ποιῶν, ὁ μαχόμενος αὐτῷ διὰ τῶν ἔργων, καὶ ὑβρίζων αὐτὸν 689
διὰ τῶν πράξεων; Πάλιν ἡμεῖς τῆς ἀδικίας κατηγοροῦμεν, καὶ
πάλιν πολλοὺς ἔχομεν τοὺς ἀπεχθανομένους. Ὥσπερ γὰρ τύ-
ραννός τις τὰς ἁπάντων κατέλαβε ψυχὰς τοῦτο τὸ πάθος· καὶ
τὸ δεινὸν, ὅτι οὐκ ἀνάγκῃ οὐδὲ βίᾳ, ἀλλὰ πειθοῖ καὶ προσηνείᾳ,
καὶ χάριν ἴσασι τῆς δουλείας ταύτης. Τοῦτο [w]γὰρ τὸ δεινόν·
ὡς εἴγε βίᾳ κατείχοντο καὶ μὴ [x]ἀγάπῃ, ταχέως [y]ἂν ἀπέστησαν.
[z]Πόθεν ἡδὺ τὸ πρᾶγμα εἶναι δοκεῖ, σφόδρα πικρὸν ὄν; [a]πόθεν
πικρὸν ἡ δικαιοσύνη, σφόδρα ἡδὺ ὄν; Παρὰ τὰ αἰσθητήρια τὰ
ἡμέτερα. Οὕτω γοῦν καὶ μέλι πικρὸν ἐνόμισάν τινες, καὶ ἄλλο B
τι τῶν βλαβερῶν μετὰ ἡδονῆς προσήκαντο. Τὸ δὲ αἴτιον οὐ
παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν τῶν κακουμέ-
νων διαστροφήν. [b]Νοσεῖ τὸ κριτήριον τῆς ἡμετέρας ψυχῆς.
Ἐπεὶ καὶ ζυγὸς ἐὰν ἔχῃ παρασαλευομένην τὴν πλάστιγγα, οὐ
κρίνει δικαίως τὰ [c]σταθμητὰ περιφερόμενος. Καὶ ψυχὴ ἐὰν μὴ
ἔχῃ τὴν πλάστιγγα τῶν οἰκείων λογισμῶν πεπηγυῖαν καὶ προσ-
ηλωμένην ἀσφαλῶς τῷ [d]φόβῳ τοῦ θεοῦ, οὐ [e]δυνήσεται κρῖναι
καλῶς τὰ πράγματα, ἀλλὰ περιφέρεται καὶ καθέλκεται. [f]Ἐπεὶ C
εἴ τις ἀκριβῶς ἐξετάσειε, πολλὴν ὄψεται τῆς ἀδικίας τὴν πι-
κρίαν, οὐ τοῖς πάσχουσιν, ἀλλὰ τοῖς ποιοῦσι, καὶ τούτοις μᾶλ-
λον ἢ ἐκείνοις. Καὶ μήπω περὶ τῶν μελλόντων, ἀλλὰ τέως περὶ
τῶν ἐνταῦθα διαλεχθῶμεν. Οὐχὶ μάχας ἔχει, καὶ δικαστήρια,
[g]καὶ κατάγνωσιν, καὶ φθόνον, καὶ κακηγορίαν; τί τούτων πι-
(352) κρότερον; οὐχὶ ἀπεχθείας; οὐχὶ πολέμους; οὐχὶ κατηγορίας;

[p] τὰ δὲ γρ. om. C. Mox δείκνυνται I. [q] πᾶς] καὶ πᾶς K. Mox φησὶ om. idem. [r] κυρίου]+ἀποστήτω ἀπὸ ἀδικίας K. Sav. cet. [s] ΗΘΙΚΟΝ. Κατὰ πλεονεξίας, καὶ ὅτι μεγάλη ἐστὶ τῷ πλεονέκτῃ καὶ διηνεκὴς βάσανος, ἡ ἀπὸ τοῦ συνειδότος. Veron. [t] τοὺς om. K. [v] δ. εἶναι] εἶναι δ. I.K. ὄντως pro ὄντος I. [w] γὰρ τὸ] ὄντως K. γὰρ ὄντως τὸ Sav. cet. [x] ἀγάπῃ] ἀπάτῃ I.K. [y] ἂν]+καὶ C. [z] καὶ πόθεν Sav. cet. καὶ deest in omnibus. [a] πόθεν]+δὲ Edd. invitis libris. [b] νοσεῖ] Sic C.K. Vet. notante Halesio. Edebatur νόει. [c] ἀστάθμητα I. [d] φόβῳ] Sic libri omnes et Vet. νόμῳ Edd. [e] δύναται K. [f] ἐπεὶ] καὶ K. [g] καὶ] οὐχὶ K.

οὐ τὸ συνειδὸς μαστίζον ἡμᾶς συνεχῶς καὶ δάκνον; Ἐβουλόμην,
D εἴγε δυνατὸν ἦν, ἐξελκῦσαι τοῦ σώματος τὴν ψυχὴν τοῦ ἀδίκου,
[h]καὶ εἶδες ἂν αὐτὴν ὠχρὰν, τρέμουσαν, αἰσχυνομένην, [i]ἐγκαλυ-
πτομένην, ἀγωνιῶσαν, καταδικάζουσαν ἑαυτήν. Κἂν γὰρ εἰς
αὐτὸν τὸν πυθμένα τῆς κακίας [k]καταπέσωμεν, τὸ κριτήριον τοῦ
νοῦ οὐ διαφθείρεται, ἀλλ' ἕστηκεν ἀδέκαστον· καὶ οὐδεὶς καλὸν
εἶναι λέγων τὴν ἀδικίαν μετέρχεται, ἀλλὰ προφάσεις [l]πλάττει,
καὶ πάντα ποιεῖ, ὥστε κἂν διὰ ῥημάτων ἀποδύσασθαι τὸ ἔγ-
κλημα· ἀλλ' οὐχὶ καὶ ἀπὸ τοῦ συνειδότος [m]δυνήσεται. Ἐν-
ταῦθα μὲν γὰρ καὶ κομψεία λόγων, καὶ ἀρχόντων διαφθορὰ, καὶ
E πλήθη κολάκων [n]δυνήσεται συσκιάσαι τὸ δίκαιον· ἔνδον δὲ ἐν τῷ
συνειδότι οὐδὲν [o]τούτων γίνεται, [p]οὐ πάρεισι κόλακες, οὐ [q]πάρ-
εστι χρήματα τὸν κριτὴν διαφθείροντα· φυσικῶς γὰρ [r]ἡμῖν
ἔγκειται τὸ κριτήριον παρὰ τοῦ θεοῦ· [s]τὸ δὲ παρὰ τοῦ θεοῦ
οὐδὲν ἂν πάθοι τοιοῦτο. [t]Ἀλλὰ καὶ ὕπνοι ἀηδεῖς, καὶ φαντα-
σίαι, καὶ συνεχῶς εἰς μνήμην ἐρχόμενον τὸ κακὸν λυμαίνεται τὴν
ἀνάπαυσιν ἡμῶν. [v]Οἷον, οἰκίαν τις [w]ἀφείλετο ἀδίκως τινός·
F [x]οὐχὶ ὁ ἀποστερούμενος στένει μόνον, ἀλλὰ καὶ ὁ ἀποστερήσας·
[y]ἐὰν μὲν ᾖ περὶ τῆς κρίσεως πεπεισμένος, εἴγε τις πέπεισται, καὶ
σφοδρῶς στένει καὶ [z]ὀδύρεται· ἐὰν δὲ μὴ πιστεύῃ τοῖς μέλλουσι,
καὶ οὕτως ἐρυθριᾷ αἰσχυνόμενος. Μᾶλλον δὲ, οὐκ ἔστιν ἄνθρω-
πος, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος, κἂν αἱρετικὸς, ὃς περὶ [a]κρίσεως
690 οὐ δέδοικε· κἂν μὴ περὶ τῶν μελλόντων φιλοσοφῇ, ἀλλὰ τὰ ἐν-
ταῦθα δέδοικε καὶ τρέμει, μὴ εἰς χρήματα ἀπολάβῃ μειζόνως, μὴ
εἰς τέκνα, μὴ εἰς οἰκείους, μὴ εἰς [b]ψυχήν· καὶ γὰρ πολλὰ τοι-
αῦτα ποιεῖ ὁ θεός. Ἐπειδὴ γὰρ οὐκ ἰσχύει ὁ τῆς ἀναστάσεως
λόγος [c]σωφρονίσαι πάντας, καὶ ἐνταῦθα τῆς αὐτοῦ δικαιοκρισίας
πολλὰ ἡμῖν τεκμήρια παρέχεται καὶ εἰς μέσον φέρει· ὁ δεῖνα
πλεονεκτήσας οὐκ ἔσχε [d]παιδία, ὁ δεῖνα ἐν τῷ πολέμῳ ἔπεσεν,
ἄλλος τὸ [e]σῶμα ἐπηρώθη, ἕτερος παῖδα ἀπέβαλε. Ταῦτα
B ἐννοεῖ, ταῦτα φαντάζεται, διηνεκεῖ φόβῳ συζῇ. Οὐκ ἴστε ὅσα
πάσχουσιν οἱ ἀδικοῦντες; ἢ οὐχὶ πικρὰ ταῦτα; Εἰ δὲ [f]καὶ μηδὲν
εἴη τοιοῦτον, οὐχὶ πάντες αὐτοῦ καταγινώσκουσιν; οὐχὶ πάντες

[h] καὶ om. I. [i] ἐγκαλυπτομένην est in nostris omnibus et Vet., non in Edd. [k] πέσωμεν C. [l] πράττει I. [m] δυνήσεται om. I. [n] δύναται K. [o] τούτων] τοιοῦτον I. [p] οὐ]+γὰρ K. [q] πάρεισιν I.K. [r] ἡμῖν in marg. habet I. [s] τὸ—θεοῦ om. C. Mox τοιοῦτον K. [t] ἀλλὰ καὶ (+οἱ C.) ὕπνοι] ὕπνοι γὰρ K. Mox ἐρχόμενος τοῦ κακοῦ λ. I. [v] οἷον] σκόπει δὲ K. [w] ἀφείλατο I. Statim τινος ἀδ. pro ἀδ. τινὸς C.I. [x] οὐχ K. Sav. cet. [y] ἐὰν] πῶς; ἐὰν K. Statim μὲν ἦν I. μὲν γὰρ ᾖ K. [z] ὀδυνᾶται I. Statim ἂν δὲ C.I. [a] κρίσεως] Sic Edd. ἀνταποδόσεως nostri omnes et Vet. [b] ψυχὴν] σῶμα K. [c] σωφρονῆσαι K. [d] παιδία omnes. παῖδας Edd. [e] σῶμα]+αὐτοῦ C. [f] καὶ superscript. in I.

μισοῦσιν; οὐχὶ πάντες ἀποστρέφονται; οὐχὶ πάντες τῶν θηρίων
ἀλογώτερον εἶναί φασι, καὶ αὐτοὶ οἱ ἀδικοῦντες; Εἰ γὰρ ἑαυτοὺς
καταδικάζουσι, πολλῷ μᾶλλον [g]ἕτερον, τὸν ἅρπαγα, τὸν πλεο-
νέκτην, τὸν λυμεῶνα ὀνομάζοντες. Τί οὖν ἔχει ἡδύ; [h]Οὐδὲν ἕτε-
ρον, ἢ τὸ πλείονα [i]προσκεῖσθαι φροντίδα ὑπὲρ τῆς [k]φυλακῆς τῆς
ἐκείνων, τὸ μᾶλλον φροντίζειν καὶ μεριμνᾶν. Ὅσῳ γὰρ ἄν τις
πλείονα [l]περιβάληται χρήματα, τοσούτῳ μᾶλλον [m]τὴν ἀγρυ- C
πνίαν αὐτῷ ἰσχυροτέραν ἐργάζεται. Τί δὲ αἱ [n]κατάραι αἱ τῶν
ἀδικουμένων, αἱ ἐντυχίαι; τί δὲ, ἂν καὶ νόσος προσπέσῃ; Οὐ γὰρ
ἔστιν, οὐκ ἔστιν ἐν νόσῳ γενόμενον, κἂν ἁπάντων ἀθεώτερος ᾖ,
μὴ ἐκεῖνα μεριμνᾶν μηδὲ φροντίζειν, ὅτε οὐδὲν δύναται [o]ἐργάσα-
σθαι. Ἕως μὲν γὰρ [p]ἂν ἐνταῦθα ὦμεν, ἡ ψυχὴ ἡδυπαθοῦσα οὐκ
ἀνέχεται τῶν [q]λυπηρῶν· ἐπειδὰν δὲ ἀποπηδᾶν μέλλῃ τοῦ σώ-
ματος, τότε αὐτὴν μείζων φόβος συνέχει, ἅτε εἰς αὐτὰ τοῦ δικα-
στηρίου τὰ πρόθυρα ἥκουσαν. Ἐπεὶ καὶ οἱ λῃσταὶ ἐν μὲν τῷ
δεσμωτηρίῳ ζῶντες, ἀδεῶς ζῶσιν· ὅταν δὲ παρὰ τὸ παραπέτασμα D
ἀγαγών τις [r]αὐτοὺς στήσῃ, διαλύονται τῷ φόβῳ. Ὅταν γὰρ ὁ
τοῦ θανάτου φόβος ἐπιστῇ, καθάπερ πῦρ πάντα ἐκεῖνα ἐκκόψας,
φιλοσοφεῖν [s]αὐτὴν ἀναγκάζει, καὶ τὰ ἐκεῖ μεριμνᾶν· οὐκέτι χρη-
μάτων ἐπιθυμία κατέχει, οὐκέτι πλεονεξίας ἔρως, οὐκέτι σωμά-
των. Ὥσπερ οὖν νέφη ταῦτα παρελθόντα ἀφίησι τὸ κριτήριον
εἶναι καθαρὸν, καὶ τῆς λύπης ἐπεισελθούσης καὶ μαλαττούσης τὸ
σκληρόν. Οὐδὲν γὰρ οὕτως ὡς σπατάλη πρὸς φιλοσοφίαν
ἐναντίον, ὥσπερ οὖν καὶ τὸ ἐναντίον θλῖψις πρὸς φιλοσοφίαν E
ἐπιτήδειον. Ἐννόει μοι τίς ἔσται ὁ πλεονέκτης τότε· [9] "[t]Ὥρα
γὰρ, φησὶ, κακώσεως ἐπιλησμονὴν ποιεῖ τρυφῆς πολλῆς." Τίς
ἔσται τοὺς [v]ἡρπασμένους ἐννοῶν, τοὺς ἠδικημένους, τοὺς πλεονε-
κτηθέντας; τίς ἔσται ὁρῶν τῆς πλεονεξίας ἑτέρους ἀπολαύοντας,
ἑαυτὸν δὲ μέλλοντα τὴν δίκην τίνειν; Οὐ γὰρ ἔνι, οὐκ ἔνι ἐμπε-
σόντα μὴ καὶ ταῦτα ὑποπτεῦσαι· πολλάκις [w]γὰρ αὐτὴ ἡ ψυχὴ
[x]ἀναστρέφεται κάτωθεν, ἀγωνιῶσα, τρέμουσα. Πόση τοῦτο F
πικρία, εἰπέ μοι; Ταῦτα γὰρ καθ' ἑκάστην νόσον ἀνάγκη [y]γί-

9 Sirac. xi. 27.

g ἕτερον] Sic Edd. et Vet. ἕτεροι Codd. h οὐδὲν ἕτερον om. I. Idem post φροντίδα add. ἕτερον οὐδέν. i προσκεῖσθαι] Sic Edd. ἔχειν Codd. k φυλακῆς] κεφαλῆς I. ὑπὲρ—φροντίζειν om. C. l περιβάλληται K. m τὴν (τὴν om. C.) ἀγρ. αὐτῷ ἰσχ.] Sic Codd. ἰσχ. αὐτῷ τὴν ἀγρ. Edd. n κατάραι αἱ] Sic Edd. et Vet. κατηγορίαι C.I. κατάραι (om. αἱ) K. Post ἐντυχίαι add. αἱ κατ' αὐτῶν K. o ἐργάζεσθαι C.K. p ἂν assumtum ex omnibus. q λυπηρῶν] συμφορῶν I. r αὐτοὺς στ. pro στ. αὐτοὺς omnes. s αὐτὴν superscript. in I. t ὅρα γὰρ, φ. κάκωσις ἐπιπλησμονὴν π. τρυφῇ πολλῇ I. τρ. πολλῆς pro πολλῆς τρ. C.K. v ἡρπαγμένους C.I. w γὰρ accessit ex C.I. Vet. x ἀναστρέφεται omnes. στρέφεται Edd. Statim ἀπὸ κάτωθεν I. y γενέσθαι I.

νεσθαι. Εἰ δὲ καὶ κολαζομένους ἴδοι, εἰ δὲ καὶ ἀποθνήσκοντας, (353)
691 τί οὐ πείσεται; Καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ, οὐδὲ εἰπεῖν ἔνι, ὅση ἡ κόλασις, ὅσαι αἱ τιμωρίαι, ὅσαι αἱ βάσανοι, ὅσα [z] τὰ στρεβλωτήρια. Ταῦτα λέγομεν ἡμεῖς· [10] "Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω." Συνεχῶς περὶ αὐτῶν λέγομεν, οὐ βουλόμενοι λέγειν συνεχῶς, [a] ἀλλὰ ἀναγκαζόμενοι. Ἐβουλόμεθα μὲν γὰρ μηδὲ τὴν ἀρχὴν ἡμῖν ἀνάγκην [b] γίνεσθαι τῶν τοιούτων λόγων· εἰ δὲ μὴ, κἂν ἐξ ὀλίγης ἰατρείας ἀπαλλαγέντας τοῦ νοσήματος, ἐπὶ τὴν ὑγίειαν ὑμᾶς ἐπαναγαγεῖν· μενόντων δὲ ὑμῶν ἐν τῇ ἀρρωστίᾳ,
B ἐκλύτου καὶ βαναύσου ψυχῆς ἂν εἴη, ἀποστῆναι τῆς μεθοδείας τῆς ἰατρικῆς, καὶ ἀπηνείας καὶ ὠμότητος. Εἰ γὰρ [c] τοὺς τὰ σώματα ἀπαγορεύσαντας ἰατροὺς παρακαλοῦμεν, λέγοντες, μὴ [d] ἀμελήσῃς μέχρις ἐσχάτης ἀναπνοῆς τὰ παρὰ σεαυτοῦ [e] εἰσφέρων· οὐ πολλῷ μᾶλλον ἡμεῖς [f] ἑαυτοῖς παραινέσομεν; Ἴσως γὰρ μετὰ τὸ ἐλθεῖν εἰς αὐτὰς τοῦ ᾅδου τὰς πύλας, καὶ τῆς κακίας αὐτῆς τὰ πρόθυρα, ἀνανῆψαι δυνήσεται καὶ ἀνακτήσασθαι καὶ ῥωσθῆναι, καὶ ἐπιλαβέσθαι τῆς αἰωνίου ζωῆς. Πόσοι ἀπὸ μὲν
C δεκάτης ἀκροάσεως οὐδὲ αἴσθησιν ἔλαβον, ὕστερον δὲ ἀπὸ μιᾶς μόνης [g] ἐπεστράφησαν; μᾶλλον δὲ οὐκ ἀπὸ μιᾶς· εἰ γὰρ καὶ ἀναισθήτως εἶχον ἐν ταῖς δέκα, ἀλλ' ὅμως [h] ἐκέρδανον, καὶ ὕστερον τὸν καρπὸν ἀθρόον ἔδειξαν. Ὥσπερ γὰρ ἐπὶ δένδρου, τὸ δέκα λαβὸν τομὰς, καὶ μὴ καταπεσὸν ὑπὸ τῶν δέκα, ὕστερον δὲ μιᾶς ἐπαχθείσης [i] τὸ πᾶν κατηνέχθη· [k] οὐ τῆς μιᾶς δὲ γέγονε τομῆς, ἀλλὰ [l] τῶν δέκα ἐστὶ τὸ τῆς ὑστέρας κατόρθωμα· καὶ ὁ μὲν πρὸς τὴν ῥίζαν ἰδὼν οἶδε τοῦτο, ὁ δὲ ἄνωθεν ἀπὸ τοῦ στελέχους καταμανθάνων οὐδὲν [m] τοιοῦτο δύναται συνιδεῖν· οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ [n] ἰατρῶν πολλάκις πολλῶν πολλὰ [o] προσενεγκάν-
D των φάρμακα, οὐδεμία γέγονεν ὠφέλεια, ὕστερον δέ τις προσελθὼν, τὸ πᾶν [p] κατώρθωσεν· οὐκ ἐκείνου δέ ἐστι [q] μόνον τὸ ἔργον, ἀλλὰ καὶ ἐκείνων τῶν ἤδη κατεργασαμένων τὸ πάθος. Ὥστε κἂν μὴ νῦν [r] δῶμεν τῆς ἀκροάσεως τοὺς καρποὺς, ὕστερον δώσομεν· ὅτι γὰρ δώσομεν, σφόδρα πέπεισμαι. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τοσαύτην φιληκοΐαν, καὶ τοσοῦτον πόθον [s] διαπεσεῖν·

10 Luc. viii. 8.

[z] τὰ om. I. [a] ἀλλ' ἀν. C.K. [b] γενέσθαι I. [c] τοὺς om. I. Mox τοὺς ἰατροὺς I. Veron. [d] ἀμελήσῃς]+ἀλλ' ὅλως Edd.+ἀλλ' ὅμως I. ἀλλ' ὅλως om. C.K. Post ἀναπνοῆς repetit μὴ ἀμελήσῃς I. [e] εἰσφέρων] Sic omnes. προσφέρων μὴ ἀνήσῃς (ἀνήσεις Veron.) Edd. [f] ἑαυτοῖς omnes. ἑαυτοὺς Edd. [g] ἀπεστρ. I. [h] ἐκέρδανον I. ἐκέρδαινον C. Veron. ἐκέρδαναν K. Sav. cet. [i] τὸ om. K. Sav. cet. [k] οὐ—κατόρθωμα] οὐ τῶν δέκα γέγονεν, ἀλλὰ τῆς ὑστέρας τομῆς τὸ κ. K. [l] τῶν] τὰ τῶν I. [m] τοιοῦτον C.K. [n] ἰατρῶν]+δὲ K. Sav. cet. Mox πολλῶν accessit ex I.K. Vet. [o] προσενεγκόντων I.K. [p] κατώρθωσεν Edd. εἰργάσατο Codd. [q] μόνον pro μόνου omnes. [r] δώσωμεν C.I. [s] διαπεσεῖν· μὴ] εἰκῇ διαπεσεῖν· μηδὲ K.

μὴ γένοιτο· ἀλλὰ πάντες ἄξιοι τῶν τοῦ Χριστοῦ παραινέσεων γενόμενοι, [t]ἐπιτύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ S. E

[1]Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, [a]εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. F

ΠΟΛΛΟΥΣ τῶν ἀνθρώπων θορυβεῖ ἔτι καὶ νῦν, τί δήποτε μένουσιν οἱ κακοὶ, καὶ οὐκ ἀπόλλυνται. [b]Εἰσὶ μὲν οὖν τούτου καὶ ἕτεραι πολλαὶ αἰτίαι, οἷον, ἵνα μεταβάλωνται, ἵνα διὰ τῆς 692
[c]κολάσεως ὑπόδειγμα γένωνται τοῖς πολλοῖς· ἐνταῦθα δὲ ὁ Παῦλος πρᾶγμά φησιν [d]εἰκός. "Ἐν μεγάλῃ [e]γὰρ οἰκίᾳ, φησὶν, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα." [f]Ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ εἰκὸς εἶναι πολλὴν διαφορὰν σκευῶν, οὕτω καὶ ἐνταῦθα ἐν τῇ οἰκουμένῃ πάσῃ· οὐ περὶ τῆς ἐκκλησίας λέγων, ἀλλὰ περὶ τοῦ κόσμου παντός. Μὴ [g]γάρ μοι τὴν ἐκκλησίαν ὑπολάβῃς· ἐνταῦθα γὰρ οὐδὲν βούλεται εἶναι B
σκεῦος ξύλινον οὐδὲ ὀστράκινον, ἀλλὰ πάντα χρυσᾶ καὶ ἀργυρᾶ, ἔνθα σῶμα Χριστοῦ, ἔνθα [2]"Παρθένος ἁγνὴ, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα." [h]Μή σε ταραττέτω, φησὶν, ὅτι εἰσὶν ἄνθρωποι πονηροὶ καὶ μιαροί· καὶ γὰρ ἐν μεγάλῃ οἰκίᾳ ἐστὶ σκεύη [i]τοιαῦτα. Τί οὖν; ἀλλ' οὐ τῆς αὐτῆς, φησὶν, ἀπολαύει τιμῆς, ἀλλὰ τὰ μὲν εἰς τιμήν ἐστι, τὰ δὲ εἰς ἀτιμίαν. [k]Ναί· ἀλλ' ἐνταῦθα
(354) μὲν χρῆσίν τινα πληροῖ, ἐπὶ δὲ τοῦ κόσμου [l]τί; Οὐχὶ κέχρηται αὐτοῖς τούτοις πρὸς ἕτερα ὁ θεός; οἷον, ὁ κενόδοξος πολλὰ

1 Cap. II. v. 20, 21. 2 2 Cor. xi. 2. Ephes. v. 27.

t ἐπιτύχωμεν I. Veron. τύχοιμεν K. Sav. cet. Hom. VI. a εἰς—ἡτοιμασμένον om. K. b εἰσὶ μὲν οὖν] καὶ εἰσὶ μὲν K. c κολάσεως] μετανοίας κερδάνωσι καὶ K. d ἐοικὸς Edd. invitis nostris. ἐνταῦθα—εἰκὸς] καὶ γὰρ ἀπὸ τοῦ χρηστεύσασθαι τὸν θεὸν, καὶ ἐνεγκεῖν μακροθύμως αὐτοὺς ῥαθυμοῦντας, καὶ ἀπὸ τοῦ μετανοίας αὐτοῖς καιρὸν λιπεῖν εἰς τὸ ἀνανῆψαι, εἰ βουληθεῖεν, πολλοὶ καὶ ἀπώναντο μεταβαλόμενοι, καὶ πολλοὺς εἰς σωτηρίαν ἐνήγαγον ἐκ τοῦ καθ' ἑαυτοὺς ὑποδείγματος. ὁ δὲ Παῦλος καί τι ξένον εἰσάγει οὕτως ἐνταῦθα λέγων K. e γὰρ] δὲ (et om. φησὶν) C.I.K. f ὥσπερ] δηλῶν διὰ τούτου ὅτι ὥσπερ K. Sav. cet. g γὰρ om. bis K. h μὴ] ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ K. Sav. cet. Mox φησὶν om. C.K. Sav. cet. i τοιαῦτα—φησὶν] ἀλλ' οὐ πάντα τῆς αὐτῆς K. k ναὶ]+φησὶν K. Sav. cet. Post μὲν add. ταῦτα K. l τί; οὐχὶ] οὐδαμῶς. εἰ καὶ μὴ πρὸς τοιαύτην ἐνέργειαν, ἀλλὰ K. Sav. cet.

C οἰκοδομεῖ, ὁ πλεονέκτης, ὁ ἔμπορος, ὁ κάπηλος, ὁ ἄρχων, ἔστιν
ἔργα τινὰ ἐν τῷ κόσμῳ αὐτοῖς ἁρμόζοντα. Τὸ δὲ χρυσοῦν
σκεῦος οὐδὲν τοιοῦτον, ἀλλὰ περὶ τὴν τράπεζαν στρέφεται τὴν
βασιλικήν. Οὐ τοῦτο οὖν φησιν, ὅτι ἀναγκαῖον πρᾶγμα ἡ
πονηρία, πῶς γάρ; ἀλλ' ὅτι καὶ αὐτοὶ ἔχουσιν ἔργον. Εἰ γὰρ
πάντες ἦσαν χρυσοῖ καὶ ἀργυροῖ, οὐκ ἂν ἐδέησεν ἐκείνων· οἷον, εἰ
πάντες ἦσαν καρτερικοὶ, οὐκ ἔδει οἰκοδομημάτων· εἰ πάντες
τρυφῆς ἦσαν ἀπηλλαγμένοι, οὐκ ἔδει ἐδεσμάτων· ἢ λαμπρᾶς
D οἰκοδομῆς, εἰ τῆς χρείας [m]ἐπεμελοῦντο πάντες. "Ἐὰν οὖν τις
ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, [n]φησὶν, ἔσται σκεῦος εἰς τιμὴν
ἡγιασμένον." Ὁρᾷς ὅτι οὐ φύσεως οὐδὲ ὑλικῆς ἀνάγκης ἐστὶ τὸ
εἶναι χρυσοῦν ἢ ὀστράκινον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως;
Ἐκεῖ μὲν γὰρ τὸ ὀστράκινον οὐκ ἂν [o]γένηται χρυσοῦν, οὐδὲ
τοῦτο εἰς τὴν ἐκείνου καταπεσεῖν εὐτέλειαν δυνήσεται· ἐνταῦθα
δὲ πολλὴ ἡ μεταβολὴ καὶ ἡ μετάστασις. Σκεῦος ὀστράκινον ἦν
ὁ Παῦλος, ἀλλ' ἐγένετο χρυσοῦν· σκεῦος χρυσοῦν ἦν [p]ὁ Ἰούδας,
ἀλλ' ἐγένετο ὀστράκινον. Ἄρα ἀπὸ ἀκαθαρσίας τὰ ὀστράκινα·
E ὁ πόρνος, ὁ πλεονέκτης, ὀστράκινος γίνεται. Πῶς οὖν ἀλλαχοῦ
φησιν, [3]"Ἔχοντες τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύε-
σιν;" [q]καὶ οὐ διαβάλλει τὸ σκεῦος τὸ ὀστράκινον. Ἐκεῖ τὴν
φύσιν αὐτήν φησιν. Ὃ δὲ λέγει, [r]τοιοῦτόν ἐστι· σκεῦος
ὀστράκινον ἡμῶν τὸ σῶμα. Ὥσπερ γὰρ τὸ ὀστράκινον οὐδὲν
ἄλλο ἐστὶν, ἢ πηλὸς [s]ὠπτημένος· οὕτω καὶ τὸ σῶμα τὸ ἡμέτε-
ρον οὐδὲν ἄλλο ἐστὶν, ἢ πηλὸς τῇ θερμότητι τῆς ψυχῆς στε-
F ρεούμενος. Ὅτι γὰρ ὀστράκινόν ἐστι, [t]πολλάκις κατεάχθη
καὶ συνετρίβη. Τί γὰρ ὀστράκων διενήνοχε τὰ ὀστᾶ, οὕτως
ὄντα κραταιὰ, οὕτως ὄντα ξηρά; τί δὲ πηλοῦ αἱ σάρκες: οὐχ
693 ὁμοίως ἀπὸ ὕδατός [v]εἰσιν; Ἀλλ', ὅπερ ἔφην, [w]πῶς ἐκεῖ οὐ δια-
βάλλει τὸ πρᾶγμα; [x]Ἐκεῖ περὶ φύσεως διαλέγεται, ἐνταῦθα
περὶ προαιρέσεως. "Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν," φησίν.
Οὐκ εἶπε, καθάρῃ, ἀλλ', "ἐκκαθάρῃ," [y]τουτέστι, παντελῶς καθ-
άρῃ. "Ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, [z]καὶ εὔχρηστον τῷ

3 2 Cor. iv. 7.

m ἐπεμελοῦντο I.K. Cat. ἐπεμέλοντο Edd. ἢ λαμπρᾶς—πάντες] εἰ τῆς χρ. ἐπεμ. πάντες, οὐκ ἔδει λ. οἰκοδομῆς K. Sav. cet. n φησὶν om. K. Sav. cet. o γένοιτο K. Mox μεταπεσεῖν idem. p ὁ om. C. q καὶ—αὐτήν φησιν] ὥστε τιμᾷ, καὶ οὐ διαβάλλει τ. σ. τ. ὀ. θησαυροῦ δεκτικὸν αὐτὸ προσειπών. ἐκεῖ τὴν φ. α. δηλοῖ, οὐ τὸ εἶδος τῆς ὕλης K. Sav. cet. r τοῦτο iidem. s ὀπτημένος I. t πολλάκις—συνετρίβη] δῆλον· πολλάκις γὰρ, ὡς ἐκεῖνο τὸ σκεῦος πεσὸν κατεάγη καὶ σ. οὕτω καὶ τὸ σῶμα θανάτῳ καταπεσὸν διαλύεται K. Sav. cet. v εἰσι]+καὶ αὗται iidem. w πῶς om. K. ἐκεῖ post πρᾶγμα transp. idem. Statim οὐ om. C. x ἐκεῖ π. φ.] π. φ. γὰρ K. Mox ἐνταῦθα δὲ περὶ idem. y τουτέστι, π. καθάρῃ] τὴν τελείαν δηλῶν κάθαρσιν K. Haec om. I. z καὶ accessit ex I.K. Cat.

δεσπότῃ." Ἆρα ἐκεῖνα ἄχρηστα, εἰ καί τινα χρείαν ἐπιτελεῖ,
[a]ἀλλ' οὐκ εἰς πᾶν ἔργον ἀγαθόν. "[b]Ἡτοιμασμένον." [c]Κἂν
μὴ πράττῃ, ἀλλ' ὅμως ἐπιτήδειόν [d]ἐστι, δεκτικόν. Δεῖ οὖν
πρὸς πάντα παρεσκευάσθαι, κἂν πρὸς [e]θάνατον, κἂν πρὸς μαρ-
τύριον· δεῖ ἡτοιμάσθαι, κἂν πρὸς παρθενίαν, κἂν πρὸς [f]ταῦτα B
πάντα.

[4]"Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε." Νεωτερικαὶ οὐχ
αὗταί εἰσιν αἱ τῆς πορνείας μόνον, ἀλλὰ πᾶσα ἐπιθυμία ἄτοπος
νεωτερική. Ἀκουέτωσαν οἱ γεγηρακότες, ὅτι οὐ δεῖ τὰ τῶν
νεωτέρων ποιεῖν. Κἂν ὑβριστὴς ᾖ τις, κἂν δυναστείας ἐρᾷ, κἂν
χρημάτων, κἂν σωμάτων, κἂν [g]ὁτιοῦν δήποτε, νεωτερικὴ ἡ
ἐπιθυμία, [h]ἀνόητος· οὔπω τῆς καρδίας βεβηκυίας, οὐδὲ τῶν φρε-
νῶν ἐν βάθει τεθεισῶν, ἀλλ' [i]ἠωρημένων, ἀνάγκη ταῦτα πάντα
γίνεσθαι. [[k]Φαντασίας νεωτερικάς.] Ταῦτα φεῦγε· "δίωκε δὲ C
δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ [l]πάντων τῶν ἐπικα-
λουμένων τὸν κύριον ἐκ καθαρᾶς καρδίας." [m]Δικαιοσύνην τὴν
καθόλου ἀρετὴν λέγει, [n]τὴν ἐν τῷ βίῳ εὐσέβειαν, πίστιν, ἀγά-
πην, πραότητα. Τί ἐστι, "μετὰ τῶν ἐπικαλουμένων τὸν κύριον
ἐκ καθαρᾶς καρδίας;" [o]Τουτέστιν, ἐκείνοις θάρρει μόνοις, μὴ
τοῖς ἁπλῶς ἐπικαλουμένοις, ἀλλὰ τοῖς ἀνυπούλως, [p]ἀνυποκρίτως,
οὐδὲν ἔχουσι δολερὸν, τοῖς μετ' εἰρήνης προσιοῦσι, τοῖς ἀμάχοις·
μετ' ἐκείνων ἀναμίγνυσο, μετὰ δὲ τῶν ἄλλων οὐ χρὴ πρᾶον εἶναι, D
ἀλλ' εἰρηνεύειν μόνον τὸ ἐξ αὐτοῦ. [5]"Τὰς δὲ μωρὰς καὶ ἀπαι-
δεύτους ζητήσεις [q]παραιτοῦ." Ὁρᾷς πῶς πανταχοῦ αὐτὸν ἀπάγει
τῶν ζητήσεων; οὐ διὰ τὸ μὴ ἔχειν ἱκανῶς ἀνατρέπειν [r]αὐτάς·
εἶχε γάρ· εἰ δὲ [s]καὶ μὴ εἶχεν, εἶπεν ἂν πρὸς αὐτὸν, ὅτι σπούδα-
(355) σον εἶναι ἐπιτήδειος πρὸς ἀνατροπὴν τῶν τοιούτων· ὥσπερ ὅταν
λέγῃ, [6]"Πρόσεχε τῇ ἀναγνώσει· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν
σώσεις, καὶ τοὺς ἀκούοντάς σου" ἀλλ' οἶδεν ἄχρηστον ὂν καὶ τὸ E
καθεῖναι ὅλως εἰς [t]τούτους τοὺς ἀγῶνας· καὶ ὅτι οὐδὲν [v]τέλος
ἔσται, ἀλλ' ἢ μάχη καὶ ἀπέχθεια, ὕβρεις καὶ λοιδορίαι. Ταύτας

[4] v. 22. [5] v. 23. [6] 1 Tim. iv. 13, 16.

[a] ἀλλ' οὐκ om. K. Sav. cet. invitis Cat. Vet. [b] ἡτοιμασμένα C. [c] κἂν μὴ πρ.] τί ἐστι τοῦτο; κἂν μὴ πρ. φησὶν K. [d] ἐστι] ἔσται K. ἔσται καὶ I. [e] θάνατον]+καλῇ K. Post παρθενίαν add. ἕλκῃ idem. [f] ταῦτα π.] π. ταῦτα C. ἁγιωσύνην K. [g] ὁτιοῦν] Sic I. Veron. ὅτι C. ὁτουοῦν K. Sav. cet. δήποτε om. K. [h] ἀνόνητος K. [i] αἰωρ. C. ἑωρ. I. [k] φαντ. ν. ταῦτα φ.] ἵν' οὖν μηδεὶς τούτοις ἁλῷ, παραινεῖ καί φησι, τὰς ν. ἐπιθυμίας φ. K. ἵνα οὖν μ. τ. ἁ. τί παραινεῖ; φαντ. ν. φεῦγε Sav. cet. [l] πάντων om. C. [m] δικαιοσύνην —καρδίας om. I. Vet. [n] τὴν—πραότητα] πίστιν, ἀγάπην, εἰρήνην, τὴν ἐν τ. β. εὐσέβειαν K. [o] τουτέστιν] ὡσεὶ ἔλεγεν K. Sav. cet. [p] τοῖς ἀνυποκρίτως, τοῖς οὐδὲν iidem. [q] παραιτοῦ]+εἰδὼς ὅτι γεννῶσι μάχας iidem. [r] αὐτὰς]+μὴ γένοιτο K. [s] καὶ om. I.K. [t] τούτους τοὺς ἀ.] Sic nostri omnes et Cat. ἀ. τοιούτους Edd. [v] τέλος ἔσται] ἔσται τέλος C. ἔσται ὅλως Cat.

οὖν τὰς ζητήσεις [w]παραιτοῦ. Ὥστε εἰσὶν ἕτεραι ζητήσεις, αἱ
περὶ τῶν γραφῶν, αἱ περὶ τῶν ἄλλων. [x][[7] "Δοῦλον δὲ κυρίου
οὐ δεῖ μάχεσθαι."] Οὐκοῦν οὐ δεῖ μάχεσθαι, οὐδὲ ἐν ζητήσει,
[y]οὐδαμοῦ· πόρρω μάχης [z]εἶναι δεῖ· ὁ [a]γὰρ τοῦ θεοῦ τῆς εἰρήνης
δοῦλος, πῶς ἂν [b]μαχέσοιτο; "Ἀλλ' ἤπιον εἶναι πρὸς [c]πάντας."
F Πῶς [d]οὖν λέγει, [8]"[e]Ἔλεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς;"
καὶ ἐνταῦθα πάλιν, "Μηδείς σου τῆς νεότητος καταφρονείτω;"
694 καὶ [f]πάλιν, "Ἔλεγχε αὐτοὺς ἀποτόμως;" Ὅτι καὶ τοῦτο
πραότητός ἐστιν. Ὁ γὰρ σφοδρὸς ἔλεγχος, ὅταν μετ' [g]ἐπιει-
κείας γένηται, ὁ μάλιστα δυνάμενος [h]δακεῖν οὗτός ἐστιν. Ἔνεστι
γὰρ, ἔνεστι μετὰ πραότητος καθάψασθαι μᾶλλον, ἢ μετὰ
θρασύτητος ἐντρέψαι. "Διδακτικόν·" [i]πρὸς πάντας τοὺς
βουλομένους [k]διδαχθῆναι. [9]"Αἱρετικὸν γὰρ, φησὶν, ἄνθρωπον
μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ." "Ἀνεξίκακον."
B [l]Μάλιστα γὰρ τοῦτο ἔχειν [m]χρή· ἐπεὶ πάντα μάτην γίνεται.
Εἰ γὰρ οἱ ἁλιεῖς πολλάκις δι' ὅλης ἡμέρας βάλλοντες τὰ δίκτυα,
καὶ οὐκ ἐπιτυγχάνοντες, οὐκ ἀπαγορεύουσι, πολλῷ μᾶλλον ἡμεῖς.
Ὅρα γὰρ τί γίνεται· συμβαίνει [n]τῆς συνεχοῦς διδασκαλίας
πολλάκις κατελθόντα τὸν καρπὸν ἐκκόψαι τὸ ἐνοχλοῦν [o]τῇ
ψυχῇ πάθος. Ὁ γὰρ μυριάκις ἀκούσας, πείσεταί τι· οὐ γὰρ
ἔστιν ἄνθρωπον ἀκούοντα συνεχῶς, μηδὲν [p]παθεῖν. Ἔστιν οὖν
ὅτε μέλλων πείθεσθαι, ἡμῶν ἀπαγορευσάντων, τὸ πᾶν ἀπώλεσε.
Καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις γεωργίας ἄπειρος τὴν ἄμπε-
C λον φυτευθεῖσαν [q]σκάπτει μὲν ἐνιαυτῷ τῷ πρώτῳ, ἐν δὲ τῷ
δευτέρῳ ζητῶν λήψεσθαι καρπὸν, καὶ πάλιν ἐν τῷ [r]τρίτῳ, εἶτα
τῶν τριῶν ἐτῶν παρελθόντων ἀπογνοὺς, τότε λοιπὸν αὐτὴν
[s]καταλείπει ἐν τῷ τετάρτῳ, ὅτε τῶν πόνων ἐκείνων [t]οἴσει τὴν

[7] v. 24. [8] Tit. ii. 15. 1 Tim. iv. 12. Tit. i. 13. [9] Tit. iii. 10.

[w] παραιτοῦ] παραιτεῖσθαι προτρέπει K. [x] Verba inclusa desunt in C.I. Veron. [y] οὐδαμῶς I. οὐδαμοῦ om. K. Sav. cet. Statim πόρρω γὰρ μ. iidem. [z] εἶναι δεῖ (δεῖ εἶναι K.)] + διὸ καὶ ἐπάγει· εἰδὼς ὅτι γεννῶσι μάχας· δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι C. + τὸν τοῦ θεοῦ δοῦλον· εἰρήνης γάρ ἐστι θεὸς ὁ θεὸς K. Sav. cet. [a] γὰρ] δὲ K. Sav. cet. [b] μαχέσαιτο K. ἀλλ' ἤπιον—πάντας om. idem. [c] πάντας] + δοῦλον γὰρ (+ φησὶν K.) κυρίου οὐ δεῖ μ. φησὶν (φησὶν om. K.) ἀλλ' ἤ. εἶναι πρὸς π. K. Edd. [d] οὖν] νῦν C. [e] ἔλεγχε—ἐνταῦθα πάλιν] προϊὼν, ἐπίστηθι εὐκαίρως ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον· καὶ πάλιν ἐν τῇ προτέρᾳ K. [f] πάλιν] ἀλλαχοῦ K. [g] ἐπιεικείας] ἐπιτάσεως I. Statim γίνηται K. [h] δάκνειν I. δακεῖν δυν. pro δυν. δακεῖν Veron. οὗτός ἐστιν ὁ μάλιστα δακεῖν δυνάμενος hoc ord. K. Sav. cet. [i] πρὸς] τουτέστι, πρὸς K. Sav. cet. [k] διδαχθῆναι] + ὥστε τοὺς αἱρετικοὺς ἀποστρέφεσθαι δεῖ K. [l] μάλιστα] καλῶς αὐτὸ (τοῦτο Sav. cet.) προσέθηκε· μάλιστα K. Sav. cet. [m] χρή] + τὸν διδάσκαλον iidem. [n] τῆς σ. δ.—καρπὸν] πολλάκις ἀπὸ τῆς σ. δ. εἰς τὸ βάθος τῆς ψυχῆς τὸ τοῦ λόγου ἄροτρον κατελθὸν K. Sav. cet. [o] τῇ ψ.] αὐτῇ C.K. Sav. cet. τῆς ψυχῆς Cat. [p] μαθεῖν I. [q] σκάπτοι K. Sav. cet. [r] τρίτῳ] + καὶ μὴ λαμβάνων iidem. Statim εἶτα μετὰ τῶν I. [s] καταλείπῃ I. καταλίποι K. καταλείποι Sav. cet. [t] οἴσει] ἔμελλε κομίζεσθαι K. Sav. cet.

[v]ἀντίδοσιν. [10]“Ἐν [w]πραότητι, φησὶ, παιδεύοντα τοὺς ἀντιδια-
τιθεμένους.” Μάλιστα γὰρ τὸν διδάσκοντα τοῦτο χρὴ ποιεῖν.
“Ἐν πραότητι” οὐ γὰρ ἔνι ψυχὴν δεομένην μαθεῖν, μετὰ θρα-
σύτητος καὶ μάχης δυνηθῆναί τι τῶν χρησίμων συνιδεῖν· [x]κἂν D
μέλλῃ προσέχειν, ἀπορηθεῖσα οὐδὲν εἴσεται, ἢ λυπηθεῖσα [y]καὶ
ἀλγήσασα. Δεῖ [z]γὰρ τὸν μέλλοντά τι τῶν χρησίμων [a]μαθεῖν,
πρὸ τῶν ἄλλων ἁπάντων ἡδέως ἔχειν πρὸς τὸν διδάσκοντα·
τούτου δὲ μὴ προκατασκευασθέντος, οὐκ ἔνι γενέσθαι τι τῶν
δεόντων οὐδὲ τῶν χρησίμων· ἡδέως δὲ οὐκ ἄν τις [b]ἔχοι πρὸς τὸν
θρασυνόμενον καὶ ὑβρίζοντα. Πῶς οὖν, “Αἱρετικὸν, [c]φησὶν,
ἄνθρωπον μετὰ μίαν [d]καὶ δευτέραν νουθεσίαν παραιτοῦ;” Τὸν
ἀδιόρθωτον [e]λέγει, ὃν οἶδεν ἀνίατα νοσοῦντα. “Μήποτε [f]δῷ E
αὐτοῖς ὁ [g]κύριος [11]ἀνανῆψαι ἐκ τῆς τοῦ διαβόλου παγίδος.” Ὃ
δὲ λέγει, τοιοῦτόν ἐστιν· ἴσως ἔσται τις διόρθωσις· τὸ δὲ, ἴσως,
ἐπὶ τῶν [h]ἀφανῶν ἐστιν. Ὥστε ἐκείνων ἀφίστασθαι [i]μόνον χρὴ,
περὶ ὧν δυνάμεθα σαφῶς ἀποφήνασθαι, καὶ ὑπὲρ ὧν πεπείσμεθα,
ὅτι οὐδ᾽ ἂν ὁτιοῦν γένηται, μεταστήσονται. “Ἐν πραότητι,”
φησίν. Ὁρᾷς ὅτι τοὺς βουλομένους μαθεῖν οὕτω χρὴ προσίε-
σθαι, [k]μηδέποτε πρὸ τῆς ἀποδείξεως ἀφίστασθαι τῶν διαλέξεων;
“Ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.” Καλῶς εἶπεν, F
“ἐζωγρημένοι·” τέως γὰρ ἐν πλάνῃ νήχονται. Ὅρα πῶς διδά-
σκει μετριοφρονεῖν. Οὐκ εἶπε, μήποτε δυνηθῇς, ἀλλὰ, “μήποτε
δῷ αὐτοῖς ὁ κύριος ἀνανῆψαι.” [l]Κἂν γένηταί τι, τοῦ κυρίου τὸ 695
πᾶν γίνεται· σὺ φυτεύεις, σὺ ποτίζεις, ἐκεῖνος σπείρει καὶ ποιεῖ
(356) καρποφορεῖν. Μήποτε τοίνυν διακεώμεθα, ὡς αὐτοί [m]τινα
πείθοντες, [n]κἂν πείσωμεν. “Καὶ ζωγρηθέντες, φησὶν, ὑπ᾽ αὐτοῦ
εἰς τὸ ἐκείνου θέλημα.” Τοῦτο δὲ οὐ περὶ δογμάτων ἄν τις
εἴποι, ἀλλὰ καὶ περὶ [o]βίου· τὸ γὰρ θέλημα αὐτοῦ [p]ἐστιν ὀρθῶς
βιοῦν. Εἰσὶ δέ τινες ἐν τῇ παγίδι τοῦ διαβόλου καὶ βίου ἕνεκεν·
οὐ τοίνυν οὐδὲ πρὸς τούτους περικακεῖν χρή. “Μήποτε ἀνανή-
ψωσι, φησὶν, [q]ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα.” Τὸ [r]δὲ,

10 v 25. 11 v. 26.

[v] ἀντίδοσιν] + εἰπὼν δὲ ἀνεξίκακον, οὐκ ἀρκεῖται, ἀλλ᾽ ἐπάγει λέγων K. Sav. cet. Mox φησὶ om. iidem. [w] πραΰτητι K. [x] κἂν] + γὰρ K. Sav. cet. [y] καὶ] ἢ καὶ C. Haec ἢ λυπ. καὶ ἀλγήσασα om. K. Sav. cet. [z] γὰρ] τοίνυν K. [a] μανθάνειν I.K. Cat. Mox ἁπάντων pro πάντων omnes. [b] ἔχοι] σχοίη K. Sav. cet. τις om. I. [c] φησὶν om. I. ante αἱρετικὸν transp. K. [d] καὶ omnes. ἢ Edd. [e] λέγει] ἐνταῦθα λέγει, καὶ K. [f] δῴη bis C.I. [g] κύριος] θεὸς C.K. Sav. cet. Pro ἀνανῆψαι iidem habent μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν invito Vet. [h] ἀφανῶν] Sic C.I. ἀφ. καὶ μελλόντων K. ἀδήλων Cat. Edd. [i] μόνων I. ἀφίστασθαι μ. pro μ. ἀφίστασθαι omnes. [k] καὶ μηδέποτε Sav. cet. καὶ om. I. Veron. [l] κἂν] + τε C. [m] τινα] τι K. Statim πείσονται I. πείθεσθε K. πείσοντες Cat. [n] κἂν] + μὴ I.K. Statim καὶ om. C. [o] βίου] + ὀρθοῦ C. [p] ἐστι] + τὸ μὴ K. [q] ἐζωγρ.] + ὑπ᾽ αὐτοῦ K. [r] δὲ om. K.

B "μήποτε," πολλῆς μακροθυμίας [s]ἐστί· τὸ γὰρ μὴ ποιεῖν τὸ
θέλημα [t]τοῦ θεοῦ, παγὶς διαβολική. Ὥσπερ γὰρ ὁ στρουθὸς,
κἂν μὴ ἐξ ὅλου τοῦ μέρους κατέχηται, ἀλλ' ἐξ ἑνὸς, τοῦ ποδὸς
λέγω, ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ τὴν παγίδα θέντος· οὕτω καὶ
ἡμεῖς, κἂν μὴ ἐξ ὅλου κατεχώμεθα, καὶ ἐκ πίστεως καὶ ἐκ βίου,
ἀλλ' ἐκ τοῦ βίου μόνον, ὑπὸ τὴν ἐξουσίαν ἐσμὲν τοῦ διαβόλου.
[12] "Οὐ γὰρ ὁ λέγων μοι, κύριε, κύριε, φησὶν, εἰσελεύσεται εἰς
C τὴν βασιλείαν τῶν [v]οὐρανῶν·" καὶ πάλιν, "Οὐκ οἶδα ὑμᾶς, ἀπο-
χωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν." Ὁρᾷς [w]τί τὸ
κέρδος τῆς πίστεως, ὅταν ἡμᾶς ἀγνοῇ ὁ δεσπότης; Καὶ ταῖς
παρθένοις τὸ αὐτό φησιν· [13] "Οὐκ οἶδα ὑμᾶς." Τί οὖν τὸ κέρδος
τῆς παρθενίας καὶ τῶν πολλῶν ἱδρώτων, ὅταν ἀγνοῇ αὐτὰς ὁ
δεσπότης; Καὶ πολλαχοῦ εὑρίσκομεν ὑπὲρ μὲν πίστεως οὐδὲν
ἐγκαλουμένους, [x]ἀπὸ δὲ βίου πονηροῦ κολαζομένους μόνον· ὥσ-
περ [y]ἀλλαχοῦ ὑπὲρ βίου μὲν οὐδὲν ἐγκαλουμένους, [z]διὰ δὲ
δόγμα διεστραμμένον ἀπολλυμένους· ταῦτα γὰρ ἀλλήλων ἔχε-
D ται. Ὁρᾷς ὅτι, ὅταν μὴ ποιῶμεν τὸ θέλημα τοῦ θεοῦ, ὑπὸ τὴν
παγίδα τοῦ διαβόλου ἐσμέν; Οὐκ ἀπὸ βίου δὲ μόνον, ἀλλὰ καὶ
ἀπὸ ἑνὸς ἐλαττώματος πολλάκις εἰσερχόμεθα εἰς τὴν γέενναν,
ὅταν μὴ τὰ ἄλλα ἀντίρροπα ᾖ ἀγαθά. Ἐπεὶ καὶ αἱ παρθένοι
οὐ πορνείαν ἐνεκλήθησαν, οὐ μοιχείαν, οὐ φθόνον, οὐ βασκανίαν,
οὐ μέθην, οὐ κακοπιστίαν, ἀλλ' ἔλλειψιν [a]ἐλαίου· τουτέστιν,
[b]οὐκ ἐποίουν ἐλεημοσύνην· τὸ γὰρ ἔλαιον τοῦτό ἐστι. Καὶ
[c]ἐκεῖνοι οἱ καταραθέντες, [14] "Ἀπέλθετε [d]γὰρ οἱ κατηραμένοι εἰς
τὸ πῦρ τὸ αἰώνιον," οὐδὲν πάλιν τούτων ἐνεκαλοῦντο, ἀλλὰ καὶ
E αὐτοὶ, ὅτι οὐκ ἔθρεψαν τὸν Χριστόν.

[e]Ὁρᾷς ὅτι [f]ἐλεημοσύνη ἐλλειφθεῖσα εἰσάγει εἰς τὸ τῆς γεέν-
νης πῦρ; Ποῦ γὰρ [g]ἔσται χρήσιμος, εἰπέ μοι, ὁ ἐλεημοσύνην μὴ
ποιῶν; Νηστεύεις καθ' ἑκάστην ἡμέραν; ἀλλὰ καὶ αἱ παρθένοι
τότε ἐκεῖναι, ἀλλ' οὐδὲν ἀπώναντο. Εὐχῇ; καὶ τί τοῦτο;
Ἐλεημοσύνης χωρὶς ἄκαρπος ἡ εὐχή· πάντα ἀκάθαρτα ταύτης
χωρὶς, πάντα ἀνόνητα· τὸ πλέον τῆς ἀρετῆς μέρος [h]ἐκκέκοπται.
F [15] "Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, φησὶ, τὸν θεὸν οὐκ οἶδε."

[12] Matth. vii. 21, 23. [13] Ibid. xxv. 12. [14] Ibid. 41. [15] 1 Joan. iv. 8.

[s] ἐστὶ] + δεικτικὸν K. Sav. cet. Statim ὥστε τὸ μὴ K. [t] τοῦ om. C. [v] οὐρανῶν] + ἀλλ' ὁ ποιῶν τὸ θελημά μου K. [w] τί τὸ κ.] ὅτι ὄφελος οὐδὲν ἐκ K. ὅτι κέρδος οὐδὲν ἐκ Sav. cet. [x] ἀπὸ δὲ—κολαζομένους] διὰ δὲ βίον διεστραμμένον ἀπολλυμένους C. Haec ἀπὸ δὲ—ἐγκαλουμένους desunt in I. [y] ἀλλαχοῦ] + πάλιν K. [z] διὰ δὲ δ. δ.] ὑπὲρ δὲ δόγματος ἐναντίου C. [a] ἐλέου et mox ἔλεον K. [b] οὐκ] ὅτι οὐκ C. Statim ἐποίησαν K. [c] ἐκεῖνοι] + γοῦν K. Statim οἱ κατηραθέντες C. οἱ ἀκούσαντες K. [d] γὰρ] φησὶν C. γὰρ om. K. Sav. cet. [e] ΗΘΙΚΟΝ. Περὶ ἐλεημοσύνης, καὶ περὶ πλεονεξίας. Veron. [f] ἐλε. ἐλλ. εἰσάγει] ἀρκεῖ ἐλε. ἐλλ. εἰσαγαγεῖν C.K. Sav. cet. [g] ἐστι C.I. [h] ἐκκέκοπται] Sic C.I. ἐκκόπτεται Edd.

Σὺ δὲ πῶς ἀγαπᾷς, μηδὲ τῶν μικρῶν [i]τούτων καὶ εὐτελῶν αὐτῷ
μεταδοῦναι βουλόμενος; Εἰπὲ δή μοι, σωφρονεῖς; τίνος ἕνεκεν; 696
οὐχὶ δεδοικὼς τὴν κόλασιν; Οὐδαμῶς, [k]ἀλλὰ φύσει τὸ πρᾶγμα
μετέρχῃ· ἐπεὶ, εἰ σωφρονεῖς [l]δεδοικὼς τὴν κόλασιν, καὶ τοσαύ-
την ὑπομένεις βίαν καὶ τοσαύτην τυραννίδα, πολλῷ μᾶλλον
ἐλεημοσύνας ποιεῖν ἔδει. Οὐ γάρ ἐστιν ἴσον ἐπιθυμίας κρατῆσαι
χρημάτων, καὶ σωμάτων, ἀλλὰ μείζων ὁ πόνος ἐνταῦθα. Τί
δήποτε; Ὅτι ἡ μὲν ἡδονὴ φυσικὴ, [m]καὶ ἐνέσπαρται καὶ ἐμπε-
φύτευται ἡμῶν τῷ σώματι· [n]τὰ δὲ τῶν χρημάτων οὐκέτι.
Τοῦτό ἐστιν, [o]ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ θεῷ, [p]τὸ ἐλεεῖν καὶ B
οἰκτείρειν· ὅταν οὖν τοῦτο μὴ ἔχωμεν, τοῦ παντὸς ἀπεστερή-
μεθα. Οὐκ εἶπεν, ἐὰν [q]νηστεύητε, ὅμοιοί ἐστε τῷ πατρὶ ὑμῶν·
οὐκ εἶπεν, ἐὰν [r]παρθενεύητε, οὐδὲ εἶπεν, ἐὰν εὔχησθε, ὅμοιοί ἐστε
τῷ πατρὶ ὑμῶν· οὐδὲν γὰρ τούτων περὶ θεὸν, οὐδὲ ἐργάζεταί τι
[s]τούτων ὁ θεός· ἀλλὰ τί; [16]"Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς οὐρανοῖς." Τοῦτο θεοῦ ἔργον· ἐὰν οὖν τοῦτο μὴ ἔχῃς,
τί ἔχεις; [17]"Ἔλεον θέλω, φησὶ, καὶ οὐ θυσίαν." Ἐποίησεν
οὐρανὸν ὁ θεὸς, ἐποίησε γῆν, θάλασσαν· μεγάλα ταῦτα, καὶ τῆς C
[t]σοφίας αὐτοῦ ἄξια· ἀλλ' οὐδενὶ [v]τούτων ἐφειλκύσατο τὴν
ἀνθρωπίνην φύσιν, ὡς τῷ ἐλέῳ καὶ τῇ φιλανθρωπίᾳ· [w]τοῦτο
μὲν γὰρ σοφίας, φησὶν, ἔργον καὶ δυνάμεως καὶ ἀγαθότητος·
[x]πολλῷ δὲ μᾶλλον, ὅτι δοῦλος ἐγένετο. Οὐκ ἐπὶ [y]τούτῳ μᾶλ-
λον αὐτὸν θαυμάζομεν; οὐκ ἐπὶ τούτῳ μᾶλλον [z]προσιέμεθα;
Οὐδὲν οὕτως ἐπισπᾶται τὸν θεὸν, ὡς ἔλεος· καὶ πολλὰ περὶ
(357) [a]τούτων ἅπαντες διαλέγονται ἄνω καὶ κάτω οἱ προφῆται.
Ἔλεον δὲ λέγω οὐ τὸν μετὰ πλεονεξίας· οὐ γάρ ἐστι τοῦτο D
ἔλεος. [b]Οὐδὲ γὰρ ἀκάνθης ῥίζα ἔλαιον τίκτει ποτὲ, ἀλλ'
ἐλαίας· [c]ὥσπερ οὖν οὐδὲ πλεονεξίας ῥίζα ἔλεον τίκτει, οὐδὲ ἀδι-
κίας, οὐδὲ ἁρπαγῆς. Μὴ διαβάλῃς τὴν ἐλεημοσύνην, μὴ ποίει
αὐτὴν κατηγορεῖσθαι ὑπὸ πάντων. Εἰ γὰρ διὰ τοῦτο ἁρπάζεις,
ἵνα [d]ἐλεῇς, οὐδὲν τῆς ἐλεημοσύνης ταύτης χεῖρον. Ὅταν γὰρ ἐξ
ἁρπαγῆς τίκτηται, οὐκ ἔστι τοῦτο ἐλεημοσύνη· ἀπήνειά τις ἐστὶ

16 Luc. vi. 36. 17 Osee vi. 6.

[i] τούτων—αὐτῷ] αὐτῷ καὶ εὐτελῶν C. [k] ἀλλὰ] πῶς; οὐ γὰρ K. [l] δεδ. τὴν κ.] Sic Edd. οὐ δεδ. τὴν κ. K. τὴν κ. φοβηθεὶς C.I. [m] καὶ] τις K. [n] τὰ] ἢ C. [o] ᾧ] ὃ C. [p] τὸ] τῷ K. Sav. cet. [q] νηστεύσητε C.I. [r] παρθενεύσητε Edd. οὐκ εἶπεν—πατρὶ ὑμῶν] οὐκ εἶπεν, ἐὰν παρθενεύσητε omissis ceteris I. οὐκ εἶπεν, ἐὰν παρθενεύητε ἢ προσεύχησθε, ὅμοιοί ἐστε τῷ π. ὑ. K. οὐδὲ ἂν εὔχησθε, ὅμοιοί ἐστε τῷ π. ὑ. οὐκ εἶπεν, ἐὰν παρθενεύσητε, ὅμοιοί ἐστε τῷ π. ὑ. C. [s] τοιούτων C. [t] σ. αὐτοῦ pro αὐτοῦ σ. omnes. [v] τούτων] +οὕτως C. [w] τοῦτο] εἰ τοῦτο I. Mox φησὶν om. K. Sav. cet. [x] πολλῷ δὲ] εἰ δὲ τοῦτο, πολλῷ K. [y] τοῦτο K. et bis C. [z] προσιέμεθα] αὐτὸν ἐκπληττόμεθα K. Sav. cet. [a] τούτου C. [b] οὐδὲ γὰρ] ὥσπερ οὖν οὐκ K. ἔλεον pro ἔλαιον idem. [c] ὥσπερ οὖν] οὕτως K. [d] ἐλεήσῃς I.K. Sav. cet.

E καὶ ὠμότης. Ὕβρις τοῦτο εἰς τὸν θεόν. Εἰ [e]ὁ τὰ ἐλάττονα τῶν
αὐτοῦ προσενεγκὼν οὕτω προσέκρουσεν ὁ Κάϊν, ὁ τὰ ἀλλότρια
προσφέρων πῶς οὐ προσκρούσει; Προσφορὰ οὐδὲν ἕτερόν ἐστιν,
ἀλλ' ἡ [f]θυσία, οὐκ ἀκαθαρσία. Καὶ ῥυπαραῖς μὲν χερσὶν οὐ
τολμᾷς εὔξασθαι, ῥύπον δὲ καὶ ἀκαθαρσίαν προσφέρων ἐξ ἁρ-
παγῆς οὐδὲν [g]ἡγῇ δεινόν; Τὰς χεῖρας οὐκ [h]ἀφίῃς ῥύπου καὶ
ἀκαθαρσίας πληροῦσθαι, ἀλλὰ καθαρὰς εἶναι ποιήσας, οὕτως
[i]αὐτὰς [k]προσφέρεις· καίτοι οὗτος ὁ ῥύπος οὐδὲν ἔγκλημα φέρει,
F ἐκεῖνος δὲ κατηγορίας ἄξιος καὶ διαβολῆς. Μὴ τοίνυν τοῦτο
[l]σκοπῶμεν, ὅπως καθαραῖς προσφέρωμεν καὶ εὐχώμεθα χερσὶν,
ἀλλ' ὅπως καὶ τὰ προσφερόμενα ᾖ καθαρά· ἐπεὶ τοῦτο γέλως
ἐστίν· [m]ὥσπερ ἂν εἴ τις τὸν πίνακα περιπλύνας δώρων ἀκαθάρ-
των τοῦτον ἐμπλήσειεν, [n]οὐχὶ χλευασία τοῦτό ἐστι καὶ γέλως;
Ἔστωσαν αἱ χεῖρες καθαραί· [o]μὴ ὕδατι αὐτὰς ἀπονίπτωμεν
697 μόνον, ἀλλὰ [p]καὶ δικαιοσύνῃ πρότερον· τοῦτο χειρῶν καθάρσιον.
[q]Ἂν δὲ γέμωμεν ἀδικίας, κἂν μυριάκις αὐτὰς περιπλύνῃς, κέρδος
οὐδέν. [18]"Λούσασθε, φησὶ, καθαροὶ γένεσθε." Τί οὖν; [r]ἆρα
εἶπε, πορεύεσθε ἐπὶ τὰς πηγὰς, πορεύεσθε ἐπὶ τὰ βαλανεῖα καὶ
τὰς λίμνας καὶ τοὺς ποταμούς; Οὐδὲν τούτων· ἀλλὰ τί;
"Ἀφέλετε τὰς [s]πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν·" [t]τουτέστι,
καθαροὶ γένεσθε, τοῦτο [v]ἀπηλλάχθαι μολυσμοῦ, αὕτη ἐστὶν ἡ
ὄντως καθαρότης. Ἐκείνη μὲν γὰρ οὐδὲν μέγα [w]ὤνησεν, αὕτη
B δὲ παρρησίαν ἡμῖν χαρίζεται τὴν πρὸς τὸν θεόν· κἀκείνην καὶ
μοιχοὺς καὶ κλέπτας καὶ ἀνδροφόνους ἔχειν δυνατὸν, καὶ βλᾶκας
καὶ ἐκλύτους ἄνδρας καὶ [x]πόρνους καὶ ἡταιρηκότας, καὶ μάλιστα
τούτους. Οὗτοι γάρ εἰσιν οἱ τῆς τοῦ σώματος καθαρότητος ἐπι-
μελόμενοι μάλιστα πάντων, μύρων ὄζοντες, συνεχῶς [y]ἀποσμή-
χοντες τὸ σῆμα· σῆμα γάρ ἐστιν αὐτοῖς τὸ σῶμα, [z]ψυχῆς ἔνδον
νεκρᾶς. Ὥστε ταύτης μὲν τῆς καθαρότητος κἀκείνοις [a]μετιέναι
δυνατὸν, τῆς δὲ ἔνδον οὐκέτι. Οὐδὲν μέγα, ἐὰν τὸ σῶμα ἀπο-
πλύνῃς· Ἰουδαϊκός ἐστιν οὗτος ὁ καθαρμὸς, ἀνόνητος καὶ ἀνω-
C φελὴς, τοῦ ἔνδον οὐκ ὄντος. Ἔστω τις σηπεδόνα ἔχων ἢ νομὴν

18 Esai. i. 16.

[e] ὁ om. I. [f] θυσία] + κάθαρσις K. Sav. cet. [g] ἡγῇ] + ποιεῖν iidem. [h] ἀφιῇς I. ἀφιεὶς K. Sav. cet. [i] αὐτὰς om. K. Sav. cet. [k] προσφέρεις] + τὴν ψυχὴν δὲ ἀκαθαρτοτέραν παντὸς ῥύπου μᾶλλον ἀπὸ πλεονεξίας ποιῶν καὶ προσφέρων, μικρὸν οἴει τολμᾶν; K. [l] σκοπῶμεν] + μόνον C.K. [m] ὥσπερ] καὶ ταὐτὸν ποιεῖ, οἷον K. [n] οὐχὶ] εἰπὲ γάρ μοι, οὐχὶ K. ἐστι om. idem. [o] μὴ] ἔσονται δὲ, ἂν μὴ K. Sav. cet. [p] καὶ om. C. [q] ἂν] ἐὰν C.I. [r] ἆρα] + προσθεὶς K. Sav. cet. [s] πονηρίας] + ὑμῶν I.K. Sav. cet. [t] τοῦτό ἐστι καθαρὸν γενέσθαι C. [v] ἀπηλλάχθαι] + ποιεῖ K. Sav. cet. [w] ὀνίνησιν K. [x] πόρνους] πονηροὺς I. [y] ἀποσμήχοντες] Sic I.K. ἀποσμύχοντες Edd. [z] τῆς ψυχῆς C.K. Sav. cet. Post ἔνδον add. οὔσης K. Sav. cet. [a] μετεῖναι C.

τραυμάτων, περιπλυνέτω τὸ σῶμα· τί τὸ κέρδος; τί τὸ πέρας;
Εἰ δὲ τὴν ἐν σώματι σηπεδόνα οὐδὲν ὠφελῆσαι [b]δυνήσεται,
τῆς ἐπιφανείας τῆς ἔξωθεν περικλυζομένης καὶ ἀφανιζομένης·
ὅταν ἐν ψυχῇ ἡ σηπεδὼν ᾖ, τί ἀπὸ τῆς τοῦ σώματος καθαρότη-
τος ὀνήσομεν; Οὐδέν. Εὐχῶν ἡμῖν δεῖ καθαρῶν· εὐχαὶ δὲ [c]οὐ
γίνονται καθαραὶ, τῆς τικτούσης [d]αὐτὰς ψυχῆς οὔσης μιαρᾶς.
Οὐδὲν γὰρ οὕτω ποιεῖ ψυχὴν μιαρὰν, ὡς πλεονεξία καὶ ἁρπαγή.
Ἀλλ' εἰσί τινες οἳ κατὰ τὴν ἑσπέραν, μυρία διὰ τῆς ἡμέρας
ἐργαζόμενοι κακὰ, λουόμενοι εἰσίασιν εἰς τὴν ἐκκλησίαν, μετὰ D
[e]πολλῆς τῆς παρρησίας τὰς χεῖρας ἀνατείνοντες, ὡς τὸ πᾶν διὰ
τῆς τῶν ὑδάτων κολυμβήθρας ἀποθέμενοι. Εἰ τοῦτο ἦν, μέγα
[f]τὸ κέρδος ἦν τὸ καθ' ἑκάστην ἡμέραν λούεσθαι· εἰ τοῦτο ἦν,
οὐκ ἂν οὐδὲ αὐτὸς ἐπαυσάμην τὰ βαλανεῖα διενοχλῶν, εἰ καθα-
ροὺς ἐποίει καὶ ἁμαρτημάτων ἀπήλλαττε. Γέλως ταῦτα καὶ
λῆρος, παίγνια καὶ παίδων ἀθύρματα. Οὐκ ἀποστρέφεται σώ-
ματος ῥύπον ὁ θεὸς, ἀλλ' ἀκαθαρσίαν ψυχῆς· ἄκουε γὰρ αὐτοῦ
λέγοντος· "Μακάριοι οἱ καθαροί·" ἆρα τῷ σώματι; οὐδαμῶς, E
ἀλλ', "οἱ τῇ καρδίᾳ καθαροί· [g]ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται."
Ὁ δὲ προφήτης [h]τί φησι; "Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ,
ὁ θεός·" καὶ πάλιν, "[i]Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου."
Μέγα ἀγαθὸν ἐν συνηθείᾳ ἀγαθῶν εἶναι. Ὅρα πῶς ἔστι μικρὰ
ταῦτα καὶ ἀνόνητα· καὶ ἐπειδὰν [k]προληφθῇ ἐν συνηθείᾳ ἡ ψυχὴ,
οὐκ ἀφίσταται, οὐδὲ ἀνέχεται μὴ πρότερον αὐτὰ πληρώσασα
(358) προσελθεῖν τῇ εὐχῇ. Οἷόν τι λέγω· ἐν συνηθείᾳ κατεστήσαμεν
ἑαυτοὺς τοῦ νίπτεσθαι καὶ εὔχεσθαι, καὶ οὐκ ἔνι μὴ νιψάμενον F
τοῦτο ποιῆσαι, ἀλλ' ἡδέως οὐκ εὐχόμεθα, εἰ ἀνίπτοις χερσὶ τοῦτο
[l]ποιοῦμεν, ὡς προσκρούειν μέλλοντες [m]θεῷ, καὶ ὑπὸ συνειδὸς
ὄντες πονηρόν. Εἰ τὸ μικρὸν τοῦτο τοσαύτην ἔχει τὴν τυραν-
νίδα, καὶ πάντως ἐκπληροῦται καθ' ἑκάστην ἡμέραν· εἰ ἐν ἐλεη- 698
μοσύνης συνηθείᾳ κατεστήσαμεν ἑαυτοὺς, καὶ τοῦτο πληροῦν ἀεὶ
ὡρίσαμεν, μηδέποτε εἰσιέναι κεναῖς ταῖς χερσὶν εἰς οἶκον εὐκτή-
ριον, κατώρθωτο ἂν τὸ πρᾶγμα. Μεγάλη γὰρ καὶ ἐν τοῖς ἀγαθοῖς
καὶ ἐν τοῖς κακοῖς τῆς συνηθείας ἡ τυραννίς· οὐ δεησόμεθα πόνου
[n]λοιπὸν, αὐτῆς ἑλκούσης ἡμᾶς. Ἐν συνηθείᾳ πολλοὶ κατέστησαν

19 Matth. v. 8. Psal. l. 12. Jer. iv. 14.

[b] δυνήσεται] + τις ἀπὸ K. Sav. cet. [c] οὐ γίνονται] οὐ γίνωνται I. οὐκ ἂν γένοιντο K. Sav. cet. [d] αὐτὰ C. [e] πολλῆς τῆς παρ.] παρ. πολλῆς I. [f] τὸ om. C. [g] ὅτι] καὶ τί τὸ τέλος τούτου φησὶν, ἐπαγαγὼν ὅτι K. [h] τί φησι] λέγει K. [i] ἀπόπλυνε C.K. ἀπόπλυναι Edd. [k] προκαταληφθῇ C. [l] ποιῶμεν I. ποιούμεθα C. [m] τῷ θεῷ K. Mox ὄντες πονηρὸν pro πονηρὸν ὄντες omnes. [n] λοιπὸν] πολλοῦ I. Mox ἡμᾶς ἐν συνηθείᾳ. πολλοὶ I. ἡμᾶς τῆς συνηθείας. πολλοὶ K.

τοῦ σφραγίζειν ἑαυτοὺς συνεχῶς, καὶ οὐκέτι δέονται τοῦ ὑπομιμνή-
σκοντος, ἀλλὰ καὶ τοῦ νοῦ πολλάκις ἀλλαχοῦ ῥεμβομένου, καθά-
B περ ὑπό τινος ἐμψύχου διδασκάλου τῆς συνηθείας, ἡ χεὶρ αὐτό-
ματος [o]ἕλκεται πρὸς τὸ τὸ σημεῖον ἐργάσασθαι. Ἐν συνηθείᾳ
κατέστησαν ἑαυτούς τινες, ὥστε μὴ ὀμνύειν, καὶ οὔτε ἑκόντες οὔτε (348)
ἄκοντες τοῦτο [p]πείσονται. Καταστήσωμεν καὶ ἡμεῖς ἑαυτοὺς ἐν
ταύτῃ τῇ συνηθείᾳ, τῇ τῆς ἐλεημοσύνης. Πόσων ἡμῖν ἔδει
καμάτων, ὥστε εὑρεθῆναι τὸ φάρμακον τοῦτο; Εἰπὲ γάρ μοι,
εἰ μὴ ἦν ἡ τῆς ἐλεημοσύνης παραμυθία, εἶτα μυρία ἡμαρτηκότες
ὑπευθύνους ἑαυτοὺς κατεσκευάζομεν τῇ τιμωρίᾳ, ἆρα οὐκ ἂν
C [q]ἀπωδυράμεθα πολλά; ἆρα οὐκ ἂν εἴπαμεν, εἴθε ἦν διὰ [r]χρη-
μάτων ἀπολούσασθαι τὰ ἁμαρτήματα, καὶ πάντα ἂν ἐκενώσα-
μεν· εἴθε ἦν διὰ χρημάτων ἐκβαλεῖν τὴν ὀργὴν τοῦ θεοῦ, καὶ οὐκ
ἂν [s]ἐφεισάμεθα τῶν ὄντων; Εἰ γὰρ ἐν νόσῳ τοῦτο ποιοῦμεν,
καὶ ἐν θανάτῳ λέγομεν, ὅτι εἰ ἦν θάνατον πρίασθαι, πάντα ἂν
ἔδωκεν ὁ δεῖνα τὰ ὑπάρχοντα, πολλῷ μᾶλλον [t]τοῦτο. Καίτοι
ὅρα τὴν φιλανθρωπίαν τοῦ θεοῦ, ὅση τίς ἐστιν· οὐκ ἔδωκέ σοι
θάνατον ἀγοράζειν τὸν πρόσκαιρον, ἀλλὰ θάνατον τὸν αἰώνιον.
D Μὴ [v]μικρὰν ἀγοράσῃς, φησὶ, ζωὴν ταύτην, ἀλλὰ ζωὴν ἐκείνην
τὴν αἰώνιον· ἐκείνην σοι πωλῶ, οὐ ταύτην· οὐκ ἐμπαίζω σοι.
Κἂν λάβῃς ταύτην, οὐδὲν ἔλαβες· ἐγὼ οἶδα ὅτι ἐκείνη μεγάλη
ἐστίν. Ἀλλ᾿ οὐχ οὕτως οἱ κάπηλοι, καὶ οἱ τὰ βιωτικὰ ἐμπορευό-
μενοι ποιοῦσιν· ἐκείνοις ἂν [w]ἐξῇ ἐμπαῖξαι οἷς βούλονται, καὶ τὸ
μικρὸν διδόασιν ἀντὶ τοῦ μεγάλου. [x]Αὐτὸς δὲ οὐχ οὕτως. Εἰπέ
μοι, εἰ πρὸς ἔμπορόν τινα ἀπελθὼν, δύο λίθων κειμένων, τοῦ μὲν
[y]εὐτελοῦς, τοῦ δὲ βαρυτίμου καὶ ἱκανὸν ἐργαζομένου πλοῦτον,
καταθεὶς ἐκείνου τοῦ μικροῦ τὸ τίμημα, τὸν μέγαν ἔλαβες, ἆρα
E ἂν ἐνεκάλεσας ἐκείνῳ; Οὐδαμῶς, ἀλλὰ μᾶλλον ἐθαύμασας. Οὕτω
[z]καὶ νῦν κεῖνται δύο ζωαὶ, ἡ πρόσκαιρος καὶ ἡ αἰωνία, πωλεῖ δὲ
ταύτας ὁ θεός· ἀλλὰ ταύτην ἡμῖν πωλεῖ, οὐκ ἐκείνην· τί
[a]ἀσχάλλομεν κατὰ τοὺς ἀνοήτους τῶν παίδων, [b]ὅτι τὸ τίμιον
λαμβάνομεν; [c]Ἔστιν οὖν ἀγοράσαι ζωὴν χρημάτων; φησί.
[d]Ναὶ, ὅταν τὰ ἑαυτῶν, καὶ μὴ τὰ ἀλλότρια καταβάλλωμεν, ὅταν

[o] ἔρχεται C. Mox alterutrum τὸ om. Mor. Ben. et, ut videtur, I. [p] ποιήσονται C. πάσχουσι K. [q] ἀπωδυράμεθα] Sic K. ἀπεδυράμεθα C. ἀπωδυρόμεθα Edd. Mox εἴπομεν C. [r] χρημάτων] τὰ χρήματα K. [s] ἐφιέμεθα C.I. [t] τοῦτο] ἐνταῦθα K. Sav. cet. Statim καὶ ὅρα K. [v] τὴν μικρὰν K. Sav. cet. [w] ἐξῇ] Sic C. Edebatur ἐξῆν. [x] αὐτὸς δὲ οὐχ οὕτως] Sic C. *at ego non sic* Vet. Haec desunt in I. Veron. αὐτὸς δὲ οὐχ οὕτως, ἀλλ᾿ ἀντὶ τῶν μικρῶν τὰ πολλῷ μείζονα δίδωσιν K. Sav. cet. [y] εὐτελοῦς] ψευδοῦς C.I. Veron. *vili* Vet. [z] καὶ om. I. Mox αὐτὰς pro ταύτας idem. [a] ἀσχάλωμεν I. [b] ὅτι] ὄψει C. Statim τὸν τίμιον K. [c] ἔστιν]+δὲ I. Mox ζ. διὰ χρημάτων idem. [d] ναὶ]+πῶς; K. Mox καταβάλωμεν C.

μὴ ἐπίθεσιν ποιῶμεν. Ἀλλ᾽ ἐμὰ λοιπόν ἐστι, φησίν. Οὐκ ἔστι σὰ [e]μετὰ τὴν ἁρπαγὴν, ἀλλ᾽ ἐκείνου ἐστίν· ἀλλότριά ἐστι, κἂν μυριάκις αὐτῶν κύριος ᾖς. Οὐδὲ γὰρ, εἰ παρακαταθήκην λάβοις, F
τὸν καιρὸν [f]καθ᾽ ὃν ὁ παρακαταθέμενος ἀποδημεῖ, σὰ ταῦτά ἐστι, καίτοιγε παρὰ σοὶ κεῖται. Εἰ τοίνυν, ἅπερ ἑκόντων καὶ χάριν εἰδότων τῶν παρακαταθεμένων ἐλάβομεν, οὐκ ἔστιν ἡμέτερα, οὐδὲ ἐκεῖνον τὸν καιρὸν καθ᾽ ὃν ἔχομεν, πολλῷ μᾶλλον ταῦτα, ἅπερ ἀκόντων καὶ μὴ βουλομένων ἁρπάζομεν. Ἐκεῖνός 699
ἐστιν αὐτῶν κύριος, κἂν μυριάκις αὐτὰ ἔχῃς. Ἡμέτερα ὄντως [g]ἐκεῖνά ἐστιν, ἡ ἀρετή· τὰ δὲ χρήματα οὐδὲ τὰ ἡμέτερα ἡμέτερα, μήτιγε τὰ ἀλλότρια, ἀλλὰ νῦν μὲν ἡμῶν, αὔριον δὲ οὐχ ἡμῶν. Τὰ δὲ τῆς ἀρετῆς ἡμέτερα· οὐ γὰρ ζημιοῦται αὕτη, καθάπερ ἐκεῖνα, ἀλλὰ πᾶσι παροῦσά ἐστιν ὁλόκληρος. Ταύτην οὖν κτησώμεθα, καὶ χρημάτων καταφρονῶμεν, ἵνα δυνηθῶμεν τῶν ὄντως ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(359)

ΛΟΓΟΣ Ζ. B

[1]Τοῦτο δὲ γίνωσκε, ὅτι [a]ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, [b]ἄσπονδοι, ἄστοργοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, C
φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· καὶ τούτους ἀποτρέπου. Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ [c]αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις [d]ποικίλαις καὶ ἡδοναῖς, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας δυνάμενα ἐλθεῖν.

ἘΝ τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, ὅτι [2]"Τὸ πνεῦμα ῥητῶς λέ- D
γει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως·" [e]καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ προφητεύει ἐν αὐτῇ τῇ ἐπιστολῇ τοιοῦτόν

1 Cap. III. v. 1—7. 2 1 Tim. iv. 1.

e μετὰ] καὶ μετὰ K. f καθ᾽ ὃν] παρὸν I. g ἐκεῖνα] Sic C.K. Vet. ἐκείνη I. Neutrum legitur in Edd. Paullo ante ἡμετέρα Edd. Hom. VII. a ἐν ταῖς ἐσχ. C. b ἄστοργοι, ἄσπονδοι inverso ord. I. c αἰχμαλωτεύοντες idem. d π. καὶ ἡδοναῖς] Sic omnes. καὶ ἡδοναῖς π. Edd. Mox ἐλθεῖν δυνάμενα hoc ord. I.K. e καὶ—ἐσόμενον] καὶ ἀλλαχοῦ τοιοῦτόν τι ὑ. ἐ. προφητεύει K.

τι ὕστερον ἐσόμενον. [f]Καὶ ἐνταῦθα αὐτὸ ποιεῖ, λέγων· "Τοῦτο δὲ
γίνωσκε, ὅτι ἐν [g]ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί."
Καὶ οὐκ ἀπὸ τῶν ὑστέρων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν φθασάντων
τοῦτο δείκνυσιν· [3]"Ὃν τρόπον, φησὶν, Ἰαννῆς καὶ Ἰαμβρῆς
E ἀντέστησαν [h]Μωϋσῇ." Καὶ ἀπὸ λογισμῶν πάλιν· "Ἐν μεγάλῃ
δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ." Τί δὴ τοῦτο
ποιεῖ; Ἵνα μὴ θορυβῆται Τιμόθεος, μηδὲ ἡμῶν τις, ὅταν ὦσιν
ἄνδρες πονηροί. Εἴγε ἐπὶ Μωϋσέως γεγόνασι, φησὶ, καὶ μετὰ
ταῦτα ἔσονται, οὐδὲν θαυμαστὸν εἶναι καὶ ἐφ' ἡμῶν. "Ἐν
ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί·" [i]τουτέστι, πάνυ
πονηροί. Πῶς ἔσονται καιροὶ χαλεποί; Οὐχὶ τὰς ἡμέρας δια-
βάλλων λέγει, οὐδὲ τοὺς καιροὺς, ἀλλὰ τοὺς ἀνθρώπους τοὺς
τότε ὄντας. Καὶ [k]γὰρ ἡμῖν οὕτω λέγειν ἔθος ἐστὶ καιροὺς
F πονηροὺς, καὶ οὐ πονηροὺς, ἀπὸ τῶν ἐν αὐτοῖς συμβαινόντων
πραγμάτων, [l]ἀπὸ τῶν ἀνθρώπων. [m]Καὶ εὐθέως τὸ πάντων
αἴτιον τίθησι τῶν κακῶν, καὶ τὴν ῥίζαν καὶ τὴν πηγὴν, καὶ ὅθεν
τὰ ἄλλα πάντα τίκτεται, [n]ὅταν μὴ τὰ τοῦ πλησίον τις σκοπῇ,
ἀλλὰ τὰ αὐτοῦ μόνον, ὅταν ἑκατέρων ἀμελῇ· οὕτω γὰρ οὐδὲ τὰ
αὐτοῦ σκοπήσει. Ὥσπερ γὰρ ὁ τὰ τοῦ πλησίον ὁρῶν, τὰ αὐτοῦ
700 καλῶς θήσεται ἐν τοῖς ἐκείνου, οὕτως [o]ὁ καταφρονῶν ἐκείνου, τὰ
αὐτοῦ ὑπερόψεται. Εἰ γὰρ μέλη ἀλλήλων ἐσμὲν, ἡ τοῦ πλησίον
σωτηρία οὐκ ἐκείνου μόνον ἐστὶν, ἀλλὰ καὶ τοῦ λοιποῦ σώματος·
καὶ ἡ τοῦ πλησίον βλάβη, οὐ μέχρις ἐκείνου μόνον ἵσταται,
ἀλλὰ καὶ [p]ἅπαντα λοιπὸν κατατείνει ταῖς ὀδύναις. Εἰ οἰκοδομή
ἐσμεν, ὅπερ ἂν πάθῃ μέρος, [q]καὶ τῷ λοιπῷ λυμαίνεται· ἂν δὲ ᾖ
στεῤῥὸν, καὶ τὸ λοιπὸν διαβαστάζειν δύναται. Οὕτω δὴ καὶ ἐν
τῇ ἐκκλησίᾳ· ὑπερεῖδες τοῦ ἀδελφοῦ; σαυτὸν ἠδίκησας. Πῶς;
B Τὸ μέλος τὸ σὸν βλάβην ὑπέστη οὐ μικράν. Εἰ γὰρ ὁ χρημά-
των μὴ [r]μεταδιδοὺς εἰς τὴν γέενναν ἄπεισιν, ὁ ἐν τοῖς ἀναγκαιο-
τέροις ὁρῶν κινδυνεύοντα, καὶ χεῖρα μὴ ὀρέγων, [s]οὐ πολλῷ μᾶλ-
λον ἐκείνου τοῦτο πείσεται, ὅσῳ καὶ ἐν μείζονι ἡ ζημία γέγονεν;

[3] 2 Tim. iii. 8.

[f] καὶ ἐνταῦθα αὐτὸ] καὶ πάλιν τὸ αὐτὸ C. καὶ ἐνταῦθα δὲ πάλιν τὸ αὐτὸ K. Sav. cet. [g] ὑστέροις καιροῖς] ἐσχάταις ἡμέραις bis K. [h] Μωσεῖ C.I. Μωσῇ K. Veron. Mox Μωσέως I. Veron. et ante corr. C. [i] Haec τουτέστι — χαλεποὶ, quae vulgo absunt, leguntur in nostris omnibus et Vet. [k] γὰρ] + καὶ K. [l] ἀπὸ pro ὑπὸ ex Cat. correximus. [m] καὶ εὐθ.] εὐθ. γοῦν K. [n] ὅταν—τὰ αὐτοῦ (ἑαυτοῦ C.) σκοπήσει] τὴν ὑπεροψίαν. ὁ τούτῳ ἁλοὺς τῷ πάθει, οὐδὲ τὰ οἰκεῖα σκοπεῖ. ὅταν γὰρ μὴ τὰ τοῦ πλ. (+ τις Sav. cet.) σκοπῇ, ὅταν τῶν ἐκείνου ἀμελῇ, πῶς τὰ ἑαυτοῦ σκοπήσει K. Sav. cet. [o] ὁ καταφρονῶν (+ τὰ Sav. cet.) ἐκείνου] ὁ τὰ ἐκείνου καταφρονῶν K. Statim καὶ τὰ αὐτοῦ K. Sav. cet. [p] ἅπαντα—ὀδύναις] εἰς ἅπαντα λοιπὸν διαβαίνει K. [q] καὶ om. K. [r] μεταδοὺς I.K. Mox ἀναγκαίοις I. [s] οὐ om. K. Sav. cet.

“Ἔσονται γάρ, [t]φησὶν, οἱ ἄνθρωποι φίλαυτοι.” [v]Ὁ φίλαυτος
οὗτός ἐστιν, ὁ μάλιστα ἑαυτὸν μὴ φιλῶν· [w]ὁ δὲ φιλάδελφος, οὗτος
[x]μάλιστά ἐστιν ὁ ἑαυτὸν ἀγαπῶν. Ἀπὸ τούτου ἡ φιλαργυρία.
Τὴν γὰρ ἀγάπην πλατεῖαν οὖσαν καὶ πανταχοῦ ἐκκεχυμένην
συστέλλει καὶ εἰς βραχὺ συνάγει τὸ τῆς φιλαυτίας ὀλέθριον καὶ C
[y]μικρολόγον. “Φιλάργυροι.” Ἀπὸ τούτου ἀλαζονεία τίκτεται,
ἀπὸ τῆς ἀλαζονείας [z]ὑπερηφανία, ἀπὸ τῆς ὑπερηφανίας βλα-
σφημία, [a]ἀπὸ τῆς βλασφημίας ἀπόνοια καὶ ἀπείθεια. Ὁ γὰρ
κατὰ ἀνθρώπων ἐπαιρόμενος, εὐκόλως καὶ κατὰ τοῦ θεοῦ. Οὕτω
καὶ τὰ ἁμαρτήματα τίκτεται· πολλάκις κάτωθεν [b]ἄνω ἄνεισιν.
(360) [c]Ὁ πρὸς τοὺς ἀνθρώπους εὐλαβὴς, πολλῷ μᾶλλον πρὸς τὸν θεόν·
ὁ πρὸς ὁμοδούλους ἐπιεικὴς, πολλῷ μᾶλλον πρὸς τὸν δεσπότην·
ὁ δὲ τῶν ὁμοδούλων καταφρονῶν, ὁδῷ προβαίνων καὶ αὐτοῦ κατα-
φρονήσει τοῦ [d]θεοῦ.

[e]Μὴ τοίνυν καταφρονῶμεν ἀλλήλων· διδασκαλία γὰρ αὕτη D
κακὴ, διδάσκουσα ἡμᾶς τοῦ θεοῦ καταφρονεῖν. Καὶ ἐν αὐτῷ μὲν
[f]γὰρ τούτῳ τοῦ θεοῦ καταφρονοῦμεν, ὅταν ἀλλήλων καταφρο-
νῶμεν, τοῦ κελεύσαντος πολλὴν εἰς ἀλλήλους ἐπιδείκνυσθαι
[g]σπουδήν. Πλὴν καὶ ἑτέρως, εἰ βούλεσθε, ἐκ παραδείγματος
τοῦτο ποιήσω φανερόν. Κατεφρόνησε τοῦ ἀδελφοῦ ὁ Κάϊν,
κατεφρόνησεν εὐθέως καὶ τοῦ θεοῦ. Πῶς κατεφρόνησεν; Ὅρα
πῶς ὑβριστικῶς ἀποκρίνεται πρὸς τὸν θεόν· [4]“Μὴ φύλαξ [h]εἰμὶ
τοῦ ἀδελφοῦ μου;” Κατεφρόνησε πάλιν τοῦ ἀδελφοῦ ὁ Ἡσαῦ,
καὶ κατεφρόνησε [i]τοῦ θεοῦ. Διὰ τοῦτο ἔλεγεν ὁ θεὸς, ὅτι
[5]“Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.” Διὸ καὶ
Παῦλός φησι· [6]“Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ.” Κατε-
φρόνησαν τοῦ Ἰωσὴφ οἱ ἀδελφοὶ, κατεφρόνησαν καὶ τοῦ θεοῦ. E
Οἱ Ἰσραηλῖται [k]κατεφρόνησαν Μωϋσέως· διὰ τοῦτο κατεφρό-
νησαν καὶ τοῦ θεοῦ. Οὕτω καὶ οἱ υἱοὶ Ἠλεὶ κατεφρόνουν τοῦ
λαοῦ, κατεφρόνουν καὶ τοῦ θεοῦ. Βούλει δὲ καὶ ἐκ [l]τοῦ ἐναν-
τίου ἰδεῖν; Ὁ Ἀβραὰμ ἐφείσατο τοῦ [m]ἀδελφιδοῦ, ὑπήκουσε

4 Gen. iv. 9. 5 Mal. i. 2, 3. 6 Hebr. xii. 16.

[t] φησὶν om. K. [v] ὁ om. K. μὴ ante φιλῶν om. K. Cat. [w] ὁ δὲ om. K. [x] μάλιστα] Sic C.I. Cat. μᾶλλον Edd. μάλιστά ἐστιν ὁ] ἐστιν ὁ μὴ μόνον K. [y] μικρολόγον] πικρὸν Cat. καὶ μικρ. om. C.I.K. [z] ὑπερηφανία sine artic. I.K. Cat. [a] ἀπὸ τῆς βλ. om. C. (?) [b] ἄνω assumtum ex K. Cat. Haec οὕτω—ἄνεισιν post πρὸς τὸν θεὸν transp. I. inserto καὶ ante πολλάκις. [c] ὁ] καὶ ὁ I. [d] θεοῦ] κυρίου C.I. Vet. invita Cat. [e] ΗΘΙΚΟΝ. Ὅτι ὁ μαθὼν καταφρονεῖν τῶν ἀνθρώπων, καὶ τοῦ θεοῦ εὐχερῶς καταφρονήσει· καὶ κατὰ φιλαργύρων· καὶ ὅτι δεῖ παραινεῖν ἀλλήλοις· καὶ περὶ χηρῶν γυναικῶν, πῶς ὀφείλουσι τὰ καθ' ἑαυτὰς καὶ τὰ ἑαυτῶν τέκνα μετὰ θεὸν διοικεῖν. Veron. [f] γὰρ om. in text. I. [g] τὴν σπουδὴν Edd. invitis nostris. [h] εἰμι om. ante corr. K. [i] τοῦ] καὶ τοῦ I. Mox ὅτι om. K. [k] κατεφρόνουν semel K. bis C. [l] τῶν ἐναντίων K. [m] ἀδελφιδοῦς C.I. Statim καὶ ὑπ. pro ὑπ. καὶ K.

καὶ τῷ θεῷ· καὶ [n]δῆλόν ἐστιν ἐκ τῆς ὑπακοῆς τῆς ἐπὶ [o]τοῦ
F Ἰσαάκ; καὶ τῆς ἄλλης ἁπάσης ἀρετῆς. Πάλιν ὁ Ἄβελ ἐπι-
εικὴς [p]ἦν πρὸς τὸν ἀδελφὸν, εὐλαβὴς ἦν [q]καὶ πρὸς τὸν θεόν.
[r]Μὴ καταφρονῶμεν ἀλλήλων, ἵνα μὴ μάθωμεν καὶ τοῦ θεοῦ
καταφρονεῖν· τιμῶμεν ἀλλήλους, ἵνα μάθωμεν καὶ τὸν θεὸν τι-
μᾶν. Ὁ θρασὺς κατὰ ἀνθρώπων, καὶ κατὰ τοῦ θεοῦ γίνεται
701 θρασύς. Ὅταν [s]δὲ φιλαργυρία, καὶ φιλαυτία, καὶ ἀπόνοια
κατὰ ταὐτὸν συνέλθῃ, τί λοιπὸν λείπεται πρὸς τελείαν ἀπώ-
λειαν; τὸ πᾶν διέφθαρται, καὶ πολὺς τῶν ἁμαρτημάτων ἐπιρρεῖ
βόρβορος. "Ἀχάριστοι," φησί. Πῶς [t]γὰρ ὁ φιλάργυρος
εὐχάριστος ἔσται; τίνι εἴσεται χάριν; Οὐδενί· πάντας ἐχθροὺς
ἡγεῖται, τὰ πάντων θέλων λαβεῖν. Κἂν γὰρ τὴν πᾶσαν οὐσίαν
κενώσῃς, οὐδεμίαν οἶδέ σοι χάριν· ἀγανακτεῖ, ὅτι μὴ πολλὰς
εἶχες, καὶ πολλῶν αὐτὸν πεποίηκας κύριον. Κἂν τῆς οἰκουμένης
[v]ποιήσῃς αὐτὸν δεσπότην, οὐκ οἶδέ σοι χάριν· οὐδὲν γὰρ ἡγεῖται
B εἰληφέναι. Ἀκόρεστος [w]γὰρ ἡ ἐπιθυμία τοῦ κακοῦ τούτου·
νόσου [x]γάρ ἐστιν ἐπιθυμία. Τοιαῦται δὲ αἱ τῶν νόσων ἐπιθυ-
μίαι· καὶ [y]ὁ πυρέττων οὐδέποτε ἐμφορηθῆναι δύναται, ἀλλ' ἀεὶ
ἐν ἐπιθυμίᾳ [z]ἐστίν· ὁ μεθύων οὐδέποτε πληροῦται, ἀλλ' ἀεὶ
διψᾷ. Οὕτω καὶ ὁ περὶ χρήματα μαινόμενος, οὐδέποτε οἶδε
τὴν ἐπιθυμίαν ἐμπλῆσαι· μηδέποτε δὲ ἐμπιπλάμενος, ὅσα ἂν
κενώσῃς, οὐκ εἴσεταί σοι χάριν. Ἐκείνῳ γὰρ εἴσεται μόνῳ τῷ
δεδωκότι ὅσα βούλεται· τοῦτο δὲ οὐδεὶς [a]δυνήσεται ποιῆσαι· οὐ
C γὰρ ἔχει μέτρον ἃ βούλεται· οὐκοῦν οὐδενὶ εἴσεται χάριν.
Οὐδὲν οὕτως ἀχάριστον, ὡς φιλάργυρος· οὐδὲν οὕτως ἀναίσθη-
τον [b]καὶ ἄγνωμον, ὡς φιλοχρήματος· τῆς οἰκουμένης ἁπάσης
ἐστὶν ἐχθρός· ἀγανακτεῖ ὅτι εἰσὶν ἄνθρωποι· βούλεται γὰρ
πάντα ἐρημίας εἶναι μεστὰ, ὥστε [c]τὰ πάντων ἔχειν αὐτός. Καὶ
πολλὰ τοιαῦτα φαντάζεται. Εἰ ἐγένετο σεισμὸς ἐν τῇ πόλει,
φησὶν, εἶτα πάντων καταχωσθέντων, ἐγὼ μόνος περιελείφθην,
[d]ὥστε τὰ πάντων λαβεῖν, εἰ δυνατόν· εἰ ἐπῆλθε λοιμὸς, καὶ
πάντας ἀπώλεσε τοῦ χρυσίου χωρίς· εἰ καταποντισμὸς ἐγένετο,
D εἰ θαλάττης ἐπίκλυσις· καὶ μυρία [e]τοιαῦτα ἐννοεῖ· χρηστὸν μὲν
[f]οὐδὲν, σεισμοὺς δὲ καὶ σκηπτοὺς καὶ πολέμους καὶ [g]λοιμοὺς,

[n] δ. ἐστιν] πόθεν δ. φησιν K. [o] τοῦ] + υἱοῦ I.K. Sav. cet. [p] ἦν] ὢν K. Sav. cet. [q] καὶ om. C. Veron. [r] μὴ] + τοίνυν K. Sav. cet. [s] δὲ] + καὶ C.K. Sav. cet. [t] γὰρ om. C.I. [v] ποιήσῃς αὐτὸν δ.] Sic C.I. αὐτὸν ποιήσῃς δ. K. αὐτὸν δ. ποιήσῃς Edd. [w] γὰρ om. C.K. Sav. cet. Statim τοῦ κακοῦ accessit ex omnibus. [x] γὰρ om. K. [y] ὁ om. K. [z] ἐστιν accessit ex I.K. et ὁ ante μεθύων ex I. [a] δύναται K. [b] καὶ ἄγνωμον est in nostris omnibus, non in Edd. [c] τὰ om. I. [d] Haec ὥστε—δυνατὸν non hic, sed infra post εὔχεται habet K. [e] ταῦτα C. Statim ἐννοεῖ omnes. ἐπινοεῖ Edd. [f] οὐδὲν] + ἔχοντα K. [g] λοιμοὺς Edd. λοιμὸν Codd.

[h]καὶ πάντα τὰ τοιαῦτα γενέσθαι εὔχεται. Εἰπὲ δή μοι, ἄθλιε
καὶ ταλαίπωρε καὶ παντὸς ἀνδραπόδου δουλικώτερε, εἰ πάντα
ἦν χρυσὸς, [i]ἀπηλλάγης ἂν τοῦ χρυσοῦ, λιμῷ διαφθαρείς; εἰ
σεισμὸς ἐγένετο, τῆς οἰκουμένης [k]καταποθείσης, [l]ἀπηλλάγης ἂν
τῆς ὀλεθρίας ταύτης ἐπιθυμίας; [m]οὐ γὰρ ὄντος ἀνθρώπου ἐπὶ
τῆς γῆς, οὐκ ἄν σοι τὰ τῆς ζωῆς συγκεκρότητο. Θῶμεν [n]γὰρ
πάντας ἄρδην ἠφανίσθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους,
εἶτα τὸ χρυσίον αὐτῶν καὶ [o]τὸ ἀργύριον [p]αὐτομάτως πως εἰς E
σὲ περιεληλυθέναι· καὶ γὰρ μωρὰ καὶ ἀδύνατα φαντάζονται· καὶ
τὸν πλοῦτον ἐκείνων, τὸν χρυσὸν, τὸν ἄργυρον, τὰ ἱμάτια τὰ
(361) σηρικὰ, τὰ διάχρυσα, πάντα αὐτομάτως εἰς τὰς σὰς χεῖρας ἐλ-
θεῖν· τί τὸ κέρδος; οὕτως ἂν μάλιστα [q]θάνατός σε κατέλαβεν,
[r]ἀρτοκόπων οὐκ ὄντων, γεωργῶν οὐκ ὄντων, θηρίων ἐπινεμομέ-
νων, δαιμόνων [s]ἐκδειματούντων σοι τὴν ψυχήν. Καὶ νῦν [t]μὲν
αὐτὴν κατέχουσι δαίμονες καὶ πολλοί· τότε δὲ ἄν σε καὶ εἰς ἔκ-
πληξιν ἤγαγον, [v]καὶ εὐθέως ἀπώλεσαν. Ἀλλ' οὐκ ἐβουλόμην, F
[w]φησὶν, ἀλλ' εἶναι καὶ γεωργοὺς καὶ ἀρτοκόπους. Ἀλλ' ἔμελ-
λον κἀκεῖνοι δαπανᾶν. Ἀλλ' οὐκ ἐβουλόμην αὐτοὺς δαπανᾶν.
Οὕτως ἀκόρεστος ἡ ἐπιθυμία αὕτη. [x]Τί γὰρ ἂν εἴη τούτων
καταγελαστότερον; Εἶδες ἀμηχανίαν πραγμάτων; [y]καὶ βού- 702
λεται ἔχειν πολλοὺς τοὺς διακονουμένους αὐτῷ, καὶ ἀλγεῖ ὅτι
τροφῆς οὗτοι μετέχουσιν, ἅτε ἐλαττοῦντες αὐτοῦ τὴν οὐσίαν.
Τί οὖν, [z]εἰπέ μοι; βούλει λιθίνους εἶναι τοὺς ἀνθρώπους; [a]Χλευ-
ασία ταῦτα πάντα, κύματα, καὶ ζάλη, καὶ χειμὼν, καὶ [b]τρικυ-
μίαι, καὶ [c]πολὺς ὁ θόρυβος τῇ ψυχῇ· ἀεὶ πεινᾷ, ἀεὶ διψᾷ.
Εἰπὲ δή μοι, [d]τοῦτον οὐκ ἐλεήσομεν οὐδὲ δακρύσομεν; ἀλλ'
ἐν μὲν τοῖς σώμασι τὸ τοιοῦτον κόλασίς ἐστιν ἡ χαλεπωτάτη,
βουλιμία λεγομένη παρὰ τῶν ἰατρῶν, ὅταν τις πολλῶν ἐμφο- B

[h] καὶ] τί λέγω, ἐννοεῖ; K. [i] ἀπηλλάγης ἂν] οὐκ ἂν ἀπηλλάγης ὑπὸ K. Sav. cet. [k] καταχυσθείσης I. [l] ἀπηλλάγης ἂν] ἀπωλώλεις (ἀπολώλεις Sav.) ἂν καὶ σὺ ὑπὸ K. Sav. cet. [m] οὐ γὰρ ὄντος] μὴ ὄντος γὰρ K. [n] γὰρ] δὲ καὶ K. [o] τὸν ἄργυρον C. Mox προεληλυθέναι I. [p] αὐτομάτως—ἐλθεῖν] τὰ ἱμάτια τὰ σ. τὰ δ. πάντα τὸν πλ. ἐκείνων εἰς τὰς σὰς χ. αὐτομάτως ἐλθεῖν K. [q] θ. σε] σε θ. C.K. [r] ἀρτοκόπων—θηρίων] γεωργῶν οὐ παρόντων, ἀρτοποιῶν οὐκ ὄντων, θηρίων K. [s] ἐκδηματούντων C.I. Statim σου I.K. [t] μὲν] + γὰρ K. [v] καὶ pro κἂν omnes. [w] φησὶν] + οὕτως I. [x] τί—καταγ.] τί τούτων ἂν εἴη καταγ. τῶν ῥημάτων K. [y] καὶ om. K. Sav. cet. [z] εἰπέ μοι, βούλει] ἐβούλου, εἰπέ μοι K. [a] χλευασία τ. π.] ἀπάτη τ. π. καὶ σκότωσις τοῦ λογισμοῦ, ταῦτα πάντα K. [b] τρικυμία I. K. Sav. cet. [c] πολὺς ὁ om. K. Mox τῆς ψυχῆς C.K. [d] τοῦτον—πάθος] τοῦτον οὐκ ἄξιον δακρύειν; ἀλλὰ τοῖς σώμασι νόσος ἂν ἐγγένηταί τινι ἡ χαλεπωτάτη, βουλ. διὰ τοῦτο παρὰ τῶν ἰ. λεγομένη, ὅτι πολλῶν τις ἐμφ. τοῦ λ. οὐκ ἀπαλλάττεται, δακρύομεν τὸν τοιοῦτον καὶ ἐλεοῦμεν; ἐπὶ δὲ τῆς ψ. τὸ αὐτὸ τ. π. ἐγγινόμενον, οὐ δακρύσομεν τὸν περιπεπτωκότα τούτῳ μᾶλλον καὶ ἐλεήσομεν; καὶ πόσης οὐκ ἀναλγησίας τὸ παριδεῖν τὸν πάσχοντα τοῦτο. βούλει μαθεῖν καὶ τὴν νόσον; K.

ρούμενος, τοῦ λιμώττειν μὴ ἀπαλλάττηται· ἐπὶ δὲ τῆς ψυχῆς οὐ δακρύσομεν τὸ αὐτὸ τοῦτο πάθος; Βουλιμία [e]γὰρ ψυχῆς φιλαργυρία, ἣ πολλῶν μὲν ἐμπίπλαται, οὐδέποτε δὲ ἵσταται, ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἀεὶ κατατείνεται. Εἰ γὰρ ἐλλέβορον ἔδει πιεῖν, [f]ἢ μυριάκις ὑποστῆναί τι τούτου βαρύτερον, ὥστε ἀπαλλαγῆναι τοῦ πάθους τούτου, οὐκ [g]ἐχρῆν προθύμως καταδέξασθαι; Οὐκ ἔστι χρημάτων πλῆθος, ὃ τὴν ἀκόρεστον νηδὺν ἐμπλῆσαι δύναται. [h]Οὐκ αἰδεσθησόμεθα τοίνυν ἡμεῖς, εἰ περὶ μὲν [i]τὰ χρήματα οὕτω τινὲς μεμήνασι, περὶ δὲ τὸν θεὸν ἡμεῖς
C οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης ἐπιδεικνύμεθα, ἀλλὰ [k]ἀργυρίου ἀτιμότερος ἡμῖν ὁ θεός; Καὶ γὰρ ὑπὲρ μὲν ἀργυρίου καὶ ἀγρυπνίας καὶ ἀποδημίας καὶ κινδύνους ἐπαλλήλους καὶ μῖσος καὶ ἐπιβουλὰς καὶ πάντα ὑπομένουσιν ἄνθρωποι· ἡμεῖς δὲ ὑπὲρ τοῦ θεοῦ οὐδὲ ψιλὸν ῥῆμα προέσθαι ἀνεχόμεθα, οὐδὲ ἀπέχθειαν ἀναδέξασθαι· ἀλλὰ ἂν δέῃ τινὶ τῶν καταπονουμένων ἀμῦναι, τὰς τῶν δυναστευόντων ἔχθρας ὑποστελλόμενοι καὶ τοὺς κινδύ-
D νους, [l]προδίδομεν τὸν ἠδικημένον· καὶ δύναμιν λαβόντες παρὰ τοῦ θεοῦ ὥστε βοηθεῖν, ἀπόλλυμεν αὐτὴν διὰ τὸ μὴ βούλεσθαι μισεῖσθαι μηδὲ ἀπεχθάνεσθαι. [m]Καὶ εὐθέως τοῦτο προβάλλονται οἱ πολλοί, [n]εἰκῇ φιλοῦ, λέγοντες, εἰκῇ μὴ μισοῦ. Τοῦτο δὲ εἰκῇ μισεῖσθαί [o]ἐστι; τί δὲ τοῦ μίσους τούτου κρεῖττον; Τῆς γὰρ φιλίας τῆς διὰ τὸν θεὸν τὸ μῖσος τὸ δι' αὐτὸν πολλῷ βέλτιον. [p]Ὅταν γὰρ φιλώμεθα διὰ τὸν θεόν, ἡμεῖς ὀφειλέται [q]αὐτοῦ ἐσμεν τῆς τιμῆς· ὅταν δὲ μισώμεθα, αὐτὸς ἡμῖν ὀφειλέτης ἐστὶ τοῦ μισθοῦ. Ὅσον ἂν ἀγαπήσωσι τὸν χρυσὸν οἱ
E φιλοχρήματοι, οὐκ ἴσασι μέτρον ἀγάπης· ἡμεῖς δὲ κἂν μικρόν τι ἐργασώμεθα, τὸ πᾶν ἠνυκέναι νομίζομεν. Ὡς ἐκεῖνοι τὸν χρυσὸν φιλοῦσιν, ἡμεῖς τὸν θεὸν οὐ φιλοῦμεν, ἀλλ' οὐδὲ τὸ πολλοστὸν μέρος. Πολλὴ ἐκείνων κατηγορία, ὅτι τοσαύτην περὶ τὸν χρυσὸν [r]τὴν μανίαν ἔχουσι· πολλὴ ἡμῶν κατάγνωσις, ὅτι οὐ [s]μαινόμεθα οὕτω περὶ τὸν θεόν, [t]ἀλλ' ὅσην τῇ γῇ· γῆ γὰρ ὁ χρυσὸς [v]μεταλλική· ὅσην τῇ γῇ [w]τιμὴν [x]ἀπονέμουσιν,
F τοσαύτην οὐκ ἀπονέμομεν τῷ πάντων δεσπότῃ.

[e] γὰρ om. K. Statim ἡ φιλ. Edd. ἡ om. C.I. et ante corr. K. [f] ἢ—βαρύτερον] μυριάκις, ἢ ἀποστῆναί τι τούτων β. ἄλλο K. Mox τούτου om. idem. [g] ἐχρῆν omnes. ἔδει Edd. [h] οὐκ αἰδ. τοίνυν ἡμεῖς] εἶτα οὐκ αἰδ. K. [i] τὰ χρήματα omnes. Edebatur χρημάτων. [k] ἀργυρίου] + γίνεται K. Sav. cet. [l] προδίδομεν C.K. προδίδωμεν I. προδιδόαμεν Edd. [m] καὶ εὐθέως] εὐθέως γοῦν K. [n] εἰκῇ φ. λέγοντες] καί φασιν, εἰκῇ φ. K. [o] ἐστι; τί δὲ] ἐστιν, εἰπέ μοι; καὶ τί K. [p] ὅταν] + μὲν I. [q] αὐτοῦ assumtum ex C.I. αὐτοῦ pro ἐσμὲν K. [r] τὴν om. C. [s] μαινόμεθα] διακείμεθα K. [t] ἀλλ' ὅσην] ὥσπερ K. [v] μεταλλική] Sic omnes. ὁ μεταλλικὸς Edd. [w] τὴν τιμὴν C.K. [x] ἀπονέμουσιν] + ἐκεῖνοι K. Sav. cet. Post ἀπονέμομεν add. ἡμεῖς K. Sav. cet.

Ἴδωμεν αὐτῶν τὴν μανίαν, καὶ αἰδεσθῶμεν. Τί γάρ, εἰ καὶ
ἡμεῖς μὴ περικαιόμεθα τοῦ χρυσοῦ, ἀλλ' οὐδὲ τοῦ θεοῦ δεόμεθα
σπουδαίως; Ἐνταῦθα μὲν γὰρ ἄνθρωποι γυναικὸς καταφρονοῦσι
καὶ παίδων καὶ οὐσίας καὶ αὐτῆς τῆς σωτηρίας αὐτῶν, καὶ ταῦτα
οὐκ εἰδότες ὅτι τὴν οὐσίαν αὔξουσι τὴν [y]αὐτῶν· πολλάκις γὰρ 703
ἐν μέσαις ταῖς ἐλπίσι καὶ τὴν ψυχὴν ἀφέντες ἀπῆλθον εἰκῆ
πονήσαντες· ἡμεῖς δὲ εἰδότες ὅτι ἐπιτευξόμεθα τοῦ ποθουμένου,
ἂν αὐτὸν ἀγαπήσωμεν ὡς ἀγαπᾶν χρὴ, οὐδὲ οὕτω φιλοῦμεν,
ἀλλὰ [z]πάντα κατεψύξαμεν, τὴν πρὸς [a]τὸν πλησίον ἀγάπην, τὴν
πρὸς τὸν θεόν· ἀπὸ τούτου [b]καὶ τὴν πρὸς τὸν θεὸν, ἐπειδὴ τὴν
πρὸς τὸν πλησίον. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνδρα οὐκ εἰδότα
φιλεῖν, ἔχειν τι γενναῖον καὶ φρόνημα ἀνδρεῖον. Ἡ γὰρ ὑπο-
βάθρα πάντων τῶν ἀγαθῶν οὐδέν ἕτερόν ἐστιν ἀλλ' ἡ φιλία·
[7]"Ἐν τούτῳ, φησὶν, ὁ νόμος καὶ οἱ προφῆται κρέμανται." Κα- B
θάπερ [c]γὰρ εἰς ὕλην πῦρ εἰσελθὸν πάντα διακαθαίρειν εἴωθεν,
(362) οὕτω καὶ ἡ τῆς ἀγάπης θερμότης, ὅπουπερ ἂν ἐμπέσῃ, πάντα
ἀναιρεῖ καὶ διακόπτει τὰ τῷ θείῳ λυμαινόμενα σπόρῳ, καὶ τὴν
γῆν καθαρὰν πρὸς ὑποδοχὴν τῶν σπερμάτων ἐργάζεται. Ἔνθα
ἐστὶν ἀγάπη, πάντα ἀνῄρηται τὰ κακά· οὐκ [d]ἔστι φιλαργυρία,
ἡ ῥίζα τῶν κακῶν, οὐκ ἔστι [e]φιλαυτία, οὐκ ἔστιν ἀλαζονεία· [f]τί
γὰρ ἄν τις κατὰ τοῦ φίλου [g]ἀλαζονεύηται; Οὐδὲν μὲν οὖν οὕτω
ποιεῖ ταπεινὸν ὡς ἀγάπη. Καὶ γὰρ τὰ τῶν οἰκετῶν τοῖς φίλοις C
διακονούμεθα, καὶ οὐκ αἰσχυνόμεθα, [h]ἀλλὰ χάριν ἴσμεν τῆς δου-
λείας ταύτης αὐτοῖς· χρημάτων οὐ φειδόμεθα, ἀλλ' οὐδὲ σωμά-
των πολλάκις· ἤδη γάρ τις καὶ ὑπερεκινδύνευσε τοῦ φιλουμένου.
Φθόνος οὐκ ἔστιν, οὐδὲ [i]κακηγορία, ἔνθα ἂν ᾖ γνησία φιλία· οὐ
γὰρ μόνον οὐ διαβάλλομεν τοὺς φίλους, ἀλλὰ καὶ τοὺς διαβάλ-
λοντας ἐπιστομίζομεν. Πάντα γαληνὰ, πάντα ἥμερα, μάχης
καὶ φιλονεικίας οὐδὲ ἴχνος φαίνεται· πάντα εἰρήνης μεστά·
[8]"Πλήρωμα [k]γὰρ νόμου ἡ ἀγάπη·" οὐδὲν ἀηδές. [l]Τίνα γάρ
ἐστιν αὐτὰ τὰ ἁμαρτήματα; [m]Πλεονεξία, ἁρπαγὴ, φθόνος,
κακηγορία, ἀπόνοια, ἐπιορκία, ψεῦδος· ταῦτα πάντα καταλύεται, D
τῆς ἀγάπης οὔσης. Ἐπιορκοῦσι γὰρ οἱ ἐπιορκοῦντες, ἁρπάσαι

7 Matth. xxii. 40. 8 Rom. xiii. 10.

[y] ἑαυτῶν K. Sav. cet. [z] πάντα] πᾶσαν I. [a] τὸν om. K. Statim τὴν πρὸς τὸν θεὸν om. I. [b] καὶ assumtum ex omnibus. Mox ἐπειδὴ καὶ τὴν Edd. καὶ om. C.K. καὶ τὴν om. I. [c] γὰρ om. K. Mox ἐμπέσῃ pro ἐμπέσοι omnes. [d] ἔστιν ἡ φ. Edd. ἡ om. C.I. [e] Vid. Annot. [f] τί] + καὶ K. Mox κατὰ φίλου idem. [g] ἀλαζονεύηται] Sic Veron. -νεύεται I. -νεύσηται C. -νεύσαιτο K. Sav. cet. [h] ἀλλὰ] + καὶ K. Sav. cet. Mox αὐτοῖς in marg. add. I. [i] κατηγ. K. Mox ἀγάπη pro φιλία C. [k] γὰρ om. K. Post νόμου add. φησὶν K. Sav. cet. [l] τίνα γάρ ἐστιν αὐτὰ] παρ' αὐτῇ. πῶς; αὐτὰ γὰρ K. Sav. cet. [m] πλ.] οἷον πλ. K. Statim ἁρπ. φθ. κακ. om. idem.

βουλόμενοι· τὸν δὲ ἀγαπώμενον οὐδεὶς ἂν ἁρπάσειεν, ἀλλὰ καὶ
προσδοίη τὰ ἑαυτοῦ τῷ φιλουμένῳ· χάριν [n]γὰρ ἔχομεν μᾶλλον,
ἢ εἰ λάβοιμεν παρ' αὐτοῦ. Ἴστε ταῦτα ὅσοι φίλους ἐσχήκατε·
φίλους οὐ [o]μέχρι ὀνόματος λέγω, οὐδὲ ἐκ ψιλῆς προσηγορίας,
ἀλλ' εἴ τις ἠγάπησεν ὡς ἀγαπᾶν ἔδει, εἴ τις προσεδέθη τινί. Εἰ
E δέ τινες οὐκ ἴσασι, παρὰ τῶν εἰδότων μαθέτωσαν. Νῦν διηγή-
σομαι ὑμῖν ἀπὸ τῶν γραφῶν φιλίαν θαυμαστήν. Ὁ τοῦ Σαοὺλ
υἱὸς Ἰωνάθαν ἐφίλησε τὸν Δαυΐδ· [9]"Καὶ συνεδέθη αὐτῷ, [p]φησὶν,
ἡ ψυχή·" [q]καὶ θρηνῶν αὐτὸν ἔλεγεν· "Ἐπέπεσεν ἐπ' ἐμὲ ἡ ἀγά-
πησίς σου, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν· εἰς θάνατον ἐτραυμα-
τίσθης ἐμοί." Τί οὖν; [r]ἴδωμεν· ἆρα ἐφθόνησεν αὐτῷ; Οὐδαμῶς,
καίτοιγε εἶχεν ἀνάγκην τοῦ φθονεῖν. Πῶς; Ἀπὸ [s]γὰρ τῶν
πραγμάτων ἑώρα τὴν βασιλείαν ἐρχομένην εἰς αὐτὸν, [t]καὶ οὐδὲν
ἔπαθε τοιοῦτον· [v]οὐκ εἶπεν, οὗτός ἐστιν ὁ ἐμὲ ἀποστερήσων τῆς
βασιλείας τῆς πατρικῆς, ἀλλὰ συγκατεσκεύαζεν αὐτῷ τὴν ἀρχὴν,
καὶ τοῦ πατρὸς οὐκ ἐφείδετο διὰ τὸν φίλον. Ἀλλὰ μή τις
αὐτὸν πατραλοίαν νομιζέτω· οὐ γὰρ ἠδίκει τὸν πατέρα, ἀλλὰ
704 τὰς ἐπιβουλὰς καὶ τὰς ἀδικίας κατεῖχε. [w]Μᾶλλον ἐφείδετο, ἢ
ἠδίκει· οὐκ ἀφῆκεν αὐτὸν εἰς φόνον ἄδικον ἐκβῆναι. Ἠθέλησε
καὶ ἀποθανεῖν πολλάκις δι' αὐτόν. Οὐ κατηγόρησεν, ἀλλὰ καὶ
τὸν πατέρα ἐπεστόμισεν· οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ συγκατε-
σκεύασεν· οὐ χρημάτων [x]αὐτῷ μετέδωκε μόνον, ἀλλὰ καὶ [y]σω-
τηρίας, καὶ τὴν ψυχὴν [z]ὑπὲρ αὐτοῦ προήκατο. Οὐκ ᾐδέσθη τὸν
γεγεννηκότα διὰ τὸν φίλον, ἐπειδὴ ὁ μὲν ἀδίκοις ἐπεχείρει
B πράγμασιν, ὁ δὲ οὐδὲν ἑαυτῷ συνῄδει τοιοῦτον. Ἐκεῖ μὲν οὖν
μετὰ τοῦ δικαίου [a]ἦν ἡ φιλία· οὕτως οὖν ὁ Ἰωνάθαν. Ἴδωμεν
[b]δὲ καὶ τὸν Δαυΐδ. Οὐκ ἐγένετο αὐτῷ καιρὸς ἀποδοῦναι τὰς
ἀμοιβάς· προανηρπάσθη γὰρ ἐκεῖνος τῆς ἀρχῆς [c]τοῦ Δαυΐδ, καὶ
πρὶν ἢ τὸν εὖ παθόντα ἐλθεῖν εἰς τὴν βασιλείαν ὁ εὖ ποιῶν ἀπώ-
λετο. [d]Τί οὖν; ἐν οἷς ἦν δυνατὸν καὶ ἐξῆν, ἴδωμεν πῶς ἐπεδεί-
ξατο τὴν φιλίαν ὁ δίκαιος. "[e]Καλὸς ἐμοὶ, φησὶν, Ἰωνάθαν·
εἰς θάνατον ἐτραυματίσθης ἐμοί." Ἆρα τοῦτο μόνον; οὐ

[9] 1 Reg. xviii. 1. 2 Reg. i. 25, 26.

[n] γὰρ om. C. [o] μέχρις K. [p] φησὶν om. K. [q] καὶ—ἔλεγεν] οὕτως ὡς καὶ θρ. αὐτὸν λέγειν K. Sav. cet. [r] ἴδωμεν· ἆρα] ἐκεῖνος ἆρα (vel ἄρα) K. Sav. cet. [s] γὰρ post βασιλείαν transp. K. [t] καὶ] + ὅμως K. Sav. cet. [v] οὐκ εἶπεν] οὐδὲ εἶπεν ὅτι K. [w] καὶ μᾶλλον I. [x] αὐτῷ om. K. [y] σωτηρίας] + τί λέγω χρημάτων K. Sav. cet. Statim καὶ om. K. [z] ὑπὲρ om. C.I. Veron. [a] ἦν om. K. Mox οὕτως omnes. οὗτος Edd. [b] δὲ] Sic Veron. δὲ om. C. οὖν pro δὲ I. Post δὲ add. λοιπὸν Sav. cet. add. λοιπὸν ἐντεῦθεν K. [c] τοῦ Δ.] αὐτοῦ K. [d] τί οὖν;—ἴδωμεν] τί οὖν ὁ Δαδ; ἀντεπιδείκνυται τὴν χάριν τῷ φιλουμένῳ καὶ τεθνηκότι ἐν οἷς ἦν δυνατὸς καὶ ὅτε ἐξῆν· μάθωμεν δὲ καὶ K. Statim ἐπεδείξατο pro ἐπεδείκνυτο omnes. [e] καλῶς I.K.

[f]μικρὸν γὰρ καὶ τοῦτο· πλὴν ἀλλὰ καὶ τὸν υἱὸν ἐκείνου, καὶ τὸν
[g]ἔκγονον πολλάκις κινδύνων ἐξήρπασεν, ἀπομνημονεύων τοῦ πα- C
τρὸς τὴν χάριν· καὶ διετέλει καθάπερ υἱοῦ τινος ἔκγονα διατηρῶν
καὶ διαφυλάττων.

Τοιαύτην ἐγὼ βούλομαι φιλίαν πάντας ἔχειν, καὶ πρὸς ζῶν-
τας καὶ πρὸς ἀπελθόντας. [h]Αἱ γυναῖκες ἀκουέτωσαν· μάλιστα
γὰρ τοῦτο εἶπον, πρὸς ἀπελθόντας· αἱ δευτέροις ὁμιλοῦσαι γά-
μοις, καὶ τὴν εὐνὴν διαφθείρουσαι τοῦ τετελευτηκότος, [i]ἀποστέρ-
ξασαι τὸν πρότερον. Οὐκ ἀπαγορεύων τὸν δεύτερον γάμον, D
οὐδὲ ἀκόλαστον εἶναι [k]λέγων, ταῦτά φημι· οὐ γὰρ ἀφίησί με ὁ
Παῦλος, χαλινὸν ἐπιτιθείς μου τῷ στόματι, καὶ λέγων ταῖς
γυναιξὶν, [10]"Ἐὰν δὲ καὶ γήμῃ, οὐχ ἥμαρτεν." [l]Τί δέ;
"Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ·" [m]πολλῷ τοῦτο βέλ-
(363) τιον ἐκείνου. Διὰ τί; Διὰ πολλά. Εἰ γὰρ [n]τοῦ γαμῆσαι τὸ
μηδ' ὅλως γαμῆσαι βέλτιον, πολλῷ [o]πάλιν ἐκείνου τοῦτο βέλ-
τιον. Ἀλλ' οὐκ ἤνεγκάν τινες, φησὶ, τὴν χηρείαν, ἀλλὰ συμ-
φοραῖς [p]περιέπεσον. Οὐ γὰρ ἔγνωσαν τί ἐστι χηρεία. Οὐ E
τοῦτό ἐστι χηρεία, τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις, ὥσπερ οὖν
οὐδὲ παρθενία τοῦτό ἐστι τὸ ἀπειρόγαμον εἶναι· ἀλλὰ τί;
Ὥσπερ ἐκεῖ τὸ εὔσχημον καὶ εὐπρόσεδρον, οὕτω [q]καὶ ἐνταῦθα τὸ
μεμονῶσθαι, τὸ προσκαρτερεῖν ταῖς δεήσεσι, τὸ τρυφῆς ἀπηλ-
λάχθαι καὶ σπατάλης· [11]"Ἡ γὰρ σπαταλῶσα, φησὶ, ζῶσα
τέθνηκεν." Εἰ μέλλοις χήρα μένουσα τὸν αὐτὸν [r]κόμπον ἔχειν,
καὶ τὴν αὐτὴν φαντασίαν, καὶ τὴν [s]ἄλλην περιβολὴν ἣν ζῶντος
εἶχες τοῦ ἀνδρὸς, βέλτιον γαμῆσαι· οὐ γὰρ ἡ μίξις κακὸν, ἀλλ' F
ἡ πολυπραγμοσύνη. Σὺ [t]δὲ τὸ μὲν οὐκ ὂν κακὸν οὐ πράττεις,
τὸ δὲ οὐκ ἀδιάφορον, ἀλλ' ὑπὸ ἔγκλημα ὂν, τοῦτο ὑπομένεις.
Διὰ τοῦτο ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ, ἐπειδὴ οὐκ ἔγνωσαν
χηρεῦσαι καλῶς. Βούλει μαθεῖν τί ἐστι χήρα, καὶ τί τὸ τῆς
χήρας ἀξίωμα; Ἄκουε Παύλου λέγοντος· [12]"Εἰ ἐτεκνοτρόφη-
σεν, [v]εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις 705
ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν." Ὅταν γὰρ
τοῦ ἀνδρὸς τελευτήσαντος ἧς πλούτου περιβεβλημένη πολὺν

[10] 1 Cor. vii. 28, 40. [11] 1 Tim. v. 6. [12] Ibid. 14.

[f] μικρὸν] + μὲν K. [g] ἔγγονον et mox ἔγγονα K. Sav. cet. [h] ἀκουέτωσαν αἱ γ. hoc ord. K. Statim μ. γὰρ διὰ τοῦτο K. Sav. cet. [i] ἀποστέρξασαι] Sic K. αἱ μὴ στέρξασαι I. αἱ στέρξασαι Edd. [k] λέγων] βουλόμενος K. [l] τί δέ;] ἀλλ' ἴδωμεν καὶ τὸ ἑξῆς K. Sav. cet. [m] πολλῷ] διὰ τοῦτο λέγω, ἐπεὶ πολλῷ K. [n] τοῦ γαμῆσαι om. K. [o] πάλιν] Sic omnes. μᾶλλον Edd. Statim ἐκείνου τοῦτο pro τοῦτο ἐκείνου C.I. ἐκείνου τ. β.] τοῦ γαμήσασαν κάλλιον τὸ μὴ γαμῆσαι K. [p] περιέπεσαν I. Statim οὐδὲ γὰρ C. [q] καὶ accessit ex C.I. κἀνταῦθα K. [r] κόπον I. [s] ἄλλην] αὐτὴν K. Sav. cet. [t] δὲ τὸ om. C. [v] εἰ ἐξεν. om. C.

ὄγκον, εἰκότως οὐ φέρεις τὴν χηρείαν. Μετάθες τοίνυν τὸν
πλοῦτον τοῦτον εἰς τὸν οὐρανὸν, καὶ ἔσται σοι φορητὸν τῆς χη-
ρείας τὸ φορτίον. Τί οὖν, ἂν παῖδας ἔχω τοῦ πατρῴου κλήρου
διαδόχους, φησί; Παίδευε κἀκείνους χρημάτων καταφρονεῖν· τὰ
σαυτῆς μετάθες, [w]ἐκείνοις ἀπονείμασα τοσοῦτον ὅσον ἀρκεῖ·
[x]παίδευε κἀκείνους εἶναι χρημάτων κρείττους. Τί οὖν, ἂν
B περιρρέῃ, φησὶν, ἀνδραπόδων πλῆθος; ἐὰν πραγμάτων ἑσμὸς,
χρυσίον, ἀργύριον; πῶς ἱκανὴ πρὸς ταύτην ἔσομαι τὴν φυλακὴν,
δεομένη ἀνδρὸς προστασίας; Σκῆψις ταῦτα καὶ πρόφασις· καὶ
τοῦτο δῆλον πολλαχόθεν. Εἰ γὰρ μὴ ἐφίεσαι χρημάτων, μηδὲ
πλείω τὰ ὄντα ποιῆσαι θέλεις, κοῦφόν σοι τὸ φορτίον· [y]τὸ γὰρ
φορτικώτερον τοῦ φυλάξαι πολλῷ πλέον ἐστὶ τὸ περιβαλέ-
σθαι. Ἂν τοίνυν τὸ ἓν ἐκκόψῃς, τὸ [z]περιβαλέσθαι, καὶ ἐκ τῶν
ἐνόντων τοῖς δεομένοις χορηγῇς, ὁ θεὸς [a]ὑπερασπιεῖ τὴν χεῖρα
C τὴν αὐτοῦ· [b]κἂν ὄντως τῆς τῶν ὀρφανῶν κληρονομίας προεστῶσα
ταῦτα λέγῃς, οὐχὶ δὲ προφάσει ταύτης [c]κέχρησαι φιλαργυρίᾳ,
οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων ἐν ἀσφαλεῖ τὸν ἐκείνων καταστῆ-
σαι πλοῦτον, αὐτὸς ὁ ἐπιτάξας τεκνοτροφεῖν. Οὐ γάρ ἐστιν,
οὐκ ἔστιν οἰκίαν ὑπὸ ἐλεημοσύνης ἐρριζωμένην παθεῖν τι δεινόν·
ἀλλὰ κἂν πάθῃ πρὸς καιρὸν, εἰς ἀγαθὸν τελευτήσει. Τοῦτο
μᾶλλον ἀσπίδος καὶ δόρατος ἔσται πάσῃ τῇ οἰκίᾳ. Ἄκουε τί
φησιν ὁ διάβολος περὶ τοῦ Ἰώβ· [13]"Οὐ σὺ περιέφραξας αὐτοῦ
τὰ ἔσω καὶ τὰ ἔξω;" [d]Διὰ τί; Ἄκουε [e]καὶ τοῦ Ἰὼβ λέγοντος·
"Ὀφθαλμὸς ἤμην τυφλῶν, [f]φησὶ, ποὺς χωλῶν, πατὴρ ὀρφα-
D νῶν." Ὥσπερ ὁ μὴ ἀποσχίζων ἑαυτὸν τῶν ἀλλοτρίων συμφο-
ρῶν, οὐδέποτε οὐδὲ ἐν τοῖς οἰκείοις πείσεταί τι κακοῖς, ὅταν ἐν
τῷ συναλγεῖν μανθάνῃ· οὕτως ὁ μὴ βουλόμενος τὴν ἀπὸ τῆς
συμπαθείας φέρειν λύπην, ἐν τοῖς [g]αὐτοῦ ταῦτα εἴσεται πάντα.
Καὶ καθάπερ ἐπὶ τοῦ σώματος ἡ χεὶρ, τοῦ ποδὸς σηπομένου, ἂν
μὴ συμπαθῇ, καὶ τραῦμα [h]καθάρῃ, καὶ φάρμακον ἐπιθῇ, καὶ ἀπο-
πλύνῃ ἰχῶρα, ἐν τοῖς [i]αὐτῆς κακοῖς τοῦτο πείσεται· καὶ ἡ μὴ
βουληθεῖσα διακονῆσαι ἑτέρῳ ἐκτὸς οὖσα τοῦ πάθους, [k]αὐτὴ
E ἔνοχος ἔσται τῷ πάθει· ἐκεῖθεν γὰρ ἕρπον τὸ κακὸν ἥξει καὶ ἐπὶ
ταύτην, καὶ οὐκέτι περὶ διακονίας ὁ λόγος αὐτῆς ἔσται, ἀλλὰ

[13] Job. i 10. xxix. 15.

[w] κἀκείνοις C. [x] π. κἀκείνους] δίδασκε αὐτοὺς K. [y] τὸ γὰρ om. K. Sav. cet. [z] περιβαλέσθαι] + φημὶ Veron. Sav. Mor. + φησὶ Ben. + λέγω K. [a] ὑπερασπιεῖ] + σου K. [b] κἂν] οὐκ ἂν K. [c] κέχρησαι] Sic I. κέκτησαι vulgo. ταύτης κε. φιλαργυρίᾳ] φιλαργυρίας τούτοις κέχρησαι K. [d] διὰ τί om. C. [e] καὶ τοῦ] Sic C. Veron. αὐτοῦ τοῦ K. αὐτοῦ I. Sav. cet. [f] φησὶ om. K. Statim ποὺς δὲ χ. I. [g] ἑαυτοῦ K. Sav. cet. [h] καθαίρῃ C. καὶ τρ. καθάρῃ om. K. [i] αὐτῆς—πείσεται] Sic omnes. ἑαυτῆς τοῦτο πείσεται κακοῖς Edd. [k] αὐτὴ] αὐτῆς C.I. αὐτὴ om. K. Mox τῷ ἑαυτῆς πάθει K.

περὶ ἰατρείας καὶ ἀπαλλαγῆς· οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὴ βουλόμενος ἑτέροις συμπάσχειν, αὐτὸς ἀλγήσει. "Περιέφραξας αὐτοῦ, φησὶ, τὰ ἔσω καὶ τὰ ἔξω" καὶ οὐ [l]τολμᾷ ἐπελθεῖν. Ἀλλ' ἔπαθε, [m]φησὶ, δεινά. Ἀλλὰ τὰ δεινὰ ἐκεῖνα πολλῶν ἐγένετο ἀγαθῶν αἴτια· διπλασίων ἡ οὐσία, μείζων ὁ μισθὸς, πλείων ἡ δικαιοσύνη, λαμπροὶ οἱ στέφανοι, φαιδρὰ τὰ βραβεῖα,
καὶ τὰ πνευματικὰ καὶ τὰ βιωτικὰ ηὐξήθη. Ἀπώλεσε παῖδας· F
[n]ἀλλ' ἔλαβε παῖδας, οὐ τοὺς αὐτοὺς, ἀλλ' ἑτέρους ἀντ' ἐκείνων, καὶ ἐκείνους δὲ ἔσωζεν ἐν τῇ ἀναστάσει. Εἰ τοὺς αὐτοὺς ἀνέλα-
βεν, [o]ἠλάττωτο αὐτῷ τὰ τοῦ ἀριθμοῦ· νῦν δὲ ἑτέρους [p]δοὺς ἀντ' 706
ἐκείνων, καὶ ἐκείνους ἐν τῇ ἀναστάσει παραστήσει. Ταῦτα
(364) πάντα αὐτῷ ἀπὸ τοῦ πρόχειρον αὐτὸν εἶναι περὶ τὰς ἐλεημοσύνας ὑπῆρξεν· ὅπερ καὶ ἡμεῖς [q]ποιήσωμεν, ἵνα τῶν αὐτῶν ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η.

[1]Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ B
χαλεποί. Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄσπονδοι, ἄστοργοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι.

ΕΙ τις ἐπὶ τοῖς αἱρετικοῖς ἀσχάλλει νῦν, ἐννοείτω [a]ὅτι ἐξ C
ἀρχῆς τοιαῦτα γέγονεν, ἀεὶ τοῦ διαβόλου τῇ ἀληθείᾳ τὸ ψεῦδος παρυφιστῶντος. [b]Ἐπηγγείλατο ἐξ ἀρχῆς ὁ θεὸς τὰ ἀγαθὰ, ἦλθε καὶ ὁ διάβολος ἐπαγγελλόμενος· [c]ἐφύτευσε παράδεισον, ἠπάτησεν ἐκεῖνος, εἰπὼν, [2]"Ἔσεσθε ὡς θεοί." [d]Ἐπειδὴ ἔργοις οὐδὲν ἐδείκνυ, ῥήμασι τὰ μείζονα ὑπισχνεῖται. [e]Τοιοῦτον γὰρ οἱ ἀπατεῶνες. Μετὰ ταῦτα ἦν ὁ Κάϊν καὶ ὁ Ἄβελ, εἶτα οἱ υἱοὶ
τοῦ [f]Σὴθ καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων, εἶτα ὁ Χὰμ καὶ ὁ D
Ἰάφεθ, ὁ Ἀβραὰμ καὶ ὁ Φαραὼ, ὁ Ἰακὼβ καὶ ὁ Ἡσαῦ· καὶ

[1] Cap. III. v. 1—4. [2] Gen. iii. 5.

[l] τολμῶ I.K. Sav. cet. [m] φησὶ om. K. [n] ἀλλ' ἔλαβε] καὶ ἔλαβε I. ἀπελαβε K. Statim παῖδας accessit ex I.K. [o] ἠλάττωτο] + ἂν C.K. Sav. cet. αὐτῷ om. K. [p] δοὺς] + ἑτέρους ἔλαβεν K. δοὺς om. C. [q] ποιήσωμεν] + παρακαλῶ K. Hom. VIII. [a] ὅτι] + καὶ K. Sav. cet. Mox ἀεὶ om. I. Veron. invito Vet. [b] ἐπηγγείλατο] + γὰρ C. Statim ἐξ ἀρχῆς ὁ θ. pro ὁ θ. ἐξ ἀρχῆς omnes. [c] ἐφύτευσε] + ὁ θεὸς C. [d] ἐπειδὴ] + γὰρ K. Sav. cet. Mox ῥήματι κἂν μείζονα I. [e] τοιοῦτοι C.K. [f] Σὴθ] θεοῦ C.

μέχρι τέλους οὕτως ἐστὶν, ὁ Μωϋσῆς καὶ οἱ μάγοι, οἱ προφῆται
καὶ οἱ ψευδοπροφῆται, οἱ ἀπόστολοι καὶ οἱ ψευδαπόστολοι, ὁ
Χριστὸς καὶ ὁ ἀντίχριστος. Καὶ πρότερον οὖν, καὶ τότε τὰ
αὐτὰ ἦν. Τότε ὁ Θευδᾶς, τότε [g]ὁ Σίμων, [h]οἱ ἀπόστολοι, καὶ
οὗτοι οἱ περὶ Ἑρμογένην καὶ Φίλητον. Οὐκ ἔστιν οὖν ὅτε οὐ
παρυφέστηκε τῇ ἀληθείᾳ τὸ ψεῦδος. Μὴ τοίνυν ἀσχάλλωμεν,
E ἄνωθεν ταῦτα, [i]φησὶν, εἴρηται. Διὰ τοῦτο ἔλεγε· "Γίνωσκε, ὅτι
ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται
γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι,
βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, [k]ἄστοργοι."
Ἆρα ὁ ἀχάριστος ἀνόσιος· [l]εἰκότως. Ὁ γὰρ περὶ τὸν εὐεργέ-
την ἀχάριστος, τίς ἂν γένοιτό ποτε [m]πρὸς τοὺς ἄλλους; [n]Ὁ
ἀχάριστος ἄσπονδος, ὁ ἀχάριστος ἄστοργος. "Διάβολοι,"
φησί· τουτέστι, [o]κακήγοροι. Οἱ γὰρ μηδὲν ἑαυτοῖς συνειδότες
ἀγαθὸν, ὥσπερ τινὰ παραμυθίαν ἔχοντες [p]τὸ τῶν ἄλλων τὰς
F ὑπολήψεις βλασφημεῖν, μυρία πλημμελοῦσι καὶ ἁμαρτάνουσιν.
"Ἀκρατεῖς," καὶ γλώσσης καὶ γαστρὸς καὶ τῶν ἄλλων ἁπάν-
των. "Ἀνήμεροι." Ἐντεῦθεν ἡ ὠμότης, ἐντεῦθεν ἡ ἀπήνεια,
ὅταν τις φιλάργυρος [q]ᾖ, ὅταν φίλαυτος, ὅταν ἀχάριστος, ὅταν
[r]λάγνος. "Ἀφιλάγαθοι, προδόται, προπετεῖς." "Προδόται,"
707 τῆς φιλίας· "προπετεῖς," [s]οὐδὲν βεβηκὸς ἔχοντες· "τετυφωμέ-
νοι," ἀπονοίας πεπληρωμένοι. "Φιλήδονοι μᾶλλον ἢ φιλόθεοι·
[3]ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι."
Καὶ ἐν τῇ πρὸς Ῥωμαίους γράφων, οὕτω πώς φησιν· [4]"Ἔ-
χοντες [t]τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ
νόμῳ." [v]Ἐκεῖ μὲν ἐπαινῶν αὐτὸ τίθησιν· ἐνταῦθα δὲ παρὰ
πάντα τὰ ἐλαττώματα χαλεπώτερον [w]αὐτὸ δείκνυσι τὸ ἁμάρ-
τημα Τί δήποτε; Ὅτι οὐ κατὰ τὸ [x]αὐτὸ σημαινόμενον αὐτὸ
ἔλαβεν. Ὥσπερ γὰρ [y]τὴν εἰκόνα πολλάκις μὲν εἰς ὁμοίωσιν
λαμβάνει, πολλάκις δὲ εἰς τὸ ἄψυχον καὶ οὐδαμινόν· οἷον καθά-
B περ καὶ [z]αὐτός φησι γράφων· [5]"Ἀνὴρ [a]μὲν γὰρ οὐκ ὀφείλει
κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων"

[3] v. 5. [4] Rom. ii. 20.
[5] 1 Cor. xi. 7. Psal. xxxviii. 7. Gen. xlix. 9. Psal. xxi. 14.

[g] ὁ om. C. [h] οἱ] ὅτε οἱ K. Sav. cet. [i] φησὶν om. iidem. Statim ἤρκται pro εἴρηται K. [k] ἄστοργοι] + ἄσπονδοι, διάβολοι K. [l] εἰκότως] πῶς; K. [m] πρὸς] Sic omnes. περὶ Cat. Edd. [n] ὁ om. C.I. [o] κατήγοροι I.K. Cat. [p] τὸ] τῷ K. [q] ᾖ om. C.I. Statim ὅταν τις φ. Edd. τις deest in omnibus. [r] λάγνος] διάβολος K. [s] οὐδὲν] τουτέστιν, οὐδὲν K. Sav. cet. [t] τὴν om. I. Cat. Veron. [v] ἐκεῖ] ἀλλ' ἐκεῖ K. Sav. cet. [w] αὐτὸ] τοῦτο C.K. Sav. cet. τίθησι pro δείκνυσι I. [x] αὐτὸ om. C.I. invita Cat. Post σημαινόμενον add. τοῦτο, ἀλλὰ καθ' ἕτερον K. [y] τὴν εἰκόνα ... λαμβάνει] ἡ εἰκὼν ... λαμβάνεται K. [z] αὐτὸς] + μὲν K. Post φησὶ add. Κορινθίοις K. Sav. cet. [a] μὲν γὰρ om. K.

[b]καὶ πάλιν ὁ προφήτης· "Πλὴν ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος·"
καὶ τὸν [c]λέοντα ποτὲ μὲν εἰς τὸ βασιλικὸν λαμβάνει· "Ἐκοι-
μήθη, [d]φησὶν, ὡς λέων, καὶ ὡς σκύμνος λέοντος· τίς ἐγερεῖ αὐ-
τόν;" ποτὲ δὲ εἰς τὸ ἁρπακτικόν· "Ὡς [e]λέων ἁρπάζων καὶ
ὠρυόμενος·" [f]οὕτω καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦμεν. Ἐπειδὴ γὰρ
τὰ πράγματα σύνθετά ἐστι καὶ ποικίλα, εἰκότως εἰς πολλὰς
(365) εἰκόνας καὶ παραδείγματα παρείληπται. Οἷον, τὴν [g]καλὴν C
ὅταν θαυμάζειν βουλώμεθα, ταῖς γραφαῖς παρεικάζομεν, καὶ
τὰς γραφομένας ὅταν [h]θαυμάζειν βουλώμεθα, λέγομεν ὅτι λα-
λεῖ, [i]ὅτι φθέγγεται· οὐ ποιοῦμεν δὲ τὸ αὐτό· ἐκεῖ μὲν γὰρ, ὅτι
ἐγγὺς ὁμοιότητος ἦλθεν, ἐνταῦθα δὲ, ὅτι τοῦ κάλλους ἐγγύς.
Οὕτω [k]καὶ ἐν τῇ μορφῇ, ἐκεῖ μὲν, ὅτι τύπος τις καὶ εἰκὼν καὶ
διδασκαλία [l]ἐστὶ καὶ ἀρχέτυπον τῆς εὐσεβείας· ἐνταῦθα δὲ, ὅτι
ἄψυχον καὶ νεκρὸν, καὶ σχῆμα μόνον καὶ τύπον καὶ ὑπόκρισιν
δηλοῖ. Ἄρα σχῆμά ἐστι μόνον χωρὶς δυνάμεως πίστις χωρὶς
ἔργων· εἰκότως. Ὥσπερ γὰρ σῶμα καλὸν καὶ εὐανθὲς, ὅταν D
ἰσχὺν μὴ ἔχῃ, ἀλλὰ τοῖς ἐζωγραφημένοις [m]ᾖ προσεοικὸς, οὕτω
πίστις ὀρθὴ χωρὶς ἔργων. Θῶμεν γὰρ [n]εἶναί τινα φιλάργυρον,
προδότην, προπετῆ, εἶτα πιστεύειν ὀρθῶς· τί τὸ κέρδος, ἂν
μηδὲν ἔχῃ τῶν τῷ Χριστιανῷ πρεπόντων; ὅταν [o]μηδὲν πράττῃ
τῶν τὴν εὐσέβειαν χαρακτηριζόντων, ἀλλὰ τοὺς Ἕλληνας
[p]παρελαύνῃ τῇ ἀσεβείᾳ; ὅταν ἐπὶ λύμῃ τῶν συνόντων ᾖ; ὅταν
ἐπὶ βλασφημίᾳ τοῦ θεοῦ; ὅταν διαβάλλῃ τὸ δόγμα διὰ τῶν
ἔργων; "Καὶ τούτους, [q]φησὶν, ἀποτρέπου." Εἰ τοίνυν ἐν
ὑστέροις καιροῖς [r]οἱ τοιοῦτοι ἔσονται, πῶς φησι, "καὶ τούτους E
ἀποτρέπου;" Εἰκὸς μὲν καὶ τότε τοιούτους εἶναί τινας, εἰ καὶ
[s]μὴ μεθ' ὑπερβολῆς, ἀλλ' ὅμως εἶναι· [t]τὸ δ' ἀληθὲς, δι' ἐκείνου
πᾶσι παραινεῖ, ὥστε ἐκτρέπεσθαι τοὺς τοιούτους.

[6] "Ἐκ τούτων γάρ εἰσι, [v]φησὶν, οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε

6 v. 6. 7.

[b] καὶ πάλιν ὁ] ὁ δὲ K. Sav. cet. [c] λέοντα] + ἡ γραφὴ iidem. [d] φησὶν] γάρ, φησὶν K. [e] λέων] + γὰρ, φησὶν K. [f] οὕτω—ποιοῦμεν] οὕτω δὴ καὶ μόρφωσις, ποτὲ μὲν εἰς ἔπαινον, ποτὲ δὲ εἰς κατηγορίαν λαμβάνεται K. Post παρείληπται idem add. οὕτω καὶ ἡμεῖς ποιοῦμεν. [g] καλὴν] + ὄψιν K. [h] θ. βουλώμεθα] θαυμάζωμεν K. [i] ὅτι φθέγγεται· οὐ ποιοῦμεν δὲ] Sic Sav. cet. ὅτε δὲ φθέγγεται, οὐ ποιοῦμεν Codd. et Veron. [k] καὶ—ἐκεῖ μὲν] καὶ τὴν μόρφωσιν ὁ Παῦλος, ἐκεῖ μὲν, ἐν τῇ πρὸς Ῥωμαίους γράφων φησὶν K. [l] ἐστὶ assumtum ex nostris omnibus et Cat. Mox ἀρχέτυπος K. [m] ᾖ om. K. Mox οὕτω καὶ πίστις idem. [n] εἶναί τινα] τινα εἶναι ταῦτα δὴ πάντα C. [o] μηδὲν] δὲ μὴ K. sed δὲ expunct. et τι post πράττῃ recenter superscript. [p] παρελαύνει C.I. [q] φησὶν om. K. [r] οἱ accessit ex I.K. Cat. [s] μὴ om. K. [t] τὸ δὲ ἀ. C.K. Cat. [v] φησὶν om. K.

εἰς ἐπίγνωσιν ἀληθείας [w]δυνάμενα ἐλθεῖν." Ὁρᾷς αὐτοὺς [x]τῇ
F τοῦ ἀρχαίου ἀπάτῃ κεχρημένους, τῷ ὅπλῳ ᾧ [y]καὶ ὁ διάβολος
κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο; "Ἐνδύνοντες εἰς τὰς οἰκίας," φησίν.
Εἶδες τὸ ἀναίσχυντον πῶς ἐδήλωσε διὰ τοῦ εἰπεῖν, "ἐνδύνοντες;"
τὸ ἄτιμον, τὴν ἀπάτην, τὴν κολακείαν; "Καὶ αἰχμαλωτίζοντες
708 γυναικάρια." Ὥστε γυναικάριον ὁ εὐεξαπάτητος, καὶ ἀνδρὸς
πόρρω. Γυναικῶν [z]δὲ τὸ ἀπατᾶσθαι, μᾶλλον δὲ οὐδὲ γυναικῶν,
ἀλλὰ γυναικαρίων. "[a]Σεσωρευμένα." Ὅρα πόθεν κἀκείναις
γίνεται τὸ πείθεσθαι, ἀπὸ τῶν ἁμαρτιῶν, ἀπὸ τοῦ μηδὲν ἑαυταῖς
συνειδέναι καλόν. Καὶ σφόδρα κυρίως [b]εἶπε, "σεσωρευμένα·"
τὸ πλῆθος γὰρ τῶν [c]ἁμαρτιῶν παρίστησι, καὶ τὸ ἄτακτον καὶ
[d]τὸ συγκεχυμένον. "Ἀγόμενα ἐπιθυμίαις ποικίλαις." Οὐ τῆς
φύσεως κατηγόρησεν· οὐ γὰρ ἁπλῶς [e]εἶπε γυναῖκας, ἀλλὰ τοι-
άσδε γυναῖκας. Τί ἐστι, "ποικίλαις;" Ἐνταῦθα πολλὰ ᾐνίξατο,
B τὴν τρυφὴν, τὴν ἀσχημοσύνην, τὴν λαγνείαν. "Ποικίλαις, φη-
σὶν, ἐπιθυμίαις," τουτέστι, χρημάτων, δόξης, τρυφῆς, αὐθα-
δείας, τιμῆς· [f]ἴσως καὶ ἑτέρας αἰσχρὰς ἐπιθυμίας αἰνίττεται.
"Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν δυνάμενα." Διὰ τί; Οὐ συγγινώσκων [g]αὐταῖς ταῦτά
φησιν, ἀλλὰ καὶ σφόδρα [h]καταπειλῶν. Ἐπειδὴ γὰρ ἑαυτὰς
κατέχωσαν ταῖς ἐπιθυμίαις ἐκείναις καὶ τοῖς ἁμαρτήμασιν, ἐπω-
ρώθη αὐτῶν ἡ διάνοια. [7]"Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς
C ἀντέστησαν [i]Μωϋσῇ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ."
Τίνες εἰσὶν οὗτοι; Οἱ μάγοι οἱ ἐπὶ Μωϋσέως. Πῶς δὲ αὐτῶν
τὰ [k]ὀνόματα οὐδαμοῦ ἐμφέρεται ἀλλαχοῦ; Ἢ ἀγράφως [l]παρ-
εδέδοτο, ἢ ἀπὸ [m]τοῦ πνεύματος εἰκὸς ἦν εἰδέναι τὸν Παῦλον.
"Οὕτω καὶ οὗτοι, φησὶν, ἀντιστήσονται τῇ ἀληθείᾳ, ἄνθρωποι
τὸν νοῦν κατεφθαρμένοι, ἀδόκιμοι περὶ τὴν πίστιν. [8]"Ἀλλ' οὐ
προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶ-
σιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο." "Ἀλλ' οὐ προκόψουσι," φησί.

[7] v. 8. [8] v. 9.

[w] ἐλθεῖν δ. inverso ord. K. [x] τῇ τοῦ ἀρχαίου] καὶ νῦν τῇ ἀρχαίᾳ K. [y] καὶ accessit ex C. Cat. Vet. Mox φησὶν om. C. [z] δὲ] γὰρ K. Cat. Mox μᾶλλον δὲ ἁπλῶς οὐδὲ K. [a] σεσωρευμένα] σεσωρευμένα ἁμαρτίαις C. σεσωρευμένων I. σεσωρευμένων. σεσωρευμένα ἁμαρτίαις, φησὶν K. Vulgatum tuetur Cat. [b] εἶπε καὶ σ. C.I. [c] ἁμαρτημάτων C. Cat. Post ἁμαρτιῶν add. διὰ τούτου K. Sav. cet. [d] τὸ assumtum ex C.I. Cat. [e] εἶπε γ.] Sic nostri omnes et Cat. γ. εἶπεν Edd. [f] ἴσως] + δὲ K. Sav. cet. [g] αὐτοῖς Veron. Sav. Mor. invitis libris. αὐταῖς om. C. ut videtur. διὰ τί ταῦτά φησιν; οὐ συγ. αὐ. ἀλλὰ hoc ord. K. Sav. cet. [h] κατηγορῶν C.K. [i] Μωσεῖ C. Μωσῇ K. Mox ἀντιστήσονται K. [k] ὀνόματα] + εἴδη (pro ᾔδει) I. Statim οὐδαμοῦ γὰρ ἐμφ. I. Cat. (sed πόθεν pro πῶς Cat.) ἀλλαχοῦ om. I. ante ἐμφ. transp. C. [l] παρεδέδοτο omnes. παραδέδοται Edd. [m] τοῦ om. I. ἦν om. idem.

Πῶς οὖν λέγει ἀλλαχοῦ, "[n]Καὶ προκόψουσιν ἐπὶ πλεῖον ἀσε-
βείας·" ἐνταῦθα [o]δὲ, "οὐ προκόψουσιν;" Ἐκεῖ [p]τοῦτό φησιν, D
ὅτι ἀρχόμενοι καινοτομεῖν καὶ πλανᾶν, οὐ στήσονται τῆς πλά-
νης, ἀλλ' ἀεὶ ἐξευρήσουσιν ἀπάτας [q]καινὰς καὶ δόγματα διε-
φθαρμένα· καὶ γὰρ ἡ πλάνη οὐδαμοῦ ἵσταται. Ἐνταῦθα δὲ
(366) τοῦτό [r]φησιν, ὅτι οὐκ ἀπατήσουσιν, οὐδὲ συναρπάσουσι, κἂν
παρὰ τὴν ἀρχὴν δόξωσί τινας παρακρούεσθαι, ἀλλ' εὐφώρατοι
ταχέως ἔσονται. Ὅτι γὰρ περὶ τούτου φησὶν, ἄκουσον τί
λέγει· "Ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσι." [s]Πόθεν
τοῦτο; "Ὥσπερ καὶ ἡ ἐκείνων ἐγένετο." [t]Πανταχόθεν γὰρ
κἂν πρὸς καιρὸν ἀνθήσῃ τὰ τῆς πλάνης, εἰς τέλος οὐ διαμένει. E
Τοιαῦτα γὰρ τὰ μὴ [v]φύσει καλὰ, ἀλλὰ δοκοῦντα εἶναι καλά·
πρὸς καιρὸν ἀνθεῖ, [w]καὶ φωρᾶται καὶ ἀπόλλυται. Ἀλλ' οὐ τὰ
[x]ἡμέτερα τοιαῦτά ἐστι· καὶ τούτων σὺ μάρτυς· [y]οὐ γὰρ ἐν
ἀπάτῃ τὰ ἡμέτερα· τίς γὰρ ἂν ὑπὲρ ἀπάτης καὶ ἀποθανεῖν
ἕλοιτο;

[9]"Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ." Ὥστε ἰσχυρὸς
ἔσο· οὐ γὰρ ἁπλῶς παρεγένου, ἀλλὰ παρηκολούθηκας. Ἐν-
ταῦθα τὸν χρόνον σημαίνει πολὺν γεγενῆσθαι, ἀπὸ τοῦ εἰπεῖν,
"παρηκολούθηκας." "[z]Τῇ διδασκαλίᾳ·" τοῦτο περὶ λόγου. F
"Τῇ ἀγωγῇ·" τοῦτο περὶ βίου. "Τῇ προθέσει·" τοῦτο περὶ
προθυμίας καὶ [a]τοῦ παραστήματος τῆς ψυχῆς. Οὐχὶ ἔλεγον
μὲν, φησὶ, ταῦτα, οὐκ ἐποίουν δὲ, οὐδὲ ἐν λόγοις μόνον ἐφιλο-
σόφουν. "Τῇ πίστει, τῇ μακροθυμίᾳ·" πῶς οὐδέν με [b]τούτων
ἐτάραττε. "Τῇ ἀγάπῃ·" ὅπερ οὐκ εἶχον οὗτοι. "Τῇ ὑπο- 709
μονῇ·" [c]ὅπερ οὐδὲ τοῦτο. "[d]Τῇ μακροθυμίᾳ," φησί· πρὸς τοὺς
αἱρετικοὺς πολλὴν ἐπεδεικνύμην τὴν μακροθυμίαν. "Τῇ ὑπο-
μονῇ," [e]πρὸς τοὺς διωγμούς. [10]"Τοῖς διωγμοῖς, τοῖς παθήμασι."
Δύο γὰρ ταῦτα ταράττει τὸν διδάσκαλον, τὸ αἱρετικοὺς εἶναι
πολλοὺς, καὶ τὸ μὴ καρτερεῖν ἐν τοῖς παθήμασιν. Ἀλλ' ὅμως
ὑπὲρ τούτων πολλὰ [f]διελέχθη, ὅτι καὶ πάλαι ἦσαν καὶ ἔσονται,

9 v. 10. 10 v. 11.

[n] καὶ] Sic C.I. Cat. ὅτι Edd. [o] δὲ] + τὸ ἐναντίον πως ἀποφαίνεται λέγων K. [p] τοῦτο] μὲν K. [q] κενὰς C.I.K. invita Cat. [r] φησιν] δηλοῖ K. [s] πόθεν τοῦτο] Sic C. Cat. Veron. πόθεν τοῦτο δῆλον I. πόθεν; πανταχόθεν K. Sav. cet. [t] πανταχόθεν γὰρ κἂν] Sic C. Cat. Veron. πανταχόσε γὰρ κἂν I. κἂν γὰρ K. Sav. cet. Statim πρὸς καιρὸν pro πρότερον ex C. Cat. Vet. recepimus. [v] φύσει καλὰ] φυσικὰ I. [w] καὶ] εἶτα K. [x] ἡμέτερα] + φησὶν I. ἐστι om. K. Sav. cet. [y] οὐ γὰρ—ἡμέτερα] ὅτι οὐκ ἀπάτη τὰ ἡμ. οὔτε ἐν ἀπάτῃ K. Statim τίς μὲν γὰρ I. [z] τῇ] μου τῇ K. [a] τοῦ om. K. [b] τούτων] + φησὶν I.K. Sav. cet. [c] ὅπερ] ὥσπερ K. Sav. cet. invita Cat. [d] τῇ μακροθ.—μακροθυμίαν] καὶ καλῶς εἶπε, τῇ μ. πρὸς γὰρ τοὺς αἱρ. πολλὴν αὐτὴν ἐπεδείκνυτο K. ἐπιδεικνύμενον pro ἐπεδεικνύμην I. [e] πρὸς τοὺς δ.] ταύτην πρὸς τοὺς δ. διὸ καὶ ἐπάγει K. [f] διελέχθην K. *diximus* Vet.

καὶ χρόνος οὐδεὶς καθαρὸς τούτων, καὶ ὅτι ἡμᾶς οὐδὲν βλάψαι
B δυνήσονται, καὶ ὅτι ἐν τῷ κόσμῳ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἐστιν· [g]ὅρα λοιπὸν αὐτὸν περὶ τῶν θλίψεων διαλεγόμενον. "Οἷά μοι [h]ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις." Τί δήποτε ταῦτα μόνα εἴρηκεν ἀπὸ πολλῶν; Ἐπειδὴ γνώριμα ἦν τῷ ἀνδρὶ τὰ λοιπά· [i]καὶ ἴσως ὡς νεαρῶν τῶν πραγμάτων τούτων μέμνηται, οὐ τῶν πάλαι. Καὶ οὐκ ἀπαριθμεῖται κατ' εἶδος· οὐ γάρ ἐστι κενόδοξος οὐδὲ φιλότιμος· πρὸς γὰρ παραμυθίαν τοῦ μαθητοῦ, οὐ πρὸς ἐπίδειξιν λέγει. Ἀντιόχειαν δὲ τὴν τῆς Πισι-
C δίας ἐνταῦθά φησι, καὶ Λύστραν, ὅθεν ἦν ὁ Τιμόθεος. "Οἵους διωγμοὺς [k]ὑπέμεινα." Ἀμφότερα παρακλήσεως, [l]ὅτι καὶ ἐγὼ προθυμίαν παρειχόμην γενναίαν, [m]καὶ οὐκ ἐγκατελείφθην. [n]Οὐκ ἔστιν εἰπεῖν, ὅτι προέδωκέ με ὁ θεὸς, ἀλλὰ τὸν στέφανόν μοι λαμπρότερον εἰργάσατο. "Οἵους διωγμοὺς ὑπέμεινα, [o]φησὶ, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος." 11 "Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται." Τί [p]δὲ ὅλως λέγω περὶ ἐμαυτοῦ, φησίν; [q]ἕκαστος τῶν θελόντων
D ζῆν εὐσεβῶς, διωχθήσεται. [r]Διωγμοὺς ἐνταῦθα [s]τὰς ὀδύνας φησὶ, τὰς θλίψεις. Καὶ γὰρ οὐκ ἔνι ἄνδρα τὴν τῆς ἀρετῆς ὁδὸν ὁδεύοντα λύπης εἶναι χωρὶς, θλίψεως, ὀδύνης, πειρασμῶν· πῶς γὰρ, ὁ [t]στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύων; ὁ ἀκούσας, ὅτι 12 "Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε;" Εἰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἔλεγεν ὁ Ἰὼβ, 13 "Πειρατήριον ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς," πόσῳ μᾶλλον [v]τότε; 14 "Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες, φησὶ, προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι." Μη-
E δέν σε θορυβείτω τούτων, [w]φησὶν, εἰ ἐκεῖνοι μὲν ἐν εὐθηνίᾳ, σὺ δὲ ἐν πειρασμοῖς· τοιαύτη τοῦ πράγματος ἡ φύσις ἐστίν. Ἐκ τῶν ἐμῶν δύνασαι μαθεῖν, ὅτι οὐκ ἔνι ἄνδρα πολεμοῦντα τοῖς πονηροῖς μὴ εἶναι ἐν θλίψει. [x]Οὐκ ἔστι τοῦτο προκοπή. Οὐκ ἔστι πυκτεύοντα ἐν τρυφῇ εἶναι, οὐκ ἔστι παλαίοντα [y]εὐωχεῖσθαι. Μηδεὶς τοίνυν τῶν ἀθλούντων ἄνεσιν ζητείτω, μηδεὶς ἐν εὐθυμίᾳ εἶναι. [z]Πάλη τὰ παρόντα, ἀγὼν, πόλεμος, θλῖψις,

11 v. 12. 12 Joan. xvi. 33. 13 Job. vii. 1. 14 v. 13.

[g] ὅρα] Sic omnes. ὁρᾷς Edd. [h] ἐγένοντο K. [i] καὶ ἴσως] ἴσως δὲ καὶ K. [k] ὑπήνεγκα bis K. [l] ὅτι καὶ] καὶ ὅτι K. [m] καὶ] + ὅτι K. [n] οὐκ] Sic C.I. οὐ γὰρ K. καὶ οὐκ Edd. [o] φησὶ om. K. [p] δὲ om. K. [q] ἕκαστος—εὐσεβῶς] πάντες οἱ θέλοντες εὐσ. ζῆν I. [r] διωγμοὺς] + δὲ K. [s] τὰς ὀ. φ. τὰς θ.] Sic omnes. φ. τὰς θ. τὰς ὀ. Edd. [t] τὴν στενὴν C. Mox ὁδὸν ὁδεύων C.I. ὁδεύων ὁδὸν Edd. ὁδὸν om. K. [v] τότε] νῦν I. [w] φησὶν om. K. [x] Haec οὐκ ἔστι τοῦτο προκοπὴ, quae aberant, leguntur in nostris omnibus. *non est ille profectus* Vet. Sequentia οὐκ ἔστι—εὐωχεῖσθαι post ἐν εὐθυμίᾳ εἶναι transp. C. Vet. [y] εὐωχεῦσαι I. [z] πάλη] πάλιν K. Sav. cet.

στενοχωρία, πειρατήριον, τῶν ἀγώνων [a]τὸ στάδιον. Ἕτεροι
τῆς ἀνέσεως οἱ καιροί· οὗτος [b]ἱδρώτων, οὗτος πόνων ὁ καιρός. F
(367) Οὐδεὶς ἀποδυσάμενος καὶ ἀλειψάμενος ἄνεσιν ἐπιζητεῖ. Εἰ δὲ
ἄνεσιν [c]ζητεῖς, τί ἀπεδύσω; τί τὰς χεῖρας ἀντῆρας; [d]Πῶς; εἰπέ
μοι. Ὅταν τῶν ἐπιθυμιῶν μὴ κρατῇς, ὅταν πρὸς τὴν βίαν τῆς
φύσεως μὴ μάχῃ.

[15]"Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ 710
τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ
δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ
Ἰησοῦ." [e]Τουτέστι, καθάπερ ὁ προφήτης Δαυῒδ παρῄνεσε,
[16]"Μὴ παραζήλου ἐν πονηρευομένοις," τοῦτο καὶ αὐτὸς παραι-
νεῖ λέγων· "Σὺ δὲ [f]μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης." Οὐχ
ἁπλῶς, "ἔμαθες," ἀλλὰ καὶ, "ἐπιστώθης," τουτέστιν, ἐπίστευ-
σας. [g]Τί δὲ καὶ ἐπίστευσας; Ὅτι αὕτη ἐστὶν [h]ἡ ζωή. Κἂν
ἐναντία τοίνυν ὁρᾷς ἐνταῦθα ὢν ἐπίστευσας, μὴ θορυβοῦ· ἐπεὶ B
καὶ ὁ Ἀβραὰμ ἐναντία ἑώρα, ἀλλ' οὐδὲν ἔπαθεν· ἤκουσεν, ὅτι
[17]"Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα," καὶ τὸν Ἰσαὰκ σφάξαι
[i]ἐκελεύετο, καὶ οὐκ ἐθορυβεῖτο οὐδὲ ἐταράττετο. [k]Μηδεὶς σκαν-
δαλιζέσθω ἐπὶ τοῖς πονηροῖς· τοῦτο ἄνωθεν εἶπεν ἡ γραφή. Τί
οὖν, ὅταν καὶ ἀγαθοὶ εὐφραίνωνται, καὶ πονηροὶ κολάζωνται;
Τὸ μὲν ἕτερον εἰκὸς γενέσθαι, τὸ δὲ ἄλλο οὐκέτι· πονηροὺς μὲν
γὰρ κολάζεσθαι [l]ἔνι, ἀγαθοὺς δὲ εὐφραίνεσθαι ἀεὶ οὐκ ἔνι.
Οὐδεὶς Παύλου ἴσος ἦν, ἀλλ' ὅμως ἐν θλίψει τὸν πάντα διῆγε
χρόνον, ἐν δάκρυσιν, ἐν [m]στεναγμοῖς νυκτὸς καὶ ἡμέρας. [18]Μετὰ C
[n]δακρύων τριετίαν νύκτα καὶ ἡμέραν νουθετῶν οὐκ [o]ἐπαύετο.
"Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν," φησίν. Οὐ [p]νῦν μὲν

15 v. 14, 15. 16 Psal. xxxvi. 1. 17 Gen. xxi. 12.
18 Act. xx. 31. 2 Cor. xi. 28.

[a] τὸ om. C. [b] τῶν ἱδρώτων et τῶν πόνων Edd. invitis libris. καιρὸς sine artic. I. [c] ἐπιζητεῖς K. Sav. cet. [d] πῶς] + ἀπεδύσω I. πῶς; εἰπέ μοι] καὶ πῶς οὐκ ἀνταίρω, φησὶ, νῦν K. Sav. cet. [e] τουτέστι] τί ἐστι τοῦτο iidem. Post παραζήλου add. εἰπὼν iidem. [f] μένε] + φησὶν I. + ἔφη C. φησὶ post ἔμαθες add. Veron. Statim καὶ ἐπιστώθης om. I. [g] τί δὲ καὶ ἐπίστευσας] Sic ex ingenio scripsimus. τί δὲ om. C.I. Veron. τί δαὶ ἐπίστευσας K. τί δαὶ καὶ ἐπίστευσα Sav. cet. [h] ἡ om. K. ἂν pro κἂν idem. [i] ἐκελεύετο καὶ] κελευσθεὶς K. [k] ΗΘΙΚΟΝ. Ὅτι πάντα ὁ θεὸς οἰκονομεῖ, καὶ πάντων προνοεῖται, καὶ τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ· καὶ ὅτι οἱ μὲν δίκαιοι ὡς ἐπὶ τὸ πολὺ ἐνταῦθα ἐν θλίψει, οἱ δὲ ἁμαρτωλοὶ ἐν εὐφροσύνῃ εἰσίν· εἰ δέ ποτε καὶ εὑρεθεῖεν δίκαιοι μὲν ἐν ἀνέσει, ἁμαρτωλοὶ δὲ ἐν θλίψει, ὥστε μηδὲ τὴν ἀρετὴν εἶναι φευκτὴν, μηδὲ τὴν μέλλουσαν ἀπόλαυσιν περιττὴν, τοῦτο συμβαίνει· καὶ περὶ τοῦ μὴ πολυπραγμονεῖν πάντα τὰ περὶ θεοῦ γενόμενα, διὰ τὸ ἀκατάληπτον· καὶ ὅτι οὐ δεῖ προσέχειν μαντείαις. Veron. [l] ἔνι] συμβαίνει I. ἔνι om. C. Veron. invito Vet. [m] στεναγμοῖς] + ἦν K. [n] δακρύων] + γὰρ, φησὶ K. Sav. cet. τριετίαν post ἡμέραν vulgo legitur, invitis libris. [o] ἐπαύσατο C. ἐπαυσάμην K. Sav. cet. Post h. v. καὶ πάλιν add. K. Sav. cet. Mox φησὶν om. K. [p] νῦν] σήμερον K. Sav. cet.

ἔχαιρεν, αὔριον δὲ ἤλγει, ἀλλὰ καθ' ἡμέραν οὐ διελίμπανεν ὀδυνώμενος. Πῶς οὖν *φησι,* "Πονηροὶ *προκόψουσιν ἐπὶ τὸ χεῖρον;*" Οὐκ *εἶπεν, ὅτι ἀνέσεως τυγχάνουσιν, ἀλλ',* "*ἐπὶ τὸ χεῖρον προκόψουσιν*" [q]*χείρων ἡ προκοπὴ αὕτη.* Οὐκ *εἶπεν, ἐν εὐθηνίᾳ*
D *ἔσονται.* Εἰ *δὲ καὶ κολάζονται, διὰ τοῦτο κολάζονται, ἵνα μὴ νομίσῃς ἀτιμώρητα εἶναι τὰ ἁμαρτήματα.* Ἐπειδὴ *γὰρ ἡ γέεννα οὐκ ἰσχύει κωλῦσαι ἡμᾶς τῆς κακίας, φειδόμενος* [r]*ἡμῶν διυπνίζει καὶ διανίστησιν ἡμᾶς.* Εἰ *μηδεὶς πονηρὸς ἐκολάζετο, οὐδεὶς ἂν ἐνόμιζεν ἐφεστάναι τὸν θεὸν τοῖς ἀνθρωπίνοις πράγμασιν· εἰ πάντες ἐκολάζοντο, οὐδεὶς ἂν προσεδόκησεν ἔσεσθαι ἀνάστασιν, ὡς πάντων ἐνταῦθα ἀπολαμβανόντων.* Διὰ *τοῦτο* [s]*καὶ κολάζει, καὶ οὐ κολάζει· διὰ τοῦτο ἐνταῦθα δίκαιοι θλίβον-*
E *ται, ὅτι* [t]*πάροικοι, ὅτι ξένοι, ὅτι ἐν ἀλλοτρίᾳ εἰσίν.* Οἱ *δίκαιοι τοίνυν δοκιμῆς ἕνεκεν ταῦτα ὑπομένουσιν· ἄκουε γὰρ τοῦ θεοῦ λέγοντος πρὸς τὸν* Ἰὼβ, [19] "Οἴει *με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;*" Οἱ *δὲ ἁμαρτωλοὶ ἐὰν καί ποτέ τι τοιοῦτον* [v]*ὑπομένωσι, δίκην τιννύουσι τῶν ἁμαρτιῶν.* Ἐν *πᾶσι τοίνυν εὐχαριστῶμεν τῷ θεῷ, εἴτε οὕτως, εἴτε* [w]*ἐκείνως· ἀμφότερα γὰρ* [x]*χρήσιμα.* Οὐδὲν *μισῶν, οὐδ' ἀποστρεφόμενος ἡμᾶς ποιεῖ, ἀλλ' ἀμφότερα φροντίζων καὶ κηδόμενος.* "[y]Εἰδὼς,
F *φησὶν, ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ* [z]*γράμματα οἶδας.*" Τουτέστιν, *ἐκ πρώτης ἡλικίας τὰ ἱερὰ γράμματα ἔμαθες.* Τί *ἐστιν,* "[a]*ἱερὰ γράμματα;*" Τὰς *θείας γραφάς.* Ἐν *ταύταις ἀνετράφης, ὥστε καὶ διὰ τούτων στερεὰν εἶναί σοι τὴν* [b]*πίστιν, καὶ μηδὲν παραβλάπτεσθαι.* Κατὰ *βάθους γὰρ ἡ ῥίζα κεῖται,* [c]*ἐν χρόνῳ*
711 *τραφεῖσα πολλῷ· οὐδὲν αὐτὴν παρατρέψαι* [d]*δύναται.* "Τὰ *δυνάμενά σε, φησὶ, σοφίσαι*" [e]*τουτέστιν, οὐκ ἀφιᾶσιν ἀνόητόν τι παθεῖν, καὶ οἷον οἱ πολλοί.* Ὁ *γὰρ τὰς γραφὰς εἰδὼς, ὡς εἰδέναι χρὴ, οὐδενὶ τῶν γινομένων σκανδαλίζεται, πάντα φέρει γενναίως, τὰ μὲν τῇ πίστει ἐπιτρέπων καὶ τῷ ἀκαταλήπτῳ τῆς τοῦ θεοῦ οἰκονομίας, τῶν δὲ καὶ λόγους εἰδὼς, καὶ παραδείγματα εὑρίσκων ἐν ταῖς γραφαῖς.* Ἐπεὶ *καὶ τὸ μὴ πάντα περιεργά-*

19 Job. xl. 8.

[q] *χείρων*] Sic C.I. *χεῖρον* Veron. *εἰς τὸ χεῖρον* K. Sav. cet. [r] *ἡμῶν*] + *ὁ θεὸς* C. [s] *καὶ* om. K. Cat. [t] *πάροικοι*] + *εἰσιν* Edd. invitis libris. [v] *ὑπομένωσι* I. Cat. *ὑπομείνωσι* Edd. [w] *ἐκείνως*] + *σημαίνει* K. [x] *χρήσιμα—κηδόμενος*] *χρησίμως οἰκονομεῖ ὁ θεὸς, οὐ μισῶν οὐδ' ἀπ. ἡμᾶς, ἀλλὰ φροντίζων τῆς σωτηρίας ἡμῶν καὶ κηδ.* K. [y] *εἰδὼς, φησὶν, ὅτι*] *τί ἐστιν* K. Mox *τουτέστιν* om. idem. [z] *γράμματα*] + *φησὶν* K. [a] *ἱερὰ*] *τὰ ἱερὰ* I. *τί—γραφὰς*] *ἱερὰ δὲ γρ. τὰς θ. καλεῖ γραφὰς* K. Sav. cet. [b] *πίστιν*] + *χρὴ* iidem. Post *σοι* add. *προσήκει* Cat. [c] *ἐν*] Sic libri omnes cum Veron. *ἢ* Cat. *οὐ* Sav. cet. invito Vet. [d] *δύναται*] + *εἰπὼν δὲ τὰ ἱ. γρ. ἐπήγαγε* K. Sav. cet. Mox *φησὶ* om. iidem. [e] *τουτέστιν*] *δηλῶν ὅτι* K. *τουτέστιν* om. Veron. Statim *οὐκ ἀφήσουσιν ἀνόνητον* K.

ζεσθαι, καὶ τὸ μὴ πάντα θέλειν εἰδέναι, μέγα τοῦ εἰδέναι [f]τὰ πάντα τεκμήριον.

Καὶ εἰ βούλεσθε, ἐπὶ παραδείγματος ἐρῶ. Ἔστω ποταμὸς, μᾶλλον δὲ ἔστωσαν ποταμοί· οὐ κατὰ συγχώρησιν λέγω, ἀλλ' [g]ὅπερ εἰσὶν οἱ ποταμοί· [h]οὐ πάντες κατὰ βάθος ἴσοι τυγχά- B
νουσιν, ἀλλ' οἱ μὲν [i]ψιλότερον τὸ ἔδαφος ἔχοντες, ἕτεροι βαθὺ καὶ ἱκανὸν ἀποπνῖξαι τὸν ἀγνοοῦντα· καὶ ἐνταῦθα μὲν ἴλιγγοι,
(368) ἐκεῖ δὲ οὐκέτι. [k]Τὸ οὖν μὴ θέλειν πᾶσιν ὁμοίως ἐπιχειρεῖν, καλὸν, [l]καὶ τὸ μὴ θέλειν πάντα τὰ βάθη εἰδέναι, οὐ μικρὸν τοῦ εἰδέναι τεκμήριον· ὡς ὅ γε βουλόμενος παντὸς τοῦ μέρους τοῦ ποταμοῦ κατατολμᾶν, οὗτος μάλιστα οὐκ οἶδε τῶν ποταμῶν τὰ ἰδιώματα, καὶ ἀπολεῖται πολλάκις ἀπὸ τῆς αὐτῆς θρασύτητος τοῦ βάθους κατατολμήσας, ἀφ' ἧς διέβαινε τὸ μὴ C
βαθύ. Οὕτω καὶ ἐπὶ τοῦ θεοῦ, ὁ πάντα θέλων εἰδέναι, καὶ πάντων [m]κατατολμῶν, οὗτος οὐκ [n]οἶδε τί ἐστι θεός. [o]Ὥσπερ οὖν ἐν τοῖς ποταμοῖς τὸ μὲν πλέον μέρος ἀσφαλὲς, [p]ὀλίγον δὲ ἴλιγγες καὶ βάθη· ἐπὶ δὲ τοῦ θεοῦ [q]τὸ πλέον ἐν ἀποκρύφοις, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ ἔργα αὐτοῦ. Τί τοίνυν βιάζῃ καταποντίσαι σαυτόν; Τοῦτο μόνον ἴσθι, ὅτι πάντα ὁ θεὸς οἰκονομεῖ, ὅτι πάντων προνοεῖ, ὅτι αὐτεξούσιοί ἐσμεν, ὅτι τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ, ὅτι οὐδὲν πονηρὸν γίνεσθαι βούλεται, ὅτι οὐκ ἀπὸ [r]τοῦ βουλήματος αὐτοῦ πάντα γίνεται, ἀλλὰ καὶ ἀπὸ τοῦ ἡμετέρου, [s]πάντα τὰ κακὰ ἀπὸ τοῦ ἡμετέρου D
μόνον, πάντα τὰ ἀγαθὰ ἀπό τε τοῦ ἡμετέρου καὶ τῆς αὐτοῦ ῥοπῆς, ὅτι οὐδὲν αὐτὸν λανθάνει· διὰ τοῦτο πάντα ἐνεργεῖ. Εἶτα [t]σὺ εἰδὼς, ἀρίθμει τίνα μὲν τὰ ἀγαθὰ, τίνα δὲ τὰ κακὰ, [v]τίνα δὲ τὰ ἀδιάφορα· οἷον, [w]ὅτι ἀγαθὸν ἡ ἀρετὴ, κακὸν φαυλότης, ἀδιάφορα πλοῦτος, πενία, ζωὴ, θάνατος. Ἂν ταῦτα [x]εἰδῇς, καὶ μετὰ τούτων, ὅτι [y]οἱ δίκαιοι θλίβονται, ἵνα στεφανωθῶσιν, οἱ [z]ἁμαρτωλοὶ, ἵνα τῶν ἁμαρτιῶν δίκην [a]ἐκτίσωσιν·

[f] τὰ πάντα om. K. Sav. cet. [g] ἅπερ C.I. [h] οὐ πάντες—οὐκέτι] ὥσπερ οὖν τῶν ποταμῶν οὐ πάντες ἴσοι τυγχάνουσιν, ἀλλ' οἱ μὲν ἐπιπολαιότερον τὸ ἔ. ἔχοντες, οἱ δὲ οὕτω βαθὺ ὡς καὶ ἱκανὸν εἶναι ἀποπνίξαι τὸν ἀγν. καὶ ἐντ. μὲν ἴλ. ἐκεῖ δὲ οὐκέτι· οὕτω καὶ περὶ τῶν τοῦ θεοῦ ζητημάτων τὰ μὲν τοιαῦτά ἐστιν, ὡς αὐτόθεν τὴν λύσιν παριστᾶν τοῖς ζητοῦσι, τὰ δὲ οὕτως ἀπόρρητα καὶ ἀπόκρυφα, ὡς καὶ ἀπολλύναι ποιεῖν τοὺς περιεργότερον μαθεῖν τι φιλονεικοῦντας K. [i] ὑψηλότερον C. ψιλώτερον Edd. [k] τὸ οὖν] οὖν om. I. καθάπερ οὖν τὸ K. [l] καὶ] οὕτω K. καὶ om. C. [m] κατατολμᾶν I. [n] οἶδε] + μάλιστα K. Sav. cet. [o] ὥσπερ οὖν ἐν] ἀλλ' ἐν μὲν iidem. [p] ὀλίγοι δὲ ἴλιγγοι καὶ β. I. ὀλίγον δὲ τὸ ἔχον τὸν ἴλιγγον καὶ τὰ β. K. [q] τὸ om. C.I. [r] τοῦ om. C. Veron. [s] πάντα om. C. [t] σὺ] τοῦτο K. σὺ τοῦτο Sav. cet. [v] τίνα δὲ] καὶ τίνα K. Sav. cet. [w] ὅτι om. iidem. Mox ἡ φαυλότης iidem. οἷον—ἀδιάφορα om. C. [x] εἰδῇς] + εἴσῃ K. Sav. cet. [y] οἱ δ.] διὰ τοῦτο οἱ δ. K. οἱ δ. διὰ τοῦτο Sav. cet. [z] ἁμαρτωλοὶ] + εὐθηνοῦσιν K. [a] τίσωσιν K.

οὐ πάντες [b]δὲ οἱ ἁμαρτωλοὶ [c]δίκην ἐνταῦθα τίνουσιν, ἵνα μὴ τῇ
E ἀναστάσει οἱ πολλοὶ [d]ἀπιστῶσιν· οὐ πάντες οἱ δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐπαινετὴν εἶναι νομίσῃς, ἀλλὰ τὴν ἀρετήν· οὗτοι κανόνες εἰσὶ καὶ ὅροι· [e]καὶ ὃ βούλει ἄγε ἐπ' αὐτοὺς, καὶ οὐ διαπορήσεις. Ὥσπερ γάρ ἐστι παρὰ τοῖς γραμματισταῖς ὁ τῶν [f]ἑξακισχιλίων ἀριθμὸς, καὶ ὑπὸ τοῦτον ἅπαντα ἄγεται, [g]καὶ πάντα μερίζειν καὶ πολυπλασιάζειν δυνατὸν ἐν τῷ κανόνι τῶν ἑξακισχιλίων, καὶ διὰ τοῦ ἀριθμοῦ τούτου πάντα στρέφεται, καὶ ἴσασι ταῦτα ὅσοι γράμματα μεμαθήκασιν· οὕτω τοὺς κανόνας τούτους, οὓς πάλιν ἐρῶ συντομώτερον, ἄν τις [h]εἰδῇ,
F οὐδέποτε σκανδαλίζεται. Τίνες οὖν εἰσιν οὗτοι; Ὅτι ἀγαθὸν ἀρετὴ, ὅτι φαῦλον κακία, ὅτι ἀδιάφορα νόσοι, πενία, ἐπιβουλαὶ,
712 συκοφαντίαι, καὶ ὅσα τοιαῦτα· ὅτι οἱ δίκαιοι θλίβονται ἐνθάδε· εἰ δέ τινες καὶ εὖ πάσχουσιν, ἵνα μὴ ἡ ἀρετὴ δόξῃ [i]μισητὴ εἶναι· ὅτι οἱ πονηροὶ εὐφραίνονται, ἵνα ἐκεῖ κολασθῶσιν· εἰ δέ τινες καὶ κολάζονται, ὥστε μὴ τὴν κακίαν δόξαι εἶναι καλὸν, μηδὲ ἀτιμώρητα τὰ [k]πράγματα· [l]εἰ δὲ μήτε κολάζονται πάντες, ἵνα μὴ τῆς ἀναστάσεως ὁ καιρὸς διαπιστηθῇ· ὅτι καὶ τῶν ἀγαθῶν εἰσί τινες οἱ φαῦλα ἔχοντες ἔργα, [m]καὶ ἐνταῦθα αὐτὰ ἀποτίθενται, [n]καὶ τῶν πονηρῶν [o]οἱ χρηστὰ ἔχοντες, καὶ ἐνταῦθα ἀπολαμβάνουσιν, ἵνα ἐκεῖ τιμωρηθῶσιν· ὅτι ἀκατάληπτα τὰ
B πλείονα τοῦ θεοῦ ἔργα· ὅτι πολὺ τὸ μέσον [p]ἡμῶν καὶ αὐτοῦ, καὶ ὅσον οὐκ ἔστιν εἰπεῖν· ἂν ταῦτα ἀναλογιζώμεθα, οὐδὲν ἡμᾶς θορυβῆσαι δυνήσεται. Ἂν τῶν γραφῶν ἀκούωμεν συνεχῶς, εὑρήσομεν καὶ παραδείγματα τοιαῦτα [q]πολλά. "Τὰ δυνάμενά σε, φησὶ, σοφίσαι εἰς σωτηρίαν." [r]Καὶ τὰ πρακτέα ὑποτίθενται αἱ γραφαὶ, καὶ τὰ μὴ πρακτέα. Ἄκουε γὰρ τοῦ μακαρίου τούτου ἀλλαχοῦ λέγοντος· [20]"Πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκα-
C λον νηπίων." Ὁρᾷς ὅτι φῶς τῶν ἐν σκότει ὁ νόμος; Εἰ δὲ ὁ τὸ γράμμα δεικνὺς φῶς, τὸ γράμμα τὸ [s]ἀποκτέννον, τί ἄρα [t]ὁ τὸ πνεῦμα τὸ ζωοποιοῦν; εἰ ἡ παλαιὰ φῶς, τί ἡ καινὴ, ἔνθα

20 Rom. ii. 19, 20.

[b] δὲ om. K. [c] δίκην ἐντ.] ἐντ. δίκας K. Statim τίσουσιν I. [d] διαπιστῶσιν I. Statim ὥσπερ οὐ πάντες K. Sav. cet. [e] καὶ om. K. Sav. cet. [f] ἑξακ.] + ἐτῶν K. Mox ὑπὸ τούτων I. [g] καὶ πάντα] πάντα τε K. [h] ἴδῃ I. [i] μ. εἶναι] εἶναι μ. C.K. εἶναι om. I. [k] πράγματα] πρακτέα K. [l] εἰ δὲ μήτε] ὅτι οὐ K. Sav. cet. [m] καὶ ἐντ. αὐτὰ] ἐντ. αὐτὰ διὰ τῆς θλίψεως K. [n] καὶ] ὅτι καὶ C. [o] οἱ χρηστὰ] εἰσιν οἱ χρηστόν τι K. Statim καὶ om. idem. [p] ἡμῶν κ. αὐτοῦ] αὐτοῦ κ. ἡμῶν I. [q] πολλὰ] + καὶ καλῶς ὁ Παῦλος πρὸς τὸν μαθητὴν ἔγραφεν· ἐκ βρέφους τὰ ἱερὰ γράμματα ἔμαθε (sic) K. Mox φησὶ om. idem. [r] καὶ] + γὰρ Sav. cet. invitis libris. [s] ἀποκτένον C.I. [t] ὁ om. I. Veron.

τοσαῦτα [v]ἀνεπετάσθη; [w]ὡς ἂν εἰ τοῖς οὐδὲν [x]πλέον τῆς γῆς
εἰδόσι τὸν οὐρανόν τις ἀνοίξειε, καὶ πάντα [y]ποιήσοι κατοπτεῦ-
σαι· τοσοῦτόν ἐστι τὸ [z]μέσον. Περὶ γεέννης ἐμάθομεν, περὶ
βασιλείας, περὶ κρίσεως. Μὴ πιστεύωμεν ἀλόγοις πράγμασι·
γοητεία πάντα ἐκεῖνα.

Τί οὖν ὅτι λέγουσι, φησὶ, καὶ ἐκβαίνει; [a]Διὰ τοῦτο ἐκβαίνει,
ἐπειδὴ σὺ πιστεύεις, εἴγε καὶ ἐκβαίνει. Αἰχμάλωτόν σε ἔλαβε,
κύριός ἐστι τοῦ βίου τοῦ σοῦ, ὡς θέλει αὐτὸν οἰκονομεῖ. Εἰπέ D
μοι, εἴ τις λῄσταρχος υἱὸν βασιλέως αὐτῷ προσφυγόντα, καὶ
ἐρημίαν καὶ τὴν ἐκείνου συνοίκησιν ἀγαπήσαντα, ὑπὸ χεῖρας
ἔχοι καὶ ἐξουσίαν, [b]δυνήσεται αὐτῷ εἰπεῖν, εἰ τελευτᾷ, εἰ ζῇ;
Καὶ [c]σφόδρα δυνήσεται. Τί δήποτε; Οὐκ ἐπειδὴ προοῖδε τὸ
μέλλον, ἀλλ' ἐπειδὴ ἑκατέρου κύριος γίνεται, τοῦ ἀφανίσαι,
(369) [d]καὶ σῶσαι τὸν παῖδα, ἐκείνου ποιήσαντος αὐτὸν κύριον. Καὶ
γὰρ ἀνελεῖν, ἐὰν θέλῃ, δυνήσεται, καὶ [e]ἀφεῖναι δυνήσεται· ὑπὸ E
γὰρ ἐκείνῳ γέγονεν. [f]Ἂν εἴπῃ, ὅτι πλούσιος ἔσῃ [g]ἢ πένης,
[h]ἀμφοτέρων κύριος αὐτός ἐστι. Τὸ πλέον τοῦ κόσμου ὑπὸ τὰς
τοῦ διαβόλου χεῖρας ἑαυτοὺς ἔδωκαν. Καὶ [i]ἄλλως, ὅταν ἐθισθῇ
ἄνθρωπος ἐμπιστεύειν, πολὺ καὶ τοῦτο [k]συμβάλλεται ἐκείνοις
τοῖς ἀπατεῶσιν· [l]οὐδεὶς ταῖς ἀποτυχίαις προσέχει, ἀλλ' εἴ που
ἐπιτύχοιεν. Εἰ δέ τινα ἔχουσι δύναμιν προγνωστικὴν, ἐμοὶ τῷ
πιστῷ τούτους ἄγε. Οὐ μεγαληγορῶν λέγω· τὸ γὰρ τούτων F
ἀπηλλάχθαι, οὐ μεγαληγορίας. Ἁμαρτημάτων μὲν γάρ εἰμι
μεστός· τούτων δὲ ἕνεκεν οὐκ ἂν ταπεινοφρονήσαιμι· πάντων
τῇ τοῦ θεοῦ χάριτι καταγελῶ. Ἄγε πρὸς ἐμὲ τὸν ἄνδρα τὸν
μάγον, εἴ τινα ἔχει δύναμιν προγνωστικὴν, εἰπάτω τί μοι συμ- 713
βήσεται αὔριον, τί ἔσται μοι. Ἀλλ' οὐκ ἐρεῖ· ὑπὸ γὰρ τὴν
τοῦ βασιλέως ἐξουσίαν εἰμὶ, καὶ οὐκ ἔχει τὴν ἐμὴν ἀρχὴν οὐδὲ
τὴν ὑποταγήν· πόρρω τῶν καταδύσεων αὐτοῦ καὶ τῶν σπηλαίων
τυγχάνω, τῷ βασιλεῖ στρατεύομαι. Ἀλλ' ὁ δεῖνα ἔκλεψε,

[v] ἀνεπετάθη I. [w] ὡς ἂν εἰ] ἔνθα τοσοῦτόν ἐστι τὸ μέσον ὅσον εἰ K. Sav. cet. [x] πλ. τῆς γῆς] τῆς γῆς πλέον I.K. [y] ποιήσῃ C. ποιήσει I. ἀνοίξει et ποιήσει Veron. [z] μέσον] + τῆς παλαιᾶς καὶ τῆς νέας I. *tanta est utriusque instrumenti differentia* Vet. τοσοῦτόν ἐστι τὸ μέσον om. C.K. Sav. cet. [a] Haec διὰ τοῦτο ἐκβαίνει assumta sunt ex C. In I. διὰ τοῦτο εἰσβαίνει in marg. scripta sunt, sed manu, ut videtur, eadem. *ideo eveniunt* Vet. [b] δυνήσεται] ἆρα μὴ οὐ δύναται K. [c] σφόδρα δ.] σφόδρα γε K. σφόδρα γε δ. Sav. cet. [d] καὶ σῶσαι om. C.I. Veron. invito Vet. Post παῖδα add. ἢ μὴ ἀφανίσαι I. [e] ἀφεῖναι] + ἂν βουληθῇ, ὁμοίως K. Sav. cet. [f] ἂν εἴπῃ ὅτι] οὕτω καὶ ὁ μάγος, ἂν εἴπῃ K. [g] ἢ] καὶ I. Veron. [h] ἀμφοτέρων—ἐστι] καὶ γὰρ ἀμφοτέρου κ. αὐτός ἐστι τοῦ εἰπεῖν, πιστεύεις. οὐκ οἶδας ὅτι K. [i] ἄλλως] + δὲ K. Sav. cet. Mox πιστεύειν iidem. [k] συμβάλλεται] Sic C.I. συμβάλλεσθαι δύναται K. συμβαλεῖται Edd. [l] οὐδεὶς] + γὰρ K. Sav. cet.

φησὶ, καὶ ὁ δεῖνα αὐτὸν κατεμήνυσε. Μάλιστα μὲν [m]οὐ πανταχοῦ τοῦτο ἀληθὲς, ἀλλὰ [n]ψεῦδος καὶ γέλως· οὐδὲν γὰρ ἴσασιν·
[o]εἰ δέ τι ἴσασι, μᾶλλον τὰ ἑαυτῶν ὤφειλον λέγειν, [p]πῶς τὰ
πολλὰ ἀναθήματα τῶν εἰδώλων ἐκλάπη, πῶς τὸ πολὺ χρυσίον
B ἐχωνεύθη. Διὰ τί μὴ προεῖπον [q]τοῖς ἱερεῦσιν αὐτῶν; Ὥστε
οὐδὲν ἴσασιν· ἀλλὰ χρημάτων μὲν ἕνεκεν [r]οὐδὲ εἰπεῖν [s]δύνανται,
ὅταν οἱ ναοὶ αὐτῶν οἱ εἰδωλικοὶ [t]ἐμπιπρῶνται, καὶ πολλοὶ συναπόλλυνται. [v]Διὰ τί μὴ φείδονται τῆς σωτηρίας τῆς αὐτῶν;
[w]Ἀλλ' ἐπιτυχία μόνον τὸ πρᾶγμά ἐστιν, εἴ που τι καὶ προείποιεν. Εἰσὶ παρ' ἡμῖν προφῆται, ἀλλ' οὐκ ἀποτυγχάνουσιν·
οὐ τοῦτο μὲν λέγουσιν, ἐκεῖνο δὲ ψεύδονται, ἀλλὰ πάντα ἀληθεύουσι· τοῦτο γὰρ [x]προγνώσεως. Παύσασθέ ποτε τῆς μανίας,
C παρακαλῶ, εἴγε τῷ Χριστῷ πιστεύετε· εἰ δὲ μὴ πιστεύετε, τί
ἑαυτοὺς διασύρετε, τί ἀπατᾶτε; [21] "Ἕως πότε χωλανεῖτε ἐπ'
ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;" Τίνος γὰρ ἕνεκεν προσέρχῃ;
τί ἐρωτᾷς; Ἅμα προσῆλθες, ἅμα ἠρώτησας, ὑπὸ τὴν δουλείαν
σαυτὸν ἐποίησας· ὡς γὰρ πιστεύων ἐρωτᾷς. Οὔ, φησὶν, οὐ
πιστεύων αὐτὸν ἀληθεύειν, ἀλλὰ πειράζων. Καὶ τὸ πειράζειν
εἰ ἀληθεύει, οὐκ ἔστι πεπεισμένου [y]ὅτι ψεύδεται, ἀλλ' ἔτι ἀμφιβάλλοντος. [z]Τίνος ἕνεκεν ἐρωτᾷς τί ἔσται; Εἰ μὲν γὰρ
τοῦτο [a]λέγει, ὅτι τόδε ἔσται, τόδε πρᾶξον καὶ διαφεύξῃ,
μάλιστα μὲν οὐδὲ οὕτως ἐχρῆν εἰδωλολατρεῖν, πλὴν ἀλλ' οὐ
D τοσαύτη ἡ ἀπόνοια· εἰ δὲ τὰ μέλλοντα προλέγουσιν, οὐδὲν
ἄλλο κερδαίνει ὁ μαθὼν, ἢ λύπην περιττήν· [b]καὶ τὸ μὲν πρᾶγμα
οὐκ ἐξέβη, τὴν δὲ λύπην ὑπέμεινεν, ἐταρίχευσεν ἑαυτόν. Εἰ
συνέφερε τοῦτο, οὐκ ἂν ἡμῖν ἐφθόνησεν ὁ θεός· [c]οὐκ ἂν ἐβάσκηνεν ὁ τὰ ἐν οὐρανῷ εἰπών. [22] "Ὅσα γὰρ ἤκουσα παρὰ τοῦ
πατρὸς, φησὶ, πάντα ἐγνώρισα ὑμῖν·" καὶ, "Πάντα ὅσα ἤκουσα
παρὰ τοῦ πατρὸς, ἀπήγγειλα ὑμῖν·" καὶ, "Οὐ λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους· ὑμεῖς φίλοι μού ἐστε." Διὰ τί οὖν ταῦτα
E οὐκ ἐγνώρισεν ἡμῖν; Ὅτι βούλεται μηδένα λόγον ἔχειν ἡμᾶς

21 3 Reg. xviii. 21. 22 Joan. xv. 15.

[m] οὐ] Sic C.I. οὖν οὐ Veron. οὖν οὐδὲ K. Sav. cet. [n] ψ. καὶ γ.] Sic C.I. γ. καὶ ψ. Edd. πλεῖον τὸ ψ. καὶ ὁ γ. K. [o] εἰ δέ τι ἴσασι] ὅτι δὲ ᾔδεισαν K. [p] πῶς] + οὖν K. [q] τοῖς μη ἐρεῦσιν (sic) I. [r] οὐδὲν C. [s] δύνανται] Sic C.I. δύναται Veron. ἐδύναντο K. Sav. cet. [t] ἐμπιπρῶνται] Sic Veron. ἐμπιμπρῶται C. ἐμπιμπρῶνται I. ἐπίμπραντο K. Sav. cet. Mox συναπόλλυνται C. συναπόλυνται I. συναπόλλωνται Veron. συναπώλλυντο K. Sav. cet. [v] διὰ] εἰ γὰρ ἴσασι, διὰ K. [w] ἀλλ'] ὥστε K. [x] προγνώσεώς ἐστι Edd. ἐστι deest in omnibus. [y] ὅτι] + οὐ C. [z] τίνος] + οὖν K. Sav. cet. [a] λέγει] ἔλεγεν I. [b] καὶ τὸ μὲν] τὸ μὲν γὰρ K. Sav. cet. Mox ὑπέμεινε καὶ ἐταρ. K. [c] οὐκ ἂν—εἰπὼν] ὁ τὰ ἐν οὐρανῷ εἰπὼν οὐκ ἂν ὑπὲρ τούτου ἐβάσκηνεν I. οὐρανῷ pro οὐρανοῖς omnes.

αὐτῶν. Ἐπεὶ ὅτι οὐ βασκαίνει, τοῖς παλαιοῖς ταῦτα ἐλέγετο, καὶ περὶ ὄνου καὶ ἑτέρων τινῶν, ἐπειδὴ νήπιοι ἦσαν· ἡμῖν δὲ, ἐπειδὴ βούλεται μηδένα λόγον [d] *ἡμῖν εἶναι περὶ αὐτῶν, οὐδὲ φροντίδα ἔθετο ταύτην τοῦ γνωρίσαι ἡμῖν.* [e] *Ἀλλὰ τί μανθάνομεν; Ὅπερ οὐκ ἔμαθον ἐκεῖνοι· μικρὰ γὰρ ἅπαντα ἐκεῖνα· ἃ δὲ ἡμεῖς ἐμάθομέν ἐστι ταῦτα, ὅτι ἐγειρόμεθα, ὅτι* [f] *ἀθάνατοι, ὅτι ἄφθαρτοι, ὅτι οὐκ ἔχει τέλος ἡ ζωὴ, ὅτι πάντα παρελεύσεται, ὅτι ἐν νεφέλαις ἁρπαγησόμεθα, ὅτι οἱ πονηροὶ κόλασιν* F
τίσουσι, μυρία πρὸς τούτοις ἕτερα, καὶ οὐδέν ἐστι ψεῦδος. Οὐ πολλῷ βέλτιον εἰδέναι ταῦτα, ἢ ὅτι ὁ ὄνος ὁ [g] *ἀπολόμενος εὑρέθη; Ἰδοὺ ἔλαβες τὸν ὄνον, ἰδοὺ εὗρες· τί τὸ κέρδος; οὐ πάλιν* 714
ἀπολλύεις αὐτὸν ἑτέρῳ τρόπῳ; Κἂν γὰρ αὐτός σε μὴ ἀφῇ, σὺ αὐτὸν ἀφήσεις τῇ τελευτῇ· τὰ δὲ πράγματα, ἅπερ ἐγὼ εἶπον, ἂν κρατεῖν βουλώμεθα, διηνεκῶς ἔχομεν. Ἐκεῖνα τοίνυν διώκωμεν, ἐκείνων ἐχώμεθα τῶν μενόντων, τῶν βεβαίων. Μὴ προσέχωμεν μάντεσι, [h] *μηδὲ χρησμολόγοις, μηδὲ ἀγύρταις, ἀλλ' ἢ*
(370) *τῷ θεῷ τῷ πάντα εἰδότι σαφῶς, τῷ τὴν γνῶσιν ἔχοντι τῶν ἁπάντων· καὶ οὕτω πάντα εἰσόμεθα, ἃ εἰδέναι χρὴ, καὶ πάντων τῶν ἀγαθῶν ἐπιτευξόμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ΛΟΓΟΣ Θ. B

[1] *Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ· ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.*

ΠΟΛΛΗΝ *παράκλησιν ποιησάμενος καὶ παραμυθίαν ἀπὸ πάντων, ἐπάγει καὶ τὴν ἀπὸ τῶν γραφῶν* [a] *τελειοτέραν οὖσαν.* C
Εἰκότως δὲ ποιεῖται τοσαύτην παράκλησιν, ἐπειδὴ μέγα τι καὶ λυπηρὸν ἔμελλεν ἐρεῖν. Εἰ γὰρ ὁ Ἐλισσαῖος μέχρις ἐσχάτης ἀναπνοῆς συνὼν τῷ διδασκάλῳ, καὶ [b] *ἐν τρόπῳ τελευτῆς ὁρῶν αὐτὸν τελευτῶντα, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, τί οἴει τοῦτον παθεῖν τὸν οὕτω μὲν* [c] *ἀγαπώμενον, οὕτω δὲ ἀγαπῶντα, ἀκούοντα ὅτι μέλλει ἀποθνήσκειν ὁ διδάσκαλος, καὶ ὅτι οὐδὲ ἀπε-*

[1] Cap. III. v. 16, 17.

[d] *ἡμῖν* (*ὑμῖν* C.) *εἶναι περὶ*] *ἔχειν* K. [e] *ἀλλὰ—ὅπερ*] *ἄλλα τινὰ μανθάνομεν ἅπερ* I. *ἀλλὰ τί; μ. ὅπερ* C. [f] *ἀθάνατοι*] + *γινόμεθα* C.I. + *ἐσόμεθα* Edd. Neutrum habet K. [g] *ἀπολλόμενος* C. Statim *ηὑρ.* C.I. [h] *μηδὲ*] *μὴ* K. Hom. IX. [a] *τελεωτέραν* K. [b] *ἐν* om. C.K. inclusum a Sav. [c] *ἀγαπῶντα, οὕτω δὲ ἀγαπώμενον* I.

D λαυσεν αὐτοῦ τὸν χρόνον τὸν ἐγγὺς τοῦ θανάτου; ὃ μάλιστα
πάντων εἴωθε λυπεῖν. Οὐ γὰρ οὕτω χάριν ἴσμεν τῷ παρελ-
θόντι χρόνῳ, ἂν τὸν ἐγγὺς χρόνον ἀπολειφθῶμεν τῶν τετελευ-
τηκότων. Διὰ τοῦτο, ὅτε πολλὴν ἐποιήσατο τὴν παράκλησιν,
τότε περὶ τῆς τελευτῆς [d]ἑαυτοῦ διαλέγεται· καὶ οὐχ ἁπλῶς,
ἀλλὰ καὶ [e]λέξεσι κέχρηται ἱκαναῖς αὐτὸν παραμυθήσασθαι καὶ
χαρᾶς ἐμπλῆσαι, ὡς θυσίαν νομισθῆναι [f]εἶναι τὸ πρᾶγμα ἢ τε-
λευτὴν, καὶ ἀποδημίαν μᾶλλον, ὅπερ οὖν καὶ ἦν, καὶ μετάστασιν
πρὸς τὰ κρείττω. "Ἐγὼ γὰρ ἤδη σπένδομαι," φησί. Διὰ
τοῦτο [g]ἔγραφε λέγων· "Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέ-
λιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν."
E [h]Τί οὖν; πᾶσα, ποία; [i]Περὶ ἧς εἶπον, φησὶ, πᾶσα ἱερά· περὶ
ἧς διελέγετο, ταῦτα εἴρητο· περὶ ἧς ἔλεγεν, ὅτι "Ἀπὸ βρέ-
φους τὰ ἱερὰ γράμματα οἶδας." Πᾶσα οὖν ἡ [k]τοιαύτη θεό-
πνευστος· μηδὲν οὖν ἀμφίβαλλε. "[l]Καὶ ὠφέλιμος, φησὶ, πρὸς
διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν· ἵνα ἄρτιος ᾖ ὁ
τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος."
"Πρὸς διδασκαλίαν." Εἴ τι μαθεῖν, εἴ τι ἀγνοῆσαι χρὴ, ἐκεῖθεν
εἰσόμεθα· εἰ ἐλέγξαι τὰ ψευδῆ, καὶ τοῦτο ἐκεῖθεν· εἰ ἐπανορ-
θωθῆναι καὶ σωφρονισθῆναι· πρὸς παράκλησιν, πρὸς [m]παρα-
F μυθίαν· εἴ τι λείπει, καὶ χρὴ προστεθῆναι. "Ἵνα ἄρτιος ᾖ ὁ
τοῦ θεοῦ ἄνθρωπος." Διὰ τοῦτο, φησὶ, γέγονεν ἡ τῶν γραφῶν
παράκλησις, "ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος." Οὐκ ἄρα
χωρὶς αὐτῆς ἄρτιον ἔνι γενέσθαι. Ἀντ' ἐμοῦ, [n]φησὶ, τὰς γρα-
715 φὰς ἔχεις· εἴ τι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ. Εἰ δὲ Τιμοθέῳ
ταῦτα ἔγραφε τῷ πνεύματος ἐμπεπλησμένῳ, πόσῳ μᾶλλον
ἡμῖν; "Πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος." Οὐχ ἁπλῶς
[o]μετέχων, ἀλλὰ μετὰ ἀκριβείας ἀπηρτισμένος.

[2]"Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυρίου
Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς."
Ἤτοι ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἤτοι καὶ τοὺς ἀπελθόντας
καὶ τοὺς νῦν ὄντας, [p]ἢ ὅτι πολλοὶ [q]καταληφθήσονται ζῶντες.
Ἐφόβησεν αὐτὸν ἐν μὲν τῇ προτέρᾳ λέγων, [3]"Παραγγέλλω

2 Cap. IV. v. 1. 3 1 Tim. vi. 13.

[d] αὐτοῦ K. [e] λέξει ante corr. C. Statim κέχρηται nostri omnes et Cat. χρῆται Edd. [f] εἶναι om. I. ὡς—πρᾶγμα] καὶ πεῖσαι θυσίαν εἶναι τὸ πρ. νομίσαι K. [g] ἔγραφε] ἐπάγει K. [h] τί οὖν om. I.K. Sav. cet. [i] περὶ ἧς—ἱερὰ om. K. Mox εἴρητο om. idem. [k] τοιαύτη] + ὠφέλιμος καὶ Veron. Vet. Mox ἀμφίβαλε Edd. invitis libris. [l] καὶ ὠφ. φησὶ] Sic C.I. φησί. καὶ ὠφ. Edd. εἰπὼν δὲ καὶ ὠφ. ἑρμηνεύει πρὸς τί ἐστι τοῦτο, ἐπάγων καὶ λέγων K. [m] παραμυθίαν] + φησὶ, πρὸς ἐπανόρθωσιν· τουτέστιν K. Sav. cet. [n] φησὶ om. K. [o] μετέχων] + φησὶν C.K. Sav. cet. Mox ἀπηρτισμένος omnes. ἐξηρτισμένος Sav. cet. ἐξηρτημένος ubique Veron. [p] ἢ assumtum ex Cat. [q] καταληφθ. pro καταλειφθ. K. Cat. Statim τότε ζῶντες I. ζῶντες τότε K.

σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα·" ἐνταῦθα δὲ B
τὸ φοβερώτερον [r]τέθεικε, "τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ
νεκρούς·" τουτέστι, τοῦ μέλλοντος εὐθύνας ἀπαιτεῖν· "κατὰ
τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ." Κρίνειν, πότε;
Ἐν τῇ ἐπιφανείᾳ [s]αὐτοῦ τῇ μετὰ δόξης, τῇ μετὰ βασιλείας.
[t]Οὐχ οὕτως ἥξει, ὡς νῦν. Ἢ ὅτι διαμαρτύρομαί σοι τὴν ἐπιφά-
νειαν αὐτοῦ καὶ τὴν βασιλείαν. Μάρτυρα [v]καλῶ ἐκεῖνον, [w]ὅτι
καὶ τούτου [x]ἀνέμνησα. [4]"Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαί-
ρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακρο- C
θυμίᾳ καὶ διδαχῇ." Τί ἐστιν, "εὐκαίρως, ἀκαίρως;" [y]Τουτέστι,
μὴ καιρὸν ἔχε ὡρισμένον, ἀεί σοι καιρὸς ἔστω, μὴ ἐν εἰρήνῃ, μὴ ἐν
ἀδείᾳ, [z]μηδὲ ἐν ἐκκλησίᾳ καθήμενος μόνον, [a]ἐν δὲ τοῖς κινδύνοις
ὑποσταλείς· κἂν ἐν δεσμωτηρίῳ ᾖς, κἂν ἅλυσιν περικείμενος, κἂν
μέλλῃς ἐξιέναι ἐπὶ θάνατον, καὶ παρ' αὐτὸν τὸν καιρὸν ἔλεγξον,
μὴ ὑποσταλῇς ἐπιτιμῆσαι. Τότε γὰρ καὶ ἡ ἐπιτίμησις ἔχει
καιρὸν, ὅταν ὁ ἔλεγχος προχωρήσῃ, ὅταν ἀποδειχθῇ τὸ ἔργον.
"Παρακάλεσον," [b]φησί. Καθάπερ ἐπὶ τῶν ἰατρῶν, [c]εἰπὼν τὸ D
τραῦμα, ἔδωκε τὴν τομὴν, ἐπήγαγε τὸ φάρμακον· ὅπερ δὲ ἂν
τούτων ἀπολειφθῇ, τὸ ἕτερον ἄχρηστον [d]γίνεται. Ἄν τε γὰρ
χωρὶς ἐλέγχων ἐπιτιμήσῃς, δόξεις εἶναι θρασὺς, καὶ οὐδεὶς [e]ἀνέ-
χεται· μετὰ δὲ τὸ ἀποδειχθῆναι, τότε [f]καὶ καταδέχεται τὴν
ἐπιτίμησιν, πρότερον δὲ ἰταμὸς [g]ἔσται· ἄν τε ἐλέγξῃς μὲν καὶ
ἐπιτιμήσῃς, σφοδρῶς δὲ, καὶ μὴ παράκλησιν προσαγάγῃς, πάλιν
τὸ πᾶν ἀνατέτραπται. Ἀφόρητον γὰρ ἔλεγχος καθ' ἑαυτὸν,
(371) ὅταν μὴ καὶ παράκλησιν ἀναμεμιγμένην ἔχῃ. Καθάπερ [h]οὖν ἡ
τομὴ, καίτοι σωτήριος οὖσα, ἂν μὴ πολλὰ τὰ παραμυθούμενα
τὰς ἀλγηδόνας ἔχῃ, οὐκ ἀνέχεται κοπτόμενος καὶ τεμνόμενος ὁ
κάμνων· οὕτω καὶ ἐνταῦθα. Καὶ, "[i]ἐν πάσῃ, φησὶ, μακροθυμίᾳ
καὶ διδαχῇ." [k]Καὶ ὁ ἐλέγχων μακροθυμίας δεῖται, ὥστε μὴ
ἁπλῶς πιστεύειν, [l]καὶ ἡ ἐπιτίμησις καὶ ἡ παράκλησις. "[m]Καὶ

4 v. 2.

[r] *τέθεικε*] *θεὶς καὶ εἰπὼν* K. [s] *αὐτοῦ*]+*τῇ μελλούσῃ* I. [t] *οὐχ*] *ἢ τοίνυν τοῦτο λέγει, ὅτι οὐχ* K. Sav. cet. [v] *καλῶ*] *καλεῖ* Codd. et Edd. *καλῶς* (sic) Cat. *voco* Vet. [w] *ὅτι καὶ τούτου*] *δεικνὺς ὅτι καὶ τούτου αὐτὸν* K. Sav. cet. [x] *ἀνέμνησα*] Sic Cat. Veron. Vet. Edebatur *ἀνέμνησεν*. Post h. v. add. *εἶτα πῶς δεῖ κηρύττειν τὸν λόγον διδάσκων, ἐπάγει* K. Sav. cet. Statim *κήρυξον τὸν λ.* om. K. [y] *τουτέστι* om. K. Post *ὡρισμένον* add. *φησὶν* idem. [z] *μηδὲ*] *μὴ* K. [a] *ἐν δὲ τοῖς κ. ὑποσταλεὶς* (*ὑποσταλῇς* C.I. *μὴ ὑποσταλῇς* Veron.)] Sic C.I. Cat. Veron. *καὶ ἐν τοῖς κ. οὐδαμῶς* K. *κἂν ἐν τοῖς κ.* Sav. cet. *verum et inter ipsa pericula* Vet. [b] *φησὶ*]+*οὕτως εἰπὼν* K. [c] *εἰπὼν*] *καὶ γὰρ ἐκεῖνος δείξας* K. [d] *γίνεται*]+*οὕτω ποίει καὶ σὺ* K. [e] *ἀνέξεται* C. [f] *καὶ* om. K. [g] *ἐστιν* I. [h] *οὖν*] Sic omnes. *γὰρ* Edd. [i] *ἐν πάσῃ, φησὶ*] *καλῶς εἶπεν, ἐν πάσῃ* K. [k] *καὶ*]+*γὰρ* K. Sav. cet. [l] *καὶ ἡ ἐπ. καὶ ἡ παρ.*] Sic C.I. Cat. Veron. Vet. *καὶ ἡ ἐπ. παρακλήσεως ὥστε δεχθῆναι* K. Sav. cet. [m] *καὶ διδαχῇ, φ.*] Sic Veron. *καὶ διδαχὴ, φ.* C.I. Vet. *καὶ ἡ διδαχὴ* Cat. *τί ἐστιν ὃ τῇ μακροθυμίᾳ προστίθησι, λέγων, καὶ διδαχῇ;* K. Sav. cet.

διδαχῇ," φησί. Μὴ ὡς [u] ὀργιζόμενος, μὴ ὡς ἀπεχθανόμενος, μὴ ὡς ἐπεμβαίνων, μὴ ὡς ἐχθρὸν εὑρηκὼς, [o] ταῦτα πάντα ἀφείσθω· ἀλλὰ τί; Ὡς [p] φιλῶν, ὡς συναλγῶν, ὡς μᾶλλον ἐκείνου πενθῶν,
F ὡς τηκόμενος ἐπὶ τοῖς ἐκείνου. "Ἐν πάσῃ μακροθυμίᾳ," [q] φησὶ, μὴ ἐν τῇ τυχούσῃ. [5] "Ἔσται γὰρ καιρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται." Πρὶν ἢ ἐκτραχηλισθῆναι, προκατάλαβε πάντας αὐτούς· διὰ τοῦτο εἶπε, "καὶ εὐκαίρως, [r] καὶ
716 ἀκαίρως·" ὡς [s] ἔχεις ἑκόντας μαθητευομένους, πάντα πρᾶττε. "Ἀλλὰ κατὰ τὰς [t] ἐπιθυμίας τὰς ἰδίας, φησὶν, ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους."

Οὐδὲν ἐμφαντικώτερον τῆς λέξεως ταύτης· τὸ γὰρ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων διὰ τοῦ, σωρεύσουσιν, ἐδήλωσε, καὶ [v] διὰ τοῦ παρὰ τῶν μαθητῶν χειροτονεῖσθαι. "Ἑαυτοῖς ἐπισωρεύσουσι, φησὶ, διδασκάλους, [w] κνηθόμενοι τὴν ἀκοήν·" τῆς ἡδονῆς χάριν λέγοντας, [x] τερπόμενοι τὴν ἀκοήν. [6] "Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν [y] ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους
B ἐκτραπήσονται." Ταῦτα προλέγει, οὐκ εἰς ἀθυμίαν [z] ἁπλῶς βουλόμενος ἐμβαλεῖν, ἀλλ' ἵνα, ὅταν ἐκβῇ, γενναίως [a] φέρωσιν· ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίει λέγων, ὅτι [7] "Παραδώσουσιν ὑμᾶς, καὶ μαστιγώσουσι, καὶ εἰς τὰς συναγωγὰς ἄξουσιν ἕνεκεν τοῦ ὀνόματός μου." Ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ μακάριος οὗτος· [8] "Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου." Ταῦτα δὲ ἔλεγεν, ὥστε νήφειν αὐτοὺς, ὥστε τῷ παρόντι καιρῷ κεχρῆ-
C σθαι εἰς δέον. [9] "Σὺ δὲ νῆφε, [b] φησὶν, ἐν [c] πᾶσιν." Ὁρᾷς ὅτι διὰ τοῦτο ταῦτα προλέγει; Καὶ γὰρ καὶ ὁ Χριστὸς [d] ἔλεγε πρὸς τῷ τέλει, [10] "Ἔσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται·" οὕτω καὶ οὗτος, ὅτε ἔμελλεν ἀποδημεῖν, ταῦτα ἔλεγε. "Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον·" τουτέστι, κάμε, προκατάλαβε, πρὶν ἢ τὴν λύμην ἐκείνην ἐπελθεῖν· ἐν [e] ἀσφαλεῖ τὰ πρόβατα κατάστησον, ἕως οὗ πάρεισιν οἱ λύκοι πανταχοῦ. "[f] Κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου

5 v. 3. 6 v. 4. 7 Matth. x. 17. 8 Act. xx. 29. 9 v. 5. 10 Matth. xxiv. 24.

[n] ὀργιζ.] + φησὶ K. [o] ταῦτα πάντα pro πάντα ταῦτα omnes. [p] φίλον I. [q] φησὶ] + καὶ διδαχῇ Edd. invitis libris et Vet. [r] καὶ om. C. [s] ἔχειν C.K. Sav. cet. invita Cat. Statim εἴκοντας C. Cat. *obtemperantes* Vet. [t] ἐπιθ. τὰς ἰδίας, φ.] ἰδίας ἐπιθ. K. [v] διὰ τοῦ] τὸ αὐτοὺς K. [w] κνηθόμενοι —ἡδονῆς] καὶ δεικνὺς πῶς κνηθόμενοι, ἐπάγει, τὴν ἀ. τουτέστι, τοὺς ἡδονῆς K. [x] τερπόμενοι τὴν ἀ.] καὶ τέρποντας τὴν ἀ. ἐπιζητοῦντες K. Sav. cet. [y] ἀποστρέφουσιν I. [z] ἁπλῶς assumtum ex C.K. et marg. I. [a] φέρωσιν omnes. φέρῃ Edd. [b] φησὶν om. K. [c] πᾶσι] + κακοπάθησον Edd. invitis libris et Vet. [d] ἔλεγε] εἶπε K. Mox ὅτι ἔσονται K. Sav. cet. [e] ἀσφαλείᾳ I. [f] κακοπάθησον om. C.

πληροφόρησον." Ἆρα τοῦτο ἔργον εὐαγγελιστοῦ, τὸ κακοπα- D
θεῖν, καὶ παρ' ἑαυτοῦ, καὶ παρὰ τῶν ἔξωθεν. "Τὴν διακονίαν
(372) [g]σου πληροφόρησον·" τουτέστι, πλήρωσον. Ἰδοὺ καὶ ἄλλη
ἀνάγκη τοῦ κακοπαθεῖν. [11]"Ἐγὼ γὰρ ἤδη σπένδομαι, [h]φησὶ,
καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν." Οὐκ εἶπε, τῆς
ἐμῆς θυσίας, ἀλλ' ὃ περισσόν ἐστι. Τῆς μὲν γὰρ θυσίας οὐ τὸ
πᾶν ἀναφέρεται τῷ θεῷ, τῆς δὲ σπονδῆς τὸ ὅλον. [12]"Τὸν
ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον [i]τετέλεκα." Πολλάκις
τὸν ἀπόστολον μετὰ χεῖρας λαβὼν ἐγὼ, καὶ τὸ χωρίον τοῦτο
περισκεψάμενος, ἀπορῶν διετέλουν, τίνος ἕνεκεν οὕτω μεγαλη-
γορεῖ Παῦλος λέγων, "Τὸν [k]καλὸν ἀγῶνα ἠγώνισμαι." Νῦν δέ
μοι δοκῶ εὑρηκέναι τῇ τοῦ θεοῦ χάριτι. Τίνος οὖν ἕνεκεν ταῦτά E
φησι; Τὴν ἀθυμίαν [l]παραμυθήσασθαι βούλεται τοῦ μαθητοῦ,
θαρρεῖν κελεύων ὡς ἐπὶ στέφανον [m]ἀπιόντος αὐτοῦ, ὡς πάντα
τετελεκότος, ὡς καλῆς ἐπιτυχόντος τελευτῆς. [n]Χαίρειν δεῖ,
φησὶν, οὐκ ἀλγεῖν· διὰ τί; "Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι."
[o]Ὥσπερ ἂν εἴ τις πατὴρ παιδίον αὐτῷ παρακαθήμενον, καὶ τὴν
ὀρφανίαν οὐ φέρον παραμυθοῖτο, λέγων· τέκνον, μὴ κλαῖε· ἐζή-
σαμεν καλῶς, εἰς γῆρας ἐλθόντες καταλιμπανόμεν σε· ἄληπτος
ἡμῶν ὁ βίος γέγονε· μετὰ δόξης ἀπερχόμεθα· ἔχεις καὶ σὺ θαυ- F
μάζεσθαι ἀπὸ τῶν ἡμῖν πεπραγμένων· πολλὰς ἡμῖν ὁ βασιλεὺς
οἶδε τὰς χάριτας. [p]Ὡς ἂν εἰ ἔλεγε, τρόπαια ἐστήσαμεν, τοὺς
πολεμίους ἐνικήσαμεν· [q]οὐ μεγαληγορῶν, ἀλλ' ἀνιστὰς τὸν
παῖδα, καὶ παιδεύων τοῖς ἐγκωμίοις κούφως φέρειν τὰ συμβάντα, 717
καὶ χρηστὰς ἔχειν ἐλπίδας, καὶ μὴ νομίζειν ὅτι φορτικὸν τὸ
πρᾶγμα. Δεινὸν [r]γὰρ, δεινὸν ὁ χωρισμός· καὶ ἄκουε αὐτοῦ
λέγοντος, [13]"Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν
[s]ὥρας, προσώπῳ, οὐ καρδίᾳ." Εἰ οὖν αὐτὸς χωρισθεὶς τῶν μα-
θητῶν τοιαῦτα ἔπασχεν, οἷα οἴει τὸν Τιμόθεον πάσχειν; εἰ
ζῶντος χωριζόμενος αὐτοῦ ἐδάκρυεν, ὡς λέγειν αὐτὸν, "Μεμνη-
μένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ," πόσῳ μᾶλλον
τελευτήσαντος; Ταῦτα οὖν παραμυθούμενος ἔγραφε· καὶ [t]πᾶσα
ἡ ἐπιστολὴ παραμυθίας ἐστὶ πλήρης, καὶ ὡσανεὶ διαθήκη τίς B
ἐστι. "Τὸν [v]ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον, φησὶ,

11 v. 6. 12 v. 7. 13 1 Thess. ii. 17.

[g] σου om. I. [h] φησὶ om. K. [i] τετέλεκα] + τὴν πίστιν τετήρηκα Edd. Haec om. C.I. Vet. [k] κ. ἀγῶνα] ἀγῶνα τὸν κ. C. [l] π. β. τοῦ μ.] Sic omnes. τοῦ μ. π. β. Edd. [m] ἀπιέντος I. [n] χαίρειν—διὰ τί;] εἶτα δεικνὺς διὰ τί χαίρειν δεῖ, καὶ οὐκ ἀλγεῖν, φησὶν K. [o] ὥσπερ] τοῦτο ἐπαγαγὼν, δῆλός ἐστιν ὁ Παῦλος ὅμοιόν τι ποιεῖν, ὥσπερ K. [p] ὡς ἂν εἰ ἔλεγε om. K. Cat. Statim τὰ τρόπαια K. [q] οὐ] καὶ ταῦτα ἀπαριθμοῖτο οὐ K. Post μεγαληγορῶν add. ἄπαγε I.K. Sav. cet. [r] γὰρ] μὲν γὰρ K. [s] ὥρας accessit ex omnibus. [t] πᾶσα] + δὲ K. Sav. cet. [v] ἀγῶνα] + φησὶ K. Mox φησὶ om. bis idem.

τετέλεκα, τὴν πίστιν τετήρηκα." "Τὸν ἀγῶνα, φησὶ, τὸν καλόν·"
οὐκοῦν καὶ σὺ αὐτοῦ ἐπιλαβοῦ. Ἔνθα ἅλυσις, ἔνθα δεσμὰ, ἔνθα
θάνατος, οὗτος [w]ὁ ἀγὼν καλός; Ναὶ, φησίν· ὑπὲρ γὰρ Χρι-
στοῦ γίνεται· στεφάνους [x]γὰρ ἔχει μεγάλους. "Τὸν ἀγῶνα
τὸν καλόν." Οὐδὲν τούτου βέλτιον τοῦ ἀγῶνος· [y]οὐ λαμβάνει
τέλος ὁ στέφανος οὗτος· οὗτος οὐκ ἀπὸ [z]κοτίνων ἐστὶν, οὐκ ἔχει
ἄνθρωπον ἀγωνοθέτην, οὐκ ἔχει ἀνθρώπους θεατάς· ἀπὸ ἀγγέ-
λων σύγκειται τὸ θέατρον. Ἐκεῖ ἐν ἡμέραις πολλαῖς πονοῦσι
C καὶ ταλαιπωροῦνται, καὶ ἐν [a]ὥρᾳ μιᾷ τὸν στέφανον ἔλαβον, καὶ
παραχρῆμα ἀπέπτη τὰ τῆς ἡδονῆς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ
διαπαντὸς ἐν λαμπρότητι, ἐν δόξῃ, ἐν τιμῇ. [b]Δεῖ λοιπὸν χαί-
ρειν· εἰς γὰρ ἀνάπαυσιν ἔρχομαι, ἐξέρχομαι τὸ στάδιον. Ἤκου-
σας ὅτι [14]"Τὸ ἀναλῦσαι κρεῖσσον, καὶ σὺν Χριστῷ εἶναι."
"Τὸν δρόμον τετέλεκα." [c]Καὶ γὰρ ἀγωνίζεσθαι χρὴ καὶ τρέ-
χειν· [d]ἀγωνίζεσθαι καρτεροῦντα τὰς θλίψεις, τρέχειν δὲ οὐχ
ἁπλῶς, ἀλλὰ πρός τι χρήσιμον. Ὄντως καλὸς ὁ ἀγὼν, οὐ
τέρπων ἁπλῶς τὸν θεατὴν, ἀλλὰ ὠφελῶν· καὶ ὁ δρόμος οὐκ εἰς
D τὸ μηδὲν χωρῶν, οὐδὲ ἰσχύος ἐπίδειξίς [e]ἐστι καὶ φιλοτιμίας,
ἀλλὰ πάντας ἕλκων εἰς τὸν οὐρανόν. Οὗτος ὁ δρόμος τοῦ ἡλίου
καθαρώτερος, ὃν ὁ Παῦλος ἔτρεχεν ἐπὶ τῆς γῆς, ἢ ὃν ἐκεῖνος
τρέχει [f]ἐπὶ τοῦ οὐρανοῦ. Πῶς δὲ τετέλεκε τὸν δρόμον; Τὴν
οἰκουμένην ἅπασαν [g]περιέδραμεν, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας
καὶ ἀπὸ τῆς Ἀραβίας, καὶ μέχρι τῶν περάτων τῆς γῆς ἐλθών·
[15]"Ὥστε με, φησὶν, ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλ-
λυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ·" καὶ πᾶσαν
διαδραμὼν τὴν οἰκουμένην καθάπερ τις πτηνὸς, μᾶλλον δὲ καὶ
πτηνοῦ σφοδρότερον· ὁ μὲν γὰρ πτηνὸς ἁπλῶς [h]διέτρεχεν,
E οὗτος δὲ οὐχ ἁπλῶς, ἀλλὰ τὸ πτερὸν ἔχων τοῦ πνεύματος, καὶ
μυρία διακόπτων κωλύματα, θανάτους, ἐπιβουλὰς, συμφοράς·
ὥστε καὶ πτηνοῦ ταχύτερος ἦν. Εἰ πτηνὸς [i]ἦν, καὶ κατηνέχθη
ἂν καὶ ἀνάλωτο· ἐπειδὴ δὲ ὑπὸ τοῦ πνεύματος ἐκουφίζετο, πάν-
των ὑπερηνέχθη τῶν δικτύων, ὡσανεὶ πτηνὸς πτερὰ ἔχων ἀπὸ
πυρός. "Τὴν πίστιν, [k]φησὶ, τετήρηκα." [l]Πολλὰ γὰρ ἦν τὰ
βουλόμενα [m]αὐτὸν συλῆσαι, οὐχ αἱ φιλίαι τῶν ἀνθρώπων [n]μόναι, (373)

14 Philipp. i. 23. 15 Rom. xv. 19.

w ὁ om. K. x γὰρ om. I.K. Sav. cet. y οὐ λαμβάνει] οὐκ ἄγει I. z κοτίνου K. a ὥρᾳ] ἡμέρᾳ K. b χαίρειν δεῖ λ. hoc ord. K. ἀπέρχομαι pro ἔρχομαι idem. c καὶ γὰρ] δείκνυσιν ὅτι καὶ K. d ἀγωνίζεσθαι]+μὲν K. Sav. cet. ἀγωνίζεσθαι om. Veron. e ἐστι] ὢν K. Mox πρὸς pro εἰς idem. f ἐπὶ τοῦ] ἐν τῷ C. g περιέδραμεν] Sic C.I. ἔδραμεν Veron. περιῆλθεν K. Sav. cet. h διέτρεχεν] διατέμνει τὸν ἀέρα K. i ἦν]+ἁπλῶς K. Sav. cet. k φησὶ om. K. l πολλὰ γὰρ] δείκνυσι διὰ τούτου ὅτι πολλὰ K. m αὐτὴν I. n μόνον K.

ἀλλὰ καὶ ἀπειλαὶ καὶ θάνατοι καὶ μυρία ἕτερα. Ἀλλὰ πρὸς
ἅπαντα ἔστη. Πῶς; Νήφων καὶ ἐγρηγορώς. Ἱκανὰ μὲν οὖν
καὶ ταῦτα πρὸς παραμυθίαν τῶν μαθητῶν, αὐτὸς δὲ καὶ τὰ F
ἔπαθλα προστίθησι. Ποῖα [o] δὲ ταῦτα; [16] "Λοιπὸν ἀπόκειταί
[p] μοι, φησὶν, ὁ τῆς δικαιοσύνης στέφανος." Δικαιοσύνην [q] ἐνταῦθα
τὴν καθόλου φησὶν ἀρετήν. Οὐ τοίνυν ἀλγεῖν χρὴ, ὅτι ἄπειμι 718
[r] στεφανωσόμενος τὸν στέφανον τὸν ἀπὸ Χριστοῦ τιθέμενον ἐπὶ
τῆς ἐμῆς κεφαλῆς· [s] εἰ ἄρα ἐνταῦθα, ὄντως ἀλγεῖν ἐχρῆν [t] μᾶλ-
λον, μὴ παραπέσω, μὴ παραπόλωμαι. "Ὃν ἀποδώσει [v] μοι ὁ
δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι
τὴν ἐπιφάνειαν αὐτοῦ." Ἐνταῦθα [w] καὶ αὐτὸν ἀνέστησεν. Εἰ
[x] πᾶσι, πολλῷ μᾶλλον Τιμοθέῳ. Ἀλλ' οὐκ εἶπε, καὶ σοὶ, ἀλλὰ,
[y] "πᾶσι·" πολλῷ μᾶλλον σοί.

[z] Πῶς δὲ ἄν τις ἀγαπήσειε, φησὶ, τὴν ἐπιφάνειαν τοῦ Χρι- B
στοῦ; Εἰ [a] χαίροι ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ· ὁ [b] δὲ χαίρων ἐπὶ
τῇ παρουσίᾳ αὐτοῦ, ἄξια πράττει τῆς χαρᾶς, τὰ ὑπάρχοντα
προήσεται, εἰ δέοι, καὶ τὴν ψυχὴν, [c] ὥστε τῶν μελλόντων τυχεῖν
ἀγαθῶν, ὥστε καταξιωθῆναι τὴν δευτέραν παρουσίαν μετὰ τοῦ
προσήκοντος σχήματος ἰδεῖν, μετὰ παρρησίας, μετὰ δόξης καὶ
λαμπρότητος. Τοῦτό ἐστιν ἀγαπᾶν τὴν ἐπιφάνειαν αὐτοῦ. Ὁ
ἀγαπῶν αὐτοῦ τὴν ἐπιφάνειαν, πάντα πράξει ὥστε καὶ πρὸ
ἐκείνης τῆς καθολικῆς [d] γενέσθαι τὴν μερικήν. [17] "[e] Τί ἐστιν ὅτι
οὐ τῷ κόσμῳ ἔμελλεν ἐμφανίζειν ἑαυτόν;" Ἀλλὰ τί; Ἄκουε τοῦ C
Χριστοῦ λέγοντος· "Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει,
καὶ [f] πορευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιή-
σομεν." Ἐννόησον δὲ ὅσον ἐστὶ τὸν κοινῇ πᾶσιν [g] ἐπιφαίνεσθαι
μέλλοντα, τοῦτον ἰδίᾳ ὑπισχνεῖσθαι ἐπιφανῆναι ἡμῖν. "Ἐλευ-
σόμεθα γὰρ, φησὶ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν." Εἴ τις
ἀγαπᾷ τὴν ἐπιφάνειαν αὐτοῦ, πάντα πράξει, ὥστε αὐτὸν καλέ-

16 v. 8. 17 Joan. xiv. 22, 23.

[o] δὲ om. K. [p] μοι om. I. φησὶν om. K. [q] ἐνταῦθα] + πάλιν Edd. invitis libris et Cat. Mox λέγει pro φησὶν K. [r] στεφανωθησόμενος C. [s] εἰ ἄρα ἐνταῦθα] Sic C. Veron. εἰ ἄρα ἐνταῦθα ἤμην I. ἀλλ' εἰ ἐνταῦθα παρέμενον K. Sav. cet. οὕτως pro ὄντως Veron. [t] μᾶλλον] + καὶ δεδοικέναι K. Sav. cet. μᾶλλον om. Veron. [v] μοι] + ὁ (ὁ om. C.) κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ C.K. Sav. cet. invita Cat. [w] καὶ om. K. [x] πᾶσι] πάντας C. [y] πᾶσι] + καὶ εἰ πᾶσι I. + δηλῶν ὅτι εἰ πᾶσι K. Sav. cet. Mox αὐτῷ pro σοὶ K. Sav. cet. [z] ΗΘΙΚΟΝ. Ὅτι δεῖ καταφρονεῖν τῶν προσκαίρων· καὶ ὅτι κἂν μὴ διὰ Χριστὸν ἐπηρεασθῶμεν, ἀλλ' ὅμως (+ ἂν I.) μακροθύμως ἐνέγκωμεν, διὰ θεὸν ἡμῖν (+ ἡ I.) ὑπομονὴ λογίζεται. Veron. πῶς δὲ] καὶ πῶς, φησὶν (mox om. φησὶ) K. [a] χαίροι] Sic Cat. χαίροις C. χαίρει Edd. [b] δὲ om. K. [c] ὥστε—ἀγαθῶν om. K. [d] γενέσθαι] + αὐτῷ K. Sav. cet. τῆς καθ. om. Veron. [e] τί ἐστιν—ἀλλὰ τί;] καὶ πῶς ἔνι τοῦτο, φησίν; K. Sav. cet. *quis vero iste est?* Vet. [f] ἐλευσόμεθα K. [g] ἐμφανίζεσθαι C.

σαι πρὸς [h]ἑαυτὸν, καὶ ἔχειν, ὥστε ἐπιλάμψαι αὐτῷ τὸ φῶς.
Μηδὲν ἀνάξιον ἔστω τῆς παρουσίας αὐτοῦ, καὶ ταχέως [i]καταλύει
D παρ' ἡμῖν. Ἐπιφάνεια δὲ λέγεται διὰ τὸ ἐπάνω φαίνεσθαι, καὶ
ἄνωθεν ἀνατέλλειν. Οὐκοῦν τὰ ἄνω ζητῶμεν, καὶ ταχέως τὰς
ἀκτῖνας ἐκείνας ἐπισπασόμεθα. Οὐδεὶς τῶν κάτω κυπτόντων,
καὶ κατορυττόντων [k]ἑαυτὸν εἰς τὴν γῆν, δυνήσεται τὸ ἡλιακὸν
φῶς ἰδεῖν· οὐδεὶς τῶν καταμολυνόντων ἑαυτὸν τοῖς βιωτικοῖς
πράγμασι, δυνήσεται τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν· οὐδενὶ
ἐπιφαίνει τῶν [l]τούτοις ἐνστρεφομένων. Ἀνάνηψον μικρὸν,
[m]ἀνάνευσον ἀπὸ τοῦ βάθους, ἀπὸ τοῦ κλύδωνος τοῦ βιωτικοῦ, εἰ
βούλει τὸν ἥλιον ἰδεῖν, εἰ βούλει τῆς ἐπιφανείας τυχεῖν· ἂν
[n]τύχῃς αὐτοῦ τῆς ἐπιφανείας ταύτης, τότε αὐτὸν ὄψει μετὰ
E πολλῆς [o]τῆς παρρησίας. Φιλοσόφησον νῦν· μὴ ἔστω παρὰ σοὶ
πνεῦμα ἀπονοίας, ἵνα μή σε ῥαπίσῃ σφοδρῶς καὶ καταβάλῃ· μὴ
ἔστω [p]λελιθωμένη ἡ καρδία, καὶ σκότος, ἵνα μὴ [q]προσαράξῃς
ἐκεῖ τὸ πλοῖον· μὴ ἔστω τις δόλος· καὶ γὰρ αἱ ὕφαλοι ναυάγια
ἐργάζονται χαλεπώτατα. Μὴ τρέφε θηρία, τὰ πάθη λέγω·
θηρίων γὰρ ἐκεῖνα χαλεπώτερα· μὴ τοῖς ῥευστοῖς πράγμασι
θάρρει, ἵνα δυνηθῇς ἑστάναι βεβαίως. Οὐδεὶς ἐπὶ ὕδατος ἵστα-
ται, ἐπὶ [r]δὲ πέτρας ἅπαντες ἀσφαλῶς [s]ἑστήκασιν. Ὕδωρ ἐστὶ
F τὰ βιωτικὰ πράγματα· [18]"Ἦλθον [t]γὰρ, φησὶν, ὕδατα ἕως
ψυχῆς μου, ὡς χειμάρρους παραρρέων." Πέτρα ἐστὶ τὰ πνευ-
ματικά· "Ἐν πέτρᾳ γὰρ, φησὶν, [v]ὕψωσας τοὺς πόδας μου."
Ἰλὺς ἐστι καὶ πηλὸς τὰ βιωτικά· ἀνασπάσωμεν ἑαυτοὺς ἀπὸ
τούτων· οὕτω γὰρ δυνησόμεθα τυχεῖν τῆς ἐπιφανείας τοῦ Χρι-
719 στοῦ. Πᾶν ὃ [w]ἐὰν ἐπέλθῃ, φέρωμεν· ἱκανὴ ἐν πᾶσι παραμυθία
τὸ διὰ Χριστὸν παθεῖν· ταύτην τὴν θείαν ἐπῳδὴν ἐπιλέγωμεν,
καὶ παύσεται τοῦ τραύματος ἡ ἀλγηδών. Καὶ πῶς διὰ [x]Χρι-
στόν; φησίν. Ἐσυκοφάντησέ [y]σε τις ἁπλῶς, οὐ διὰ Χριστόν;
[z]Ἂν ἐνέγκῃς γενναίως, [z]ἂν εὐχαριστήσῃς, ἂν εὔξῃ ὑπὲρ ἐκείνου,
ταῦτα πάντα διὰ Χριστὸν ποιεῖς. Ἂν καταράσῃ, ἂν ἀποδυσπε-
τήσῃς, ἂν ἐπιχειρήσῃς ἀμύνασθαι, κἂν μὴ δυνηθῇς, οὐκ ἔστι διὰ
τὸν Χριστὸν, [a]ἀλλὰ καὶ ζημίαν ὑπέμεινας, καὶ τοῦ καρποῦ ἀπε-

18 Psal. lxviii. 2. xxxix. 3.

[h] αὐτὸν K. [i] καταλύσει K. Mox δὲ om. idem. [k] αὐτὸν C. αὐτὸν I. κατορυττομένων pro κατορυττόντων ἑαυτὸν K. [l] τοιούτοις C. [m] ἀνάνευσον C.K. Edebatur ἀνάνηψον. [n] τύχοις I.K. [o] τῆς om. K. [p] λεληθομένη I. Statim ἡ om. C. [q] προσαράξῃς K. προσαρράξῃς Edd. [r] δὲ om. K. Mox πάντες idem. [s] ἑστήκασιν] Sic omnes. ἵστανται Edd. [t] γὰρ om. K. Sav. cet. [v] ὕψωσας] ἔστησε K. [w] ἐὰν] ἂν C. Statim ἐπιθῇ I. [x] Χριστὸν] + ἐστι παθεῖν K. Sav. cet. φησὶν om. K. sed εἶπεν superscripsit man. rec. [y] σε] με C. [z] ἂν pro ἐὰν bis omnes. [a] ἀλλὰ καὶ ζ. ὑπέμεινας] Sic nostri omnes. ἀλλὰ ζ. ὑπήνεγκας Edd.

στέρησαι διὰ τὴν προαίρεσιν τὴν σήν. Ἐν ἡμῖν [b]γάρ ἐστι καὶ κερ- B
(374) δαίνειν ἐκ τῶν δεινῶν, καὶ βλάπτεσθαι· οὐ παρὰ τὴν φύσιν τῶν
δεινῶν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν προαίρεσιν. Οἷόν
τι λέγω· ἔπαθε τοσαῦτα ὁ Ἰὼβ, εὐχαρίστως ἤνεγκεν, ἐδικαιώθη,
οὐκ ἐπειδὴ ἔπαθεν, ἀλλ' ἐπειδὴ [c]παθὼν ἤνεγκεν. Ἕτερος [d]τὰ
αὐτὰ παθὼν, μᾶλλον δὲ οὐδὲ τὰ αὐτά· οὐδεὶς γάρ ἐστιν ὁ τοι-
αῦτα παθών· [e]ἀλλὰ πολλῷ ἐλάττονα· ἐδυσφήμησεν, ἠγανάκτησε,
κατηράσατο τῷ κόσμῳ παντὶ, ἐδυσχέρανε πρὸς τὸν θεόν· οὗτος
κατεκρίθη καὶ κατεδικάσθη, οὐκ ἐπειδὴ πέπονθεν, ἀλλ' ἐπειδὴ
ἐβλασφήμησεν· ἐβλασφήμησε δὲ, οὐ παρὰ τὴν ἀνάγκην τῶν συμ- C
βάντων· ἐπεὶ εἰ ἡ ἀνάγκη τῶν συμβάντων τοῦτο ἐποίησεν, ἔδει
καὶ τὸν Ἰὼβ βλασφημῆσαι· εἰ δὲ χαλεπώτερα παθὼν οὐδὲν
τοιοῦτον εἰργάσατο, οὐ παρὰ τοῦτο ταῦτα συνέβη, ἀλλὰ παρὰ
τὴν ἀσθένειαν τῆς προαιρέσεως. Ἰσχυρᾶς οὖν δεῖ ἡμῖν ψυχῆς,
[f]καὶ οὐδὲν ἡμῖν χαλεπὸν φανεῖται· ὥσπερ ἀσθενούσης, οὐδέν
[g]ἐστιν ὅπερ οὐ χαλεπόν. Παρὰ τὴν ἡμετέραν διάθεσιν πάντα
καὶ φορητὰ καὶ ἀφόρητα γίνεται· ταύτην ὀχυρώσωμεν, καὶ
πάντα οἴσομεν εὐκόλως. Καὶ γὰρ τὸ δένδρον, ὅταν μὲν κατὰ
βάθους παραπέμψῃ τὴν ῥίζαν, οὐδὲ σφοδρὰ καταιγὶς αὐτὸ δια- D
σαλεῦσαι δυνήσεται· ἂν δὲ ἐξ ἐπιπολῆς ᾖ κείμενον, καὶ ὑπὲρ τῆς
ἐπιφανείας, κἂν μικρὰ προσπέσῃ ἀνέμου ῥοπὴ, πρόρριζον αὐτὸ
ἀνέσπασεν. Οὕτω καὶ ἐφ' ἡμῶν, ἐὰν καθηλώσωμεν τὰς σάρκας
ἡμῶν τῷ φόβῳ τοῦ θεοῦ, [h]οὐδὲν παρασαλεῦσαι δυνήσεται· ἐὰν
[i]δὲ ἁπλῶς προστιθῶμεν, καὶ μικρὰ ῥοπὴ ἠφάνισε καὶ ἀπώλεσε.
Διὸ παρακαλῶ μετὰ πολλῆς τῆς προθυμίας [k]ἅπαντα φέρειν, καὶ
μιμεῖσθαι τὸν προφήτην [l]λέγοντα, [19] "Ἐκολλήθη ἡ ψυχή μου
ὀπίσω [m]σου·" οὐχ [n]ἁπλῶς ἤγγισεν, ἀλλ', "ἐκολλήθη·" [o]καὶ, "Ἐ- E
δίψησέ σε," οὐχ [p]ἁπλῶς ἐπεπόθησε· [q]καὶ, "Καθήλωσον, φησὶν,
ἐκ τοῦ φόβου σου τὰς σάρκας [r]μου." Ἂν οὕτως ἐχώμεθα τοῦ θεοῦ,
ἂν προσηλώσωμεν αὐτῷ τὰς ἡμετέρας διανοίας, ἂν διψῶμεν αὐτοῦ
τὸν πόθον, [s]πάντα ἡμῖν ἔσται ἅπερ βουλόμεθα, καὶ τῶν μελ-

19 Psal. lxii. 9, 2. cxviii. 120.

[b] γὰρ om. K. Statim καὶ om. idem. [c] παθὼν] + εὐχαρίστως Sav. cet. εὐχ. pro παθὼν K. [d] τὰ αὐτὰ] ταῦτα C.I. [e] ἀλλὰ πολλῷ] ἀλλ' ἁπλῶς I. [f] καὶ] ἂν γὰρ αὕτη ἰσχυρὰ ᾖ K. Mox ἂν ἀσθενὴς pro ἀσθενούσης idem. [g] ἐστιν om. K. Sav. cet. Post χαλεπὸν add. ἡμῖν δείκνυται I. Veron. [h] οὐδένα K. Veron. [i] δὲ om. K. Mox προστιθῶμεν pro προτιθῶμεν ex conjectura Dunaei edidimus. [k] ἅπαν ante corr. K. [l] τὸν λέγοντα K. Sav. cet. [m] σου] + ὅρα τί φησιν C. + ὅρα τί φησιν, ἐκολλ. ἡ ψ. μου K. Sav. cet. invito Vet. [n] ἁπλῶς] + εἶπεν K. Sav. cet. [o] καὶ ἐδ. σε] καὶ πάλιν, ἐδ. σε ἡ ψ. μου K. Sav. cet. [p] ἁπλῶς] + εἰπὼν K. + εἶπεν Sav. cet. Post ἐπεπόθησεν add. ἵνα τὸ σφοδρὸν τοῦ πόθου διὰ τούτων ἐμφήνῃ λέξεων K. Sav. cet. [q] καὶ] + πάλιν K. Sav. cet. φησὶν om. iidem. [r] μου] + βούλεται γὰρ ἡμᾶς ἀεὶ προσκολλᾶσθαι αὐτῷ οὕτω καὶ συνδεδέσθαι, ὡς μηδέποτε αὐτοῦ ἀφίστασθαι iidem. [s] πάντα] καὶ πάντα I.K. Sav. cet.

F λόντων ἀγαθῶν ἐπιτευξόμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

720
ΛΟΓΟΣ Ι.

[1]Σπούδασον ἐλθεῖν πρός με ταχέως. Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· [a]Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν. Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα
B εἰς Ἔφεσον. Τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

ἌΞΙΟΝ [b]ἐπιζητῆσαι πῶς καλεῖ τὸν Τιμόθεον πρὸς ἑαυτὸν, εἴγε ἐκκλησίαν [c]πεπιστευμένος ἦν, καὶ ἔθνος ὁλόκληρον. Οὐκ [d]ἀπονοίας ἦν τὸ πρᾶγμα· αὐτὸς γὰρ ἕτοιμος ἦν ἐλθεῖν πρὸς αὐτόν· [e]ἄκουε γὰρ αὐτοῦ λέγοντος, [2]"Ἐὰν δὲ βραδύνω,
C ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι." [f]Ἀλλὰ τίνος ἕνεκεν; Ἀνάγκη κατείληπτο πολλῇ, [g]καὶ κύριος ἀποδημίας [h]οὐκέτι ἦν· δεσμωτήριον ᾤκει, καὶ συνεκέκλειστο ὑπὸ [i]Νέρωνος. Διὰ τοῦτο αὐτὸν καλεῖ, [k]καὶ ἰδεῖν ποθῶν πρὸ τῆς τελευτῆς, [l]καὶ ἴσως πολλὰ παραθέσθαι· διό φησι, [3]"Σπούδασον [m]πρὸ χειμῶνος ἐλθεῖν πρός με." "Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα." Καὶ οὐ λέγει, ἵνα σε ἴδω πρὶν ἀπελθεῖν ἐκ τοῦ βίου, ὃ μάλιστα ἐλύπει· ἀλλ' ἐπειδὴ μόνος εἰμὶ, φησὶν, [n]οὐδένα (375)
D ἔχω τὸν συναντιλαμβανόμενόν [o]μοι τοῦ εὐαγγελίου. "Δημᾶς [p]με γὰρ ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην." Τουτέστι, τῆς ἀνέσεως ἐρασθεὶς, τοῦ ἀκινδύνου καὶ τοῦ ἀσφαλοῦς, [q]εἵλετο μᾶλλον οἴκοι τρυφᾶν, ἢ μετ' ἐμοῦ

[1] Cap. IV. v. 8—13. [2] 1 Tim. iii. 15. [3] v. 21.

Hom. X. [a] Κρίσκης C. Cat. et bis K. Veron. Mox Δελματίαν bis I. [b] ζητῆσαι K. Sav. cet. invita Cat. [c] πεπ. ἦν] ἐνεπεπίστευτο K. ἐμπ. ἦν Cat. [d] ἀπονοίας] + ἀλλ' οἰκονομίας K. Mox αὐτὸς μὲν γὰρ idem. [e] ἄκουε γὰρ] καὶ ἄκουε K. [f] ἀλλὰ—ἀνάγκη] ἀνάγκη δὲ K. [g] καὶ om. C. Veron. [h] οὐκέτι ἦν] οὐκ ἔστιν I. οὐκ ἦν. διὰ τί; ὅτι K. [i] Νέρωνος] + πρὸς τὸ ἀναιρεθῆναι (πρὸς τὸ ἀν. om. Sav. cet.), καὶ ὅσον οὔπω ἔμελλε τελευτᾶν. ἵν' (ἵνα Sav. cet.) οὖν μὴ τοῦτο γένηται πρὸ τοῦ τὸν μαθητὴν ἰδεῖν K. Sav. cet. [k] καὶ ἰδεῖν] καὶ ἴασιν Veron. καὶ ἰασε (sic Collator) C. καὶ (ἰδεῖν post τελευτῆς transp.) I. ἰδεῖν (sine καὶ) Cat. θεάσασθαι K. Sav. cet. [l] καὶ ἴσως] ἴσως δὲ καὶ K. [m] πρὸ χ.] ταχέως K. [n] οὐδένα] + γὰρ K. [o] μοι τοῦ εὐαγ.] Sic nostri omnes cum Cat. et Vet. μου Edd. [p] με γὰρ] γάρ με I.K. [q] εἵλετο μ. pro μ. εἵλετο omnes.

ταλαιπωρεῖσθαι, καὶ συνδιαφέρειν μοι τοὺς παρόντας κινδύνους.
Τοῦτον διέβαλε μόνον, [r] οὐκ αὐτὸν διαβαλεῖν βουλόμενος, ἀλλ'
ἡμᾶς στηρίξαι, ὥστε [s] μὴ μαλακίζεσθαι ἐν τοῖς κινδύνοις μηδὲ ἐν
τοῖς πόνοις· τοῦτο γάρ ἐστι, [t] "τὸν παρόντα ἀγαπήσας αἰῶνα"
ἅμα δὲ καὶ τὸν μαθητὴν ἐπισπάσασθαι βουλόμενος. "Κρήσκης, E
[v] φησὶν, εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν." Τούτους οὐκέτι
διαβάλλει· καὶ γὰρ ὁ Τίτος τῶν σφόδρα θαυμαστῶν ἦν, [w] ὥστε
αὐτῷ τὰ κατὰ τὴν νῆσον ἐνεχείρισε, νῆσον οὐ μικρὰν, ἀλλὰ καὶ
σφόδρα μεγάλην, τὴν Κρήτην λέγω. "Λουκᾶς ἐστι μόνος μετ'
ἐμοῦ." [x] Αὐτὸς γὰρ σφόδρα ἀδιασπάστως εἶχεν αὐτοῦ, ὁ καὶ τὸ
εὐαγγέλιον γράψας, καὶ [y] τὰς Πράξεις τὰς καθολικὰς, φιλόπονος
ὢν καὶ φιλομαθὴς καὶ καρτερικός. Περὶ τούτου φησὶ γράφων,
[4] "Οὗ [z] ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν."
"Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ." [a] Τίνος ἕνεκεν; F
"Ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν." Οὐκ εἰς τὴν ἀνά-
παυσιν λέγει τὴν ἑαυτοῦ, ἀλλ' εἰς τὴν διακονίαν τοῦ εὐαγγελίου·
καὶ γὰρ ἐν δεσμοῖς ὢν, οὐκ ἔληγε κηρύττων. Ἄρα καὶ τὸν Τι-
μόθεον τούτου ἕνεκεν ἐκάλει, οὐ τῶν αὐτοῦ ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ
εὐαγγελίου, ὥστε μηδεμίαν γενέσθαι ταραχὴν κατὰ τὴν αὐτοῦ 721
τελευτὴν τοῖς πιστοῖς, τῶν αὐτοῦ μαθητῶν πολλῶν παρόντων,
καὶ κωλυόντων [b] θορύβους, καὶ παραμυθουμένων τοὺς ἀφορήτως
φέροντας αὐτοῦ τὴν τελευτήν. Καὶ γὰρ ἄνδρας ἀξιολόγους
[c] εἰκὸς εἶναι τοὺς πεπιστευκότας ἐπὶ τῆς [d] Ῥώμης. "Τὸν
[e] φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος
φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας." [f] Ἱμάτιον ἐν-
ταῦθα λέγει· τινὲς [g] δέ [h] φασι τὸ γλωσσόκομον, ἔνθα τὰ βιβλία
ἔκειτο. Τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει μέλλοντι ἀποδημεῖν πρὸς B
τὸν θεόν; Καὶ μάλιστα ἔδει, ὥστε αὐτὰ τοῖς πιστοῖς παραθέ-
σθαι, καὶ ἀντὶ τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά. Πάντας μὲν
οὖν τοὺς πιστοὺς εἰκὸς τότε μεγάλην ἔχειν [i] πληγὴν, μάλιστα δὲ
τοὺς παρόντας τῇ τελευτῇ, καὶ ἀπολαύοντας αὐτοῦ τότε. Τὸν

4 2 Cor. viii. 18.

[r] οὐκ—βουλόμενος] οὐ τοῦτο αὐτὸ προῃρημένος Cat. οὐκ—στηρίξαι] μᾶλλον δὲ οὐδὲ τοῦτον, ἀλλὰ θέλων ἡμᾶς στηρίξαι τοῦτο λέγει K. [s] μὴ] + ἀπατᾶσθαι μηδὲ C. Mox κινδύνοις et πόνοις transp. idem. [t] τὸν—αἰῶνα] ἀγαπήσας τὸν νῦν αἰῶνα C. [v] φησὶν om. K. [w] ὥστε—ἐνεχείρισε] καὶ οὕτω θαυμαστὸς, ὥστε καὶ τὴν ν. ἐγχειρισθῆναι K. [x] αὐτὸς] εἰκότως, αὐτὸς K. [y] τὰς Π. τὰς καθ.] Sic C.I. Cat. τὰς καθ. Π. Edd. Haec ὁ καὶ—καθολικὰς om. K. et inclusit Sav. [z] ὁ om. K. Ben. [a] τίνος ἕν.] καὶ τίνος ἕν. ἐπάγει K. [b] θόρυβον C. τὸν θ. I.K. *turbas* Vet. [c] εἰκὸς] + ἦν Edd. ἦν om. I.K. Cat. [d] Ῥώμης] + Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον K. Sav. cet. [e] φαιλόνην semper K. φελλόνην Veron. [f] ἱμ. ἐνταῦθα] φαιλόνην (φελόνην Mor. Ben.) ἐνταῦθα τὸ ἱμ. K. Sav. cet. [g] δὲ om. C.I. Veron. invita Cat. [h] φ. τὸ γλ.] τὸ γλ. φασιν εἶναι K. [i] πληγὴν] ἀχθηδόνα K.

δὲ φελόνην ζητεῖ, ὥστε μὴ δεηθῆναι παρ' [k]ἑτέρων λαβεῖν. Ὁρᾷς γὰρ αὐτὸν [l]πολλὴν ὑπὲρ τούτου ποιούμενον τὴν σπουδὴν, καὶ λέγοντα ἑτέρωθι, ἡνίκα πρὸς τοὺς ἀπὸ τῆς Ἐφέσου διελέγετο· [5]"Γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται·" καὶ πάλιν, "Μακάριόν ἐστι
C διδόναι μᾶλλον, ἢ λαμβάνειν."

[6]"Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ [m]ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ." Πάλιν ἐνταῦθα μέμνηται πειρασμοῦ, οὐχ ἁπλῶς ἐκεῖνον βουλόμενος [n]διαβαλεῖν, οὐδὲ κατηγορῆσαι αὐτοῦ, ἀλλὰ τὸν μαθητὴν ἀλεῖψαι πρὸς τοὺς ἀγῶνας, ὥστε φέρειν γενναίως· κἂν εὐτελεῖς ὦσιν οἱ τὰς πείρας προσάγοντες, κἂν οὐδαμινοὶ, κἂν [o]ἄτιμοι, πάντα φέρειν γενναίως. "[p]Πολλά μοι κακὰ ἐνεδείξατο·" ἔθλιψέ με, φησὶ, διαφόρως. Ὁ γὰρ ὑπὸ μεγάλου τινὸς παθὼν κακῶς, ἔχει φιλοτι-
D μίαν οὐ [q]μικρὰν, τὴν τοῦ ποιοῦντος ὑπεροχήν· ὁ δὲ ὑπὸ εὐτελοῦς καὶ ἀπερριμμένου, μείζονα ἔχει τὴν [r]ἀνίαν. Ἀλλ' οὐκ ἀτιμωρητὶ, [s]φησὶ, ταῦτα αὐτῷ [t]προχωρήσει. Ὥσπερ γὰρ γράφων ἔλεγεν ἀνωτέρω, "Οἵους διωγμοὺς ὑπέμεινα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος·" οὕτω καὶ ἐνταῦθα διπλῇ παρεκάλεσε τὸν μαθητὴν, τῷ τε κακῶς πάσχειν, καὶ τῷ ἐκεῖνον ἀπολήψεσθαι· [v]οὐχ ὡς τῶν ἁγίων ταῖς τιμωρίαις [w]ἐπιτρεχόντων ἁπλῶς, ἀλλ'
E ὡς τοῦ κηρύγματος δεομένου καὶ τῶν ἀσθενεστέρων τῆς ἐντεῦθεν παραμυθίας. [7]"Ὃν καὶ σὺ, [x]φησὶ, φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις·" τουτέστι, πολεμεῖ καὶ ἐναντιοῦται. Καὶ οὐκ εἶπε, τιμώρησαι, [y]κόλασον, ἀπέλασον, καίτοιγε (376)
ἐνῆν διὰ τῆς χάριτος ταῦτα ἐργάσασθαι· ἀλλ' οὐδὲν [z]τούτων, οὐδὲ ὁπλίζει αὐτὸν κατ' αὐτοῦ, ἀλλ' [a]ἀναχωρεῖν κελεύει, τῷ θεῷ παραχωροῦντα τῆς τιμωρίας. [b]Καὶ πρὸς παραμυθίαν τῶν ἀσθενεστέρων τοῦτο εἴρηκεν· ὃ καὶ προφητεία ἐστὶν, [c]ἡ ἀρά·
F ἀποδώσει αὐτῷ κατὰ τὰ ἔργα αὐτοῦ. Ὅτι δὲ ὑπὲρ τοῦ τὸν

[5] Act. xx. 34, 35. [6] v. 14. [7] v. 15.

[k] ἑτέρων pro ἑτέρου C.I. Cat. Vet. [l] πολλὴν ὑ. τ.] Sic omnes. ὑ. τ. πολλὴν Edd. Mox τὴν om. C.K. [m] ὁ om. I. [n] διαβάλλειν I. [o] ἄτιμοι]+ δεῖ, φησὶ K. Sav. cet. [p] Haec πολλὰ—διαφόρως (ἀδιαφ. C.) om. K. Sav. cet. [q] σμικρὰν ex corr. K. [r] ἀνίαν]+πολλά με (μοι K.) κακὰ ἐνεδείξατο K. Sav. cet. Insuper add. τουτέστιν, ἔθλιψέ με διαφόρως Sav. cet. [s] φησὶ om. K. [t] προχωρήσει]+ἀποδώσει γὰρ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ K. Sav. cet. Statim γὰρ om. iidem. [v] οὐχ] τοῦτο δὲ λέγει, οὐχ K. [w] ἐπιχαιρόντων K. Sav. cet. invita Cat. [x] φησὶ om. K. [y] κόλασιν I. [z] τούτων]+εἶπεν I. Cat.+τέως ποιεῖ K. [a] ἀναχωρεῖν]+μόνον K. Sav. cet. [b] καὶ] ἄλλως δὲ καὶ K. Mox τοῦτο om. idem. Post εἴρηκε add. τὸ ἀποδώσει αὐτῷ K. Sav. cet. [c] ἡ ἀρὰ] Sic K. Sav. cet. sed παρ' ὃ ad ἡ superscripsit manus rec. in K. εἶ ἄρα vel εἰ ἆρα (junct. cum ἀποδώσει) C.I. Cat. Veron. Statim ἀποδώσει—αὐτοῦ om. K. Sav. cet.

μαθητὴν ἀλεῖψαι ταῦτα λέγει, καὶ ἐκ τῶν ἑξῆς δῆλον. [d]Ὅρα
πάλιν πῶς ἑτέρους πειρασμοὺς [e]αὐτοῦ διηγεῖται. [8]"Ἐν τῇ
πρώτῃ μου ἀπολογίᾳ, [f]φησὶ, πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς
λογισθείη." Ὁρᾷς πῶς φείδεται τῶν οἰκείων; καίτοι ἔργον 722
εἰργάσαντο δεινόν. Οὐ γάρ ἐστιν ἴσον παρὰ τῶν ἔξωθεν κατα-
φρονεῖσθαι, καὶ παρὰ τῶν οἰκείων. Ὁρᾷς ἐπιτεταμένην ἀθυμίαν;
Οὐκ ἔχεις εἰπεῖν, ὅτι παρὰ μὲν τῶν ἔξωθεν ἐπολεμούμην, εἶχον
δὲ παραμυθίαν τὴν θεραπείαν καὶ [g]τὴν συμμαχίαν τῶν ἐμῶν·
καὶ [h]γὰρ ἐκεῖνοί με προέδωκαν. "Πάντες με ἐγκατέλιπον,"
φησίν. Ἆρα οὐ μικρὸν ἁμάρτημα τοῦτο. Εἰ γὰρ ἐν πολέμῳ
τὸν κινδυνεύοντα ὁ [i]ἀφιεὶς, καὶ τῆς τῶν ἐχθρῶν ἑαυτὸν ὑπεξάγων
χειρὸς, ὑπὸ τῶν οἰκείων πλήττεται εἰκότως, ὡς τὸ πᾶν διαφθεί-
ρας καὶ προδούς· πολλῷ μᾶλλον ἐν τῷ κηρύγματι. Ποίαν δὲ B
πρώτην ἀπολογίαν λέγει; [k]Παρέστη ἤδη τῷ Νέρωνι, καὶ διέ-
φυγεν· ἐπειδὴ δὲ τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν
ἀπέτεμεν. Ἰδοὺ πάλιν προτροπὴ τῷ μαθητῇ διὰ τῶν ἐπαγο-
μένων· [9]"Ἀλλ' ὁ κύριός [l]μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με."
Τὸν γὰρ ὑπὸ ἀνθρώπων ἐγκαταλιμπανόμενον οὐκ ἀφίησί τι πα-
θεῖν δεινὸν ὁ θεός. "Καὶ ἐνεδυνάμωσέ με," φησί· τουτέστι,
παρρησίαν ἐχαρίσατο, οὐκ ἀφῆκε καταπεσεῖν. "Ἵνα δι' ἐμοῦ
τὸ κήρυγμα [m]πληροφορηθῇ." Ὅρα τὴν ταπεινοφροσύνην αὐτοῦ
τὴν πολλήν. Οὐχ ὡς ἄξιον τυχεῖν τῆς δωρεᾶς, φησὶν, ἐνεδυνά- C
μωσέ με, ἀλλ' "ἵνα τὸ κήρυγμα πληροφορηθῇ," ὃ ἤμην ἐμπε-
πιστευμένος· ὡς ἂν εἴ τις ἁλουργίδα καὶ διάδημα βαστάζοι, καὶ
δι' αὐτὴν σώζοιτο. "Καὶ ἀκούσῃ, φησὶ, πάντα τὰ [n]ἔθνη·" ἵνα
[o]πᾶσι κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ περιφάνεια,
καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία. "Καὶ [p]ἐρρύσατό με ἐκ
στόματος λέοντος· [10][q]καὶ ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς
ἔργου πονηροῦ." Ὅρα πῶς παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν, [r]καὶ
εἰς αὐτὸν τοῦ λέοντος ἐνέπεσε τὸν φάρυγγα. Λέοντα [s]γὰρ τὸν
Νέρωνά φησι, διὰ τὸ θηριῶδες καὶ ἰσχυρὸν τῆς βασιλείας αὐτοῦ,
καὶ ἀκατάπληκτον. "Καὶ [t]ἐρρύσατό με, φησὶν, ὁ κύριος, καὶ D
ῥύσεται." [v]Εἰ ῥύσεται, πῶς πάλιν ἔλεγεν, ὅτι "ἤδη σπένδο-

8 v. 16. 9 v. 17. 10 v. 18.

[d] ὅρα] ἀλλ' ὅρα K. Sav. cet. [e] αὐτῷ C. ἀριθμεῖται pro διηγεῖται K. [f] φησὶ] λέγων K. Post φησὶν add. οὐδείς μοι συμπαρεγένετο (+ἀλλὰ C.) C. Sav. cet. invito Vet. [g] τὴν om. K. [h] γὰρ] + καὶ K. Sav. cet. [i] ἀφιεὶς] Sic C.I. ἀφεὶς Edd. Statim καίτοι pro καὶ K. [k] παρέστη ἤδη] ἦν ἤδη παρέστη K. [l] μοι] μου, φησὶ C. μοι superscript. in I. [m] πληροφ.] + τουτέστι, πληρωθῇ K. Sav. cet. [n] ἔθνη] + τί ἐστι τοῦτο; K. Sav. cet. [o] πᾶσι] + φησὶ Edd. invitis libris. [p] ἐρρύσατό με] ἐρρύσθην K. [q] καὶ om. I. [r] καὶ assumtum ex omnibus. [s] γὰρ τὸν N. φ.] δὲ λέγει τὸν N. K. [t] ἐρρύσατο] ῥύσεται C. Mox καὶ ῥύσεται om. C.I. Veron. invito Vet. [v] εἰ ῥύσεται] εἰ ἐρρύσατο I. καὶ εἰ ῥύσεται K. πάλιν πῶς pro πῶς πάλιν K. Sav. cet.

μαι;" Ἀλλὰ πρόσεχε [w]τῇ φωνῇ. "Ἐρρύσατό με, φησὶν, ἐκ στόματος λέοντος, καὶ πάλιν ῥύσεται," οὐκέτι ἐκ [x]στόματος, ἀλλὰ τί; "ἀπὸ παντὸς ἔργου πονηροῦ." Τότε μὲν γάρ με τῶν κινδύνων ἐξήρπασεν· ἐπειδὴ δὲ τὸ ἱκανὸν τῷ εὐαγγελίῳ γέγονε, ῥύσεταί με πάλιν ἀπὸ παντὸς ἁμαρτήματος, τουτέστιν, οὐκ ἀφήσει καταγνωσθέντα ἀπελθεῖν. [y]Καὶ γὰρ καὶ τοῦτο, τὸ δυνηθῆναι μέχρις αἵματος ἀντικαταστῆναι πρὸς τὴν ἁμαρτίαν καὶ μὴ ἐνδοῦναι, ἑτέρου λέοντός ἐστι [z]ῥύσασθαι, τοῦ διαβόλου.
E Ὥστε [a]μείζων αὕτη τῆς προτέρας ἡ σωτηρία, ὅτε δοκεῖ ἐκδεδόσθαι. "Καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν." [b]Ἄρα αὕτη ἐστὶν ἡ σωτηρία, ὅταν ἐκεῖ [c]διαλάμπωμεν. Ἐξαρπάσει με, φησὶ, πάσης αἰτίας, καὶ ἐκεῖ φυλάξει. Τοῦτο [d]γάρ ἐστι σωθῆναι εἰς τὴν βασιλείαν, τὸ ἐνταῦθα δι' αὐτὴν ἀποθανεῖν. [11] "Ὁ μισῶν γὰρ, φησὶ, τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς
F ζωὴν αἰώνιον φυλάξει [e]αὐτήν." Ἰδοὺ δοξολογία τοῦ [f]υἱοῦ.

[12] "Ἄσπασαι Πρίσκιλλαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον." Αὐτὸς γὰρ ἐκεῖ ἦν ἐν Ῥώμῃ, [g]καθώς φησι· "Δῴη
723 αὐτῷ [h]ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·"
διὰ τῆς [i]προσηγορίας καὶ τοὺς ἐν [k]τῇ οἰκίᾳ προθυμοτέρους (377)
[l]ποιῶν ἐν τοῖς τοιούτοις κατορθώμασιν. "Ἄσπασαι, φησὶ, Πρίσκιλλαν καὶ Ἀκύλαν." Οὗτοί εἰσιν ὧν συνεχῶς μέμνηται, παρ' οἷς [m]καὶ κατήχθη, οἱ τὸν Ἀπολλὼ προσλαβόμενοι. Προτίθησι δὲ τὴν γυναῖκα, ἐμοὶ [n]δοκεῖν, ἅτε σπουδαιοτέραν οὖσαν καὶ πιστοτέραν· καὶ γὰρ [o]καὶ αὕτη τότε προσελάβετο τὸν Ἀπολλώ· ἢ καὶ ἀδιαφόρως τοῦτο ποιεῖ. Οὐ μικρὰ δὲ τούτοις ἦν παραμυθία ἡ [p]πρόσρησις, ἀλλὰ τιμῆς καὶ ἀγάπης εἶχεν ἔνδειξιν, καὶ πολλῆς μετάληψιν χάριτος· ἀρκεῖ γὰρ καὶ ἀσπασμὸς
B μόνος τοῦ [q]μακαρίου καὶ ἁγίου ἐκείνου πολλῆς ἐμπλῆσαι χάριτος τὸν τὴν προσηγορίαν δεχόμενον. [13] "Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα." [r]Εἴδο-

11 Joan. xii. 25. 12 v. 19. 13 v. 20.

[w] τῇ φωνῇ—φησὶν] εἰπὼν ἐρρύσατο K. [x] στόματος] + λέοντος προσέθηκεν K. [y] καὶ—τὸ] τὸ τοίνυν K. [z] ῥυσθῆναι K. [a] μεῖζον I. [b] ἄρα om. K. [c] διαλάμπωμεν] + τί ἐστι, σώσει εἰς τὴν βασιλείαν αὐτοῦ; K. Sav. cet. [d] γὰρ om. K. [e] αὐτὴν] + ᾧ ἡ δόξα K. Sav. cet. [f] υἱοῦ] + πῶς οὐκ ἴσος τῷ πατρὶ, τὴν αὐτὴν δοξολογίαν ἣν καὶ ἐκεῖνος λαμβάνων K. [g] καθὰ C. [h] ὁ om. C. Mox παρὰ κυρίῳ I.K. [i] προσηγcρίας] + τῆς τούτου K. Sav. cet. [k] τῇ οἰκίᾳ] τῷ οἴκῳ K. [l] ποιεῖ K. Sav. cet. [m] καὶ om. I. Veron. invita Cat. παρ' οἷς καὶ κατήχθη om. C. [n] δοκεῖ I.K. [o] καὶ om. I. [p] πρόσρησις] Sic C.I. *salutatio* Vet. πρόρρησις Edd. [q] μακ. καὶ ἁγ. pro ἁγ. καὶ μακ. omnes. [r] εἴδομεν] Sic C. ἴδωμεν I. Veron. Vet. Mox συνήχθησαν C. εἴδομεν—τι] τοῦτον καὶ τὸν (τὸν ante corr. om. K.) Τυχικὸν ἔγνωμεν ἐν τῇ τῶν πράξεων βίβλῳ συναναχθέντας (συναχθέντας K.) αὐτῷ ἀπὸ (ἐπὶ K.) τῆς Ἰουδαίας, καὶ πανταχοῦ συνόντας, ἴσως ὡς σπουδαιοτέρους τῶν ἄλλων K. Sav. cet.

μεν ἐν ταῖς Πράξεσι, τίνες αὐτῷ συνανήχθησαν ἀπὸ τῆς Ἰου-
δαίας, ἴσως ἐργαζόμενοί τι. "Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ,
φησὶν, ἀσθενοῦντα." Διὰ τί γὰρ μὴ ἴασω αὐτὸν, ἀλλ' ἀπέλιπες;
Οὐ πάντα ἴσχυον οἱ ἀπόστολοι, ἢ οὐ πάντα ᾠκονόμουν τῇ χά- C
ριτι, ἵνα μή τις [s]εἰς αὐτοὺς λογίσηται ὑπὲρ ὃ βλέπει. Τοῦτο
καὶ ἐπὶ τῶν μακαρίων τῶν πρὸ αὐτῶν γενομένων δικαίων ὁρῶμεν
συμβάν· καθάπερ ἐπὶ τοῦ Μωϋσέως· [t]ἰσχνόφωνος ἦν· διὰ τί μὴ
μετέβαλεν αὐτοῦ τὴν [v]ἰσχνότητα; πολλάκις ὑπὸ λύπης ἐβάλ-
λετο καὶ ἀθυμίας, [w]εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελθών.
Πολλὰ γὰρ συνεχώρει ὁ θεὸς, ὥστε δείκνυσθαι τὸ ἀσθενὲς τῆς
ἀνθρωπίνης φύσεως. Εἰ γὰρ καὶ τούτων [x]γενομένων, ἔλεγον οἱ
ἀναίσθητοι Ἰουδαῖοι, [14]"Ποῦ ἔστι Μωϋσῆς, ὃς ἐξήγαγεν ἡμᾶς D
ἐκ [y]γῆς Αἰγύπτου;" εἰ καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν τῆς
ἐπαγγελίας, τί οὐκ ἂν [z]ἔπαθον; Εἰ μὴ συνεχώρησεν αὐτοῦ κρα-
τῆσαι τὸν φόβον [a]τὸν τοῦ Φαραὼ, οὐκ ἂν θεὸν αὐτὸν ἐνόμισαν;
[b]Οὕτω καὶ περὶ Παύλου καὶ Βαρνάβα τοὺς τὴν Λύστραν οἰ-
κοῦντας ὁρῶμεν παθόντας ἐπ' αὐτῶν, καὶ θεοὺς αὐτοὺς νομίσαν-
τας, ὅτε [15]"Διαρρήξαντες αὐτῶν τὰ ἱμάτια, [c]ἐξεπήδησαν εἰς
τὸν ὄχλον, κράζοντες καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε;
[d]ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι." Καὶ ὁ Πέτρος πάλιν
ἡνίκα τὸν ἐκ γενετῆς χωλὸν ἰάσατο, πάντων [e]ἐκπλαγέντων ἐπὶ E
τῷ γεγονότι, ἀπεκρίνατο λέγων· [16]"Ἄνδρες Ἰσραηλῖται, τί
θαυμάζετε ἐπὶ [f]τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ
[g]εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;" Ἄκουε δὲ [h]πάλιν
καὶ τοῦ μακαρίου Παύλου λέγοντος· [17]"[i]Καὶ ἐδόθη μοι σκόλοψ
τῇ [k]σαρκὶ, ἵνα μὴ ὑπεραίρωμαι." [l]Οὐκ ἔστι τοῦτο· οὐ γὰρ διὰ
τοῦτο ἐδόθη αὐτῷ [m]ὁ σκόλοψ· [n]ταπεινοφρονῶν γὰρ ἔφη τοῦτο·
ἀλλὰ διὰ πολλὰς αἰτίας. Ὅρα γοῦν ὅτι [o]ὁ θεὸς οὐ τοῦτό φη-
σιν αὐτῷ, "ἵνα μὴ ὑπεραίρῃ," ἀλλὰ τί; [18]"[p]Ἡ δύναμίς μου, F

14 Exod. xxxii. 1. 15 Act. xiv. 14. 16 Ibid. iii. 12.
17 2 Cor. xii. 7. 18 Ibid. xii. 9.

[s] εἰς inclusum a Sav. om. C.K. invita Cat. Cf. 2 Cor. xii. 6. [t] ἰσχνό-
φωνος—μὴ] ὃν ἰσχνόφωνον ὄντα οὐ K. [v] ἰσχνότητα] + ἀλλ' εἴασε μένειν· ὃς K.
[w] εἰς] ὃς εἰς K. Mox εἰσῆλθε K. Sav. cet. [x] γινομένων I. [y] γῆς] τῆς I.
[z] ἔπαθον] ἐποίησαν; εἰπὲ γάρ μοι K. [a] τὸν om. I.K. [b] οὕτω—διαρρή-
ξαντες] οὕτω καὶ Παῦλος καὶ Βαρνάβας ποιοῦσιν, ὅτε τοὺς τὴν Λ. οἰκοῦντας
ὁρῶντες ἐπ' αὐτούς τι παθόντας, καὶ ὡς θεοῖς μέλλοντας θύειν, διέρρηξαν K.
[c] ἐξεπ.] καὶ ἐξεπ. K. [d] ἡμεῖς] καὶ ἡμεῖς K. Sav. cet. [e] ἐκπλαγέντων om. I.
[f] τοῦτο I. [g] εὐσεβείᾳ] ἐξουσίᾳ C. ἢ εὐσ. om. Veron. [h] πάλιν om. C.
[i] καὶ om. I.K. [k] σαρκὶ] + μου I. + ἄγγελος Σατᾶν K. [l] οὐκ] ἄπαγε, οὐκ I.
ἀλλὰ ταπεινοφροσύνης, φησὶν, ὁ λόγος. ἄπαγε, οὐκ K. Sav. cet. [m] ὁ om.
I.K. Sav. cet. [n] ταπεινοφρονῶν—φησιν αὐτῷ, ἵνα] ἵνα ταπεινοφρονῇ, οὐδὲ
διὰ ταπεινοφροσύνην μόνον ἔφη τοῦτο, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας. ὅρα γοῦν πῶς
ὁ θεὸς ἀπολογούμενος, οὔ φησιν αὐτῷ, ἀρκεῖ σοι ἡ χάρις μου, ἵνα K. Sav. cet.
[o] ὁ θεὸς om. I. [p] ἡ δ.] ἵνα ἡ δ. I. Veron. ἡ γὰρ δ. K. Sav. cet. φησὶν
om. K.

φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται." Δύο τοίνυν [q] συνεγίνετο· καὶ φανερὰ ἐδείκνυτο τὰ γινόμενα, καὶ τὸ ὅλον ἐπεγράφετο τῷ θεῷ.
724 Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν· [19] "Ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι·" τουτέστι, παθητοῖς καὶ ἀσθενέσι σώμασι· διὰ τί; "Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν." Εἰ μὴ παθητὰ ἦν τὰ σώματα, αὐτοῖς ἂν [r] ἐπεγράφετο ἅπαντα. Καὶ ἀλλαχοῦ ὁρῶμεν αὐτὸν ἀλγοῦντα ἐπὶ ἀρρωστίᾳ· περὶ γὰρ τοῦ Ἐπαφροδίτου ἔλεγε· [20] "Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησε" καὶ πολλὰ δὲ καὶ ἄλλα [s] ἀγνοοῦντα συμφερόντως καὶ αὐτῷ καὶ τοῖς μαθητευομένοις. "Τρόφιμον δὲ, φησὶν, ἀπέλιπον ἐν Μιλήτῳ
B ἀσθενοῦντα." Ἡ Μίλητος τῆς Ἐφέσου [t] ἐγγὺς τυγχάνει. Ἆρα [v] ἀποπλέων ἐπὶ τὴν Ἰουδαίαν; ἢ [w] τοῦτο [x] μετὰ τὸ γενέσθαι ἐν Ῥώμῃ; Πάλιν [y] γὰρ εἰς τὴν Σπανίαν ἀπῆλθεν· εἰ δὲ [z] καὶ ἐκεῖθεν πάλιν εἰς ταῦτα τὰ μέρη, οὐκ ἴσμεν. [a] Ὅρα πάντοθεν αὐτὸν μεμονωμένον. "Δημᾶς [b] με γὰρ ἐγκατέλιπε," φησί· "Κρήσκης [c] γὰρ εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν·" "Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ·" "Τρόφιμον ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα." [21] "Σπούδασον, [d] φησὶ, πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυ- (378)
C δία." Τοῦτον τὸν Λῖνον ἱστοροῦσί τινες δεύτερον μετὰ τὸν Πέτρον ἐπίσκοπον τῆς Ῥωμαίων ἐκκλησίας γεγενῆσθαι. "Καὶ Λῖνος, φησὶ, καὶ Κλαυδία." Ὁρᾷς πῶς καὶ γυναῖκες ἦσαν διάπυροι περὶ τὴν πίστιν καὶ θερμαί; οἷον ἡ Πρίσκιλλα, οἷον [e] αὕτη ἡ Κλαυδία, ἤδη ἐσταυρωμέναι, ἤδη παρατεταγμέναι. Καὶ τί [f] γὰρ δήποτε τοσούτων ὄντων πιστῶν, τούτων [g] μέμνηται; ἢ δῆλον [h] ὅτι ὡς ἐκβεβηκότων ἤδη τῇ γνώμῃ τῶν κοσμικῶν πραγμάτων, ὡς μᾶλλον λαμπόντων; οὐ γὰρ ἔστιν ἐμποδισθῆναι γυναῖκα οὖσαν. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ θεοῦ χάριτος ἔργον, τὸ τὴν
D φύσιν ταύτην ἐν τοῖς βιωτικοῖς μόνον ἐμποδίζειν, μᾶλλον δὲ οὐδὲ ἐκεῖ. Οὐδὲ γὰρ μικρὸν τῆς πάσης διοικήσεως ἀναδέδεκται μέρος ἡ γυνὴ, τὸ οἰκουρόν· ἀλλ' ἐκείνης χωρὶς, οὐδὲ τὰ πολιτικὰ δυνήσεταί συστῆναί ποτε. Εἰ γὰρ [i] μέλλει θορύβου καὶ ταρα-

19 2 Cor. iv. 7. 20 Philipp. ii. 27. 21 v. 21.

q συνεγίνετο] συνέβαινεν ἐκ τούτου K. r ἐπεγράφοντο I. s ἀγνοοῦντας C.I. Post συμφερόντως add. ἐγίνετο I. t ἐγγὺς] + οὖσα I.K. Sav. cet. invita Cat. v ἀποπλέων] ὅτε ἀπέπλεεν K. Sav. cet. w τοῦτο] + καιροῦ ἄλλου φήσομεν (+ εἶναι πρᾶγμα K.) K. Sav. cet. x μετὰ] + μὲν γὰρ iidem. y γὰρ accessit ex Cat. καὶ πάλιν εἰς τὴν Ἰσπ. ἀπελθεῖν C. Mox Ἰσπανίαν C.K. z καὶ accessit ex C.I. Cat. a ὅρα π. αὐτὸν] Sic I. Vet. π. αὐτὸν C. Veron. πάντων γοῦν ὁρῶμεν αὐτὸν (αὐτὸν ὁρῶμεν K.) K. Sav. cet. b με γὰρ] γάρ με I.K. c γὰρ] ἐπορεύθη K. d φησὶ om. K. Sav. cet. e αὐτὴ Edd. *haec* Vet. f γὰρ om. K. g μέμνηται] + τῶν γυναίων K. Sav. cet. h ὅτι assumtum ex I.K. Cat. i μέλλει omnes. μέλλοι Edd.

χῆς ἐμπεπλῆσθαι τὰ κατὰ τὴν οἰκίαν, ἕκαστος τῶν πολιτευομέ-
νων ἔμελλεν οἴκοι καθῆσθαι, καὶ τὰ κατὰ τὴν πόλιν κακῶς ἂν
[k] διακείσεται. Ὥστε οὐδὲ ἐν ἐκείνοις τὸ ἔλαττον [l] ἔχει, οὐδὲ ἐν
τοῖς πνευματικοῖς. Δύναται γὰρ μυριάκις ἀποθανεῖν, εἴγε βού-
λοιτο· πολλαὶ [m] γοῦν καὶ ἐμαρτύρησαν· δύναται σωφροσύνην E
ἀσκῆσαι, καὶ μᾶλλον τῶν ἀνδρῶν, ἅτε οὐ τοσαύτης ἐνοχλούσης
αὐτῇ φλογὸς, [n] καὶ κοσμιότητα καὶ σεμνότητα ἐπιδείξασθαι, καὶ
ἁγιασμὸν, [22] "οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον," καὶ χρημάτων
ὑπεροψίαν, εἴγε [o] θέλοιεν, καὶ πάντα ἁπλῶς τὰ ἄλλα. "Σπού-
δασον, φησὶ, πρὸ χειμῶνος ἐλθεῖν." Πῶς αὐτὸν κατεπείγει; καὶ
οὐδαμοῦ τὸ λυπηρὸν τίθησιν· οὐ λέγει, πρὶν ἐμὲ [p] τελευτῆσαι,
ἀλλὰ, "πρὸ χειμῶνος [q] ἐλθεῖν," ἵνα μὴ κατασχεθῇς. "Ἀσπά-
ζεταί σε, [r] φησὶν, Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυ-
δία, καὶ οἱ ἀδελφοὶ πάντες." Ὀνομαστὶ αὐτῶν οὐ μέμνηται. F
Ὁρᾷς ὅτι ἐκεῖνοι θερμότεροι ἦσαν; [23] "Ὁ κύριος Ἰησοῦς Χρι-
στὸς μετὰ τοῦ πνεύματός σου." Οὐδὲν ταύτης τῆς εὐχῆς ἄμει-
νον. Μὴ ἄλγει, φησὶν, ὅτι ἀφίσταμαι· ὁ κύριος μετὰ σοῦ.
Καὶ οὐκ εἶπε, μετὰ σοῦ, ἀλλὰ, "μετὰ τοῦ πνεύματός σου."
Διπλῆ ἡ βοήθεια, τῆς χάριτος τοῦ πνεύματος, καὶ τοῦ θεοῦ βοη- 725
θοῦντος [s] αὐτῇ. Καὶ ἄλλως δὲ οὐκ ἔστιν εἶναι τὸν θεὸν μεθ'
ἡμῶν, μὴ τῆς χάριτος οὔσης τῆς πνευματικῆς· εἰ γὰρ ἐγκατα-
λειφθείημεν, πῶς ἔσται μεθ' ἡμῶν; "Ἡ χάρις μεθ' ἡμῶν.
Ἀμήν." Καὶ ἑαυτῷ λοιπὸν ἐπεύχεται· [t] τουτέστιν, ὥστε ἀεὶ
εὐαρέστους εἶναι αὐτῷ, ὥστε χάριν ἔχειν μετὰ τοῦ χαρίσματος·
ταύτης γὰρ οὔσης, οὐδὲν ἔσται λυπηρόν. [v] Ὥσπερ γὰρ ὁ τὸν
βασιλέα ὁρῶν, καὶ χάριν ἔχων παρ' αὐτῷ, οὐδενὸς ἐπαισθάνεται
λυπηροῦ· οὕτω κἂν τῶν φίλων ἀπολιμπανώμεθα, κἂν εἰς δεινόν
τι περιπέσωμεν, οὐδενὸς αἴσθησιν ληψόμεθα, τῆς χάριτος οὔσης
ἐκείνης καὶ τειχιζούσης ἡμᾶς.

[w] Πῶς δὲ ἔνι τὴν χάριν ἐπισπάσασθαι [x] λοιπόν; Τὰ τῷ θεῷ B
φίλα πράττοντα, καὶ ἐν πᾶσιν ὑπακούοντα. [y] Ἢ καὶ ἐν ταῖς
μεγάλαις οἰκίαις οὐκ ἐκείνους ὁρῶμεν χάριν ἔχοντας τῶν οἰκετῶν,

22 Hebr. xii. 14. 23 v. 22.

[k] διακεῖσθαι C. διετέθειτο K. [l] ἔχει] + εἰ δὲ οὐκ ἐν τούτοις K. [m] γοῦν] γὰρ I. καὶ om. C.I. Veron. [n] καὶ om. C. [o] θέλοι K. [p] τελευτῆσαι] + ἵνα μὴ λυπήσῃ K. Sav. cet. [q] ἐλθεῖν, ἵνα μὴ κατασχεθῇς] ἵνα, φησὶ, μὴ καταισχυνθῇς K. [r] φησὶν om. K. [s] αὐτῇ om. K. [t] τουτέστιν] τί τοῦτο; K. [v] ὥσπερ] ὡς K. [w] ΗΘΙΚΟΝ. Ὅτι ὁ τῶν ἑαυτοῦ καταφρονῶν διὰ τὸν θεὸν τὰ τοῦ θεοῦ λαμβάνει, (+ καὶ I.) ὅτι βίας ὄντως χρεία πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς· πολλὰ γὰρ τὰ κωλύματα, οἷον γυνὴ, παῖδες, φροντίδες βιωτικαὶ, ὧν δεῖ πάντων καταφρονεῖν, καὶ προτιμᾶν τὸν θεὸν, εἴγε καὶ ἑαυτοὺς καὶ τοὺς ἡμῖν προσήκοντας ὠφελῆσαι σπουδάζομεν. Veron. [x] λοιπὸν om. K. Statim ἂν τὰ τ. θ. φ. πράττωμεν, καὶ ἐν πᾶσιν αὐτῷ (αὐτῷ receptum est a Sav. cet.) ὑπακούωμεν K. θεῷ sine artic. C. [y] ἢ] οὕτω K. οὐκ ἐκείνους om. idem.

ὅσοι μὴ τὰ αὐτῶν μεριμνῶσιν, ἀλλὰ τὰ τῶν δεσποτῶν πάσῃ
ψυχῇ καὶ προθυμίᾳ, [z]οὐ δι' ἀνάγκην μόνην δεσποτικὴν, ἀλλὰ
καὶ διὰ προθυμίαν καὶ διὰ φιλοστοργίαν, εὖ διατιθῶσιν ἅπαντα;
ὅταν ἀεὶ τρέχωσιν, ὅταν ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς ὦσι [a]τοῖς αὐτῶν,
ὅταν ἐπὶ τῆς οἰκίας στρέφωνται, ὅταν [b]μηδὲν ἴδιον πραγματεύ-
ωνται, [c]καὶ τῶν οἰκείων φροντίζωσι, μᾶλλον δὲ ἀντὶ τῶν ἰδίων
C ἔχωσι τὰ [d]δεσποτικά; Ὁ γὰρ τὰ αὐτοῦ τοῦ δεσπότου ποιησά-
μενος, οὐ τὰ αὐτοῦ τοῦ δεσπότου πεποίηκεν, ἀλλὰ τὰ τοῦ δε-
σπότου αὐτοῦ· ὁμοίως αὐτῷ ἐπιτάττει ἐν τοῖς ἐκείνου, ὁμοίως
[e]ἐκείνῳ κρατεῖ. Πολλοὶ [f]δὲ τῶν οἰκετῶν μᾶλλον αὐτὸν δεδοί-
κασι, καὶ ὅπερ ἂν [g]εἴπῃ οὗτος, τοῦτο κἀκεῖνος· πάντες οἱ ἐχθροὶ
λοιπὸν ἐν φόβῳ. Εἰ δὲ [h]ἐν τοῖς βιωτικοῖς ὁ τῶν αὐτοῦ κατα-
φρονήσας, καὶ τὰ τοῦ δεσπότου ἑλόμενος, οὐχὶ κατεφρόνησε τῶν
αὐτοῦ, ἀλλὰ μᾶλλον μειζόνων ἐπέτυχε· πολλῷ μᾶλλον ἐν τοῖς
πνευματικοῖς. Καταφρόνησον τῶν σῶν, καὶ ἔλαβες τὰ τοῦ θεοῦ·
D βούλεται αὐτὸς τοῦτο. Καταφρόνησον τῆς γῆς, καὶ ἅρπασον
τὴν βασιλείαν τῶν οὐρανῶν· ἐκεῖ δίαγε, μὴ ἐνταῦθα· ἐκεῖθεν ἔσο
φοβερὸς, μὴ ἐνταῦθα. Ἐκεῖθεν ἂν ᾖς φοβερὸς, οὐχὶ ἀνθρώποις (379)
μόνον, ἀλλὰ καὶ δαίμοσι καὶ αὐτῷ τῷ διαβόλῳ ἔσῃ φοβερός·
ἂν δὲ ἀπὸ τῶν χρημάτων τῶν ἐνταῦθα, ἐκείνοις εὐκαταφρόνητος
ἔσῃ, πολλάκις δὲ καὶ ἀνθρώποις· ὅσα ἂν πλουτήσῃς, ἐν τοῖς δου-
λικοῖς [i]πλουτεῖς· ἂν δὲ τούτων ὑπερίδῃς, ἐν τῷ οἴκῳ τῷ βασιλικῷ
λαμπρὸς ἔσῃ. Τοιοῦτοι ἦσαν οἱ ἀπόστολοι· καταφρονήσαντες
τῆς δουλικῆς οἰκίας, καὶ τῶν ἐνταῦθα χρημάτων, [k]ὅρα πῶς τοῖς
E δεσποτικοῖς ἐπέταττον. Ὁ δεῖνα, φησὶν, ἀπηλλάχθω νόσου,
ἕτερος δαιμόνων, καὶ δῆσον ἐκεῖνον, καὶ λῦσον τοῦτον. Ἐπὶ γῆς
τοῦτο ἐγίνετο, ἀλλ' ὡς ἐν οὐρανοῖς ἐτελεῖτο. [24]"Ὅσα γὰρ [l]ἂν
δήσητε [m]ἐπὶ τῆς γῆς, φησὶν, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ."
Καὶ μείζονα [n]αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν. Καὶ ὅτι οὐκ
ἐψευσάμην, ἄκουε αὐτοῦ λέγοντος· [25]"Ὁ πιστεύων εἰς ἐμὲ,
μείζονα [o]ποιήσει ὧν ἐγὼ ποιῶ." Τί δήποτε; Ὅτι καὶ οὕτως
εἰς τὸν δεσπότην ἡ τιμὴ διαβαίνει. Ἐπεὶ καὶ ἐν τοῖς ἡμετέροις
πράγμασιν, ὅταν μεγάλα [p]δύνηται ὁ οἰκέτης, μᾶλλον θαυμά-

24 Matth. xviii. 18. 25 Joan. xiv. 12.

[z] οὐ] ὅταν οὖν οὐ K. Mox μόνον I.K. [a] τοῖς] τῶν K. [b] οὐδὲν K. [c] καὶ] μηδὲ K. Sav. cet. ἰδίων pro οἰκείων I.K. [d] δεσποτικὰ] + πῶς οὐκ εἰκότως αὐτοῖς ἔσται διὰ τοῦτο ἡ χάρις; K. [e] ἐκείνῳ Edd. ἐκείνου Codd. [f] δὲ] καὶ K. [g] εἴπῃ omnes. εἴποι Edd. [h] ἐν τοῖς β. ὁ] Sic C.K. ὁ ἐν τοῖς β. Edd. ὁ ἐν τοῖς β. ὁ (?) I. [i] πλουτεῖς omnes. πλουτήσεις Edd. [k] ὅρα] καὶ ὅρα I.K. Sav. cet. [l] ἂν om. I. [m] ἐπὶ τ. γ. φησὶν] Sic omnes. φησὶν ἐπὶ γῆς Edd. [n] αὐτοῦ ἔ. αὐτοῖς] Sic C.I. αὐτοῖς ἔ. αὐτοῦ Edd. [o] ποιήσει ὧν ἐ. π.] ὧν ἐ. π. ποιήσει K. ποιήσει ὧν ἐ. π. ποιήσει (sic) I. [p] δύναται I.

ζεται ὁ δεσπότης. Εἰ γὰρ ὁ οἰκέτης τοσαῦτα δύναται, πόσῳ F
μᾶλλον ὁ κρατῶν αὐτοῦ; Εἰ δέ τις ἀφεὶς τὴν δεσποτικὴν ὑπη-
ρεσίαν, φροντίζοι τῆς αὐτοῦ γυναικὸς καὶ τοῦ παιδίου καὶ τοῦ
οἰκέτου, καὶ βούλοιτο πλουτεῖν [q]καὶ ἀποτίθεσθαι ἐκεῖ, ἢ κλέ-
πτων, ἢ λυμαινόμενος τοῖς δεσποτικοῖς, ταχέως καὶ ἑαυτὸν μετὰ 726
τῶν χρημάτων προσαπώλεσε. Διὸ ταῦτα ἔχοντες τὰ ὑποδεί-
γματα, [r]παρακαλῶ, μὴ φροντίζωμεν τῶν ἡμετέρων, ἵνα φροντί-
ζωμεν [s]αὐτῶν· καταφρονῶμεν αὐτῶν, ἵνα κτησώμεθα αὐτά. Ἂν
ἡμεῖς αὐτῶν καταφρονήσωμεν, αὐτὸς αὐτῶν ἐπιμελήσεται· ἂν
ἡμεῖς ἐπιμελησώμεθα αὐτῶν, ὁ θεὸς αὐτῶν καταφρονήσει. [t]Εἰ
ἐν τοῖς τοῦ θεοῦ κάμνομεν, μὴ ἐν τοῖς ἡμετέροις, μᾶλλον δὲ ἐν
τοῖς ἡμετέροις· τὰ γὰρ αὐτοῦ ἡμέτερα· οὐ λέγω οὐρανὸν, οὐ
λέγω γῆν, οὐ λέγω τὰ ἐν [v]τῷ κόσμῳ· ταῦτα γὰρ αὐτοῦ ἀνάξια, B
ταῦτα οὐχ ἡμῶν [w]μόνον ἐστὶν, ἀλλὰ καὶ τῶν ἀπίστων· ἀλλὰ
[x]τί λέγω; δόξαν, βασιλείαν· ταῦτα καὶ αὐτοῦ, καὶ ἡμέτερα δι'
αὐτόν. Πῶς; "Εἰ συναπεθάνομεν, φησὶ, καὶ συζήσομεν· εἰ
ὑπομένομεν, καὶ συμβασιλεύσομεν." Συγκληρονόμοι ἐγενόμεθα,
καὶ ἀδελφοὶ λεγόμεθα· τί ἡμεῖς ἑαυτοὺς κάτω [y]κατάγομεν, αὐ-
τοῦ ἡμᾶς ἄνω καὶ πρὸς ἑαυτὸν ἕλκοντος; Μέχρι πότε πενιχροὶ,
μέχρι πότε πτωχοί; Οὐρανὸς πρόκειται, καὶ ἡμεῖς περὶ τὴν γῆν
στρεφόμεθα· οὐρανοῦ βασιλεία, καὶ ἡμεῖς τὴν ἐνθάδε πενίαν αἱ-
ρούμεθα· ζωὴ ἀθάνατος, καὶ ἡμεῖς περὶ ξύλα καὶ λίθους καὶ C
ἀγροὺς δαπανώμεθα. Γενοῦ [z]πλούσιος, τοῦτο κἀγὼ βούλομαι·
πλεονέκτησον καὶ ἅρπασον· ἐνταῦθα οὐκ [a]ἔστι μέμψις· ἐνταῦθα
τὸ μὴ πλεονεκτῆσαι ἔγκλημα, ἐνταῦθα τὸ μὴ ἁρπάσαι κατηγο-
ρία. Τί δὴ τοῦτό ἐστιν; [26]"Ἡ βασιλεία [b]τῶν οὐρανῶν, φησὶ,
βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν." Γενοῦ βίαιος ἐκεῖ,
γενοῦ ἅρπαξ, οὐ μειοῦται τὸ ἁρπαζόμενον· οὐδὲ γὰρ μερίζεται
ἡ ἀρετή· οὐ μειοῦται οὐδὲ ἡ εὐσέβεια, οὐδὲ ἡ βασιλεία τῶν οὐ-
ρανῶν. Τότε αὔξεται ἡ ἀρετὴ, ὅταν ἁρπάσῃς· τότε τὰ σωμα-
τικὰ [c]μειοῦται, ὅταν ἁρπάσῃς· καὶ δῆλον ἐκεῖθεν. Ἔστωσαν ἐν D
πόλει μύριοι ἄνδρες· οὗτοι ἂν μὲν πάντες ἁρπάζωσι τὴν ἀρετὴν
καὶ τὴν δικαιοσύνην, ἐπλεόνασαν αὐτήν· ἐν γὰρ τοῖς μυρίοις γί-
νονται δίκαιοι· ἂν δὲ μὴ ἁρπάσωσιν, ἠλάττωσαν· οὐδαμοῦ γὰρ
φαίνεται. Ὁρᾷς ὅτι ἐν τῷ ἁρπάζεσθαι [d]πλεονεκτεῖ μᾶλλον τὰ

26 Matth. xi. 12.

[q] καὶ accessit ex C.I. [r] παρακαλῶ ante ταῦτα transp. K. Statim μὴ om. idem. [s] αὐτῶν omnes. ἑαυτῶν Edd. καταφρ. αὐτῶν om. C. [t] εἰ om. K. Sav. cet. Mox κάμνωμεν I.K. Sav. cet. [v] τῷ accessit ex omnibus. [w] μόνων I. [x] τί λ.] τίνα λ. αὐτοῦ K. Sav. cet. [y] κατάγομεν] τάττομεν K. [z] πλούσιος] + ἐν τοῖς πνευματικοῖς ex corr. rec. K. γενοῦ πλ. post βούλομαι transp. idem. [a] ἔστι] ἔτι K. [b] τῶν οὐρανῶν, φ. pro φ. τῶν οὐρανῶν omnes. [c] μειοῦνται C. [d] πλεονάζει I. Post ἀγαθὰ add. ἐκεῖ idem.

ἀγαθά· ταῦτα δὲ ἐν τῷ ἁρπάζεσθαι μειοῦται μᾶλλον; Μὴ τοίνυν τῇ πενίᾳ προσκαθεζώμεθα, ἀλλὰ τὸν πλοῦτον ἑλώμεθα. Πλοῦτος θεοῦ ἐστι τὸ πολλοὺς εἶναι τοὺς ἀπολαύοντας τῆς
E βασιλείας. [27]“Ὁ πλουτῶν, φησὶν, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν.” Αὔξησον αὐτοῦ τὴν οὐσίαν· [e]αὔξεις δὲ, ἂν ἁρπάσῃς, ἂν πλεονεκτήσῃς, ἂν βιάσῃ. Βίας ὄντως χρεία· τί δήποτε; ὅτι πολλοὶ οἱ κωλύοντες, γυναῖκες, παῖδες, φροντίδες, τὰ κοσμικὰ πράγματα, μετὰ τούτων δαίμονες, καὶ αὐτὸς ὁ τῶν δαιμόνων ἀρχηγέτης ὁ διάβολος. Δεῖ τοίνυν βίας, δεῖ καρτερίας. Ὁ βιαζόμενος ἐν πόνοις ἐστί. Πῶς πάντα ὑπομένει; [f]πῶς καὶ πρὸς ἀνάγκην ἵσταται; πῶς σχεδὸν τοῖς ἀδυνά-
F τοις ἐπιχειρεῖ; Εἰ τοίνυν οἱ μὲν βιαζόμενοι τοιοῦτοι, ἡμεῖς δὲ οὐδὲ τοῖς δυνατοῖς ἐπιχειροῦμεν, πότε ἐπιτευξόμεθα; πότε ἀπολαυσόμεθα τῶν σπουδαζομένων; “Βιασταὶ, φησὶν, ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν.” Βίας χρεία καὶ ἁρπαγῆς· οὐ γὰρ (380)
727 ἁπλῶς πρόκειται, οὐδὲ ἐξ ἑτοίμου. Ὁ ἁρπάζων διαπαντὸς νήφει, διεγήγερται, φροντίζει καὶ μεριμνᾷ, ὥστε εὐκαίρως ἐπιθέσθαι τῇ ἁρπαγῇ. Οὐχ ὁρᾶτε ἐν τοῖς πολέμοις, ὅτι ὁ [g]ἁρπάσαι βουλόμενος δι' ὅλης τῆς νυκτὸς ἀγρυπνεῖ, δι' ὅλης ὥπλισται; Εἰ τοίνυν [h]τὰ βιωτικὰ ἁρπάζοντες, καὶ νύκτα ἀγρυπνοῦσι, καὶ ὁπλίζονται, πῶς τὰ τούτων μείζονος δεόμενα [i]σπουδῆς, τὰ πνευματικὰ ἁρπάσαι βουλόμενοι, καὶ ἐν ἡμέρᾳ καθεύδομεν καὶ ῥέγχομεν, καὶ ἀεὶ ἄοπλοι καὶ γυμνοὶ διατελοῦμεν; Ὁ γὰρ ἐν
B ἁμαρτίαις στρεφόμενος, ἄοπλός ἐστι καὶ γυμνὸς, ὥσπερ ὁ ἐν δικαιοσύνῃ [k]ὥπλισται. Οὐκ ἐλεημοσύνῃ περιφράττομεν ἑαυτοὺς, οὐ τὰς ἀναπτομένας λαμπάδας ἑαυτοῖς εὐτρεπίζομεν, οὐ [l]συμφραττόμεθα, οὐ τὴν ὁδὸν μανθάνομεν τὴν ἐκεῖ φέρουσαν, οὐ νήφομεν, οὐ διεγηγέρμεθα· διὰ τοῦτο ἁρπάσαι οὐδὲν δυνάμεθα. Εἴ τις βασιλείᾳ ἐπιθέσθαι βούλοιτο, οὐχὶ θανάτους μυρίους ἑαυτῷ [m]προτίθησι πρότερον; οὐχὶ συμφραξάμενος, οὐχὶ μελετήσας [n]τὴν τέχνην τὴν πολεμικήν; οὐχὶ πάντα ὑπὲρ τούτου πράττει, καὶ οὕτως ὁρμᾷ πρὸς τὴν ἐπίθεσιν; Ἀλλ' οὐχ ἡμεῖς
C οὕτως, ἀλλὰ καθεύδοντες ἁρπάζειν βουλόμεθα· τοιγάρτοι διὰ τοῦτο κεναῖς ἄπιμεν χερσίν. Οὐχ ὁρᾷς τοὺς ἁρπάζοντας, πῶς φεύγουσι, πῶς τρέχουσι, πῶς διατέμνουσιν ἅπαντα; Δρόμου

27 Rom. x. 12.

[e] αὔξεις C. αὐξεῖς I. αὐξήσεις Edd. [f] πῶς om. C.K. Sav. cet. καὶ om. K. [g] ἁρπάξαι C.I. [h] τὰ] οἱ τὰ K. Sav. cet. [i] τῆς σπουδῆς Edd. τῆς deest in omnibus. [k] ὡπλισμένος K. Sav. cet. [l] συμφραττόμεθα] + εἰπέ μοι C.I. + ὅπλοις πνευματικοῖς K. Sav. cet. Neutrum habent Veron. Vet. [m] προτίθησι] Sic C.I. προστίθησι Veron. ὑποτίθησι K. Sav. cet. [n] τὴν τέχνην accessit ex omnibus. Mox πρὸς om. C.

χρεία· εὐθέως γάρ σου κατατρέχει ὁ διάβολος, καὶ τοῖς ἔμπροσθεν
κελεύει κατασχεῖν. Ἀλλ' ἐὰν ᾖς ἰσχυρὸς, ἐὰν ᾖς διεγηγερμένος, τὸν
μὲν ἐλάκτισας, τὸν δὲ ἀπώσω, πάντας διέφυγες ὡς πτηνός. Κἂν
ἀπέλθῃς λοιπὸν ἐντεῦθεν, [o]ἂν τὴν ἀγορὰν ὑπερβῇς, [p]καὶ τὸν πο-
λὺν θόρυβον, ὅπερ ἐστὶν ὁ βίος, καὶ πρὸς τὰ μετέωρα τούτων
ἔλθῃς, ὅπερ ἐστὶν ὁ μέλλων [q]αἰών· καθάπερ [r]γὰρ ἐν ἐρημίᾳ,
οὐδεὶς θόρυβος, οὐδεὶς ὁ ἐνοχλῶν, οὐδεὶς [s]ὁ κατέχων· [t]ἀνεπαύσω. D
Ὀλίγου δεῖ τόνου μετὰ τὴν ἁρπαγὴν, ὥστε μὴ ἀφαιρεθῆναι τὸ
ληφθέν· ἂν τρέχωμεν, ἂν μηδὲν ὁρῶμεν τῶν πρὸ τῶν ὀφθαλμῶν
κειμένων, ἂν μηδὲν ἕτερον φροντίζωμεν, ἀλλ' ὥστε τοὺς κωλύον-
τας διαδρᾶναι, δυνησόμεθα τὰ ἁρπαγέντα κατέχειν μετὰ ἀσφα-
λείας. Ἥρπασας τὴν σωφροσύνην; μὴ μείνῃς, φεῦγε, πόρρω
γενοῦ τοῦ διαβόλου· ἂν ἴδῃ, ὅτι οὐκέτι δύναται καταλαβεῖν, οὐδὲ
διώξει. Οὕτω καὶ ἡμεῖς, [v]ὅταν τοὺς ἁρπάσαντάς τι μηκέτι βλέ- E
πωμεν, ὡς ἀπαγορεύσαντες, [w]οὔτ' αὐτοὶ κατατρέχομεν, οὔτε ἑτέ-
ροις παρακελευόμεθα κατέχειν, ἀλλ' [x]ἀφίεμεν ἀπελθόντας. Οὕτω
καὶ σὺ δράμε σφοδρῶς παρὰ τὴν ἀρχήν. [y]Ὅταν πόρρω γένῃ
τοῦ διαβόλου, οὐδὲ ἐπιχειρήσει λοιπὸν, ἀλλ' ἔσῃ ἐν ἀσφαλείᾳ,
τῶν ἀγαθῶν ἀπολαύων τῶν [z]ἀπορρήτων· ὧν γένοιτο πάντας
ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσ- F
κύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[o] ἂν] κἂν K. Sav. cet. [p] καὶ] κἂν K. [q] αἰὼν] + ἀνεπαύσω K. [r] γὰρ om. C.K. Post ἐρημίᾳ add. γέγονας ἔνθα K. [s] ὁ om. I. [t] ἀνεπαύσω] Sic C. I. Veron. *conquiesces* Vet. ἀνηρπάσω Sav. cet. ἀνεπαύσω om. K. [v] ὅταν] ποιοῦμεν· ὅταν γὰρ K. [w] οὔτε K. οὐδ' I. Mox οὐθ' ἑτέροις K. [x] ἀφίωμεν I. Post ἀπελθόντας add. μένειν K. Sav. cet. [y] καὶ ὅταν I.K. [z] ἀπορρήτων] + μετ' (μετὰ K.) ἀδείας K. Sav. cet. Mox καὶ προσκύνησις om. I. Vet.

Ed. Ben.
Tom. XI.
p. 729.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

Ed. Sav.
Tom. IV.
p (381).

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ.

A

ΛΟΓΟΣ Α.

[1]*Παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ,* [a]*κατὰ πίστιν ἐκλεκτῶν θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν,* [b]*ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πί-*
B *στιν, χάρις* [c]*καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.*

ΤΩΝ Παύλῳ συνόντων δόκιμος οὗτος [d]ἦν· [e]οὐκ ἂν οὖν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν, οὐκ ἂν τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν· [2]"Ἵνα γάρ, φησί, τὰ [f]λείποντα ἐπιδιορθώσῃ·" [g]καὶ τοσούτων ἐπισκόπων κρίσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐθάρρει [h]τἀνδρί. Φασὶ δὲ αὐτὸν καὶ νέον εἶναι, διὰ [i]τὸ τέκνῳ αὐτῷ γράφειν· πλὴν ἀλλ' οὔπω τοῦτο δῆλον ἀπὸ τούτου. Οἶμαι δὲ αὐτοῦ καὶ ἐν ταῖς Πράξεσιν εἶναι μνείαν. Τάχα καὶ
C Κορίνθιος ἦν, εἰ μή τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. Καὶ [3]Ζηνᾶν

1 Cap. I. v. 1—4. 2 Tit. i. 5. 3 Ibid. iii. 13.

Codices C.D.K.L.M. [a] A *κατὰ πίστιν* usque ad finem loci S.S. omnia desunt in K.L.M. [b] *ἐπ' ἐλπίδι* om. D. [c] *καὶ*] *ἔλεος* D. [d] *ἦν*] + *σφόδρα* K.L.M. [e] *οὐκ ἂν οὖν*] Sic C.D. Cat. Veron. Vet. *εἰ μὴ γὰρ ἦν δόκιμος, οὐκ ἂν* K.L.M. Sav. cet. [f] *ἐπιλείποντα* D. Cat. [g] *καὶ*] *οὐκ ἂν* K.L.M. Sav. cet. [h] *τῷ ἀνδρὶ* C.D. [i] *τὸ*] *τοῦτο* C. Statim *τέκνον αὐτῷ γρ.* D. Cat. *τέκνον αὐτὸν λέγειν* K.L.M. Sav. cet.

μὲν καλεῖ πρὸς ἑαυτὸν, καὶ Ἀπολλὼ πεμφθῆναι βούλεται, τοῦ-
τον δὲ οὔ· καὶ γὰρ ἐναντίον τοῦ αὐτοκράτορος μείζονα τούτοις
[k]ἐμαρτύρει τὴν ἀνδρείαν καὶ τὴν ἀρετήν. Δοκοῦσι δέ μοι χρό-
νοι εἶναι μέσοι τινὲς, καὶ ἐν ἀδείᾳ [l]ὁ Παῦλος ὢν γράφει ταῦτα·
οὐδὲν γὰρ περὶ πειρασμῶν φησι, συνεχῶς δὲ περιστρέφει τοῦ
θεοῦ τὴν χάριν καὶ ἄνω καὶ κάτω, ἱκανὴν οὖσαν παράκλησιν τοῖς
πεπιστευκόσι πρὸς ἀρετήν. Τὸ γὰρ μαθεῖν τίνων μὲν ἦσαν
ἄξιοι, πρὸς [m]τί δὲ μετέστησαν, καὶ ταῦτα χάριτι, καὶ τίνων 730
ἠξίωνται, οὐ μικρὰ προτροπή. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰου-
δαίους. Εἰ [n]δὲ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ θαυμάσῃς· καὶ
ἐπὶ Γαλατῶν γὰρ αὐτὸ ποιεῖ, λέγων· [4]"Ὦ ἀνόητοι Γαλάται·"
οὐχ ὑβριστικοῦ δὲ τοῦτο ἤθους, ἀλλ' ἐρωτικοῦ. Εἰ μὲν γὰρ τῶν
αὐτοῦ ἕνεκεν ταῦτα ἐποίει, [o]εἰκότως τις αὐτῷ ἐπεμέμψατο· εἰ
δὲ πεπυρωμένος καὶ ζέων [p]ὑπὲρ τοῦ κηρύγματος, οὐχ ὑβριστικῶς
αὐτὸ ἐποίει. Καὶ ὁ Χριστὸς δὲ [q]μυρία ἐλοιδορεῖτο τοῖς γραμ-
ματεῦσι καὶ Φαρισαίοις, ἀλλ' [r]οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ' ὅτι τοὺς B
(382) ἄλλους ἅπαντας [s]ἀπώλλυον. Βραχεῖαν δὲ [t]ποιεῖ τὴν ἐπιστολὴν,
εἰκότως· [v]καὶ τοῦτο δὲ τῆς ἀρετῆς [w]τοῦ Τίτου τεκμήριον ἦν, τὸ
μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ τινὸς ὑπομνήσεως. Αὕτη
δέ μοι δοκεῖ τῆς πρὸς Τιμόθεον εἶναι [x]νεαρωτέρα ἡ ἐπιστολή.
Ἐκείνην μὲν γὰρ πρὸς τῷ [y]τέλει ὢν ἔγραφεν, ἐνταῦθα δὲ ἄφε-
τος ὢν καὶ λελυμένος· τὸ γὰρ, [5]"Κέκρικα παραχειμάσαι ἐν
Νικοπόλει," τεκμήριον ἦν τοῦ μηδέπω ἐν δεσμοῖς εἶναι· ἐκεῖ δὲ
συνεχῶς ἑαυτὸν δέσμιον καλεῖ.

Τί οὖν φησι; "Παῦλος δοῦλος θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ C
Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν θεοῦ." Ὁρᾷς πῶς ἀδιαφόρως
[z]αὐτὰ τίθησι, ποτὲ μὲν ἑαυτὸν τοῦ θεοῦ δοῦλον λέγων, τοῦ δὲ
Χριστοῦ ἀπόστολον, ποτὲ δὲ τοῦ Χριστοῦ δοῦλον, "Παῦλος
δοῦλος Ἰησοῦ Χριστοῦ;" οὕτως οὐδεμίαν οἶδε διαφορὰν μεταξὺ
πατρὸς καὶ υἱοῦ. "Κατὰ πίστιν ἐκλεκτῶν [a]θεοῦ, καὶ ἐπίγνωσιν
ἀληθείας τῆς κατ' εὐσέβειαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου." "Κατὰ
πίστιν ἐκλεκτῶν θεοῦ." [b]Ὅτι ἐπίστευσας, ἢ ὅτι ἐπιστεύθης; D

[4] Gal. iii. 1. [5] Tit. iii. 12.

[k] τὴν ἀνδ. (ἀνδρίαν omnes) μαρτυρεῖ hoc ord. C. [l] ὁ accessit ex C.D.K.L. [m] τί] τίνα C.D. Vet. [n] δὲ] + καὶ Edd. καὶ om. D.K.L.M. [o] εἰκότως] + ἂν ex corr. rec. M. Mox ἐμέμψατο D.K. Cat. [p] ὑπὲρ] ὑπὸ K. [q] μυριάκις C. [r] οὐκ αὐτοῦ] Sic C.D. Cat. οὐχὶ αὐτῶν K. οὐχὶ αὐτοῦ L. οὐχ ἑαυτοῦ Edd. [s] ἀπολύων Cat. ἀπόλλυσιν Veron. [t] ἐποίει C. [v] καὶ om. K. [w] τοῦ om. C. Mox ἦν om. idem. [x] νεαρατέρα] προτέρα K.L.M. Sav. cet. Statim ἡ ἐπιστολὴ D.K.L.M. ἐπιστολὴ Cat. ἐπιστολῆς Edd. [y] τέλει] + ἐν δεσμοῖς Sav. cet. repugnantibus omnibus. [z] ταῦτα D. Cat. [a] τοῦ θ. Edd. τοῦ deest in omnibus. [b] ὅτι] ἀντὶ τοῦ ὅτι K.L.M. Statim ἐπίστευσα et ἐπιστεύθην D.

Οἶμαι αὐτὸν λέγειν, [c]ὅτι αὐτὸς [d]ἐπιστεύθη τοὺς ἐκλεκτοὺς τοῦ
θεοῦ. Τουτέστιν, οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ ἀπὸ πόνων καὶ
ἱδρώτων τὸ ἀξίωμα ἔλαβον, ἀλλὰ τὸ πᾶν τῆς τοῦ πιστεύσαντος
εὐεργεσίας ἐγένετο. Εἶτα, ἵνα μὴ ἄλογος ἡ χάρις [e]γένηται·
[f]οὔτε γὰρ τὸ πᾶν αὐτοῦ· ἐπεὶ διὰ τί μὴ καὶ ἑτέροις ἐνεπίστευσε;
διὰ τοῦτο ἐπήγαγε, "[g]καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέ-
βειαν." Ἀπὸ [h]ταύτης ἐπιστεύθην, μᾶλλον δὲ καὶ [i]τοῦτο ἐπι-
στεύθην ἐκ τῆς αὐτοῦ χάριτος· [k]καὶ γὰρ καὶ τούτου αὐτὸς αἴ-
E τιος. Διὰ τοῦτο [l]γὰρ καὶ αὐτός [m]φησιν ὁ Χριστός· [6]"Οὐχ
ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ [n]ὑμᾶς ἐξελεξάμην·" καὶ πάλιν
[o]αὐτὸς οὗτος ὁ μακάριος ἑτέρωθι γράφων φησίν· "Ἐπιγνώσο-
μαι, καθὼς καὶ ἐπεγνώσθην·" καὶ πάλιν, "[p]Εἰ καταλάβω, ἐφ'
ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ." [q]Πρότερον ἐπε-
γνώσθημεν, καὶ ὕστερον ἐπέγνωμεν· πρότερον κατελήφθημεν,
καὶ τότε κατελάβομεν· πρότερον ἐκλήθημεν, καὶ τότε ὑπηκού-
σαμεν. [r]Τῷ δὲ, "κατὰ πίστιν," εἰπεῖν τὸ πᾶν ἐκείνοις λογίζε-
F ται, ὅτι δι' ἐκείνους εἰμὶ ἀπόστολος, [s]οὐχὶ ὡς ἄξιος, ἀλλὰ διὰ
τοὺς ἐκλεκτούς· ὅπερ καὶ ἀλλαχοῦ λέγει· [7]"Πάντα γὰρ ὑμῶν
ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς." "Καὶ ἐπίγνωσιν, [t]φησὶν,
ἀληθείας τῆς κατ' εὐσέβειαν." Ἔστι [v]γὰρ ἀλήθεια πραγμάτων,
731 ἀλλ' οὐ κατ' εὐσέβειαν· οἷον τὸ εἰδέναι [w]τὰ γεωργικὰ, τὸ εἰδέ-
ναι τέχνας, ἀληθῶς ἐστιν εἰδέναι· ἀλλ' αὕτη κατ' εὐσέβειαν ἡ
ἀλήθεια. Ἢ τὸ, "κατὰ πίστιν," ὅτι ἐπίστευσαν καθάπερ οἱ
λοιποὶ ἐκλεκτοὶ, [x]οἳ καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν. Ἀπὸ πίστεως
ἄρα ἡ ἐπίγνωσις, οὐκ ἀπὸ λογισμῶν. "Ἐπ' ἐλπίδι ζωῆς αἰω-
νίου." Εἶπε τὴν παροῦσαν, τὴν ἐν τῇ χάριτι τοῦ θεοῦ· λέγει
καὶ τὴν μέλλουσαν, καὶ ἔπαθλα τίθησιν ἡμῖν ὑπὲρ ὧν ἡμᾶς εὐηρ-
γέτησεν· [y]ἐπειδὴ ἐπιστεύσαμεν καὶ ἀπηλλάγημεν τῆς πλάνης,
B στεφανοῦν ἡμᾶς βούλεται. Ὅρα πῶς γέμει τὸ προοίμιον τῶν
εὐεργεσιῶν τοῦ θεοῦ· καὶ ὅλη δι' ὅλης ἡ ἐπιστολὴ αὕτη μάλιστα
τοιαύτη τυγχάνει, καὶ αὐτὸν τὸν ἅγιον ἐκεῖνον [z]διανιστῶσα

[6] Joan. xv. 16. 1 Cor. xiii. 12. Philipp. iii. 12. [7] 1 Cor iii. 21, 22.

[c] ὅτι] καὶ ὅτι K.L.M. ὅτι—τοῦ θεοῦ] κατὰ πίστιν ἐκλεκτῶν θεοῦ C. [d] ἐπιστεύθην D. τοὺς om. idem. [e] γένηται] νομισθῇ K.L.M. Sav. cet. invita Cat. *fieret* Vet. [f] οὐδὲ C.D. Mox ἐπίστευσε iidem. [g] καὶ] τὸ καὶ K.L.M. Sav. cet. [h] ταύτης] + φησὶν iidem. [i] τοῦτο] τὸ D.K.L.M. invita Cat. Mox τοῦ θεοῦ pro αὐτοῦ D. [k] καὶ—αἴτιος om. K. [l] γὰρ om. K.L.M. διὰ τ. γὰρ καὶ om. D. [m] φ. ὁ Χρ.] Sic C.D. Cat. ὁ Χρ. λέγει K.L.M. ὁ Χρ. φ. Edd. [n] ἐξ. ὑμᾶς inverso ord. D.K. Cat. [o] αὐτὸς] καὶ αὐτὸς C.D. [p] εἰ] + καὶ D. Mox ἐφ' ὃ K.L. [q] Vid. Annot. [r] τῷ] τὸ C. Cat. [s] οὐχ K.L.M. Cat. οὐχὶ—λέγει om. C. [t] φησὶν om. D. [v] γὰρ] + καὶ K. [w] τὰ γ. et τέχνας transp. D. [x] οἳ assumtum ex D. Vet. [y] ἐπειδὴ] ἐπεὶ γὰρ K.L.M. ἐπειδὴ γὰρ C. Sav. cet. [z] διανιστᾶσα C.

μᾶλλον πρὸς τοὺς πόνους, καὶ τοὺς μαθητευομένους. Οὐδὲν γὰρ
οὕτως [a]ἡμᾶς ὠφελεῖ, ὡς τὸ [b]συνεχῶς μεμνῆσθαι τῶν εὐεργεσιῶν
τοῦ θεοῦ, [c]καὶ τῶν κοινῇ, καὶ τῶν ἰδίᾳ. Εἰ γὰρ φίλου εὐεργε-
σίας ἀνενεγκόντες, ἢ ῥῆμα προσηνὲς ἀκούσαντες ἢ πρᾶγμα, [d]δια-
θερμαινόμεθα, πολλῷ μᾶλλον, ὅταν ἴδωμεν πόσοις κινδύνοις
περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ θεὸς, προθυμό-
τεροι [e]περὶ τὴν ὑπακοὴν ἐσόμεθα. "Καὶ ἐπίγνωσιν, [f]φησὶν, C
ἀληθείας." Ἀλήθειαν δὲ ἐνταῦθα πρὸς τὸν τύπον [g]φησί.
Καὶ γὰρ [h]καὶ ἐκείνη ἐπίγνωσις ἦν, καὶ εὐσέβεια ἦν, ἀλλ' οὐκ
ἀληθείας, οὐ μὴν οὐδὲ ψεύδους, ἀλλὰ τύπων καὶ [i]εἰκόνος. "Ἐπ'
ἐλπίδι ζωῆς αἰωνίου." [k]Ἐκείνη ἐπ' ἐλπίδι ζωῆς τῆς παρούσης·
8 "Ὁ γὰρ ποιήσας αὐτὰ, φησὶ, ζήσεται ἐν αὐτοῖς." [l]Ὁρᾷς
πῶς ἐκ προοιμίων ἤδη δείκνυται τῆς χάριτος τὸ μέσον; Ἐκεῖνοι
οὐκ ἐκλεκτοὶ, ἀλλ' ἡμεῖς· εἰ γὰρ καὶ αὐτοὶ ἐλέγοντο ἐκλεκτοὶ, D
ἀλλ' οὐκέτι.

"Ἣν ἐπηγγείλατο, [m]φησὶν, ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων αἰω-
νίων." Τουτέστιν, οὐ νῦν ἐκ μετανοίας, ἀλλ' ἄνωθεν ταῦτα προώ-
ριστο. Πολλαχοῦ τοῦτο τίθησιν, ὡς ὅταν λέγῃ, 9 "Ἀφωρισμέ-
νος εἰς [n]τὸ εὐαγγέλιον τοῦ θεοῦ·" καὶ πάλιν, "Οὓς προέγνω, καὶ
προώρισε·" δεικνὺς τὴν εὐγένειαν τὴν ἡμετέραν, ὅτι ἡμᾶς οὐ νῦν,
(383) ἀλλ' ἄνωθεν ἠγάπησεν. Οὐ μικρὸν δὲ τοῦτο [o]τὸ ἄνωθεν ἠγαπῆ-
σθαι καὶ ἐξ ἀρχῆς. "Ἣν ἐπηγγείλατο, φησὶν, ὁ ἀψευδὴς θεός." E
[p]Εἰ ἀψευδὴς, πάντως ἔσται ὃ ἐπηγγείλατο· [q]εἰ ἀψευδὴς, οὐ δεῖ
ἀμφιβάλλειν, [r]κἂν μετὰ θάνατον ᾖ. "Ἣν ἐπηγγείλατο, φησὶν,
ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων." Καὶ ἀπὸ [s]τοῦ, "πρὸ
χρόνων αἰωνίων," [t]τὸ ἀξιόπιστον δείκνυσιν. Οὐκ ἐπειδὴ Ἰουδαῖοι
[v]νῦν οὐ προσῆλθον, φησὶ, διὰ τοῦτο ταῦτα, ἀλλ' οὕτως ἄνωθεν
[w]ἐτετύπωτο. Ἄκουε [x]γοῦν τί φησιν· "Ἐφανέρωσε δὲ καιροῖς F
ἰδίοις." [y]Τίς οὖν ἡ ἀναβολή; Κηδεμονίας χάριν, καὶ τοῦ εὐκαί-
ρως ποιῆσαι· 10 "Καιρὸς," [z]φησὶν ὁ προφήτης, "τοῦ ποιῆσαι
τῷ κυρίῳ." Τὸ γὰρ, "ἰδίοις," [a]τοῦτ' ἔστι, τοῖς προσήκουσι,

8 Rom. x. 5. 9 Ibid. i. 1. viii. 29. 10 Psal. cxviii. 126.

[a] ἡμᾶς om. K. [b] συνεχῶς] + μανθάνειν καὶ C. [c] καὶ τῶν] Sic omnes. τῶν τε Edd. [d] θερμαινόμεθα K. [e] περὶ omnes. πρὸς Edd. [f] φησὶν om. D. [g] φησὶ] οὕτως εἶπε K.L.M. Sav. cet. ἀλήθειαν—φησὶ om. C. [h] κἀκείνη D. [i] εἰκόνων D. Post εἰκόνος add. καλῶς εἶπεν K.L.M. Sav. cet. [k] ὅτι ἐκείνη ἐπ' ἐλ. ἦν ζ. Sav. cet. ὅτι et ἦν om. D. Cat. Veron. Vet. ὅτι—ζωῆς om. C. [l] ὅρα C. [m] φησὶν om. K.L.M. [n] τὸ om. L.M. [o] τὸ om. D. [p] εἰ—ἐπηγγείλατο om. C. [q] εἰ ἀψ. οὐ] ὁ ἀψ. καὶ οὐ Veron. Vet. [r] κἂν—ᾖ.] καὶ μετὰ θάνατον. ἢ C. ᾖ om. Veron. [s] τοῦ] + εἰπεῖν K.L.M. Sav. cet. πρὸ om. Veron. καὶ ἀπὸ—αἰωνίων om. C. [t] τὸ ἀ. δείκνυσιν] δείκνυσιν ἀ. C. [v] νῦν—φησὶ] φησὶν, οὐ πρ. νῦν K.L.M. [w] τετύπωτο C.D. [x] γοῦν] γὰρ C.D. ἄκουε γ. τί φ.] ὃ καὶ δηλῶν ἐπάγει K.L.M. [y] τί K.L. [z] φησὶν] γὰρ, φησὶν C. [a] τοῦτό ἐστι K.L.

τοῖς ὀφειλομένοις, τοῖς ἁρμόζουσιν. "Ἐφανέρωσε, [b]φησὶ,
καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγώ·"
732 τουτέστι, τὸ κήρυγμα. Τοῦτο γὰρ [c]τὰ πάντα εἶχε, τὸ εὐαγ-
γέλιον, καὶ τὰ ἐνταῦθα καὶ τὰ μέλλοντα, τὴν ζωὴν, τὴν εὐσέ-
βειαν, τὴν πίστιν, πάντα ὁμοῦ. "Ἐν κηρύγματι·" τουτέστι,
φανερῶς, μετὰ παρρησίας· τοῦτο γάρ ἐστι τὸ, "ἐν κηρύγματι."
Ὥσπερ γὰρ ὁ κῆρυξ πάντων παρόντων ἐν τῷ θεάτρῳ κηρύττει,
οὕτω καὶ ἡμεῖς κηρύττομεν, ὥστε μηδὲν προσθεῖναι, ἀλλ' αὐτὰ
ἃ ἠκούσαμεν εἰπεῖν. Ἡ γὰρ τοῦ κήρυκος ἀρετὴ ἐν τῷ πᾶσιν εἰ-
B πεῖν ἐστι [d]καὶ γεγωνὸς, οὐκ ἐν τῷ προσθεῖναί τινα καὶ ἀφελεῖν.
[e]Εἰ τοίνυν κηρύττειν δεῖ, μετὰ παρρησίας [f]κηρύττειν δεῖ· ἐπεὶ
οὐδὲ κηρύττειν ἐστί. Διὰ τοῦτο, [g]φησὶν, οὐκ εἶπεν ὁ Χριστὸς,
εἴπατε ἐπὶ τῶν δωμάτων, ἀλλὰ, [11]"Κηρύξατε ἐπὶ τῶν δωμά-
των," καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ τρόπου τὸ [h]γεγωνὸς πα-
ριστῶν. "Ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν
θεοῦ." Καὶ τὸ, "ἐπιστεύθην," καὶ τὸ, "κατ' ἐπιταγὴν," τὸ
ἀξιόπιστον δείκνυσιν· ὥστε μηδένα ἀναξιοπαθεῖν, μηδὲ ἀκκίζε-
σθαι, μηδὲ δυσχεραίνειν. Εἰ τοίνυν [i]ἐπιταγή ἐστι, οὐκ εἰμὶ
C κύριος· ἐπίταγμα γὰρ πληρῶ. Τῶν [k]γὰρ πρακτέων τὰ μὲν ἐφ'
ἡμῖν κεῖται, τὰ δὲ οὐκ ἐφ' ἡμῖν· ἃ [l]μὲν ἐπιτάττων λέγει, ταῦτα
οὐκ ἐφ' ἡμῖν· ἅπερ δὲ [m]ἐπιτρέπων, ταῦτα ἐφ' ἡμῖν τυγχάνει.
Οἷον [n]τὸ, [12]"Ἐάν τις εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος
ἔσται εἰς τὴν γέενναν τοῦ πυρὸς," τοῦτο ἐπίταγμα· [o]πάλιν,
"Ὅταν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ
[p]γνῷς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν
σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν διαλλάγηθι τῷ
ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου·" καὶ
τοῦτο ἐπίταγμα, καὶ τὸν μὴ ποιήσαντα ἀνάγκη ὑπεύθυνον εἶναι
D κολάσει. Ὅταν δὲ λέγῃ, [13]"[q]Ἐὰν θέλῃς, πώλησόν σου τὰ
ὑπάρχοντα·" [r]καὶ πάλιν, "Ὁ δυνάμενος χωρεῖν, χωρείτω·" οὐκ-
έτι ἐπίταγμά ἐστι· τὸν γὰρ ἀκροατὴν ποιεῖ κύριον τῶν λε-
χθέντων, καὶ τὴν αἵρεσιν αὐτῷ δίδωσι τῶν πρακτέων. Ταῦτα μὲν
[s]γὰρ καὶ ποιῆσαι, καὶ μὴ ποιῆσαι ἐφ' ἡμῖν· τὰ δὲ ἐπιτάγματα

[11] Matth. x. 27. [12] Ibid. v. 22—24. [13] Ibid. xix. 21, 12.

[b] φησὶ] δὲ, φησὶ C.D. [c] τὰ om. C.D. [d] καὶ γεγωνὸς] Sic Cat. καὶ τὸ γεγονὸς C. Veron. τὸ γεγονὸς D.K.L.M. Sav. cet. [e] εἰ τοίνυν—παριστῶν om. Veron. invitis libris et Vet. [f] κηρ. δεῖ] δεῖ κηρ. D. Statim ἐπεὶ—ἐστὶ om. C. [g] φησὶν, οὐκ] οὐδὲ K.L.M. Sav. cet. [h] Vid. Annot. [i] ἐπιταγῆς Cat. [k] γὰρ om. C. Mox κεῖται om. Cat. [l] μὲν]+γὰρ K.L.M. Sav. cet. Lacuna est in Veron. [m] προτρέπων D. [n] τὸ om. C. [o] πάλιν] καὶ πάλιν D. καὶ τὸ K.L.M. Sav. cet. [p] γνῷς] ἐκεῖ μνησθῇς C. Mox ἐκεῖ om. idem. [q] ἐὰν θέλῃς] εἰ θέλεις D. Statim add. τέλειος εἶναι D. Vet. Sav. cet. [r] καὶ πάλιν om. C. [s] γὰρ] οὖν C.D.

οὐκ ἐφ' ἡμῖν, [t]ἀλλ' ἀνάγκη ἢ ποιῆσαι, ἢ μὴ ποιήσαντα κολασθῆ-
ναι. Τοῦτο οὖν [v]λέγει καὶ ὅταν λέγῃ, [14]"Ἀνάγκη γάρ μοι
ἐπίκειται· οὐαὶ [w]δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι." Σαφέ-
στερον δὲ [x]ἐρῶ αὐτὸ, ἵνα πᾶσι κατάδηλον γένηται. Οἷον, ὁ τὴν E
ἀρχὴν τῆς ἐκκλησίας ἐμπεπιστευμένος, καὶ τῇ τῆς ἐπισκοπῆς
ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ
ἀνεύθυνος [y]ἔσται· ὁ μέντοι λαϊκὸς οὐδεμίαν ἀνάγκην ἔχει τούτου.
[z]Τί οὖν φησιν ὁ Παῦλος; ὅτι "κατ' ἐπιταγὴν τοῦ σωτῆρος
ἡμῶν" τοῦτο ποιῶ. Καὶ ὅρα τὰ ἐπίθετα πῶς πρὸς ὃ εἶπον
ἁρμόζει. Ἀνωτέρω γὰρ εἰπὼν, "ὁ ἀψευδὴς θεὸς," ἐνταῦθά
φησι, "κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ." Εἰ τοίνυν
σωτήρ ἐστι, καὶ αὐτὸς ταῦτα ἐπέταξεν ἀπὸ τοῦ βούλεσθαι [a]σώ-
ζεσθαι. Οὐ τοίνυν φιλαρχίας τὸ πρᾶγμά ἐστι· πίστις γάρ F
ἐστι, καὶ ἐπιταγή ἐστι, [b]καὶ θεοῦ σωτῆρος. "Τίτῳ γνησίῳ
τέκνῳ." Ἔστι [c]γὰρ καὶ μὴ γνήσια εἶναι τέκνα, ὡς ἐκεῖνος περὶ
οὗ φησιν· [15]"Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ 733
πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, τῷ τοιούτῳ
μηδὲ συνεσθίειν." Ἰδοὺ [d]καὶ τέκνον, καὶ οὐκ ἔστι γνήσιον τέκνον·
τέκνον μὲν [e]ἔστιν, ἐπειδὴ ἅπαξ ἐδέξατο τὴν χάριν, καὶ ἀνεγεν-
νήθη· οὐ γνήσιον δὲ, ἐπειδὴ ἀνάξιον τοῦ πατρός ἐστιν, ἐπειδὴ
πρὸς ἕτερον αὐτομολεῖ τύραννον. Ἐπὶ μὲν γὰρ τῶν φυσικῶν
παίδων τὸ γνήσιον καὶ [f]τὸ μὴ γνήσιον ἀπὸ τῆς ὠδινούσης [g]ἢ
τοῦ σπείροντος ὁρίζεται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς
(384) προαιρέσεως. Ἔστι γὰρ γνήσιον γενόμενον μὴ [h]μεῖναι γνήσιον· B
[i]ἔστιν οὐκ ὄντα γνήσιον γενέσθαι γνήσιον· οὐ γὰρ ἀνάγκῃ φύ-
σεως ταῦτα κατακέκλεισται, ἀλλ' ἐξουσίᾳ προαιρέσεως· ὅθεν
καὶ συνεχεῖς ἔχει τὰς [k]μεταβάσεις. Ἦν Ὀνήσιμος τέκνον γνή-
σιον, [l]ἀλλ' οὐκέτι γνήσιον ἦν· [m]καὶ γὰρ ἄχρηστος ἐγένετο·
ἀλλὰ πάλιν ἐγένετο [n]γνήσιον τέκνον, ὡς καὶ αὐτὸν [16]σπλάγχνα
καλεῖσθαι ἀποστολικά. "Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πί-
στιν." [o]Τί ἐστι, "κατὰ κοινὴν πίστιν;" Ἐπειδὴ εἶπε, τέκνον,
[p]καὶ τὴν τοῦ πατρὸς ἔλαβε τάξιν, πῶς καὶ ταύτην τὴν τιμὴν C

[14] 1 Cor. ix. 16. [15] Ibid. v. 11. [16] Philem. 12.

[t] ἀλλ' ἀν.] ἀν. γὰρ C. Statim ἢ om. D. [v] λέγει] φησι D.K.L.M. invita Cat. [w] δὲ] Sic D. Cat. γὰρ Edd. οὐαὶ—ἐστιν om. C. Post μοι add. φησὶν L. Mox εὐαγγελίζωμαι C.K.L.M. Cat. -ίσωμαι Edd. [x] αὐτὸ ἐρῶ hoc ord. C.D. [y] ἔσται pro ἐστιν C.D.K.L. [z] τί οὖν φ.] διὰ τοῦτό φ. καὶ K.L.M. Sav. cet. [a] σώζειν D. [b] καὶ assumtum ex K.L.M. Cat. Vet. καὶ σωτῆρος θεοῦ K.L.M. [c] γὰρ om. C. [d] καὶ τέκνον] κατ' ἐκεῖνον C. [e] ἔστιν] γὰρ K.L.M. [f] τὸ assumtum ex D.K.L. Cat. [g] ἢ] Sic C.D. Cat. καὶ Edd. [h] μεῖναι] εἶναι K.L.M. [i] καὶ ἔστιν D.K.L. Statim ὄντα pro ὂν omnes. [k] μεταβολὰς K.L.M. [l] ἀλλ' οὐκέτι] ἀλλὰ καὶ οὐ K.L.M. Sav. cet. [m] καὶ γὰρ] ἀλλὰ καὶ C. [n] γνήσιος K. Statim οὕτως pro τέκνον K.L.M. Sav. cet. [o] τί—πίστιν om. C.K.L.M. [p] καὶ]+εἰς D. Mox τοῦ πατρὸς αὐτοῦ Edd. αὐτοῦ om. C. Cat. Vet. αὐτὸν pro αὐτοῦ D.

ἐλαττοῖ καὶ καταστέλλει, ἄκουσον. “ Κατὰ [q]κοινὴν πίστιν,” ἐπήγαγε· τουτέστι, [r]κατὰ πίστιν οὐδὲν ἔχω σου πλέον· κοινὴ γάρ ἐστι, καὶ διὰ τῆς αὐτῆς ἐγώ [s]τε ἐτέχθην καὶ σύ. [t]Τέκνον οὖν πόθεν αὐτὸν καλεῖ; Ἤτοι τὴν φιλοστοργίαν [v]μόνον δηλῶσαι θέλων, ἢ τὸ πρότερον εἶναι ἐν τῷ κηρύγματι, ἢ τὸ δι' αὐτοῦ πεφωτίσθαι. Διὰ τοῦτο καὶ τέκνα καὶ [w]ἀδελφοὺς καλεῖ· ἐπειδὴ ἀπὸ τῆς αὐτῆς πίστεως ἐτέχθησαν, ἀδελφοί· ἐπειδὴ διὰ τῶν
D *ἐκείνου χειρῶν, τέκνα. Τῷ οὖν, “κατὰ [x]κοινὴν πίστιν,” τὴν ἀδελφότητα ᾐνίξατο. “ [y]Χάρις καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.” Ἐπειδὴ εἶπε, τέκνον, ἐπήγαγεν, “ ἀπὸ θεοῦ πατρὸς,” ὥστε ἀναστῆσαι αὐτοῦ τὴν διάνοιαν, καὶ μαθεῖν τίνος ἐστὶ τέκνον, καὶ ὅτι οὐ τῷ, “κοινὴν πίστιν,” εἰπεῖν μόνον, [z]ἀλλὰ τῷ ἐπαγαγεῖν, “πατρὸς ἡμῶν,” τὸ ὁμότιμον αὐτοῦ δείκνυσιν.*

E [a]*Ὅρα δὲ πῶς ἃ τοῖς μαθηταῖς καὶ τοῖς πολλοῖς ἐπεύχεται, ταῦτα καὶ τῷ διδασκάλῳ· ὁμοίως γὰρ καὶ αὐτὸς δεῖται τῶν τοιούτων εὐχῶν, καὶ πολλῷ μᾶλλον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πλείονας ἔχθρας ἔχει, [b]ὅσῳ πλείονας ἀνάγκας τοῦ προσκρούειν τῷ θεῷ. Ὅσῳ γὰρ μέγα τὸ ἀξίωμα, τοσούτῳ μείζους καὶ οἱ κίνδυνοι τῷ τὴν ἱερωσύνην ἔχοντι· ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκοπῆς ἀνενεγκεῖν εἰς τὸν οὐρανὸν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν*
F *τὴν γέενναν. Ἵνα γὰρ τὰ ἄλλα πάντα παρῶ τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν, ἢ δι' ἄλλην [c]τινὰ αἰτίαν ἀνάξιον εἰς ἐπισκοπὴν [d]παραγαγὼν, καὶ πόλεως ἐπιτρέψας μεγάλης ἀρχὴν, ὅρα πόσου πυρὸς ἑαυτὸν καθίστησιν ἔνοχον. Οὐ γὰρ τῶν ψυχῶν [e]τῶν ἀπολλυμένων μόνον· ἀπόλλυσι γὰρ αὐτὰς, ἀνευλαβὴς ὤν· ἀλλὰ καὶ πάντων τῶν ὑπ' ἐκεί-*
734 *νου πραττομένων αὐτὸς δώσει τὰς εὐθύνας. Ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν ἀνευλαβὴς, πολλῷ μᾶλλον, ὅταν ἐπιλάβηται τῆς ἀρχῆς· ἀγαπητὸν γὰρ τὸν εὐλαβῆ μεῖναι τοιοῦτον [f]ἐπιλαβόμενον τῆς ἀρχῆς. Καὶ γὰρ κενοδοξία τότε σφοδρότερον ἐπιτίθεται, καὶ χρημάτων ἔρως, καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ [g]προσκρούσματα, καὶ ὕβρεις, καὶ λοιδορίαι, καὶ*

[q] *κοινὴν*]+*γὰρ* K.L.M. Sav. cet. [r] *κατὰ τὴν π.* D. Cat. [s] *τε* om. C. [t] *πόθεν οὖν αὐτὸν τ. καλεῖ* alio ord. C. *πόθεν οὖν τ. αὐτὸν κ.* D. [v] *μόνον* om. D.K. [w] *ἀδελφοὺς*]+*αὐτοὺς* D. [x] *κοινὴν*]+*εἰπεῖν* Sav. cet. *εἰπεῖν* om. C.D. Cat. *τῷ οὖν—ᾐνίξατο* om. Veron. [y] *χάρις*]+*ἡμῖν* Veron.+*ὑμῖν* K.M. [z] *ἀλλὰ*]+*καὶ* Edd. *καὶ* om. C.D.L.M. Statim *ἐπάγειν* C. [a] ΗΘΙΚΟΝ. *Περὶ διδασκάλων, ὁποίους χρὴ εἶναι, καὶ ὅπως δεῖ τούτοις τοὺς ἀρχομένους ὑποτάσσεσθαι, καὶ μὴ κατακρίνειν, εἰ σωματικὴν ἴδοιεν ἄνεσιν ἐπ' αὐτοῦ.* Veron. [b] *ὅσῳ*]+*καὶ* Sav. cet. *καὶ* om. D. Veron. [c] *τινὰ*] *τυχὸν* K.L.M. [d] *παραγαγεῖν* D.K.L.M. Mox *ἐπιτρέψαι* D.K.L. [e] *τῶν* om. C. [f] *ἐπιλαμβανόμενον* D. [g] *προσκρούματα* L.

μυρία ἕτερα. Ἂν οὖν τις ἀνευλαβὴς ᾖ, μᾶλλον ἔσται ἀνευλαβέ-
στερος [h]τοιοῦτος γενόμενος. Ὅταν οὖν τοιοῦτον ἐπιστήσῃ
ἄρχοντα, πάντων τῶν ἁμαρτανομένων ὑπ' ἐκείνου, καὶ δήμων
ὁλοκλήρων ὑπεύθυνος ἔσται. Εἰ δὲ ὁ μίαν ψυχὴν σκανδαλίζων,
[17] "συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον B
αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης," [i]ὁ τοσαύ-
τας ψυχὰς σκανδαλίζων, πόλεις ὁλοκλήρους καὶ δήμους καὶ μυ-
ρίας [k]ψυχὰς, ἄνδρας, γυναῖκας, παῖδας, πολίτας, γεωργοὺς, τοὺς
ἐν αὐτῇ τῇ πόλει, τοὺς ἐν ἑτέραις ταῖς ὑπ' ἐκείνην τὴν πόλιν, τί
ὑποστήσεται; Κἂν γὰρ τριπλασίονα [l]ἕτερα εἴπῃς, οὐδὲν ἐρεῖς·
τοσαύτης ἔσται ὑπεύθυνος κολάσεως καὶ τιμωρίας. Ὥστε μά-
λιστα οὗτος δεῖται τῆς χάριτος τοῦ [m]θεοῦ καὶ τῆς εἰρήνης· ἂν
γὰρ μὴ μετὰ ταύτης [n]κυβερνᾷ τὸν λαὸν, πάντα οἴχεται καὶ C
ἀπόλωλε, τῶν [o]αὐχένων αὐτῷ οὐκ ὄντων. Κἂν γὰρ ἔμπειρος ᾖ
τῆς κυβερνητικῆς, ἂν μὴ τοὺς οἴακας τούτους ἔχῃ, τὴν χάριν καὶ
τὴν εἰρήνην τὴν παρὰ τοῦ θεοῦ, [p]καταδύσει τὸ σκάφος καὶ τοὺς
ἐμπλέοντας. Ὅθεν [q]ἐμοὶ θαυμάζειν ἔπεισι τοὺς ἐφιεμένους
ὄγκου τοσούτου. Ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐχ ὁρᾷς
τίνος ἐφίεσαι; Κατὰ σαυτὸν ἂν ᾖς καὶ [r]ἀγνὼς καὶ ἄσημος,
κἂν μυρία ἁμάρτῃς, ἀλλὰ μιᾶς ψυχῆς δώσεις λόγον, καὶ ταύτης
εὐθύνας ὑφέξεις μόνον· ὅταν δὲ εἰς τὴν ἀρχὴν ταύτην ἀχθῇς, ἐν- D
νόησον [s]ὅσων [t]κεφαλῶν ὑπεύθυνος εἶ τιμωρίας. Ἄκουε γὰρ
Παύλου λέγοντος· [18] "Πείθεσθε τοῖς ἡγουμένοις [v]ὑμῶν καὶ ὑπεί-
κετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον
(385) [w]ἀποδώσοντες." Ἀλλὰ τιμῆς ἐφίεσαι καὶ ἀρχῆς; Καὶ τίς ἡ
ἡδονὴ ταύτης τῆς τιμῆς; οὐ γὰρ δὴ οὐδὲ τοῦτο ὁρῶ· οὐ γάρ ἐστι
δυνατὸν ἄρχοντα εἶναι ἀληθῶς. Πῶς; Ὅτι ἐν τῇ ἐξουσίᾳ κεῖται
τῶν ἀρχομένων [x]τὸ ὑπακούειν. Καὶ εἴ τις ἀκριβῶς ἐξετάσειε
τὸ πρᾶγμα, οὐκ ἐπὶ ἀρχὴν ἔρχεται ὁ τοιοῦτος, ἀλλὰ [y]δουλεύει E
μυρίοις δεσπόταις, ἐναντία καὶ ἐπιθυμοῦσι καὶ λέγουσιν. Ὅπερ
[z]γὰρ ἐγκωμιάζει ἐκεῖνος, μέμφεται ἕτερος· ὅπερ ψέγει οὗτος,
θαυμάζει ἄλλος. Τίνος οὖν ἀκοῦσαι χρὴ, τίνι πεισθῆναι; Οὐκ
[a]ἔστι. Καὶ ὁ μὲν ἀργυρώνητος, κἂν ἐναντία ὁ δεσπότης [b]τῷ

17 Matth. xviii. 6. 18 Hebr. xiii. 17.

[h] τοιοῦτος γ. om. C. [i] ὁ]+τὰς Edd. τὰς om. C.D.K.L. inclusum a Sav. [k] ψυχὰς] οἰκίας K.L.M. [l] ἕτερα] Sic D. ἕτερα ἂν C. Edebatur ἑτέραν. [m] θεοῦ] Χριστοῦ D. [n] κυβερνᾷ pro κυβερνῇ K.L.M. [o] αὐχένων] οἰάκων C.K.L.M. Sav. cet. Statim αὐτῶν C.D. [p] καταδύσεται τὸ σ. καὶ οἱ ἐμπλέοντες C. [q] ἐμοὶ omnes. ἔμοιγε Edd. Mox ἔπεστι D. [r] ἄγνωστος C.D. [s] πόσων D. [t] κεφαλῶν] καὶ ἄλλων D.K.L.M. *capitum* Vet. Mox τιμωρίᾳ Veron. [v] ὑμῶν om. L. [w] ἀποδώσοντες omnes. δώσοντες Edd. [x] τὸ ὑπ.] τοῦ ἀκούειν C. [y] δουλεύει μ.] μ. δουλεύει K.L.M. [z] γὰρ om. C. Mox ἐκεῖνος omnes. Edebatur εἷς. [a] ἔστι] ἔνι K.L.M. [b] τῷ δούλῳ] αὐτῷ K.L.M. Sav. cet.

δούλῳ προστάξῃ, [c] κἂν δυσχεραίνει· σὺ δὲ, ἂν τοσούτων δεσπο-
τῶν ἐναντία ἐπιταττόντων ἀλγήσῃς, καὶ τούτου δίδως δίκην, τὰ
F πάντων ἐπὶ σὲ στόματα ἀνοίγων. Τοῦτο οὖν, εἰπέ μοι, τιμή;
τοῦτο ἀρχή; τοῦτο ἐξουσία; Εἶπεν ὁ τὴν ἐπισκοπὴν ἔχων εἰσ-
ενεγκεῖν χρήματα· ἂν μὴ θέλῃ, οὐ μόνον οὐκ εἰσήνεγκεν, ἀλλὰ
καὶ ὑπὲρ τοῦ μὴ δόξαι [d] ῥᾳθυμίας ἕνεκεν τοῦτο ποιεῖν, κατηγορεῖ
735 τοῦ κελεύσαντος· κλέπτει, φησὶν, ἁρπάζει, καταπίνει τὰ τῶν
πενήτων, κατεσθίει τὰ τῶν πτωχῶν. Παῦσαι λοιδορῶν· μέχρι
τίνος ταῦτα φῄς; Οὐ βούλει εἰσενεγκεῖν; οὐδεὶς ὁ [e] καταναγκά-
ζων, οὐδεὶς ὁ βιαζόμενος· τί καὶ λοιδορῇ τῷ παραινοῦντι καὶ
συμβουλεύοντι; Ἀλλ' εἰς χρείαν τις κατέστη, καὶ οὐκ ὤρεξε
χεῖρα [f] μὴ δυνηθεὶς, ἢ καὶ ἑτέρωθι ἀσχοληθείς. Οὐδεμία συγ-
γνώμη, ἀλλὰ πάλιν κατηγορίαι χείρους τῶν προτέρων. Τοῦτο
B [g] οὖν ἀρχή; καὶ ἀμύνεσθαι οὐκ ἔχει· σπλάγχνα [h] γάρ ἐστιν ἴδια.
Καὶ ὥσπερ τὸ σπλάγχνον, κἂν οἰδαίνῃ, [i] κἂν πόνον παρέχῃ καὶ
τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολμῶμεν ἀμύνεσθαι, [k] οὐδὲ
λαβόντες ξίφος διαρρηγνύομεν· οὕτω κἂν τῶν ἀρχομένων τις
τοιοῦτος ᾖ, πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν
τούτων, οὐ τολμῶμεν [l] ἀμύνεσθαι· πόρρω γὰρ ταῦτα πατρικῆς
διανοίας· ἀλλ' ἀνάγκη φέρειν τὸν πόνον, ἕως ἂν ἐκεῖνος ὑγιάνῃ
καλῶς. Ὁ ἀργυρώνητος οἰκέτης ἔχει τι ἔργον [m] ἐπιτεταγμένον,
C κἂν τοῦτο ἀνύσῃ, λοιπὸν ἑαυτοῦ κύριος γίνεται· οὗτος δὲ παν-
ταχοῦ περιέλκεται, πολλὰ καὶ τῶν ὑπὲρ δύναμιν ἀπαιτεῖται· ἂν
μὴ [n] εἰδῇ λέγειν, πολὺς ὁ γογγυσμός· [o] ἂν εἰδῇ λέγειν, πάλιν
κατηγορίαι, κενόδοξός ἐστιν· ἂν μὴ νεκροὺς [p] ἀνιστᾷ, οὐδενὸς
λόγου ἄξιος, φησίν· ὁ δεῖνα εὐλαβής ἐστιν, οὗτος [q] δὲ οὔ. Ἂν
ἀπολαύῃ συμμέτρου τροφῆς, πάλιν κατηγορίαι· ἔδει αὐτὸν ἀπηγ-
χονίσθαι, φησίν· ἂν [r] λουόμενον ἴδῃ τις, πολλαὶ κατηγορίαι·
ὅλως [s] οὐδὲ τὸν ἥλιον ὁρᾶν ὀφείλει, φησίν. Εἰ δὲ τὰ αὐτὰ
D πράττει, ἅπερ [t] ἐγὼ, καὶ λούεται, καὶ ἐσθίει, καὶ πίνει, καὶ ἱμά-
τια περιβέβληται, καὶ οἰκίας φροντίζει καὶ οἰκετῶν, τίνος ἕνεκεν
ἐμοῦ [v] προέστηκεν; Ἀλλὰ καὶ οἰκέτας ἔχει, φησὶ, τοὺς διακο-
νουμένους αὐτῷ, καὶ ἐπὶ ὄνου ὀχεῖται· [w] τίνος ἕνεκεν ἐμοῦ προέ-
στηκεν; Ἀλλὰ τί, εἰπέ μοι; οὐκ ὀφείλει τὸν διακονούμενον,

[c] κἂν] Sic C. οὐ D. καὶ Edd. [d] ῥᾳθυμίας] ῥᾳθυμεῖν K. [e] ἀναγκάζων C. [f] μὴ om. C. [g] οὖν] Sic D. γοῦν Edd. τοῦτο οὖν ἀρχὴ] καὶ ταῦτα ὑπομένει K.L.M. Statim ἀμύνασθαι C.K.L.M. Sav. cet. [h] γὰρ] + αὐτοῦ C.D. [i] κἂν πόνον] καὶ πόνους D. Mox ἀμύνασθαι K.L.M. [k] οὐδὲ] Sic omnes. οὐ γὰρ Edd. Mox οὕτως ἂν τις καὶ τῶν ἀ. τοιοῦτος ᾖ C. [l] ἀμύνεσθαι pro ἀμύνασθαι C.D. Mox πνευματικῆς pro πατρικῆς D.K.L.M. [m] ἐπιταττόμενον D. [n] ἴδῃ bis D. [o] ἂν] + δὲ Sav. cet. invitis libris. Lacuna est in Veron. [p] ἀνασταίη C. [q] δὲ om. C. [r] λελουμένον C. [s] οὐδὲ om. K.L.M. [t] ἐγὼ] κἀγὼ D. [v] προΐσταται C. [w] τίνος] + οὖν K.L.M. Sav. cet.

ἔχειν, ἀλλ' αὐτὸς τὸ πῦρ ἀνακαίειν, καὶ ὑδροφορεῖν, καὶ ξύλα
διακλᾶν, καὶ εἰς ἀγορὰν ἐμβάλλειν; καὶ [x]οὐ σὴ τοῦτο αἰσχύνη
γίνεται; Καὶ [y]οἱ μὲν ἅγιοι ἐκεῖνοι ἄνδρες, οἱ ἀπόστολοι, τὸν
τῷ λόγῳ προσκαρτεροῦντα οὐδὲ [z]διακονίᾳ χηρῶν βούλονται
προσανέχειν, ἀλλ' ἀνάξιον αὐτοῦ [a]τὸ πρᾶγμα εἶναι νομίζουσι· E
σὺ δὲ αὐτὸν καὶ εἰς τὴν τῶν [b]οἰκετῶν ὑπηρεσίαν καθέλκεις τῶν
σῶν; Διὰ τί [c]ταῦτα ἐπιτάττων οὐ παρέρχῃ σὺ, καὶ ταῦτα πλη-
ροῖς, εἰπέ μοι; οὐχὶ μείζονά [d]σοι διακονεῖται ὑπηρεσίαν, ἢ σὺ
τὰ σωματικά; διὰ τί [e]μὴ τὸν παῖδα πέμπεις τὸν σὸν πρὸς τὴν
τούτου ὑπηρεσίαν; Ὁ Χριστὸς ἔνιψε τοὺς πόδας τῶν μαθητῶν·
[f]σὺ θεραπείαν ἂν παρασχῇς τῷ διδασκάλῳ, μέγα τι ποιεῖς; Ἀλλ'
οὔτε σὺ βούλει παρασχεῖν, καὶ αὐτὸν κωλύεις. [g]Τί οὖν; ἀπὸ τοῦ
οὐρανοῦ ζῆν ὀφείλει; Ἀλλ' οὐ βούλεται οὕτως ὁ θεός. [h]Τί οὖν; F
οἱ ἀπόστολοι, φησὶν, ἐλευθέρους εἶχον δουλεύοντας; Βούλει καὶ
τοῦτο ἀκοῦσαι, πῶς οἱ ἀπόστολοι διῆγον; Ἀποδημίας ἐποι-
οῦντο, καὶ ἄνδρες ἐλεύθεροι καὶ [i]γυναῖκες εὐγενίδες ὑπὲρ τῆς ἐκεί- 736
νων ἀναπαύσεως καὶ τὰς ψυχὰς καὶ τὰς κεφαλὰς ὑπετίθεσαν τὰς
ἑαυτῶν. Ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου παραινοῦντος καὶ
λέγοντος· [19] "Τοὺς [k]οὖν τοιούτους ἐντίμους ἔχετε· [l]ὅτι διὰ τὸ
ἔργον τοῦ θεοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ
(386) ψυχῇ, ἵνα [m]ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λει-
τουργίας." Ὁρᾷς τί φησι; σὺ δὲ οὐδὲ λόγον προΐεσαι ὑπὲρ τοῦ
πατρὸς τοῦ σοῦ, μήτι γε κίνδυνον τοσοῦτον ἀναδέχῃ. Ἀλλὰ
λούεσθαι, φησὶν, οὐ χρή. Διὰ τί, εἰπέ μοι; [n]ποῦ τοῦτο κεκώ- B
λυται; οὐδὲ γὰρ ὁ ῥύπος καλόν. Οὐδαμοῦ ταῦτα ὁρῶμεν, [o]οὔτε
ἐγκαλούμενα, οὔτε θαυμαζόμενα. Ἄλλα [p]γάρ ἐστιν ἅπερ ἐπέ-
ταξε τὸν ἐπίσκοπον ἔχειν, ἀνέγκλητον εἶναι, σώφρονα, κόσμιον,
φιλόξενον, διδακτικόν· ταῦτα ἀπαιτεῖ ὁ ἀπόστολος, ταῦτα [q]καὶ
σὺ ἐπιζήτει παρὰ τοῦ ἄρχοντος, περαιτέρω δὲ μηδέν. Οὐκ εἶ
τοῦ Παύλου ἀκριβέστερος, μᾶλλον δὲ οὐκ εἶ τοῦ πνεύματος
ἀκριβέστερος. Ἂν ᾖ πλήκτης, ἢ [r]καὶ πάροινος, ἂν ὠμὸς καὶ

19 Philipp. ii. 29, 30.

[x] οὐ σὴ] Sic C. ὅση D. πόση K.L.M. Sav. cet. πόσης (et mox αἰσχύνης) Veron. [y] οἱ—ἄνδρες] ἐκεῖνοι μὲν οἱ ἄνδρες C. [z] διακονίαν D. Statim χειρῶν C. Veron. [a] εἶναι τὸ πρ. hoc ord. K.L.M. Statim ἐνόμισαν D. ἀλλ' ἀνάξιον—νομίζουσι om. C. [b] οἰκετῶν] ὑπηρετῶν C. [c] ταῦτα] ὁ ταῦτα K.L.M. Sav. cet. Mox παρέχεις pro παρέρχῃ C. [d] σου C. [e] μὴ] + σὺ D. [f] σὺ] + δὲ C. [g] τί οὖν om. C. [h] τί οὖν] ἀλλ' K.L.M. [i] γ. εὐγενίδες] Sic D. γ. εὐπενίδες C. γ. εὐγενεῖς K.L.M. εὐγενεῖς γ. Edd. [k] οὖν om. C. Mox ἔχε K.L.M. [l] ὅτι] καὶ πάλιν K.L.M. Sav. cet. Mox Χριστοῦ pro θεοῦ C. [m] ἀναπληρωθῇ D. πληρώσῃ K. Mox πρὸς ἐμὲ D. [n] ποῦ] τί C. [o] οὔτε ἐγκ. οὔτε] ἐγκ. οὐδὲ C.D. [p] γὰρ om. K.L.M. [q] καὶ σὺ ἐπιζήτει] Sic C.D. Vet. χρὴ ἐπιζητεῖν Edd. [r] καὶ om. C.D. Mox ἀνελεὴς M.

ἀνηλεής, [s]κατηγόρει· ἀνάξια ταῦτα τοῦ ἐπισκόπου· ἂν τρυφᾷ,
C καὶ τοῦτο [t]κατηγορία· ἂν δὲ θεραπεύῃ τὸ σῶμα ἵνα σοι διακονῇ, ἂν ἐπιμελῆται ἵνα σοι χρήσιμος ᾖ, ὑπὲρ τούτων [v]αὐτὸν ἐγκαλεῖσθαι δεῖ; Οὐκ οἶδας ὅτι ἀσθένεια σωματικὴ τῆς κατὰ ψυχὴν ἀσθενείας οὐχ ἧττον καὶ ἡμᾶς βλάπτει, καὶ τὴν ἐκκλησίαν; Διὰ τί διορθοῦται αὐτὴν ὁ Παῦλος γράφων [w]τῷ Τιμοθέῳ, [20]"Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας;" Εἰ μὲν γὰρ ψυχῇ μόνῃ τὴν ἀρετὴν [x]κατορθοῦμεν,
D οὐκ ἔδει φροντίζειν τοῦ σώματος; τί [y]δὲ ὅλως καὶ γεγόναμεν; εἰ δὲ πολλὴ τούτου ἡ συντέλεια, πῶς οὐκ ἐσχάτης ἐστὶν [z]ἀνοίας ἀμελεῖν τούτου; Ἔστω γάρ τις ἀνὴρ ἐπισκοπῇ τετιμημένος, καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας τὴν προστασίαν ἐγκεχειρισμένος, καὶ τὰ μὲν ἄλλα ἔστω ἐνάρετος, καὶ πάντα ἔχων ἅπερ ἔχειν [a]ἁρμόττει τὸν ἱερώμενον, διαπαντὸς δὲ τῇ κλίνῃ προσδεδέσθω ὑπὸ πολλῆς ἀρρωστίας· τί οὗτος ὀνῆσαι δυνήσεται; ποίαν ἀποδημίαν στείλασθαι; ποίας ἐπισκέψεις ποιήσασθαι; τίνι ἐπιπλῆ-
E ξαι; τίνα νουθετῆσαι; Ταῦτα εἶπον, [b]ἵνα εἰδῆτε μὴ ἁπλῶς ἐγκαλεῖν, ἵνα εἰδῆτε μᾶλλον ἀποδέχεσθαι, ἵνα καὶ εἴ τις ἐφίεται τῆς ἀρχῆς, τὰς νιφάδας τῶν κατηγοριῶν ὁρῶν, τὴν τοιαύτην ἐπιθυμίαν [c]σβεννύῃ. Μέγας [d]γὰρ ὄντως κίνδυνος, καὶ τῆς τοῦ θεοῦ δεόμενος χάριτος, καὶ τῆς εἰρήνης, ἣν ἐπεύχεσθε ἡμῖν εἶναι πολλήν, καὶ ἡμεῖς ὑμῖν· ἵνα ἀμφότεροι κατορθώσαντες τὴν ἀρετήν, οὕτω τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ
F τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

737 ΛΟΓΟΣ Β.

[1]Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ [a]τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, [b]τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

B ΤΟΙΣ μὲν παλαιοῖς ἀνδράσιν ἅπας ὁ βίος ἦν ἐνεργὸς καὶ ἐναγώνιος· ἡμῖν δὲ οὐχ οὕτως, ἀλλὰ ῥᾳθυμίας μεστός. Ἐκεῖνοι μὲν γὰρ [c]ᾔδεσαν ὅτι διὰ τοῦτο εἰς τὸν κόσμον παρήχθησαν, ἵνα τῷ παραγαγόντι κατὰ γνώμην ἐργάζωνται· ἡμεῖς δὲ ὡς διὰ

[20] 1 Tim. v. 23. [1] Cap. I. v. 5, 6.

[s] κατηγόρει· ἀνάξια] κατηγορίας ἄξια C. [t] κατηγόρει D. [v] αὐτὸν Edd. αὐτῷ Codd. Statim ἐγκαλεῖν K.L.M. [w] τῷ om. C. [x] κατωρθοῦμεν M. [y] δὲ] δαὶ C. [z] ἀπονοίας C. τούτου ἀμ. pro ἀμ. τούτου C.D. [a] ἁρμόττει omnes. ἁρμόζει Edd. [b] ἵνα—ἐγκαλεῖν om. C.D. [c] σβεννύτω C.D. [d] γὰρ accessit ex omnibus. Hom. II. [a] τις] + ἐστὶν D.K.L.M. Sav. cet. invita Cat. [b] τέκνα—ἀνυπότακτα om. K. [c] ᾔδεισαν D.

τοῦτο παραχθέντες, ἵνα ἐσθίωμεν καὶ πίνωμεν καὶ τρυφῶμεν,
οὕτως οὐδενὸς τῶν πνευματικῶν λόγον ποιούμεθα. Οὐ περὶ τῶν
ἀποστόλων λέγω μόνον, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. Ὁρᾷς γοῦν
αὐτοὺς [d]πάντας διατρέχοντας, καὶ ὥσπερ τινὸς ἔργου τούτου C
ἐπειλημμένους, καὶ δι' ὅλου ἐν ξένῃ διατρίβοντας, [e]οὐκ ἔχοντας
πόλιν ἐπὶ τῆς γῆς. Ἄκουσον [f]γοῦν τοῦ μακαρίου τούτου τί
φησι· "Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ." [g]Καθάπερ
οἰκίαν μίαν τὴν οἰκουμένην διανειμάμενοι, οὕτως ἅπαντα διηκο-
νοῦντο, καὶ τῶν ἁπανταχοῦ [h]ἐπεμέλοντο, ὁ μὲν τοῦτο, ὁ δὲ
ἐκεῖνο λαβὼν τὸ μέρος. "Τούτου [i]γὰρ χάριν, φησὶ, κατέλιπόν
σε ἐν [k]τῇ Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ." Οὐκ ἐπιτα-
κτικῶς αὐτῷ παραινεῖ τέως. "Ἵνα ἐπιδιορθώσῃ," φησίν. Ὁρᾷς
ψυχὴν φθόνου παντὸς καθαρὰν, πανταχοῦ τὸ τῶν μαθητευομέ- D
νων χρήσιμον ζητοῦσαν, οὐκ [l]ἀκριβολογουμένην, εἴτε δι' αὐτοῦ,
(387) εἴτε δι' ἑτέρου γένοιτο; Ἔνθα μὲν γὰρ ἦν κίνδυνος καὶ πολλὴ
δυσκολία, αὐτὸς κατώρθου παρών· ἃ δὲ τιμὴν μᾶλλον ἔφερεν ἢ
[m]πόνον εἶχε, ταῦτα ἐπιτρέπει τῷ μαθητῇ, τῶν ἐπισκόπων λέγω
τὰς χειροτονίας, καὶ τὰ ἄλλα [n]πάντα, ὅσα ἐδεῖτό τινος ἐπιδι-
ορθώσεως, [o]ὡς ἂν εἴποι τις, πλείονος καταρτισμοῦ. Τί λέγεις,
εἰπέ μοι; τὰ σὰ [p]προσδιορθοῦται; καὶ οὐχ ἡγῇ τὸ πρᾶγμα
αἰσχρὸν, οὐδὲ αἰσχύνην σοι [q]φέρειν; Οὐδαμῶς· πρὸς γὰρ τὸ E
κοινὸν κέρδος ὁρῶ μόνον· [r]εἴτε δι' ἐμοῦ, εἴτε δι' ἑτέρου γένοιτο,
οὐδὲν ἐμοὶ διαφέρει. Οὕτω τὸν προεστῶτα χρὴ διακεῖσθαι, μὴ
τὴν ἰδίαν τιμὴν ζητεῖν, ἀλλὰ τὸ κοινῇ συμφέρον. "Καὶ [s]κατα-
στήσῃς, φησὶ, κατὰ πόλιν πρεσβυτέρους." Τοὺς ἐπισκόπους
ἐνταῦθά φησι, καθὼς [t]ἀλλαχοῦ ἡμῖν εἴρηται. "Ὡς ἐγώ σοι
διεταξάμην· εἴ τις ἀνέγκλητος." "Κατὰ πόλιν," φησίν· οὐ
γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον ἐπιτετράφθαι ἑνὶ, ἀλλ' ἕκαστον
ἰδίαν ἔχειν φροντίδα καὶ μέριμναν· οὕτω γὰρ αὐτῷ τε εἶναι τὸν F
πόνον κοῦφον, καὶ τοὺς ἀρχομένους πλείονος [v]ἀπολαύσεσθαι τῆς
ἐπιμελείας, εἴγε μὴ εἰς πολλῶν ἐκκλησιῶν προστασίαν ὁ διδά-
σκαλος [w]περιέλκοιτο, ἀλλὰ [x]σχολάζοι μιᾷ μόνῃ, καὶ ταύτην
κατακοσμοῖ. "Εἴ τις, φησὶν, ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, 738
τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα."

[d] πάντας] Sic C.D.K.L. Vet. πάντα Edd. [e] οὐκ] ἅτε οὐκ K.L.M. Sav. cet. [f] γοῦν] δὲ καὶ K.L.M. [g] καθάπερ] + γὰρ D. [h] ἐπεμελοῦντο D.K.L.M. [i] γὰρ om. K.L.M. [k] τῇ om. C.K.L. [l] ἀκριβολογούμενον D.K.L.M. [m] πόνον] Sic C.D. Vet. ἔπαινον Edd. [n] ἅπαντα D. [o] ὡς] ἢ ὡς K.L.M. Sav. cet. [p] ἐπιδιορθ. K.L.M. [q] φέρον C. [r] εἴτε] εἴτε δὲ C.M. Sav. cet. καὶ εἴτε Cat. [s] καταστήσεις L. φησὶ om. K.L.M. [t] ἀλλαχοῦ] πολλαχοῦ C. [v] ἀπολαύειν C. [w] περιέλκοιτο] Sic omnes. *distraheretur* Vet. περιέρχοιτο Edd. [x] σχολάζει C. Mox κατακοσμεῖ C.D.

Τίνος ἕνεκεν [y]καὶ τὸν τοιοῦτον εἰς μέσον παράγει; Ἐπιστομί-
ζει τοὺς αἱρετικοὺς τοὺς τὸν γάμον διαβάλλοντας, δεικνὺς ὅτι
τὸ πρᾶγμα οὐκ ἔστιν ἐναγὲς, ἀλλ' οὕτω τίμιον, ὡς μετ' αὐτοῦ
δύνασθαι καὶ ἐπὶ τὸν ἅγιον ἀναβαίνειν θρόνον· ἐν ταὐτῷ δὲ καὶ
τοὺς ἀσελγεῖς κολάζων, καὶ οὐκ ἀφιεὶς μετὰ δευτέρου γάμου τὴν
ἀρχὴν ἐγχειρίζεσθαι ταύτην. Ὁ γὰρ πρὸς τὴν ἀπελθοῦσαν
μηδεμίαν φυλάξας εὔνοιαν, πῶς ἂν οὗτος γένοιτο προστάτης
B καλός; τίνα δὲ οὐκ ἂν ὑποσταίη κατηγορίαν; Ἴστε γὰρ ἅπαν-
τες, ἴστε ὅτι εἰ [z]καὶ μὴ κεκώλυται παρὰ τῶν νόμων τὸ δευτέ-
ροις ὁμιλεῖν γάμοις, ἀλλ' ὅμως πολλὰς ἔχει τὸ πρᾶγμα κατη-
γορίας. Οὐδεμίαν οὖν παρέχειν λαβὴν τοῖς ἀρχομένοις τὸν
ἄρχοντα βούλεται. Διὰ τοῦτο [a]πρὸ πάντων τοῦτο τίθησιν,
"Εἴ τις ἀνέγκλητος·" τουτέστιν, εἰ κατηγορίας ὁ βίος ἐλεύθε-
ρος αὐτῷ γέγονεν, εἰ μηδεὶς ἔσχεν ἐπισκῆψαι ἐν τῇ ζωῇ. [b]Ἄκουε
τοῦ Χριστοῦ λέγοντος· [2] "Εἰ γὰρ τὸ φῶς, φησὶ, τὸ ἐν [c]σοὶ
σκότος, τὸ σκότος πόσον;"

"Τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπό-
C τακτα." Σκοπήσωμεν πῶς πολλὴν καὶ ὑπὲρ τῶν παίδων ποιεῖται
τὴν πρόνοιαν. Ὁ γὰρ τῶν αὐτοῦ παίδων διδάσκαλος γενέσθαι
μὴ δυνηθεὶς, πῶς ἂν [d]ἑτέρων γένοιτο; εἰ οὓς ἐξ ἀρχῆς εἶχε μεθ'
ἑαυτοῦ καὶ ἔτρεφε, καὶ καθ' ὧν καὶ παρὰ τῶν νόμων καὶ παρὰ
τῆς φύσεως εἶχεν ἐξουσίαν, τούτους ῥυθμίσαι οὐκ ἴσχυσε, πῶς
[e]ἂν τοὺς ἔξωθεν ὠφελῆσαι δυνήσεται; Εἰ [f]μὴ γὰρ πολλὴ νω-
θεία εἴη πατρὸς, οὐκ ἂν [g]ὧν ἐξ ἀρχῆς ἔλαβεν ἐξουσίαν, τούτους
περιεῖδε γενομένους κακούς. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξ ἀρχῆς
D μετὰ πολλῆς τραφέντα τῆς ἐπιμελείας γενέσθαι κακὸν, καὶ πολ-
λῆς ἀπολαύσαντα σπουδῆς· οὐ γάρ ἐστι φύσει τὰ ἁμαρτήματα,
ἵνα τοσαύτης περιγένηται προνοίας. Εἰ δὲ ἐν δευτέρῳ τὰ τῶν
παίδων [h]ἐτίθετο, περὶ τὰ χρήματα σχολάζων, καὶ οὐ τοσαύτην
αὐτῶν ἐποιεῖτο σπουδὴν, καὶ οὕτως ἀνάξιος. Εἰ γὰρ, ὅπου ἡ
φύσις ἠνάγκαζεν, οὕτως ἄστοργος ἦν, [i]ἢ οὕτως ἀνόητος, ὡς
μᾶλλον τῶν χρημάτων [k]φροντίζειν ἢ αὐτῶν, πῶς ἂν [l]οὗτος ἐπὶ
τὸν θρόνον ἀναχθείη καὶ τὴν τοσαύτην ἀρχήν; Εἰ μὲν γὰρ οὐκ

[2] Matth. vi. 23.

[y] καὶ om. K. Statim τῶν τοιούτων L. Cat. [z] καὶ assumtum ex C.D.K.M. Mox παρὰ τὸν νόμον D. [a] πρὸ πάντων accessit ex libris omnibus et Vet. Statim τοῦτο C. ταῦτα D. Neutrum legitur in K.L.M. Edd. [b] ἄκουε] + γὰρ C. Mox φησὶ om. K.L.M. [c] σοὶ] + ἢ Edd. ἢ om. D.K.L.M. [d] ἑτέρῳ C. [e] ἂν om. K.L. invita Cat. [f] μὴ γὰρ] γὰρ μὴ C.D.K.L. Mox ἢ pro εἴη C.K.L.M. [g] ὧν . . . περιεῖδε] οὐδὲ . . . περιιδεῖν C. γενομένους om. K. [h] τίθησι D. τίθοιτο Veron. σπουδάζων pro σχολάζων C. [i] ἢ] εἰ C. ἢ om. K.L.M. [k] φροντίζειν] Sic Veron. αὐτῶν φρ. C.D. φρ. αὐτὸν K.L.M. Sav. cet. [l] οὕτως K. Mox ἀχθείη C.D.

ἠδύνατο, πολλὴ [m] ἡ τῆς νωθείας κατηγορία· εἰ δὲ οὐκ ἐσπούδασε, E
πολλὴ τῆς ἀστοργίας ἡ μέμψις. Ὁ τοίνυν τῶν παίδων ἀμελῶν
τῶν [n] αὐτοῦ, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; Καὶ οὐκ εἶπε μὴ
[o] ἁπλῶς ἀσώτους, ἀλλὰ [p] μηδὲ διαβολὴν ἔχειν τοιαύτην, [q] μηδὲ πο-
νηρᾶς εἶναι δόξης. [3] "Δεῖ γὰρ τὸν ἐπίσκοπον, [r] φησὶν, ἀνέγκλητον
εἶναι, ὡς θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον,
μὴ πλήκτην." Ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἐπειδὴ νόμῳ κρατεῖ καὶ F
ἀνάγκῃ, εἰκότως οὐ πολλαχοῦ τῆς τῶν ἀρχομένων γνώμης κοι-
νωνεῖ· ὁ μέντοι ἑκόντων ὀφείλων ἄρχειν, [s] καὶ προστρεχόντων,
καὶ χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων, ἂν οὕτω τὸ πρᾶγμα κατα-
στήσῃ, ὡς ἀπὸ τῆς οἰκείας γνώμης μόνον πάντα ποιεῖν, καὶ μη- 739
δενὶ [t] μεταδιδῷ λόγου, τυραννικώτερον μᾶλλον ἢ δημοτικώτερον
τὴν ἐπιστασίαν πεποίηται. "Δεῖ γὰρ, φησὶν, ἀνέγκλητον εἶναι,
(388) ὡς θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον." Πῶς γὰρ ἑτέρους
παιδεύσει κρατεῖν τοῦ πάθους τούτου, ἑαυτὸν μὴ παιδεύσας;
Εἰς πολλὰ γὰρ ἡ ἀρχὴ ἐξάγει, καὶ χαλεπώτερον ποιεῖ καὶ
δυσάρεστον καὶ τὸν σφόδρα ἐπιεικῆ, μυρίας ἀνάγκας περιϊστᾶσα
ὀργῆς· [v] ἂν μὴ ᾖ τοῦτο μεμελετηκὼς πρότερον, καὶ χαλεπώτερος
ἔσται, καὶ πολλὰ [w] διαφθερεῖ καὶ ἀπολεῖ τῶν τῆς ἀρχῆς. "Μὴ B
πάροινον, μὴ πλήκτην." Τὸν ὑβριστὴν ἐνταῦθά φησι· νουθε-
τοῦντα γὰρ [x] ἢ ἐπιπλήττοντα πάντα χρὴ ποιεῖν, μὴ ὑβρίζοντα·
ποία γὰρ ἀνάγκη ὕβρεως, εἰπέ μοι; Φοβεῖν χρὴ τῇ τῆς γεέννης
ἀπειλῇ, δεδίττεσθαι, καθικνεῖσθαι. Ὁ γὰρ ὑβρισθεὶς θρασύτε-
ρος γίνεται, [y] καὶ μᾶλλον καταφρονεῖ τοῦ ὑβρίζοντος. Οὐδὲν
[z] γὰρ οὕτω ποιεῖ [a] καταφρόνησιν, ὡς ὕβρις, καὶ αἰσχύνει τὸν
[b] ὑβρίσαντα μᾶλλον, [c] οὐκ ἀφίησιν εἶναι αἰδέσιμον ὡς δεῖ.
Πολλῆς αὐτοῖς τῆς εὐλαβείας γέμειν τὸν λόγον χρὴ ἐν τοῖς
ἁμαρτήμασι, [d] καὶ μνήμην ἔχειν τῆς μελλούσης κρίσεως, πάσης C
δὲ ὕβρεως εἶναι [e] καθαρόν· εἰ δέ τινες εἶεν [f] κωλύοντες τὰ δέοντα
ποιεῖν, μετὰ πάσης [g] αὐθεντίας μετιέναι τὸ πρᾶγμα. "Μὴ
πλήκτην," φησίν. Ἰατρός ἐστιν [h] ὁ διδάσκαλος τῶν ψυχῶν·

[3] v. 7.

[m] ἡ τῆς ν.] Sic C.D.K.L. ἡ om. M. τῆς ν. ἡ Edd. [n] αὐτοῦ pro ἑαυτοῦ C.D.K.L. [o] ἁπ. ἀσώτως K.L.M. ἀσώτως ἁπ. Cat. ἁπ. ἄσωτος C.D. Edd. *nec simpliciter ait, luxuriosos* Vet. unde ἀσώτους rescripsimus. [p] μηδὲ] μὴ D. [q] μηδὲ] ἀλλὰ μηδὲ C. [r] φησὶν om. C.K.L.M. [s] καὶ προστρεχόντων] Sic D.K.L.M. ἢ καὶ προτρεπόντων C. *atque hortantibus* Vet. καὶ προστρ. deest in Edd. [t] μεταδίδωσι D. [v] ἂν] + οὖν ex corr. rec. K. [w] διαφθαρεῖ D. διαφθείρει K.L.M. Statim ἀπολεῖ C.D. ἀπολλύει K.L. ἀπολύει M. ἀπολέσει Edd. [x] ἢ om. C. Statim ἐπιτάττοντα D. [y] καὶ μᾶλλον] μᾶλλον καὶ Cat. καὶ om. Veron. [z] γὰρ] δὲ K.L.M. [a] καταφρονεῖν D. Mox αἰσχύνη idem. [b] ὑβρίσαντα C.D.K.L. ὑβρίζοντα Edd. [c] καὶ οὐκ Edd. καὶ deest in omnibus. [d] καὶ accessit ex omnibus. [e] καθαροὺς C. [f] οἱ κωλ. Edd. οἱ om. D.K.L.M. [g] αὐθεντείας K.L.M. Statim δεῖ μετιέναι K.L.M. μετιέναι δεῖ C.D. δεῖ abest ab Edd. [h] ὁ om. C.

*ὁ δὲ ἰατρὸς οὐ πλήττει, ἀλλὰ [i]καὶ τὰ πεπληγότα διορθοῦται
καὶ θεραπεύει.*

“Μὴ *αἰσχροκερδῆ,* [4]*ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα,
δίκαιον, ὅσιον, ἐγκρατῆ,* [k]*ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν*
D *πιστοῦ λόγου.*” Εἶδες *πόσην ἐπίτασιν ἀρετῆς ἀπήτησε;* “Μὴ
αἰσχροκερδῆ,” *φησί· τουτέστι, πολλὴν ὑπεροψίαν χρημάτων
ἐπιδεικνύμενον·* “*φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον,
ὅσιον·*” *τὰ αὐτοῦ πάντα τοῖς δεομένοις, φησὶ, προϊέμενον·* “*ἐγ-
κρατῆ.*” Οὐ *τὸν νηστευτὴν εἶπεν* [l]*ἐνταῦθα, ἀλλὰ τὸν πάθους
κρατοῦντα,* [m]*τὸν καὶ γλώττης καὶ χειρὸς καὶ ὀφθαλμῶν ἀκολά-
στων· τοῦτο γάρ ἐστιν ἐγκράτεια, τὸ μηδενὶ ὑποσύρεσθαι πά-
θει.* “Ἀντεχόμενον *τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου.*”
E “Πιστοῦ,” *ἐνταῦθα τοῦ ἀληθοῦς φησιν, ἢ τοῦ διὰ πίστεως*
[n]*παραδεδομένου, οὐ δεομένου συλλογισμῶν* [o]*οὐδὲ ζητημάτων.*
“Ἀντεχόμενον,” *φροντίζοντα, ἔργον τοῦτο ποιούμενον.* Τί
οὖν, ἂν λόγων ἄπειρος ᾖ τῶν ἔξωθεν; Διὰ *τοῦτο* [p]*εἶπον,* “*τοῦ
κατὰ τὴν διδαχὴν πιστοῦ λόγου.*” “Ἵνα *δυνατὸς ᾖ* [q]*καὶ παρα-
καλεῖν, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.*” Ὥστε *οὐ χρεία κόμ-
που ῥημάτων, ἀλλὰ φρενῶν, καὶ γραφῶν ἐμπειρίας, καὶ νοημά-*
F *των δυνάμεως.* Οὐχ *ὁρᾷς* Παῦλον *τρεψάμενον τὴν οἰκουμένην
ἅπασαν, καὶ* [r]*μείζονα ἰσχύσαντα καὶ* Πλάτωνος, *καὶ τῶν ἄλλων
ἁπάντων;* [s]Ἀπὸ *τῶν σημείων, φησίν.* Οὐκ *ἀπὸ τῶν σημείων
μόνον· εἰ γὰρ ἐπέλθοις τὰς* Πράξεις *τῶν ἀποστόλων,* [t]*πολλα-
χοῦ αὐτὸν εὑρήσεις ἀπὸ τῆς διδασκαλίας κρατοῦντα* [v]*καὶ πρὸ
τῶν σημείων.* [w]Τουτέστι, *συνεχῶς κεχρημένον ταύτῃ τῇ διδα-
σκαλίᾳ.* “Δίκαιον,” *φησίν· ὥστε τοῦτο ἄνθρωπος, ὁ δίκαιος.*
740 “Ἵνα *δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ·*”
*τουτέστι, πρὸς φυλακὴν τῶν οἰκείων, πρὸς ἀνατροπὴν τῶν ἐχ-
θρῶν.* “Καὶ *τοὺς ἀντιλέγοντας ἐλέγχειν.*” Τούτου *γὰρ μὴ
ὄντος, πάντα οἴχεται.* Ὁ [x]*γὰρ οὐκ εἰδὼς μάχεσθαι τοῖς ἐχθροῖς,
καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ* Χριστοῦ, *καὶ
λογισμοὺς καθαιρεῖν· ὁ οὐκ εἰδὼς ἃ χρὴ περὶ τῆς ὀρθῆς* [y]*διδά-
σκειν διδασκαλίας, πόρρω ἔστω θρόνου διδασκαλικοῦ.* Τὰ *μὲν*

[4] v. 8, 9.

[i] *καὶ* assumtum ex C.D.K.L. Mox *ἀνορθοῦται* C. [k] *ἀνεχόμενον* K. [l] *ἐνταῦθα* om. C. [m] *τὸν* deest in nostris omnibus, sed cum Edd. facit Cat. Mox *χειρῶν* K.L.M. [n] *παραδεχομένου* iidem. [o] *οὔτε* C. [p] *εἶπεν* K.L.M. Mox *τὴν* accessit ex omnibus. [q] *καὶ* om. C. Post *παρακαλεῖν* add. *ἐν τῇ διδασκαλίᾳ* D. [r] *μειζόνως* D.K.L.M. Sav. cet. [s] *ἀπὸ*] *ἀλλ' ἀπὸ* K.L.M. Sav. cet. [t] *πανταχοῦ* C. [v] *καὶ πρὸ τ. σ.* om. Veron. [w] Haec *τουτέστι — διδασκαλίᾳ* leguntur in libris omnibus, non in Edd. *eademque jugiter utitur* Vet. Sequentia, *δίκαιον—ὁ δίκαιος*, quae exstant in nostris omnibus et Veron., absunt a Sav. cet. [x] *γὰρ*] *τοίνυν* K.L.M. Mox *αἰχμαλωτίζων* a pr. m. K. [y] *διδάσκειν* om. D.

γὰρ ἄλλα καὶ ἐν τοῖς ἀρχομένοις εὕροι τις ἂν, οἷον τὸ ἀνέγκλητον, τὸ τέκνα ἔχειν ἐν ὑποταγῇ, τὸ φιλόξενον, τὸ δίκαιον, τὸ ὅσιον· ὃ δὲ μάλιστα χαρακτηρίζει τὸν διδάσκαλον, τοῦτό ἐστι, B
τὸ δύνασθαι [z]κατηχεῖν τὸν λόγον· οὗ πρόνοια οὐδεμία νῦν. [5]"Εἰσὶ γὰρ πολλοὶ [a]καὶ ἀνυπότακτοι, ματαιολόγοι, καὶ φρεναπάται, μάλιστα [b]οἱ ἐκ περιτομῆς· οὓς δεῖ ἐπιστομίζειν." Ὁρᾷς πῶς δείκνυσι πόθεν εἰσὶ τοιοῦτοι; [c]Οὐ βούλονται ἄρχεσθαι, ἀλλὰ ἄρχειν· τοῦτο [d]γὰρ ᾐνίξατο. Ὅταν οὖν πεῖσαι μὴ δυνηθῇς, [e]μηδὲ διάταττε τούτοις, ἀλλ' ἐπιστόμιζε εἰς τὴν τῶν ἄλλων ὠφέλειαν. Τί οὖν τὸ [f]κέρδος, εἰ ἀνυπότακτοί εἰσι; τίνος ἕνεκεν ἐπιστομίζειν [g]χρή; "Οἵτινες, φησὶν, ὅλους οἴκους C
ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν." Εἰ γὰρ τὴν [h]μὲν διδασκαλίαν ἀνεδέξατο, οὐχ ἱκανὸς δέ ἐστιν ἐκείνοις μάχεσθαι, οὐδὲ ἐπιστομίσαι αὐτοὺς οὕτως ἀναισχυντοῦντας, τῆς τῶν ἀπολλυμένων βλάβης καθ' ἕκαστον αἴτιος γενήσε-
(389) ται. Εἰ γὰρ παραινεῖ τις λέγων, [6]"Μὴ ζήτει γενέσθαι κριτὴς, εἰ μὴ [i]ἰσχύεις ἐξᾶραι ἀδικίαν" πολλῷ μᾶλλον ἐνταῦθα ἂν εἴποι τις, μὴ ζήτει γενέσθαι διδάσκαλος, εἰ τῆς τοῦ πράγματος [k]ἀρετῆς ἀπέχεις, ἀλλὰ καὶ ἑλκόμενος ἀποπήδα. Ὁρᾷς παν- D
ταχοῦ τὴν [l]φιλαρχίαν, τὴν αἰσχροκέρδειαν αἰτίαν [m]τούτων, τὸ ἀνυπότακτον; "Διδάσκοντες, φησὶν, ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν."

[n]Οὐδὲν γάρ ἐστιν, ὃ μὴ λυμαίνεται ταῦτα τὰ πάθη· ἀλλ' ὥσπερ πνεύματά τινα ἄγρια εἰς γαληνὸν ἐμπεσόντα πέλαγος, ὅλον αὐτὸ κάτωθεν [o]ἀνασπᾷ, ὡς καὶ τὴν ἄμμον τοῖς κύμασιν ἀναμιγνύναι· οὕτω ταῦτα τὰ πάθη εἰς ψυχὴν εἰσιόντα, πάντα E
ἄνω καὶ κάτω ποιεῖ, πηροῖ τὸ διορατικὸν τῆς διανοίας, μάλιστα δὲ ἡ τῆς δόξης μανία. Χρημάτων μὲν γὰρ εὔκολον καταφρονῆσαι τῷ βουλομένῳ· τῆς δὲ παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, πολλοῦ δεῖ πόνου, μεγάλης φιλοσοφίας, [p]ψυχῆς τινος ἀγγελι-

[5] v. 10, 11. [6] Sirac. vii. 6.

[z] κατέχειν D. (Cf. Gal. vi. 6.) [a] καὶ om. K.L.M. [b] οἱ assumtum ex omnibus. [c] οὐ β.] Sic Cat. Veron. οἱ (sic) οὐ β. C.D. ἀπὸ τοῦ μὴ θέλειν K.L.M. Sav. cet. [d] γὰρ] οὖν C. [e] μηδὲ pro μὴ omnes. Post ἐπιστόμιζε add. φησὶν C. [f] κέρδος] + ὅταν μὴ πείθωνται, ἢ καὶ K.L.M. Sav. cet. [g] χρὴ] δεῖ D. Post χρὴ add. ἵνα ὠφεληθῶσιν ἕτεροι ἐντεῦθεν K.L.M. Sav. cet. Mox φησὶν om. iidem. [h] μὲν accessit ex C.K.L.M. Cat. [i] ἰσχύης D. ἁμαρτίαν pro ἀδικίαν idem. [k] ἀρετῆς] ἀξίας K.L.M. Sav. cet. Statim ἀπέχης C. ἀπέχῃ Veron. [l] φιλαρχίαν] Sic omnes. *dominandi amor* Vet. φιλαργυρίαν Edd. [m] τούτων] + οὖσαν K.L.M. Sav. cet. Statim τὸ ἀνυπότακτον accessit ex libris omnibus et Vet. [n] ΗΘΙΚΟΝ. Περὶ τοῦ μὴ ἐπιθυμεῖν δόξης ἀνθρωπίνης· καὶ ὅτι ὁ τῷ ἔρωτι ταύτης ἁλοὺς, τῆς δόξης ἐκπίπτει τοῦ θεοῦ, καὶ ἀνδραπόδων ἐστὶ δουλικώτερος. Veron. [o] ἀνασπᾷ] ἀναμοχλεύει K.L.M. Sav. cet. Mox ἀναμίγνυσθαι iidem. [p] ψ. τινος ἀγγ.] ἀγγ. τινος ψ. C. τινὸς ἀγγ. ψ. D.

κῆς, αὐτῆς ἀπτομένης τῆς κορυφῆς τῆς [q]ἀψῖδος τῆς οὐρανίας.
Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτω πάθος τυραννικὸν καὶ παν-
ταχοῦ [r]κρατοῦν, ἐκ πλείονος μὲν καὶ ἐλάττονος μοίρας, παντα-
F χοῦ δὲ ὅμως. Πῶς ἂν οὖν αὐτοῦ περιγενοίμεθα, εἰ καὶ μὴ κατὰ
κράτος, ἀλλὰ κἂν ἐξ ἐλαχίστου μέρους; Ἂν εἰς τὸν οὐρανὸν
ἀναβλέπωμεν, ἂν τὸν θεὸν [s]σχῶμεν πρὸ ὀφθαλμῶν, ἂν μείζω
741 τῶν γηΐνων λάβωμεν [t]λογισμόν. Ἐννόησον, ὅταν ἐπιθυμῇς
δόξης, ὅτι αὐτῆς ἐπέτυχες, καὶ [v]μάθε τὸ τέλος, καὶ οὐδὲν εὑρή-
σεις. Ἐννόησον [w]ὅσην ἔχει τὴν ζημίαν τὸ πρᾶγμα, ὅσων καὶ
ἡλίκων ἀποστερεῖ ἀγαθῶν· τοὺς μὲν γὰρ πόνους ὑποστήσῃ καὶ
τοὺς κινδύνους, τῶν δὲ καρπῶν ἀποστερηθήσῃ καὶ τῶν ἐπάθλων.
[x]Ἐννόει ὅτι οἱ πλεῖστοι κακοὶ, καὶ καταφρόνησον αὐτῶν τῆς
δόξης. Καθ' ἕνα ἕκαστον ἀναλόγισαι [y]τί ἐστι, καὶ ὄψει τὸ
πρᾶγμα γέλωτος γέμον· ὄψει ὅτι αἰσχύνη μᾶλλον, ἢ δόξα τὸ
πρᾶγμά ἐστι· καὶ μετὰ ταῦτα ἀνάγαγε τὸν λογισμὸν ἐπὶ τὸ
ἄνω θέατρον. Ὅταν ἀγαθόν τι πράττων ἐννοῇς, ὅτι [z]δεῖ καὶ
B ἀνθρώποις δεῖξαι, καί τινας [a]ἐπιζητῇς θεατὰς τοῦ πράγματος,
καὶ ὠδίνῃς ὥστε ὀφθῆναι· ἐννόησον ὅτι [b]θεὸς ὁρᾷ, καὶ πᾶσαν
ἐκείνην σβεννύεις τὴν ἐπιθυμίαν. Ἀναχώρησον ἐκ τῆς γῆς, πρὸς
ἐκεῖνο [c]ἴδε τὸ θέατρον τὸ ἐν τοῖς οὐρανοῖς. Ἄνθρωποι κἂν
ἐπαινέσωσιν, ἀλλ' ὕστερον ἐμέμψαντο, ἀλλὰ φθονοῦσιν, ἀλλ'
ἐπιλαμβάνονται· [d]κἂν μὴ τοῦτο ποιῶσιν, οὐδὲν ὅλως [e]ὠφελοῦσι
τὸν ἐπαινούμενον· ἐπὶ δὲ τοῦ θεοῦ οὐχ οὕτως, ἀλλὰ χαίρει
ἐπαινῶν ἡμῶν τὰ κατορθώματα. Εἶπες ὀρθῶς, καὶ κρότων ἐπέ-
τυχες; καὶ τί [f]τὸ κέρδος; Εἰ μὲν γὰρ ὠφελήθησαν οἱ κροτή-
C σαντες, καὶ μετεβάλοντο, καὶ βελτίους ἐγένοντο, καὶ τῶν προ-
τέρων κακῶν ἀπέστησαν, δεῖ χαίρειν ὄντως, οὐκ ἐπὶ τοῖς ἐπαίνοις
[g]τοῖς γενομένοις, ἀλλ' ἐπὶ τῇ μεταβολῇ τῇ καλῇ καὶ θαυμαστῇ.
Εἰ δὲ διαπαντὸς μὲν ἐπαινοῦντες καὶ θορυβοῦντες καὶ κροτοῦντες
διατελοῦσι, καρποῦνται δὲ οὐδὲν ἀπὸ τῶν κρότων, ἀλγεῖν μᾶλ-
λον χρὴ, ὅτι αὐτοῖς εἰς κρίμα [h]καὶ εἰς κατάκριμα ταῦτα γίνε-
ται. Ἀλλ' ἐπὶ εὐλαβείᾳ δόξαν ἔχεις; Ἂν μὲν [i]ὄντως ᾖς
εὐλαβὴς, καὶ μηδὲν ἑαυτῷ [k]σύνοιδας πονηρὸν, χαίρειν δεῖ, οὐκ
D ἐπειδὴ δοκεῖς, ἀλλ' ἐπειδὴ εἶ· [l]ἂν μέντοι μὴ ὦν, τῆς τῶν πολ-

[q] ἀψῖδος τῆς οὐρ.] Sic nostri omnes et Vet. τοῦ οὐρανοῦ Edd. [r] κρατοῦν]+ὡς τοῦτο K.L.M. Mox μέντοι pro μὲν C. [s] ἔχωμεν πρὸ ὀ. ἡμῶν, ἂν D. [t] λογισμῶν L. [v] κατάμαθε D. [w] ὅσην et τὴν om. D. [x] ἐννόησον D. [y] τίς K.L.M. Sav. cet. [z] δεῖ om. M. [a] ἐπιζητεῖς D. ἐπιζητεῖν ex corr. C. Mox ὠδίνεις D. et ex corr. C. [b] ὁ θεὸς Edd. ὁ om. D.K.L.M. [c] ἴδε] ἐννόει C. [d] κἂν] καὶ εἰ C. Mox ποιοῦσιν idem. [e] ὠφελοῦσι omnes. ὠφελήσουσι Edd. [f] τὸ] τοῦτο C. [g] τοῖς γεν. om. D. [h] καὶ εἰς κατάκριμα deest in Edd. repugnantibus libris. [i] οὕτως D. [k] συνειδῇς C. [l] ἂν] ἐὰν C. δὲ pro μέντοι D.

λων δόξης ἐπιθυμῆς, [m]ἐννόει ὅτι οὐχ οὗτοι κρινοῦσιν ἡμῖν κατ'
ἐκείνην τὴν ἡμέραν, ἀλλ' ὁ [n]τὰ λανθάνοντα μετὰ ἀκριβείας ἐπι-
στάμενος. Εἰ δὲ συνειδὼς ἑαυτῷ ἁμαρτήματα, καθαρὸς εἶναι
παρὰ πᾶσιν ὑποπτεύῃ, οὐ μόνον οὐ χαίρειν δεῖ, ἀλλὰ [o]καὶ ἀλγεῖν
καὶ στένειν πικρὸν, τὴν ἡμέραν ἐννοοῦντα συνεχῶς, καθ' ἣν * πάντα
ἀποκαλύπτεται, καθ' ἣν [p]τὰ κρυπτὰ τοῦ σκότους φωτίζεται.
Τιμῆς ἀπολαύεις; διακρούου ταύτην, εἰδὼς ὅτι σε ὀφειλέτην
[q]καθίστησιν. Οὐδείς σοι παρέχει τιμήν; καὶ χαίρειν δεῖ ἐπὶ E
τούτῳ· [r]οὐ γάρ σοι μετὰ τῶν ἄλλων καὶ τοῦτο ὁ θεὸς προβα-
λεῖται, ὅτι τιμῆς [s]ἀπήλαυσας. Ἢ οὐχ ὁρᾷς, ὡς μετὰ τῶν
ἄλλων εὐεργεσιῶν καὶ τοῦτό [t]φησιν ὁ θεὸς διὰ τοῦ προφήτου·
[7]"Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανί-
σκων ὑμῶν εἰς ἁγιασμόν;" Κἂν [v]τοῦτο τοίνυν κερδανεῖς, ὅτι οὐκ
ἔσῃ ὑπεύθυνος μείζονι τιμωρίᾳ. Ὁ [w]μὲν γὰρ μὴ τιμώμενος ἐν
τῷ παρόντι βίῳ, [x]καὶ καταφρονούμενος, καὶ οὐδὲ λόγου τινὸς F
ἀπολαύων, ἀλλὰ [y]καὶ ὑβριζόμενος καὶ διαπτυόμενος, εἰ καὶ
μηδὲν ἕτερον, τοῦτο γοῦν καρποῦται, τὸ [z]μὴ καὶ τούτου ὑπεύ-
θυνος εἶναι, τοῦ τιμηθῆναι παρὰ τῶν ὁμοδούλων. [a]Καὶ πολλὰ
(390) δὲ ἕτερα [b]κερδαίνει· συστέλλεται, ταπεινοῦται, οὐδὲ ἐὰν θέλῃ, 742
μέγα φρονήσει ποτὲ, [c]προσέχει δὲ μᾶλλον ἑαυτῷ. Ὁ μέντοι
πολλῆς ἀπολαύων τιμῆς, πρὸς [d]τῷ καὶ ὀφλημάτων εἶναι μεγά-
λων ὑπεύθυνος, καὶ εἰς ἀπόνοιαν [e]αἴρεται καὶ [f]εἰς κενοδοξίαν,
καὶ γίνεται δοῦλος ἀνθρώπων. Εἶτα τῆς δεσποτείας ταύτης
[g]αὐξομένης, πολλὰ ἀναγκάζεται ποιεῖν, ὧν οὐ βούλεται.

Ὡς οὖν εἰδότες ὅτι τοῦτο βέλτιον ἡμῖν, ἢ ἐκεῖνο, μήτε ζητῶ-
μεν τιμὰς, καὶ τὰς παρεχομένας [h]διακρουώμεθα, ἀπορρίπτωμεν
ἀφ' ἑαυτῶν, σβεννύωμεν τὴν ἐπιθυμίαν ταύτην. Ταῦτα καὶ πρὸς
ἄρχοντας καὶ πρὸς ἀρχομένους ἡμῖν εἴρηται. Ψυχὴ γὰρ τιμῆς
ἐπιθυμοῦσα καὶ τοῦ δοξάζεσθαι, οὐκ ὄψεται τὴν βασιλείαν τῶν B

7 Amos ii. 11.

[m] ἐννόησον C. [n] τὸ λανθάνον D. [o] καὶ ἀλγεῖν om. C. * Incipit Codex E. [p] τὰ] πάντα τὰ C. [q] καθέστησε (sic) C. [r] οὐ] καὶ E. Mox προβάλλεται E. Veron. [s] ἀπέλαυσας K.L.M. οὐκ superscript. in L. [t] φησιν] ἐγκαλεῖ K.L.M. Sav. cet. [v] τούτῳ C.D.E.K.L. Mox κερδαίνεις C.D. *vel istud ergo lucraberis* Vet. [w] μὲν om. C. [x] καὶ κατ.] κατ. δὲ μᾶλλον E. Mox τινὸς om. C. [y] καὶ om. C. [z] μὴ καὶ] καὶ μὴ E. Post τιμηθῆναι add. φημὶ idem. [a] καὶ διὰ πολλὰ Edd. διὰ om. D.K.L.M. καὶ διὰ om. C. [b] κερδαίνει] Sic D. Vet. κερδανεῖ C. κερδαίνει ἐντεῦθεν K.L. Sav. cet. κερδαίνειν (ν̄ aliquantulum raso) M. χαίρειν Veron. χαίρειν δεῖ τοῦτον E. Statim συστέλλεται γὰρ καὶ ταπ. E. [c] προσέχει δὲ (δὲ om. D.) μ. ἑαυτῷ] Sic C.D. *sed magis sibi ipsi semper intendit* Vet. εἰ ἑαυτῷ μ. προσέχει Edd. [d] τὸ D. Statim ὀφειλημάτων C. μ. εἶναι pro εἶναι μ. K.L.M. [e] αἴρεται]+λοιπὸν K.L.M. [f] εἰς om. K. [g] αὐξανομένης E.K.M. [h] παρακρουώμεθα C. διακρούωμεν Veron.

οὐρανῶν. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, οὐδὲ ἐμαυτοῦ [i]λέγω ῥήματα,
ἀλλὰ τοῦ θείου πνεύματος· οὐκ ὄψεται, κἂν ἀρετὴν [k]ἐργάζη-
ται. [8]“Ἀπέχουσι γὰρ, φησὶ, τὸν μισθὸν αὐτῶν.” Ὁ τοίνυν
μισθὸν μὴ λαμβάνων, πῶς ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν;
Οὐ κωλύω δόξης ἐφίεσθαι, ἀλλὰ δόξης βούλομαι τῆς ἀληθοῦς
τῆς παρὰ τοῦ θεοῦ· [9]“Οὗ ὁ ἔπαινος, φησὶν, οὐκ ἐξ ἀνθρώπων,
C ἀλλ᾽ ἐκ τοῦ θεοῦ.” Ἐν τῷ κρυπτῷ ὦμεν εὐλαβεῖς, μὴ περικεί-
μενοι τῦφον πολὺν καὶ σκηνὴν καὶ ὑπόκρισιν· ῥίψωμεν τοῦ προ-
βάτου τὴν δορὰν, μᾶλλον δὲ γενώμεθα πρόβατα. Οὐδὲν τῆς
τῶν ἀνθρώπων δόξης [l]οὐδαμινέστερον. Εἰπὲ γάρ μοι, ἐὰν ἴδῃς
παίδων πλῆθος μικρῶν, ὑπομαζίων λέγω, ἆρα ἐπιθυμεῖς τῆς δόξης
τῆς παρ᾽ [m]ἐκείνων; Οὕτω πρὸς τοὺς ἀνθρώπους διάκεισο πάν-
τας δόξης ἕνεκεν. Διὰ τοῦτο κενοδοξία λέγεται. Οὐχ ὁρᾷς τὰ
προσωπεῖα, ἃ περιτίθενται οἱ ἐπὶ τῆς σκηνῆς; πῶς μὲν καλὰ,
D πῶς δὲ λαμπρὰ, πῶς δὲ εἰς τὴν ἐσχάτην ἀκρίβειαν τῆς εὐμορ-
φίας διαπεπλασμένα; ἔχεις μοι δεῖξαι ὄψιν τοιαύτην ἐπὶ τῆς
ἀληθείας; Οὐδαμῶς. Τί οὖν; ἆρα [n]ἠράσθης αὐτῶν ποτε; Οὔ·
διὰ τί; ἐπειδὴ διάκενά ἐστι, καὶ μιμεῖται κάλλος, [o]οὐκ ἔστι δὲ
κάλλος. Οὕτω καὶ ἡ δόξα διάκενός ἐστι, καὶ μιμεῖται δόξαν,
οὐκ ἔστι δὲ δόξα. Ἐκείνη μόνη μένει ἡ φυσικὴ, ἡ ἔνδον· αὕτη
δὲ ἡ [p]ἔξω ἐπιτιθεμένη ἐπικρύπτει πολλάκις τὴν ἀμορφίαν, ἐπι-
E κρύπτει παρὰ ἀνθρώποις, καὶ μέχρι τῆς [q]ἑσπέρας· τοῦ δὲ θεά-
τρου λυθέντος, καὶ τῶν προσωπείων ἐπαρθέντων, ἕκαστος, ὅπερ
ἐστὶ, [r]τοῦτο φαίνεται. Μὴ τοίνυν ὡς ἐν σκηνῇ καὶ [s]ἐν ὑποκρί-
σει τὴν ἀλήθειαν μετέλθωμεν. Εἰπὲ γάρ μοι, τί καλὸν ἔχει τὸ
περιβλέπεσθαι παρὰ τῶν πολλῶν; κενοδοξία ἐστὶ, καὶ οὐδὲν
[t]ἕτερον· ἐπεὶ ἄνελθε εἰς τὴν οἰκίαν καὶ γενοῦ μόνος, καὶ εὐθέως
διεῤῥύη τὸ πᾶν. Ἐνέβαλες εἰς τὴν ἀγοράν; [v]ἐπέστρεψας τοὺς
παρόντας; καὶ τί τὸ πλέον; Οὐδέν· ἐσβέσθη καὶ ἀπῆλθεν ὡς
καπνὸς [w]διαχυθείς. Τῶν οὖν ἀνυποστάτων οὕτως ἐρῶμεν; καὶ
F πόσης ταῦτα ἀλογίας, [x]εἰπέ μοι; πόσης ἀνοίας; Πρὸς ἓν τοί-
νυν [y]ὁρῶμεν μόνον, πῶς ὁ θεὸς ἐπαινέσει. Ἂν τοῦτο σκοπῶμεν,
οὐδέποτε ζητήσομεν τὰ παρὰ τῶν ἀνθρώπων, ἀλλὰ κἂν γένη-
ται, [z]καταφρονήσομεν, καταγελασόμεθα, διαπτύσομεν· ὡς ἂν εἰ

8 Matth. vi. 5. 9 Rom. ii. 29.

[i] λ. ῥήματα] ῥῆμα λ. C. [k] ἐργάζεται C.E. Veron. Mox φησὶ om. D. [l] οὐδαμινώτερον E. [m] ἐκείνων] + οὗ φησιν K.L.M. [n] ἐρασθήσῃ C. [o] οὐκ ἔστι δὲ κ. om. C. [p] ἔξωθεν K.L.M. Statim ἐπιτιθεμένη omnes. ἐπικειμένη Edd. [q] ἑσπέρας] + πολλάκις D. [r] τοῦτο om. E. [s] ἐν receptum ex C.D.E.M. praeeunte Montef. [t] ἕτερον] ἄλλο E. [v] ἐπέτερψας D. [w] διαχυθεὶς] Sic C.D.K.L.M. διαλυθεὶς Edd. [x] εἰπέ μοι] οὐκ ἂν εἴη K.L.M. [y] ὁρ. μόνον] μόνον ὁρ. C.D. [z] καταφρονήσωμεν etc. quater E.

χρυσίου μὲν ἐφιέμενοι, πηλὸν δὲ λαμβάνοντες, οὕτω διακεισό-
μεθα. Μὴ [a] ἐπαινείτω ὁ δεῖνα· οὐδὲν γὰρ ὠφέλησε· κἂν ψέξῃ, 743
οὐδὲν ἔβλαψεν. [b] Ἐπὶ δὲ τοῦ θεοῦ ταῦτα ἀμφότερα ἔχει τι
κέρδος καὶ ζημίαν· τὰ δὲ παρὰ [c] τῶν ἀνθρώπων πάντα μάταια.
Καὶ κατὰ τοῦτο ἐξισούμεθα τῷ θεῷ, ὅτι οὐ δεῖται τῆς παρ'
ἀνθρώπων [d] δόξης ἐκεῖνος· [10] "Δόξαν [e] γὰρ, φησὶ, παρὰ ἀνθρώ-
πων οὐ λαμβάνω." Μικρὸν [f] οὖν τοῦτο, εἰπέ μοι; Ὅταν μὴ
θέλῃς καταφρονεῖν [g] δόξης, εἰπὲ ὅτι τῷ θεῷ ἴσος γίνομαι κατα-
φρονήσας, καὶ εὐθέως καταφρονήσεις. Οὐ γὰρ ἔστιν [h] ἄνθρωπον
δόξης δοῦλον, μὴ πάντων εἶναι δοῦλον, καὶ αὐτῶν τῶν ἀνδραπό-
δων δουλικώτερον. Οὐ γὰρ ἐπιτάττομεν [i] τοιαῦτα τοῖς δούλοις B
τοῖς ἡμετέροις, οἷα ἐκείνη τοῖς ὑπ' αὐτῆς ἁλοῦσιν, αἰσχρὰ καὶ
αἰσχύνης γέμοντα [k] πράγματα [l] καὶ φθέγγεσθαι καὶ ποιεῖν καὶ
πάσχειν· καὶ μάλιστα ὅταν ἴδῃ [m] ὑπακούοντας, ἐπιτείνει μᾶλλον
τὰ ἐπιτάγματα. [n] Φύγωμεν οὖν, φύγωμεν, παρακαλῶ, τὴν
δουλείαν ταύτην. Πῶς δὲ [o] φυγεῖν δυνησόμεθα; Ἂν φιλοσο-
φήσωμεν περὶ τῶν ἐνταῦθα, [p] ἂν ἴδωμεν ὅτι τὰ παρόντα πρά-
γματα ὄναρ ἐστὶ καὶ σκιὰ, καὶ οὐδὲν ἕτερον, εὐκόλως αὐτῆς
περιεσόμεθα, καὶ οὔτε ἐν τοῖς μικροῖς, οὔτε ἐν τοῖς μεγάλοις
ἁλωσόμεθα· [q] ἂν δὲ ἐν τοῖς μικροῖς καταφρονῶμεν, καὶ [r] ἐν τοῖς C
(391) μεγίστοις ῥᾳδίως περιπεσούμεθα. Πόρρωθεν οὖν ἀναστέλλωμεν
αὐτῆς τὰς πηγάς· αὗται δέ εἰσιν ἄνοια καὶ τὸ ταπεινὴν κεκτῆ-
σθαι ψυχήν· ὡς [s] ἐὰν ὑψηλὸν λάβωμεν φρόνημα, δυνησόμεθα
καὶ τῆς [t] παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, καὶ πρὸς τὸν οὐρα-
νὸν [v] τεῖναι τὴν διάνοιαν, καὶ τῶν [w] ἐκεῖ ἐπιτυχεῖν ἀγαθῶν· ὧν
γένοιτο πάντας ἡμᾶς [x] ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, D
τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10 Joan. v. 41.

[a] ἐπαινείτω] + σε Sav. cet. invitis libris. μὴ ἐπ. ὁ δεῖνα] μὴ ἐπαίνει τὸν (+ ὁ L. erasum in K.) δεῖνα ὅτι σε ἐπῄνεσεν K.L.M. [b] ἐπὶ δὲ—μάταια] ταῦτα μὲν γὰρ παρὰ θεοῦ γινόμενα, ἀμφότερα ἔχει, καὶ ζ. καὶ κ. παρὰ δὲ ἀνθρώπων μόνην ζημίαν, παρόσον (παρόσων K.L.) εἰς ῥᾳθυμίαν τοὺς ἐπαινουμένους ἐμβάλλει. ἄλλως δὲ K.L.M. [c] τῶν om. D. [d] δόξης] + ὡς θεὸς K.L.M. [e] γὰρ] οὖν D. [f] οὖν] Sic C.D. οὖν οἴει K.L.M. μὲν οὖν Edd. [g] τῆς δόξης C. [h] ἀνθρώπων C. [i] τοιαῦτα om. D. Mox τοῖς ἡμ. om. K. [k] πράγματα] ῥήματα K.L.M. [l] καὶ φθ. καὶ ποιεῖν καὶ πάσχειν] Sic D. *et loqui et facere et perpeti jubens* Vet. καὶ ποιεῖν καὶ πάσχειν C.E. καὶ φθ. ποιεῖ καὶ προΐεσθαι K.L.M. καὶ φθ. ποιεῖ καὶ πάσχειν Edd. [m] ὑπακούοντα E. [n] φεύγωμεν bis C. τοίνυν pro οὖν E. [o] φυγεῖν] Sic C.D.K.L.M. φησὶ Edd. φυγεῖν om. E. [p] ἂν ἴδωμεν] καὶ ἂν εἰδῶμεν K.L.M. [q] ἂν δὲ] οὐδὲ C. ἂν δὲ μὴ Sav. cet. repugnantibus omnibus. [r] ἐν om. K.L.M. [s] ἐὰν] ἂν C. [t] παρὰ om. E. [v] ἀνατεῖναι C. [w] ἐκεῖσε E. [x] ἀξιωθῆναι] Sic D.K.L. ἐπιτυχεῖν Edd.

ΛΟΓΟΣ Γ.

[1]Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαί-
E νωσιν [a]ἐν τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

ΠΟΛΛΑ ἐνταῦθά ἐστι τὰ ζητούμενα, πρῶτον μὲν, τίς ὁ εἰρηκώς· δεύτερον δὲ, τί δήποτε ὁ Παῦλος αὐτοῖς ἐχρήσατο· τρίτον, ὅτι οὐδὲ ὀρθῶς ἔχουσαν μαρτυρίαν [b]παρήγαγε. Φέρε
F οὖν καὶ ἕτερα προσθέντες, οὕτω [c]κυρίαν τὴν λύσιν ἐπαγάγωμεν. Καὶ γὰρ ὅτε τοῖς Ἀθηναίοις διελέγετο, [d]μεταξὺ τῆς δημηγο-
744 ρίας φησὶν, [2]"Ἀγνώστῳ θεῷ·" καὶ πάλιν, "Τοῦ γὰρ καὶ γένος ἐσμὲν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν." [e]Καὶ τίς καὶ πόθεν ἐστὶν ὁ εἰρηκὼς, ἀναγκαῖον εἰπεῖν πρὸς ὑμᾶς· ἔχει δὲ οὕτως ἡ ὑπόθεσις. Οἱ Κρῆτες τάφον ἔχουσι τοῦ [f]Διός· Ἔνθα Ζὰν κεῖται, ὃν Δία κικλήσκουσιν. [g]Ὁ ποιητὴς οὖν φησι·

Καὶ [h]γὰρ τάφον, ὦ ἄνα, σεῖο
B Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες, [i]ἐσσὶ γὰρ αἰεί.

Εἰ τοίνυν αὕτη ἡ μαρτυρία ἀληθὴς, ὅρα τὸν κίνδυνον ὅσος. Εἰ γὰρ ἀληθὴς ὁ [k]προφήτης εἰπὼν ὅτι ἐψεύσαντο, τεθνηκέναι τὸν Δία εἰπόντες, ὥς φησιν ὁ ἀπόστολος, μέγας ὁ κίνδυνος. Προσέχετε, ἀγαπητοὶ, μετὰ πολλῆς τῆς ἀκριβείας. Εἶπεν ὁ [l]προφήτης, ὅτι ψεύδονται οἱ Κρῆτες [m]οἱ τὸν Δία εἰπόντες τετελευτηκέναι· ἐβεβαίωσε τὴν μαρτυρίαν αὐτοῦ ὁ ἀπόστολος. Οὐκοῦν, [n]φησὶ, κατὰ τὸν ἀπόστολον ἀθάνατος ὁ Ζεύς· "Αὕτη
C γὰρ, φησὶν, ἡ μαρτυρία ἀληθής ἐστι." [o]Τί οὖν ἐστι, καὶ πῶς

[1] Cap. I. v. 12—14. [2] Act. xvii. 23, 28.

Hom. III. [a] ἐν om. D. [b] ἐπήγαγε D. [c] καιρίαν E.M. Vet. Sav. cet. invita Cat. Mox ἐπάξωμεν E. [d] Deest folium in C. usque ad p. 745 A. πλῆραι (sic) μὲν Διὸς κ. τ. ἑ. [e] καὶ τίς—ὑπόθεσις] Sic C.D. Cat. Vet. Ἐπιμενίδης οὖν ἐστιν ὁ εἰρηκὼς, Κρὴς καὶ αὐτὸς ὤν· ἀλλὰ πόθεν κινούμενος, ἀναγκαῖον εἰπεῖν τὴν ὑπόθεσιν πρὸς ὑμᾶς· ἔχει δὲ οὕτως Edd. [f] Διὸς] + ἐπιγράφοντα τοῦτο Edd. Haec desunt in C.D. Cat. Etiam ἔνθα—κικλήσκουσι om. Cat. ἔνθα pro ἐνταῦθα ex C.D. receptum. [g] ὁ π. οὖν (οὖν om. C.) φησι] Sic C.D. Cat. Vet. διὰ ταύτην οὖν τὴν ἐπιγραφὴν ὁ ποιητὴς ψεύστας τοὺς Κρῆτας κωμῳδῶν, προϊὼν πάλιν ἐπάγει, αὔξων μᾶλλον τὴν κωμῳδίαν Edd. [h] γὰρ om. K. Statim ὦ ἀνόσιοι, Κρ. ἐτεκτείναντο bis C. [i] ἔσῃ γὰρ ἀεὶ D. [k] προφήτης] Sic C.D.K. et ante corr. L. πρ. αὐτῶν Cat. ποιητὴς Edd. [l] προφήτης] Sic C.D.K.M. et ante corr. L. ποιητὴς Edd. [m] οἱ om. D. [n] φησὶ accessit ex C.D. Vet. [o] τί οὖν ἐστι, καὶ πῶς ἔστι] Sic Cat. καὶ πῶς ἔστι C. Vet. τί οὖν ἐστι D. τί οὖν ἐροῦμεν; μᾶλλον δὲ πῶς ἔστι Edd.

ἔστι τοῦτο ἐπιλύσασθαι; Οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ'
[p]ἁπλῶς οὕτως ἔλαβε τὴν μαρτυρίαν καὶ ἀφελῶς πρὸς τὸ ἦθος
αὐτῶν τὸ ἐψευσμένον. Διὰ τί γὰρ μὴ [q]ἐπήγαγε, "Καὶ γὰρ
τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο;" [r]Οὐ τοῦτο εἶπεν ὁ
Παῦλος, ἀλλ' ὅτι καλῶς ὁ δεῖνα εἶπεν, ὅτι ψεῦσταί εἰσιν οἱ
Κρῆτες. [s]Οὐκοῦν πόθεν ἰσχυριζόμεθα, ὅτι οὐκ ἔστι θεὸς ὁ
Ζεύς; Ἔνεστι [t]μὲν καὶ ἑτέρωθεν [u]τοῦτο κατασκευάσαι· [v]οὐ
γὰρ δεῖ ἀπὸ τῆς τῶν Κρητῶν μαρτυρίας τοῦτο [w]παράγειν.
Ἄλλως δὲ οὐκ ἐν τούτῳ εἶπεν αὐτοὺς ψεύδεσθαι· [x]εἰκὸς δὲ καὶ D
τοῦτο ἐψεῦσθαι αὐτούς· καὶ [y]γὰρ ἄλλους ἐνόμιζον θεούς. Διὰ
τοῦτο ὁ ἀπόστολος ψεύστας αὐτοὺς εἶπεν. Ἀλλὰ τὸ ζητού-
μενον, τί δήποτε ἀπὸ τῶν Ἑλληνικῶν ἄγει τὰς μαρτυρίας.
Ὅτι μάλιστα τούτοις ἐντρέπομεν αὐτοὺς, ὅταν οἴκοθεν ἐνέγκω-
μεν [z]τὰς κατηγορίας, ὅταν τοὺς παρ' αὐτοῖς θαυμαστοὺς, τού-
τους ἐπιστήσωμεν αὐτοῖς αἰτιωμένους. Διὰ τοῦτο καὶ ἑτέρωθι
κέχρηται λέγων, "Ἀγνώστῳ θεῷ." Οἱ γὰρ Ἀθηναῖοι ἐπειδὴ E
οὐκ ἐξ ἀρχῆς τοὺς [a]θεοὺς παρέλαβον, ἀλλὰ κατὰ χρόνους [b]ἐπή-
εσαν, ὡς τὰ ἐκ τῶν Ὑπερβορέων, ὡς τὰ τοῦ Πανὸς, [c]ὡς τὰ
μικρὰ, ὡς τὰ μεγάλα μυστήρια, στοχαζόμενοι ἀπὸ τούτων, ὅτι 745
εἰκὸς καὶ ἄλλον εἶναι θεὸν, ὑπ' αὐτῶν δὲ ἠγνοῆσθαι, ἵνα καὶ περὶ
ἐκεῖνον ὦσιν [d]εὐκαθοσίωτοι, [e]τούτῳ βωμὸν ἔστησαν [f]ἐπιγρά-
ψαντες, "Ἀγνώστῳ θεῷ," μονονουχὶ τοῦτο δηλοῦντες, καὶ εἴ
τις ἄγνωστος εἴη θεός. Εἶπεν οὖν, ὅτι ὃν προλαβόντες ὑμεῖς
(392) ἐπέγνωτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. [g]Ἀλλὰ, "Τοῦ γὰρ
καὶ γένος ἐσμὲν," περὶ τοῦ Διὸς [h]εἴρηται· "[i]Πλήρεις [k]μὲν

[p] ἁπλῶς οὕτως] ἀπλάστως C.D. Cat. [q] ἐπήγαγε] + τὸ Edd. τὸ om. C.D. Cat. [r] οὐ τοῦτο] Sic C.D. οὐ τοῦτο οὖν Cat. ὥστε οὐ τοῦτο Edd. Mox Παῦλος C.D. Cat. Vet. ἀπόστολος Edd. [s] οὐκοῦν πόθεν ἰσχ.] Sic C.D. Vet. πόθεν οὖν διϊσχ. Cat. οὐκ ἐντεῦθεν δὲ μόνον ἰσχ. Edd. [t] μὲν] Sic C.D. Vet. γὰρ Edd. [u] τοῦτο κατ.] Sic C.D. πολλαχόθεν κατασκευάζοντας Edd. [v] οὐ γὰρ δεῖ] Sic C.D. Cat. Vet. καὶ οὐχὶ Edd. [w] παράγειν] Sic C. Cat. παραγαγεῖν D. σαφῶς ἀποδεῖξαι Edd. [x] εἰκὸς δὲ] Sic C.D. μᾶλλον δὲ εἰκὸς Edd. [y] γὰρ] + καὶ Edd. καὶ om. C.D. [z] τὰς μαρτυρίας καὶ τὰς κατ. Edd. τὰς μαρτυρίας καὶ om. C.D. Cat. Vet. [a] θεοὺς] + πάντας Edd. πάντας om. C.D. Cat. [b] ἐπήεσαν] Sic Cod. Lamb. cxxxv. ἐπιήεσαν C. ἐπεισέβησαν D. *ingressa sunt* Vet. καὶ ἄλλους τινὰς pro ἐπήεσαν Edd. [c] ὡς τὰ μικρὰ, ὡς τὰ μέγαλα μυστήρια] Sic, sed μυρία pro μυστήρια, C.D. *sicuti parva quaelibet ac magna mysteria* Vet. ὡς ἄλλα μυρία ἐπήγαγον ὕστερον οὗτοι K.L.M. Veron. ὡς τὰ μικρὰ, ὡς τὰ μεγ. μυστήρια ἐπήγαγον ὕ. οὗτοι Sav. cet. [d] εὐκαθοσιώτεροι C.D. invita Cat. [e] τούτῳ] καὶ αὐτῷ τούτῳ D. [f] ἐπιγράψαντες—θεὸς] ὡσανεί φησιν, καὶ εἴ τις ἄγν. εἴη θ. καὶ ἐπεγράφετο (ἐπεγέγραπτο D.) ὁ βῶμος, ἀγν. θεῷ C.D. invito Vet. [g] ἀλλὰ] Sic C.D. πάλιν Cat. τὸ δὲ Edd. [h] εἴρηται] + τῷ Ἀράτῳ· ὃς ἐπεὶ ἀρχόμενος εἶπε Edd. + φησὶ γὰρ Cat. Haec desunt in C.D. [i] πλήρεις] Sic D. Cat. πλῆραι C.E. μεσταὶ Edd. [k] μὲν Δ.] Sic D.E. Cat. δὲ Δ. μὲν Edd.

Διὸς ἀγυιαὶ, [l]πλήρεις δὲ θάλασσαι·" [m]εἶτα μετὰ μικρόν φησι·
B "Τοῦ γὰρ καὶ γένος ἐσμέν." [n]Ἄρατος αὐτὰ εἶπε. Πῶς οὖν ὁ
Παῦλος τὰ περὶ τοῦ Διὸς εἰρημένα [o]εἵλκυσεν εἰς τὸν θεὸν τῶν
ὅλων; Οὐ τὰ περὶ τοῦ Διὸς εἰρημένα εἵλκυσεν εἰς τὸν [p]θεὸν,
ἀλλὰ τὰ προσήκοντα τῷ θεῷ, [q]καὶ οὐ γνησίως οὐδὲ κυρίως ἐπι-
τεθέντα τῷ Διΐ, ταῦτα ἀποδίδωσι τῷ θεῷ· ἐπεὶ καὶ τὸ, θεὸς,
ὄνομα αὐτοῦ [r]μόνου ἐστὶ, καὶ παρανόμως ἐπίκειται τοῖς εἰδώ-
λοις. Ἀλλὰ πόθεν ἐχρῆν αὐτοῖς διαλεχθῆναι; [s]ἀπὸ προφη-
τῶν; Ἀλλ' οὐκ ἂν ἐπίστευσαν· ἐπεὶ καὶ Ἰουδαίοις οὐδὲν ἀπὸ
[t]τῶν Εὐαγγελίων φθέγγεται, ἀλλ' [v]ἀπὸ προφητῶν· διὰ τοῦτό
C φησιν, [3]"Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις
ὡς ἄνομος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον." Τοῦτο καὶ ὁ θεὸς
[w]ποιεῖ· οἷον ἐπὶ τῶν μάγων, οὐ δι' ἀγγέλου αὐτοὺς ἄγει, οὐ διὰ
προφήτου, οὐ δι' ἀποστόλου, [x]οὐ δι' εὐαγγελιστοῦ, ἀλλὰ πό-
θεν; [y]Διὰ ἄστρου· ἐπειδὴ γὰρ περὶ ταῦτα τὴν τέχνην εἶχον,
ἐκεῖθεν αὐτοὺς εἵλκυσε. Πάλιν ἐπὶ τῶν βοῶν [z]ἐπὶ τῆς κιβωτοῦ,
[4]ἐὰν [a]πορευθῶσι, φησὶ, τήνδε τὴν ὁδὸν, ἀληθής ἐστιν ἡ τοῦ
θεοῦ ἀγανάκτησις, καθάπερ οἱ μάντεις [b]ὑπετίθεντο. Οὐκοῦν
ἀληθεύουσιν οἱ μάντεις; Ἄπαγε· ἀλλ' ἀπὸ τῶν οἰκείων [c]αὐτοὺς
D στομάτων ἐλέγχει καὶ καταπλήττει. Πάλιν ἐπὶ τῆς ἐγγαστρι-
μύθου· καὶ γὰρ ἐπειδὴ ταύτῃ ἐπίστευε, διὰ ταύτης ἐποίησεν
ἀκοῦσαι τὸν [d]Σαοὺλ τὰ μέλλοντα αὐτὸν καταλαμβάνειν. Τίνος
οὖν ἕνεκεν ἐπεστόμισε τὸν δαίμονα ὁ Παῦλος [e]τὸν λέγοντα,
[5]"Οὗτοι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλ-
λουσιν [f]ἡμῖν ὁδὸν σωτηρίας;" τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς
κωλύει τοὺς δαίμονας φθέγγεσθαι; Ἐκεῖ [g]μὲν εἰκότως· καὶ γὰρ
τὰ σημεῖα προεχώρει· ἐπεὶ καὶ ἐνταῦθα οὐκ ἀστὴρ ἦν, ἀλλ' αὐ-
τὸς [h]ἑαυτὸν ἐκήρυττε· καὶ οἱ δαίμονες δὲ [i]οὐχὶ προσεκυνοῦντο.

[3] 1 Cor. ix. 20, 21. [4] 1 Reg. vi. 9. [5] Act. xvi. 17.

[l] πλήρεις δὲ θάλασσαι] Sic D. Cat. πλῆραι δὲ θάλασσαι C. πλῆραι δὲ θαλάσσῃ E. μεστὴ δὲ θάλασσα Edd. [m] εἶτα μετὰ (μετὰ om. E.) μικρόν φ. (φ. om. Cat.)] Sic C.D.E. Cat. Vet. τότε ἐπήγαγε τὸ Edd. [n] Ἄρατος αὐτὰ εἶπε] Sic C.D. Cat. ἆρα τοσαῦτα εἶπε; E. δεικνὺς οἶμαι κἀκεῖνος ὅτι γεγόναμεν ἐκ θεοῦ Edd. [o] εἵλκυσεν] ἕλκει D. Cat. εἵλκυσεν post ὅλων transp. Edd. invitis C.D.K.L. Cat. Statim εἰς τῶν ὅλων θ. C. ἐπὶ τὸν θ. τὸν τῶν ὅ. Cat. [p] θεὸν] + τὸν τῶν ὅλων C. [q] καὶ οὐ] μὲν, οὐχὶ K.L.M. Post γνησίως add. δὲ M. [r] μόνον D.K.L.M. invita Cat. [s] ἀπὸ τῶν πρ. Edd. τῶν om. C.D. Cat. [t] τοῦ εὐαγγελίου E. διαλέγεται pro φθέγγεται C. [v] ἀπὸ τῶν πρ. Edd. τῶν om. C.D.K.L.M. Cat. [w] ἐποίει C.K.L.M. invita Cat. [x] οὐ δι' εὐ. om. D. [y] διὰ] ἀπὸ in text. C. δι' D. Cat. et marg. C. [z] ἐπὶ] καὶ Cat. [a] πορευθῶ E. [b] ὑπετίθοντο C. ὑπερετίθεντο D. [c] αὐτοὺς στ.] Sic K.L.M. Cat. αὐτῶν στ. (et post ἐλέγχει add. τούτους) E. στ. αὐτοὺς Edd. [d] Σαμουὴλ E. [e] τὸν om. K. Mox οὗτοι οἱ ἄνθρωποι Edd. οἱ ἄνθρωποι om. C.E. Cat. [f] ὑμῖν D.K. [g] μὲν] + γὰρ K. [h] αὐτὸν C. Cat. [i] οὐχὶ omnes. οὐ Edd.

Οὐκ [k] ἦν εἴδωλον τὸ φθεγγόμενον, ἵνα κωλυθῇ. Καὶ τὸν Βα- E
λαὰμ δὲ εἴασεν εὐλογῆσαι, καὶ οὐκ [l] ἐκώλυσεν· οὕτω πανταχοῦ
συγκαταβαίνει. Καὶ τί τοῦτο θαυμάζεις; [m] Αὐτὸς περὶ ἑαυτοῦ
ἀφίησι δόξας [n] πονηρὰς καὶ [o] ἀναξίους ἑαυτοῦ συνίστασθαι, οἷον
ὅτι [p] σῶμα ἦν πρότερον, ὅτι ὁρατός· πρὸς τοῦτο [q] γοῦν λέγει,
ὅτι [6] "Πνεῦμα ὁ θεός." Πάλιν ὅτι χαίρει ταῖς θυσίαις, ὅπερ
ἦν ἀλλότριον αὐτοῦ, καὶ ῥήματα φθέγγεται ἀπᾴδοντα αὐτοῦ
τῆς ὁμολογίας· καὶ ὅσα τοιαῦτα. Οὐδαμοῦ γὰρ [r] τὴν ἀξίαν ὁρᾷ F
τὴν [s] αὐτοῦ, ἀλλὰ πανταχοῦ τὸ ἡμῖν χρήσιμον. Εἰ γὰρ πατὴρ
οὐχ ὁρᾷ τὴν ἀξίαν τὴν ἑαυτοῦ, ἀλλὰ συμψελλίζει τοῖς παιδίοις,
καὶ τροφὴν καὶ ἐδέσματα καὶ [t] ποτὰ οὐχ Ἑλληνικοῖς ὀνόμασι
καλῶν, ἀλλὰ παιδικῇ τινι διαλέξει καὶ βαρβάρῳ, πολλῷ μᾶλλον 746
ὁ θεός. Καὶ ὀνειδίζει [v] συγκαταβατικῶς διὰ τοῦ προφήτου
λέγων· [7] "Εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν·" καὶ πανταχοῦ
συγκατάβασίς ἐστι [w] τὰ ἐν ταῖς γραφαῖς, [x] καὶ ῥήματα καὶ
πράγματα. "Δι' ἣν αἰτίαν, [y] φησὶν, ἔλεγχε αὐτοὺς ἀποτόμως,
ἵνα ὑγιαίνωσιν [z] ἐν τῇ πίστει." Διὰ τοῦτο, φησὶν, ἐπειδὴ [a] ἦθος
αὐτοῖς ἐστιν [b] ἰταμὸν, δολερὸν, ἀκόλαστον· [c] τὰ γὰρ μυρία κακὰ
αὐτοὶ ἔχουσιν. [d] Ὅταν καὶ ψεύδωνται προχείρως, καὶ δολεροὶ
ὦσι καὶ γαστρίμαργοι καὶ ἀργοὶ, σφοδροῦ καὶ πληκτικοῦ τοῦ B
λόγου [e] δεῖ· προσηνείᾳ γὰρ οὐκ ἂν ἀχθείη ὁ τοιοῦτος. Ἔλεγχε
οὖν αὐτούς. Ἐνταῦθα [f] οὐ τοὺς ἀλλοτρίους [g] φησὶν, ἀλλὰ τοὺς
οἰκείους. "Ἀποτόμως·" βαθυτέραν, φησὶ, δίδου τὴν πληγήν.
Οὐ γὰρ πᾶσιν ἑνὶ τρόπῳ προσενεκτέον, ἀλλὰ διαφόρως καὶ
ποικίλως, καὶ πρὸς τὰ ὑποκείμενα. Οὐδαμοῦ παρακαλεῖ ἐνταῦθα.
Ὥσπερ γὰρ ὁ τὸν ἐπιεικῆ καὶ εὐγενῆ πλήττων [h] ἀναιρεῖ καὶ
ἀπόλλυσιν· οὕτως ὁ τὸν δεόμενον σφοδρότητος κολακεύων δια-
φθείρει καὶ οὐκ ἀφίησι [i] διαναστῆναι. "Ἵνα ὑγιαίνωσι, φησὶν,
ἐν τῇ πίστει." Ἄρα τοῦτο [k] ὑγεία, τὸ μηδὲν [l] νόθον μηδὲ ἀλλό- C
τριον ἐπεισάγειν. Εἰ δὲ οἱ βρώματα [m] παρατηροῦντες οὐχ

[6] Joan. iv. 24. [7] Jer. ii. 11.

[k] ἦν] + γὰρ Edd. γὰρ om. C.D. Cat. [l] ἐκώλυσεν] + ἐλθεῖν C. Cat. [m] αὐτὸς] ὅπου K.L.M. [n] πονηρίας C. [o] ἀναξίας E. Statim αὐτοῦ K.L.M. [p] σῶμα] τὸ σῶμα E. [q] οὖν C.E. Statim ὅτι assumtum ex C.D. Vet. [r] τὴν] Sic libri omnes et Veron. αὐτὴν mendose Sav. cet. [s] αὐτοῦ] Sic C.D. οἰκείαν K.L.M. αὐτοῦ Veron. Sav. Mor. ἑαυτοῦ Ben. [t] ποτὰ] Sic C.D. πόματα Edd. Post πόματα add. δίδωσιν E. [v] συγκαταβατικῶς] + ὁ προφήτας χρίων θεὸς E. [w] τὰ] καὶ τὰ E. [x] καὶ om. K. [y] φησὶν om. K.L.M. [z] ἐν assumtum ex C.D. [a] ἔθος C. [b] ἰτ. καὶ δ. καὶ ἀκ. Edd. repugnantibus libris. [c] τὰ γὰρ] Sic C.D.K.L.M. τὰ δὲ Veron. τάδε Sav. cet. τὰ γὰρ—αὐτοὶ] οὗτοι τὰ μ. κ. E. [d] ὅταν] + δὲ E. καὶ om. D. [e] δεῖ ante σφοδροῦ transp. C.D. [f] οὐ τοὺς—ἀποτόμως] τοὺς οἰκείους φησὶν, ἀλλὰ καὶ ἀποτόμως E. [g] φησὶν] λέγει K.L.M. [h] ἀναιρεῖ καὶ om. C. [i] ἀναστῆναι E. [k] ὑγίεια D. [l] ἀλλότρ. μηδὲ νόθ. inverso ord. K.L.M. Statim ἐπεισαγαγεῖν E. [m] ἐπιτηροῦντες E. Veron.

ὑγιαίνουσιν, ἀλλὰ νοσοῦσι καὶ ἀσθενοῦσι· [8] "Τοὺς γὰρ ἀσθε-
νοῦντας, φησὶ, τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις
[n]διαλογισμῶν·" τί ἂν [o]εἴποιμεν περὶ τῶν τὰ αὐτὰ νηστευόντων
αὐτοῖς, περὶ τῶν σαββατιζόντων, περὶ τῶν εἰς τόπους ἀπερχο-
μένων ἐκείνοις ἀφιερωμένους; τὸν ἐν Δάφνῃ λέγω, τὸ τῆς Μα-
τρώνης λεγόμενον σπήλαιον, τὸν ἐν Κιλικίᾳ τόπον τὸν τοῦ (393)
[p]Κρόνου λεγόμενον; πῶς δὲ οὗτοι ὑγιαίνουσι; Διὸ [q]χρὴ σφο-
δροτέρας αὐτοῖς τῆς πληγῆς. Διὰ τί οὖν ἐπὶ Ῥωμαίων [r]αὐτὸ
D οὐ ποιεῖ; Ὅτι οὐ τοιαῦτα τὰ ἤθη ἐκείνων, [s]ἀλλ' εὐγενέστεροι
ἐτύγχανον. "Μὴ προσέχοντες, [t]φησὶν, Ἰουδαϊκοῖς μύθοις."
[v]Διπλῆ μῦθος τὰ Ἰουδαϊκὰ, [w]καὶ ὅταν παραποίησις ᾖ, καὶ ὅταν
παρὰ καιρὸν ᾖ τὸ πρᾶγμα· λοιπὸν γὰρ μῦθος γίνεται. Ὅταν
γὰρ μὴ δεῖ αὐτὸ γενέσθαι, καὶ γενόμενον βλάπτῃ, μῦθός ἐστιν,
[x]ὥσπερ ἄχρηστόν ἐστιν. Ὥσπερ [y]οὖν ἐκείνοις οὐ δεῖ πείθεσθαι,
οὕτως οὐδὲ τούτοις· οὐ γάρ ἐστιν ὑγιαίνειν. Εἰ γὰρ πιστεύεις
τῇ πίστει, τί ἕτερα ἐπεισάγεις, ὡς οὐκ ἀρκούσης τῆς πίστεως
δικαιῶσαι; [z]τί καταδουλοῖς ἑαυτὸν καὶ ὑποβάλλεις τῷ νόμῳ;
E Οὐ θαρρεῖς τῷ πράγματι; Τοῦτο νοσοῦντός ἐστι καὶ ἀπι-
στοῦντος· [a]πιστῆς γὰρ [b]ἐστι διανοίας μὴ ἀμφιβάλλειν· ἀμφι-
βάλλει δὲ ὁ τοιοῦτος.

[9] "[c]Πάντα μὲν, φησὶ, καθαρὰ τοῖς καθαροῖς." Ὁρᾷς [d]ὅτι
πρός τι ἐστὶ τὸ εἰρημένον; "Τοῖς δὲ μεμιαμμένοις, [e]φησὶ, καὶ
ἀπίστοις οὐδὲν καθαρόν." Οὐκ ἄρα παρὰ τὴν οἰκείαν φύσιν
καθαρὰ ἢ ἀκάθαρτα, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν μεταλαμ-
βανόντων. "Ἀλλὰ μεμίανται αὐτῶν, [f]φησὶ, καὶ ὁ νοῦς καὶ ἡ
συνείδησις. [10] Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦν-
747 ται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν
ἀδόκιμοι." Οὐκοῦν καὶ [g]ὗς καθαρόν· τί οὖν ὡς ἀκάθαρτον ἀπη-
γόρευται; [h]Οὐ τῇ φύσει ἀκάθαρτον ἦν· πάντα γὰρ καθαρά·
ἐπεὶ οὐδὲν ἰχθύος ἀκαθαρτότερον, ὅπου γε [i]καὶ ἀνθρωπίνων
ἀπογεύεται σωμάτων· ἀλλ' [k]ἐπετέτραπτο, καὶ καθαρὸν εἶναι

8 Rom. xiv. 1. 9 v. 15. 10 v. 16.

[n] λογισμῶν C. [o] εἴποιμεν] Sic C.D. Vet. εἴποιμι E. Veron. εἴποι τις Sav. cet. [p] Κρίνου C. Χρόνου Veron. Statim καλούμενον K.L.M. [q] χρὴ] χρεία C. [r] αὐτὸ] τὸ αὐτὸ E. [s] ἀλλ' εὐγ.] ἀλλὰ χρηστότερα· εὐγ. γὰρ E. [t] φησὶν om. K.L.M. [v] διπλοῦς E. [w] καὶ ὅταν—πρᾶγμα] Sic C.D. Cat. et (om. καὶ ὅταν παρ. ᾖ) E. καὶ ὅτι παρ. καὶ ὅτι παρὰ κ. τὸ πρ. Edd. [x] Haec ὥσπερ ἄ. ἐστιν, inclusa a Sav. om. C.D.K.M. invitis Cat. Vet. [y] οὖν] γὰρ E. οὖν om. C. Cat. [z] τί] καὶ E. τί om. Veron. Mox σεαυτὸν K.L.M. σαυτὸν C. [a] πίστις E.L. [b] ἐστι om. C.K.M. Sav. cet. Statim διανοίᾳ E. [c] πάντα μὲν, φ.] τὰ μὲν K.L.M. [d] ὅτι] πῶς K.L.M. ὅτι om. E. [e] φησὶ om. K.L.M. [f] φησὶ om. iidem. [g] ὁ ὗς Edd. ὁ om. C.E.K.L. Cat. [h] οὐ τῇ φ.] τί οὖν E. Veron. [i] καὶ om. C.E. Veron. [k] ἐπιτέτραπτο E. Veron. ἐπετ. καθαρὸν εἶναι. ἐδόκει πάλιν C.D.

ἐδόκει. Πάλιν οὐδὲν ὄρνιθος ἀκαθαρτότερον· σκώληκας γὰρ
ἐσθίει· [l]οὐδὲν ἐλάφου· καὶ γὰρ [m]καὶ παρὰ τοῦτό φασιν [n]αὐτὸν
καλεῖσθαι ἔλαφον διὰ τὸ ὄφεις ἐσθίειν· ἀλλὰ πάντα ταῦτα
ἠσθίετο. Τίνος οὖν ἕνεκεν τὸν ὗν καὶ ἕτερά τινα [o]τοιαῦτα ἀπη-
γόρευσεν; Οὐχ ὡς ἀκάθαρτα, ἀλλὰ τὸ πλέον τῆς τρυφῆς περι- B
κόπτων. Ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, οὐκ ἂν ἔπεισε· νῦν δὲ τῷ
φόβῳ τῆς ἀκαθαρσίας αὐτοὺς κατέσχε. Τί [p]δὲ, εἰπέ μοι, οἴνου
ἀκαθαρτότερον, εἰ ταῦτα ἐξετάζειν χρή; τί δὲ ὕδατος, [q]εἰπέ
μοι, ᾧ μάλιστα ἐκαθαίροντο; [r]Νεκρῶν οὐχ ἥπτοντο, καὶ νεκρῷ
[s]καθηγνίζοντο· τὸ γὰρ σφαζόμενον [t]νεκρὸν, καὶ τούτῳ ἐκαθαί-
ροντο. Οὕτω [v]παίδων ἦν διδασκαλία. Σκόπει δέ· ὁ οἶνος οὐχὶ
ἀπὸ κόπρου τὴν σύστασιν ἔχει; ὥσπερ γὰρ ἀπὸ τῆς γῆς ἕλκει
ἡ ἄμπελος τὴν νοτίδα, οὕτω καὶ ἀπὸ τῆς κόπρου τῆς παρακει-
μένης. Καὶ ὅλως, εἰ βουλοίμεθα ἀκριβολογεῖσθαι, πάντα ἀκά- C
θαρτα. Ἀλλ' οὐδὲν, [w]εἰ βουλοίμεθα μὴ ἀκριβολογεῖσθαι, ἀκά-
θαρτον, [x]ἀλλὰ πάντα καθαρά· οὐδὲν ὁ θεὸς ἀκάθαρτον ἐποίη-
σεν· οὐδὲν γὰρ ἀκάθαρτον, [y]ἀλλ' ἢ ἁμαρτία μόνη· ψυχῆς γὰρ
ἅπτεται, καὶ [z]ταύτην ῥυποῖ. Τοῦτο δὲ πρόληψίς ἐστιν ἀνθρω-
πίνη. "Τοῖς δὲ μεμιαμμένοις, φησὶ, καὶ ἀπίστοις οὐδὲν καθαρὸν,
ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις." Πῶς γὰρ
ἐν τοῖς καθαροῖς [a]ἀκάθαρτον ἂν εἴη; Ὁ ψυχὴν ἔχων ἀσθενῆ,
πάντα ῥυποῖ. [b]Εἰ γὰρ ἓν παραιτοῖτο, τὸ καθαρὸν καὶ τὸ ἀκά-
θαρτον ζητῶν, οὐδενὸς ἅψεται· οὐδὲ γὰρ ταῦτα καθαρὰ, [c]ἰχθῦς D
λέγω, καὶ τὰ ἄλλα κατὰ τὸν [d]αὐτὸν λόγον· "[e]Μεμίανται αὐ-
τῶν, φησὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις·" ἀλλὰ πάντα μιαρά.
Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; Περιέτρεψεν εἰς αὐτοὺς τὸ
πᾶν. Οὐδὲν γὰρ ἀκάθαρτον, φησὶν, ἀλλ' αὐτοὶ, καὶ ὁ νοῦς καὶ
ἡ συνείδησις αὐτῶν. Τούτων οὐδέν ἐστιν [f]ἀκάθαρτον· [g]ἔργα
γάρ ἐστι θεοῦ· [h]προαίρεσις πονηρὰ, ἀκάθαρτον. "Θεὸν ὁμο-

[l] οὐδὲν] + χεῖρον K.L.M. [m] καὶ om. D.E. [n] αὐτὴν C.D. αὐτὸν om. E. [o] τοιαῦτα om. C.E. Veron. [p] δὲ] Sic C.D.E.K.L. γὰρ Edd. [q] εἰπέ μοι] συνεχῶς K.L.M. εἰπέ μοι om. E. [r] νεκροῖς D. νεκρῶν—ἐκαθαίροντο om. C.E. Veron. [s] ἐκαθαίροντο D. [t] νεκρὸν] κρεῖττον D.K.L.M. [v] παίδων ἦν om. C. ἦν om. D. Statim ἡ διδ. C.D. Sav. cet. [w] εἰ β.] τοῖς βουλομένοις K.L.M. [x] ἀλλὰ—οὐδὲν γὰρ ἀκάθαρτον om. E. [y] ἀλλ' ἢ] Sic D. ἀλλ' C. εἰ μὴ ἡ Edd. Statim μόνον D. [z] ταύτην] + λυπεῖ ἢ μᾶλλον E. [a] ἀκάθαρτος L. πῶς—εἴη;] ἐν δὲ τοῖς καθαροῖς, πῶς ἂν εἴη ἀκάθαρτα, εἰ μὴ ἁμαρτία μόνη. ἀλλὰ πάντα καθαρὰ, οὐδὲν ὁ θεὸς ἀκάθαρτον ἐποίησεν· οὐδὲ γὰρ ἀκάθαρτον ἂν εἴη. E. [b] Vid. Annot. [c] ἰχθῦς] ὁ ἰχθῦς C.D. [d] αὐτὸν omnes. αὐτῶν Edd. Statim λόγον pro λογισμὸν C.D. [e] μεμίανται] + γὰρ K.L.M. Mox ἀλλ' ἅπαντα C. [f] ἀκαθαρτότερον K.L.M. Sav. cet. [g] ἔργα γάρ ἐστι (+ τοῦ C.) θεοῦ] Sic C.D. *sunt autem Dei opera* Vet. εἰ γάρ ἐστι E. εἰ γάρ ἐστι θεοῦ Veron. Haec desunt in K.L.M. Sav. cet. [h] πρ. πονηρὰ, ἀκαθ.] Sic C.D.E. Cat. Veron. Vet. Etiam haec absunt a K.L.M. Sav. cet.

λογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ
ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. [11] Σὺ δὲ λάλει
ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ." Τοῦτό ἐστιν ἀκαθαρσία·
E [i] οὗτοί εἰσιν ἀκάθαρτοι· ἀλλὰ [k] μηδὲν τούτων ἕνεκεν σιγήσῃς.
[l] Κἂν μὴ δέχωνται, φησὶ, σὺ τὰ σαυτοῦ [m] πρᾶττε· κἂν μὴ πεί-
θωνται, σὺ παραίνει καὶ συμβούλευε. Ἐνταῦθα πλέον αὐτοὺς
διαβάλλει. Καὶ γὰρ οἱ μαινόμενοι οὐδὲν νομίζουσιν ἑστηκέναι·
ἀλλ' οὐ παρὰ τὰ ὁρώμενα τοῦτο γίνεται, ἀλλὰ παρὰ τοὺς
ὁρῶντας ὀφθαλμούς. [n] Ἐπειδὴ ἄστατοί εἰσι καὶ ἰλιγγιῶντες,
F νομίζουσι [o] περιστρέφεσθαι αὐτοῖς τὴν γῆν· ἀλλ' οὐ περιστρέ-
φεται, ἀλλ' ἕστηκε παγία· τοῦ γὰρ πάθους αὐτῶν ἡ [p] ὑπόνοια,
748 οὐ τοῦ στοιχείου τὸ πάθος. Οὕτω καὶ ἐνταῦθα· ὅταν ψυχὴ
ἀκάθαρτος ᾖ, πάντα ἀκάθαρτα νομίζει. [q] Ἆρα οὐ τὸ παρα- (394)
τηρεῖσθαι καθαρότητος, ἀλλὰ [r] καθαρότητος τὸ πάντων κατα-
τολμᾶν· [s] ὁ γὰρ φύσει καθαρὸς, πάντων κατατολμᾷ, οἱ δὲ ἐρρυ-
πωμένοι, οὐδενός. Τοῦτο καὶ πρὸς Μαρκίωνα ἔστιν εἰπεῖν.
Ὁρᾷς ὅτι καθαρότητος τεκμήριον τίθεται τὸ παντὸς ῥύπου
ἀνώτερον εἶναι; τὸ [t] δὲ μηδενὸς ἅπτεσθαι, ἀκαθαρσίας; Οὕτω
B καὶ ἐπὶ θεοῦ· ὅτι σάρκα ἀνέλαβε, τοῦτο καθαρότητος· [v] εἰ δὲ
δεδοικὼς οὐκ ἀνέλαβε, ῥύπου. Ὁ τὰ δοκοῦντα εἶναι ἀκάθαρτα
μὴ ἐσθίων, οὗτός [w] ἐστιν ἀκάθαρτος καὶ ἀσθενής· ὁ δὲ ἐσθίων,
οὐκέτι. Μὴ καθαροὺς τοίνυν καλῶμεν τοὺς τοιούτους· οὗτοί
εἰσιν [x] οἱ ἀκάθαρτοι· ὁ δὲ πάντων κατατολμῶν, καθαρός. Ταύ-
την τὴν εὐλάβειαν ἐπὶ τῶν ῥυπούντων τὴν ψυχὴν [y] ἐπιδείκνυσθαι
χρή· ἐκεῖνο γὰρ ἀκαθαρσία, ἐκεῖνο ῥύπος· τοῦτο δὲ οὐδὲν τού-
των. Ἐπεὶ καὶ οἱ στόμα ἔχοντες διεφθαρμένον νομίζουσι τὰ
C προσφερόμενα ἀκάθαρτα εἶναι, τοῦτο δὲ [z] τοῦ πάθους ἐστί. Τί
οὖν; χρὴ σφόδρα εἰδέναι περὶ [a] τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων
τὴν φύσιν.

11 Cap. II. v. 1.

[i] οὗτοι] Sic C.D.K.L. αὐτοὶ Edd. Statim εἰσιν οἱ ἀκ. C. [k] μηδὲν] μηδὲ D. μὴ K.L.M. Sav. cet. invita Cat. [l] κἂν] ἀλλὰ κἂν (om. φησὶ) K.L.M. [m] ποίει C. [n] ἐπειδὴ]+γὰρ K.L. Mox καὶ οἱ ἰλ. C.D. [o] περιέστρεφθαι C. [p] ὑπόνοια] Sic C.D.E.K.M. et ex corr. L. *suspicio* Vet. ἀπόνοια Edd. [q] ἆρα]+οὖν K.L.M. Sav. cet. invita Cat. ἆρα—κατατολμᾶν] ἆρα οὐ ταῦτα καθαρότητος τὸ μὴ πάντων κ. Veron. [r] καθαρότητος om. E. [s] ὁ] ναὶ, φησίν· ὁ E. Mox ῥερυπ. E. Veron. [t] δὲ μηδενὸς] μηδεμιᾶς D. [v] εἰ δὲ δεδ.] Sic C. εἰ δεδ. δὲ K.L.M. Sav. cet. δὲ om. D. εἰ—ῥύπου] εἰ δὲ καὶ εἰς γαστέρα ἐδεδύκει, οὐδ' οὕτως ἀνέλαβε ῥύπον E. εἰ δ' ἐδηδόκει (sic) οὐκ ἀνέλαβε ῥύπον Veron. [w] ἐστιν om. C. [x] οἱ om. E. [y] ἐπιδείκνυσθε K.M. χρὴ om. K.L.M. [z] τοῦ π. ἐστὶ] ἐστι τοῦ π. K.L.M. [a] τῶν καθαρῶν καὶ om. D. Vet. καὶ τῶν ἀκαθάρτων om. C.E. Veron. τί οὖν;—φύσιν] χρὴ τοίνυν τῶν καθ. σφόδρα εἰδέναι καὶ τῶν ἀκαθ. τὴν φ. K.L.M. Sav. cet.

[b]Τί οὖν ἐστιν ἀκάθαρτον; Ἁμαρτία, κακία, πλεονεξία, [c]πο-
νηρία. [12]" Λούσασθε, φησὶ, καθαροὶ [d]γένεσθε, ἀφέλετε τὰς
πονηρίας [e]ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν." " Καρδίαν καθαρὰν
κτίσον ἐν ἐμοὶ, ὁ θεός." " Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ
ἀφορίσθητε, [f]φησὶ, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε." Ἐπεὶ καὶ αἱ
παρατηρήσεις ἐκεῖναι σύμβολα ἦσαν [g]καθαρσίων. [13]" Νεκροῦ, D
φησὶ, μὴ ἅψῃ." Τοιοῦτον γὰρ ἡ ἁμαρτία, νεκρὸν καὶ ὀδωδός.
Ὁ λεπρὸς, φησὶν, ἀκάθαρτός ἐστι. Καὶ γὰρ ἡ ἁμαρτία ποι-
κίλον καὶ πολυειδές. Καὶ [h]ὅτι τοῦτο αἰνίττεται, ἐκ τῶν ἑξῆς
δῆλον. Ἐὰν [i]γὰρ ᾖ διαπαντὸς ἡ λέπρα [k]καὶ καθ' ὅλου τοῦ
σώματος, καθαρός ἐστιν· ἐὰν δὲ ἐν μέρει, οὐκέτι. Ὁρᾷς ὅτι
τὸ ποικίλον καὶ ἐνηλλαγμένον ἐστὶ τὸ ἀκάθαρτον; Πάλιν ὁ
γονορρυὴς [l]ἀκάθαρτος. [m]Ἐν τῇ ψυχῇ λόγισαι [n]τὸν γονορρυῆ,
τὸν τὰ σπέρματα ἀποβάλλοντα. Ὁ μὴ περιτμηθεὶς πάλιν
ἀκάθαρτος. Ὁρᾷς [o]πῶς οὐκ ἔστι ταῦτα ἀλληγορία, ἀλλὰ τύ- E
ποι; ὁ μὴ περιελὼν, φησὶ, τῆς ψυχῆς τὴν κακίαν. Ὁ ἐργαζό-
μενος [p]ἐν τῷ σαββάτῳ, λιθάζεται· τουτέστιν, ὁ μὴ διαπαντὸς
ἀνακείμενος τῷ θεῷ, [q]οὗτος ἀπόλλυται. [r]Ἴδωμεν πόσοι τρόποι
ἀκαθαρσιῶν. Ἡ ἀπὸ λέχους, φησὶν, ἀκάθαρτός ἐστι. Διὰ τί,
εἰπέ μοι; οὐχὶ σπόρον καὶ γέννησιν αὐτὸς ἐποίησε; τίνος οὖν
ἕνεκεν ἀκάθαρτος ἡ γυνὴ, εἰ μὴ ἕτερόν τι ᾐνίττετο; Τί [s]δὲ
τοῦτό ἐστιν; Εὐλάβειαν ἐνέτικτε τῇ ψυχῇ, τῆς πορνείας
[t]ἀπῆγε πόρρω. Εἰ γὰρ ἡ τεκοῦσα ἀκάθαρτος, πολλῷ μᾶλλον
ἡ πορνεύουσα· εἰ τὸ τῇ γυναικὶ τῇ ἑαυτοῦ πλησιάζειν οὐ σφό- F
δρα καθαρὸν, τὸ ἀλλοτρίᾳ μίγνυσθαι πολλῷ μᾶλλον. [v]Ὁ ἀπὸ
κήδους, φησὶν, ἀκάθαρτος· πολλῷ μᾶλλον ὁ ἀπὸ [w]φόνου καὶ
πολέμου. Καὶ πολλοὺς ἂν εὕροι τις τρόπους [x]ἀκαθαρσιῶν, 749
[y]καὶ δεῖ πάντας ἀναλέξασθαι. Ἀλλ' οὐ νῦν ταῦτα ἀπαιτού-
μεθα, ἀλλὰ μετέστη εἰς τὴν ψυχὴν τὸ πᾶν. Τὰ γὰρ σωματικὰ
ἐγγυτέρω ἡμῶν· διὰ τοῦτο ἀπὸ [z]τούτων ἐνήγαγεν. Ἀλλ' οὐ

12 Esai. i. 16. Psal. l. 12. Esai. lii. 11. 13 Num. xix. 16.

[b] ΗΘΙΚΟΝ. Ὅτι οὐδὲν ἄλλο ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία, ἡ πλεονεξία, καὶ τὰ ὅμοια· τὰ δὲ δοκοῦντα ἀκάθαρτα, ὀνόματι μόνῳ, ἀλλ' οὐκ ἀληθείᾳ εἰσί. Veron. [c] πορνεία K.L.M. Sav. Mor. Mox φησὶ om. E. [d] γένεσθε C.E.K.L.M. γίνεσθε Edd. [e] ὑμῶν om. C. [f] φησὶ om. K.L.M. [g] ἀκαθαρσιῶν E. [h] ὅτι] + τοιοῦτόν ἐστι καὶ E. [i] γὰρ] + φησὶν C. [k] καὶ om. D. [l] ἀκάθαρτος D.E.K.L.M. ἀκάθαρτον Veron. Sav. Mor. [m] ἐν] μὲν C. Statim τῇ om. D. Vulgo interpungitur ἀκάθαρτος ἐν τῇ ψυχῇ. λόγισαι. Nobiscum facit M. [n] τὸν] ἢ τὸν C. Statim γονορρύην E. [o] πῶς] ὡς C. [p] ἐν] φησὶ E. Statim τῷ om. C.D. [q] οὗτος] + λιθάζεται καὶ E. [r] Ἴδωμεν] εἴδετε K.L.M. Sav. cet. [s] δὲ] δὴ D. δαὶ K.L.M. [t] ἀπῆγε C.E.K.L.M. ἀπήγαγε Edd. [v] ὁ] εἰ ὁ E.L. [w] φόνου καὶ om. E. Veron. Vet. [x] ἀκαθαρσίας K. [y] καὶ] εἴγε K.L.M. Sav. cet. Statim ἅπαντας C. Mox ἀναδέξασθαι D. ἀναλέγεσθαι K.L.M. Sav. cet. [z] τούτων] Sic C.D. Vet. τούτου Edd. Statim ἐνῆγε τότε pro ἐνήγαγε K.L.M.

νῦν· οὐ γὰρ ἔδει [a]παρακαθέζεσθαι τοῖς τύποις, οὐδὲ προσεδρεύειν
ταῖς σκιαῖς, ἀλλὰ [b]τῆς ἀληθείας ἔχεσθαι, καὶ ταύτης ἀντιλαμ-
βάνεσθαι. Ἀκάθαρτον ἡ ἁμαρτία· ταύτην φεύγωμεν, ταύτης
ἀπεχώμεθα· [14] "Ἐὰν προσέλθῃς, φησὶ, πρὸς αὐτὴν, [c]δήξεταί σε."
Οὐδὲν πλεονεξίας ἀκαθαρτότερον. Πόθεν τοῦτο δῆλον; Ἀπ'
B αὐτῶν τῶν πραγμάτων. Τί γὰρ οὐ μιαίνει; [d]χεῖρας, ψυχὴν,
αὐτὴν τὴν οἰκίαν, ἔνθα ἀπόκειται τὰ ἁρπαζόμενα. Πρὸς Ἰου-
δαίους μὲν [e]οὖν οὐδὲν τοῦτο εἶναι δοκεῖ. [f]Καίτοι ὀστᾶ ἐβά-
στασεν ὁ Μωϋσῆς τοῦ Ἰωσὴφ, καὶ ὁ Σαμψὼν ἀπὸ [g]σιαγόνος
ἔπιε, καὶ ἀπὸ λέοντος μέλι ἔφαγε, καὶ Ἠλίας ἀπὸ κοράκων
ἐτρέφετο, καὶ παρὰ γυναικὸς χήρας. Τί [h]δὲ, εἰπέ μοι; εἰ τού-
των ἕνεκεν ἀκριβολογεῖσθαι χρὴ, τὰ δέρματα τῶν βιβλίων αὐ-
τῶν [i]οὐ πάντων ἦν [k]ἁγιώτερα; [l]οὐχὶ ἀπὸ νεκρῶν ζώων ἐστὶ
[m]καὶ ταῦτα ἅπερ εἶπον; [n]Οὐχὶ ὁ πόρνος τοίνυν ἀκάθαρτος
C μόνον, ἀλλὰ καὶ ἕτεροι [o]τούτου μᾶλλον, καὶ ὁ μοιχὸς ἀκάθαρ-
τος· ἀκάθαρτος δὲ καὶ οὗτος κἀκεῖνος, οὐ διὰ τὴν μίξιν· [p]ἐπεὶ
κατὰ τοῦτον τὸν λόγον [q]καὶ ὁ γυναικὶ ἰδίᾳ πλησιάζων ἀκά-
θαρτος· ἀλλὰ διὰ τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν, ὅτι τὸν
ἀδελφὸν ἐπλεονέκτησεν ἐν τοῖς ἀναγκαιοτάτοις. Ὁρᾷς ὅτι ἡ
κακία ἀκάθαρτον; Καὶ ὁ μὲν δύο γυναῖκας ἔχων οὐκ ἦν ἀκά- (395)
θαρτος· καὶ [r]πολλὰς ἔχων ὁ Δαυῒδ οὐκ ἦν ἀκάθαρτος· ἐπειδὴ
δὲ μίαν ἔσχε παρανόμως, ἀκάθαρτος γέγονε. Διὰ τί; Ὅτι
D ἠδίκησεν, ὅτι ἐπλεονέκτησε. Καὶ ὁ πόρνος δὲ οὐ διὰ τοῦτο
ἀκάθαρτος, διὰ τὴν μίξιν, ἀλλὰ διὰ [s]τὸν τρόπον, ὅτι ἀδικεῖ τὸ
γύναιον· καὶ ἀλλήλους ἀδικοῦσι [t]τὴν γυναῖκα ποιοῦντες κοινὴν,
καὶ [v]τοὺς τῆς φύσεως ἀνατρέποντες νόμους· ἑνὸς γὰρ αὐτὴν ἔδει
[w]εἶναι. [15] "Ἄρσεν [x]γὰρ, φησὶ, καὶ θῆλυ ἐποίησεν αὐτούς·" καὶ
εἶπεν, "Ἔσονται οἱ δύο εἰς σάρκα μίαν·" [y]οὐχ οἱ πολλοὶ, ἀλλ',
"οἱ δύο εἰς σάρκα μίαν." Καὶ ἐνταῦθα τοίνυν ἀδικία ἐστὶ, καὶ

14 Sirac. xxi. 2. 15 Gen. i. 27. ii. 24.

[a] παρακαθῆσθαι C.D. προσκαθέζεσθαι E. [b] τῇ ἀληθείᾳ D. [c] δέξεται C. Veron. Mor. Ben. *suscipiet* Vet. [d] χεῖρα E. [e] οὖν om. E. [f] καίτοι] + καὶ C.D. Statim ἐβάσταζεν C.E. Μωϋσῆς sine artic. D.E. [g] σιαγόνος] + ὄνου E.K.L.M. Sav. cet. invito Vet. [h] δὲ] δαὶ C.K.L.M. [i] οὐ] οὐχὶ D. Mox ἐστιν pro ἦν K.L.M. [k] ἁγιώτερα] Sic C.D.E. Vet. ἀγριώτερα Veron. ἐναγέστερα K.L.M. Sav. cet. [l] οὐχὶ] καὶ γὰρ K.L.M. Sav. cet. [m] Haec καὶ ταῦτα ἅπερ εἶπον accesserunt ex C.D.K.L.M. ἀλλ' ὅμως ταῦτα περιεῖπον E. [n] οὐχ D. [o] τούτων E. [p] ἐπεὶ—ἀναγκαιοτάτοις] ἀλλ' ἐπεὶ, εἰ κατὰ τὸν τῆς μίξεως λόγον ἦν, ἄρα ἀκάθαρτος καὶ ὁ γ. ἰ. πλησιάζων· ἀλλ' οὐκ ἔστι τοῦτο C. [q] καὶ om. K. [r] πολλὰς] παλλακὰς E.K.L.M. Veron. παλλακίδας C. *plurimas* Vet. [s] τὸν τρόπον] τὴν πλεονεξίαν C. [t] τὴν] καὶ τὴν K.L.M. καὶ ἀλλήλους — κοινὴν, καὶ] τὴν γ. γὰρ ποιοῦντες κοινὴν, ἀλλήλους ἀδικοῦσι E. [v] τὸν . . . νόμον C. τοὺς . . . ὅρους E. [w] εἶναι] + γυναῖκα K.L.M. [x] γὰρ om. C. Statim καὶ θῆλυ, φησὶν hoc ord. C.D. [y] οὐχ—μίαν om. E.

διὰ τοῦτο πονηρὸν τὸ πρᾶγμα. Ὁ θυμὸς πάλιν ὅταν ὑπερβῇ
τὰ μέτρα, ἀκάθαρτον ποιεῖ τὸν ἄνθρωπον, οὐ διὰ τὴν ὀργὴν, E
ἀλλὰ διὰ τὸν τρόπον· ἐπεὶ καὶ τοῦτο πρόσκειται, [16] "Ὁ ὀργι-
ζόμενος," οὐχ [z] ἁπλῶς, ἀλλὰ, "εἰκῇ." [a] Πανταχοῦ τὸ τοῦ πλεί-
ονος ἐφίεσθαι, ἀκάθαρτον· [b] ὑπὸ γὰρ ἀπληστίας καὶ τοῦ ἀκο-
ρέστου τὸ πρᾶγμα τίκτεται. Νήφωμεν τοίνυν, παρακαλῶ,
καθαροὶ γενώμεθα τὴν ἀληθῆ καθαρότητα, ἵνα τὸν θεὸν ἰδεῖν
καταξιωθῶμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ F
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ. 750

[1] Πρεσβύτας [a] νηφαλίους εἶναι, σεμνοὺς, σώφρονας, ὑγιαίνοντας
τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· [b] πρεσβύτιδας ὡσαύτως
ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ
δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας
φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνὰς, [c] οἰκουροὺς,
ἀγαθὰς, ὑποτασσομένας τοῖς οἰκείοις ἀνδράσιν, ἵνα μὴ ὁ λό- B
γος τοῦ θεοῦ βλασφημῆται.

ἜΣΤΙΝ ἃ [d] τὸ γῆρας ἐλαττώματα ἔχει, καὶ οὐχ ἡ νεότης
[e] μόνη· [f] ἐλάττονα μὲν τῆς νεότητος, ἔχει δὲ ὅμως· τὸ νωθρὸν,
[g] τὸ ὀκνηρὸν, τὸ [h] λήθαργον, τὸ ἀμβλὺ, τὸ ἀκρόχολον. Διὰ
τοῦτο περὶ τούτων παραγγέλλων φησί· "Πρεσβύτας [i] νηφα-
λίους εἶναι." Πολλὰ γάρ ἐστιν, [k] ὅπερ ἔφην, τὰ ποιοῦντα μὴ
νήφειν τοὺς ἐν ἡλικίᾳ τοιαύτῃ· [l] πρῶτον μὲν αὐτὸ ὅπερ ἔφην,
τὸ πανταχόθεν ἀμβλύνεσθαι, καὶ δυσκόλως [m] διεγείρεσθαι, καὶ C
δυσκόλως κινεῖσθαι· [n] διὰ τοῦτό φησι· "σεμνοὺς, σώφρονας."

16 Matth. v. 22. 1 Cap. II. v. 2—5.

[z] ἁπλῶς] + φησὶν E. [a] παντ.] ὥστε παντ. K.L.M. Sav. cet. εἰκῇ—πλεί-ονος] εἰκῇ· τὸ δὲ πλ. E. διὰ τὸ εἰκῇ πλ. Veron. [b] ὑπὸ] Sic C.D.K.L.M. ὑπὲρ E. ἀπὸ Edd. Statim ἀπιστίας C. Hom. IV. [a] νηφαλέους C.E. [b] πρεσβ.] + δὲ L. [c] οἰκουροὺς—βλασφημῆται] καὶ τὰ ἑξῆς K. ἰδίοις pro οἰκείοις C.D. Cat. [d] τὸ] καὶ τὸ K.L.M. Sav. cet. ἔστιν—ἔχει] ἔστιν (ἔστι Veron.) ἀπὸ γήρως ἐλ. ἔχειν E. Veron. [e] μόνη accessit ex omnibus. καὶ οὐχ—ὅμως om. Veron. [f] ἐλάττονα—ὅμως] Sic C.D. ἐλαττώματα μὲν τῆς ν. πολλὰ, ἔχει δὲ ὅμως τὸ γῆρας E. καὶ ἔχει μέν τινα καὶ τῶν τῆς ν. ἔχει δὲ ὅμως καὶ K.L.M. Sav. cet. [g] τὸ] καὶ E. Veron. [h] ληθαργικὸν iidem. τὸ ἀμ. τὸ ἀκρ. om. K. [i] νηφ. εἶναι] Sic C.D. εἶναι νηφ. Sav. cet. εἶναι om. Veron. [k] Haec ὅπερ (ἅπερ C.) ἔφην desunt in Edd. repugnantibus libris. [l] πρ. μὲν] καὶ πρ. K.L.M. Sav. cet. καὶ πρ. μὲν E. αὐτὸ om. D. [m] διασύρεσθαι D. καὶ δυσκ. διεγείρεσθαι om. C. Cat. [n] διὰ τοῦτό φ.] διὸ καὶ ἐπάγει K.L.M. Sav. cet.

[o]Σώφρονας ἐνταῦθα τοὺς φρονίμους φησί· [p]σωφροσύνη γὰρ
τοῦτο λέγεται ἡ τῶν φρενῶν σωτηρία. Εἰσὶ γὰρ, εἰσὶ καὶ [q]ἐν
γεγηρακόσι λυττῶντες ἄνθρωποι, [r]παράφοροι, οἱ μὲν [s]ὑπὸ οἴνου,
οἱ δὲ ὑπὸ λύπης· μικροψύχους γὰρ τὸ γῆρας ποιεῖ. "Ὑγιαίνον-
τας [t]τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ." [v]Καὶ καλῶς ἐπήγαγε,
"τῇ ὑπομονῇ·" [w]καὶ τοῦτο γὰρ μάλιστα τοῖς γέρουσιν ἁρμό-
ζει. "Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς."
D [x]Τί ἐστιν, "ἱεροπρεπεῖς;" Τουτέστιν, [y]ἀπ' αὐτοῦ τοῦ σχή-
ματος καὶ τῆς καταστολῆς δείκνυσθαι τὴν κοσμιότητα. "Μὴ
διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας." Μάλιστα [z]γὰρ
τοῦτο γυναικῶν τὸ ἐλάττωμα καὶ τοῦ [a]γήρως· τῷ γὰρ κατε-
ψύχθαι τὰς ἡλικίας πολλὴ [b]καὶ τούτου γίνεται ἡ ἐπιθυμία.
Ὅθεν καὶ περὶ τούτου μάλιστα τὴν παραίνεσιν πρὸς αὐτὰς
ποιεῖται, πανταχόθεν τὴν μέθην ἐκκόπτων, καὶ τοῦ νοσήματος
τούτου ἐκτὸς αὐτὰς εἶναι βουλόμενος, καὶ [c]διαφυγεῖν τὸν ἐν-
τεῦθεν γέλωτα. Καὶ γὰρ εὐκολώτερον καὶ οἱ κάτωθεν ἀτμοὶ
E ἀναφέρονται, καὶ αἱ μήνιγγες τὴν βλάβην δέχονται τῷ πεπα-
λαιῶσθαι αὐτὰς τῷ χρόνῳ· καὶ ἐντεῦθεν ἡ μέθη μάλιστα γίνε-
ται. Δεῖ μὲν οὖν οἴνου τῇ ἡλικίᾳ [d]ταύτῃ μάλιστα, ἀσθενὴς
γάρ· δεῖ δὲ οὐ πολλοῦ, ὥσπερ οὐδὲ ταῖς νέαις, οὐ διὰ τὴν αὐτὴν
αἰτίαν, ἀλλὰ διὰ τὸ σφόδρα [e]τὴν φλόγα τῆς ἐπιθυμίας ἀνά-
πτεσθαι. "Καλοδιδασκάλους." Καὶ μὴν [f]κωλύεις γυναῖκας
διδάσκειν· πῶς οὖν ἐνταῦθα ἐπιτρέπεις [g]αὐταῖς, ἑτέρωθι λέγων,
[2]"Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω;" Ἀλλ' ἄκουε τί ἐπή-
γαγεν· "οὐδὲ αὐθεντεῖν ἀνδρός." Ἀνδράσι μὲν [h]γὰρ ἐπιτέ-
F τραπται διδάσκειν ἄνωθεν καὶ ἄνδρας καὶ γυναῖκας· γυναιξὶ δὲ
τὸν μὲν παραινετικὸν ἐπιτρέπει λόγον ἐπ' οἰκίας, οὐδαμοῦ δὲ (396)
προκαθῆσθαι συγχωρεῖ, οὐδὲ μακρὸν ἀποτείνειν λόγον ἀφίησι.
Διὰ τοῦτο ἐπήγαγεν, "οὐδὲ αὐθεντεῖν ἀνδρός." "Ἵνα σωφρο-
νίζωσι, [i]φησὶ, τὰς νέας."
751 Ὁρᾷς πῶς συμπλέκει καὶ συνάγει τὸν λαόν; [k]πῶς ὑποτάττει

[2] 1 Tim. ii. 12.

[o] *σώφρονας* accessit ex D. Cat. [p] *σωφρ. γὰρ*] *σῶφρον* D. [q] *ἐν τοῖς γ.* Edd. *τοῖς* deest in omnibus. [r] *παράφοροι*] Sic C.D.K.L.M. *παράφρονες* Edd. *καὶ παράφρονες* E. [s] *ὑπὸ*] *ἀπὸ* E. *ἀπὸ* bis K.M. Ben. [t] *τῇ*] *φησὶ, τῇ* E. *ἐν τῇ* C. Ben. [v] *καὶ* om. D. Statim *ἐπήγαγε* omnes. *εἴρηκε* Edd. Mox *καὶ τῇ ὑπ.* D. Cat. [w] *καὶ τ. γὰρ*] *καὶ γὰρ τ.* C. *καὶ* om. Cat. Mox *ἁρμόζον* C.D. [x] Haec *τί ἐστιν ἱερ.* assumta ex C.D. [y] *ἀπ'*] *ὡς ἀπ'* Cat. Mox *δεικνυμένας* K.L.M. Sav. cet. invita Cat. [z] *γὰρ* om. E. Mox *τὸ ἐλάττονα* C. [a] *γήρους* C.E. Statim *ἐν τῷ γὰρ* E. [b] *καὶ* om. C. [c] *διαφεύγειν* C.K.L.M. [d] *ταύτῃ* om. C. [e] *τὴν φ. τῆς ἐ.*] *τὴν ἐπιθυμίαν* C. *εἰς ἐπιθυμίας* Veron. [f] *κωλύει* K.L. Vet. Mox *ἐπιτρέπει* K.L.M. Vet. [g] *αὐταῖς*] Sic C.D.K.L.M. *ἐν τοῖς* Edd. [h] *γὰρ*] *οὖν* E. *γὰρ* om. Veron. [i] *φησὶ* om. K.L.M. Mox *ὅρα* C. [k] *πῶς—γεγηρακυίαις* om. D. *νέας* pro *νεωτέρας* E.

τὰς νεωτέρας ταῖς γεγηρακυίαις; Οὐ γὰρ περὶ θυγατέρων ἐνταῦθα διαλέγεται, ἀλλ᾽ ἁπλῶς ἀπὸ τῆς ἡλικίας· ἑκάστη [l]πρεσβυτέρα, φησὶ, τὴν νεωτέραν [m]ῥυθμιζέτω. "Φιλάνδρους εἶναι." Τὸ κεφάλαιον [n]τοῦτο τῶν κατὰ τὴν οἰκίαν ἀγαθῶν. [3]"Γυνὴ [o]γάρ, φησὶν, ἀνδρὶ συμπεριφερομένη." Τούτου γὰρ ὄντος, οὐδὲν τῶν [p]ἀηδῶν συμβήσεται. [q]Πῶς γάρ, τῆς κεφαλῆς πρὸς τὸ σῶμα συννενευκυίας, καὶ μηδεμιᾶς ἐκεῖ διαστάσεως οὔσης, [r]οὐ πάντα τὰ λοιπὰ εἰρηνεύσεται; Τῶν γὰρ ἀρχόντων ἐν εἰρήνῃ ὄντων, τίς ὁ διαιρῶν [s]καὶ διατέμνων τὴν εἰρήνην; ὥσπερ [t]αὖ B
τούτων κακῶς διακειμένων, οὐδὲν ὑγιὲς [v]ἔσται κατὰ τὴν οἰκίαν. [w]Οὐδὲν οὖν τούτου μεῖζον· καὶ χρημάτων καὶ εὐγενείας καὶ δυναστείας καὶ τῶν ἄλλων ἁπάντων τοῦτο λυσιτελέστερον. [x]Οὐ γὰρ εἶπεν ἁπλῶς, ἐν εἰρήνῃ εἶναι, ἀλλὰ, φιλεῖν τοὺς ἄνδρας. [y]Ὅταν ἀγάπη ᾖ, οὐδὲν τῶν δυσκόλων παρείσδυσιν ἕξει· [z]ἀπὸ ταύτης γὰρ καὶ τὰ λοιπὰ τίκτεται ἀγαθά. "Φιλοτέκνους," [a]φησίν. Ἡ γὰρ τὴν ῥίζαν ἀγαπῶσα, πολλῷ μᾶλλον καὶ τοὺς καρπούς. "Σώφρονας, ἁγνὰς, οἰκουροὺς, ἀγαθάς." Πάντα ἀπ᾽ [b]ἐκείνου τίκτεται· καὶ [c]γὰρ ἀγαθαὶ καὶ οἰκουροὶ ἀπὸ τῆς ἀγάπης καὶ C
τῆς περὶ τὸν ἄνδρα φιλίας γίνονται. "Ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται·" ὡς ἥ [d]γε τοῦ ἀνδρὸς καταφρονοῦσα, καὶ τῆς οἰκίας ἀμελεῖ. Ἀπὸ δὲ τοῦ φιλεῖν καὶ σωφροσύνη πολλὴ τίκτεται, ἀπὸ τοῦ φιλεῖν πᾶσα ἀναιρεῖται φιλονεικία· κἂν Ἕλλην ᾖ, ταχέως [e]πεισθήσεται· [f]ἂν δὲ Χριστιανὸς, ταχέως βελτίων ἔσται. [g]Ὁρᾷς τοῦ Παύλου τὴν συγκατάβασιν; Ὁ πάντα πράττων ὥστε ἡμᾶς [h]ἀποστῆσαι τῶν βιωτικῶν, περὶ τῶν κατὰ τὴν οἰκίαν νῦν πολ- D
λὴν ποιεῖται [i]τὴν φροντίδα. Τούτων γὰρ καλῶς διοικουμένων, καὶ τὰ πνευματικὰ χώραν ἕξει· ἑτέρως δὲ, κἀκεῖνα [k]λυμαίνεται. [l]Ἡ γὰρ οἰκουρὸς γυνὴ καὶ σώφρων ἔσται, ἡ οἰκουρὸς καὶ οἰκο-

[3] Sirac. xxv. 1.

[l] πρ. φησὶ] Sic D.E.K.L.M. φησὶ, πρ. Edd. [m] ῥυθμιζέτω omnes. σωφρονιζέτω Edd. [n] τοῦτο om. C. [o] γὰρ om. C. Mox ἀνδρὸς idem. [p] ἀηδῶν] ἀνιαρῶν E. [q] πῶς] ὡς Veron. Post γὰρ add. οὐκ ἔστιν D. [r] οὐ om. C.D.E. Veron. Mox εἰρηνεύσει C. εἰρηνεῦσαι D. εἰρηνεύεται E. Veron. [s] καὶ ὁ δ. C. [t] αὖ] Sic Edd. *e contra* Vet. οὖν E. γὰρ C.D. αὖ om. K.L.M. [v] ἐστι E. [w] οὐδὲν οὖν τούτου] τοῦτο E. Veron. [x] οὐ γὰρ] οὐκ K.L.M. Sav. cet. [y] ὅταν]+γὰρ D.K.L.M. Sav. cet. [z] ἀπὸ] διὰ E. Veron. [a] φησὶν] καλῶς K.L.M. φησί. καλῶς Sav. cet. [b] ἐκείνης K.L.M. Sav. cet. invita Cat. [c] γὰρ]+καὶ C. Mox οἰκουραὶ E. [d] γε om. C. [e] πεισθήσεται] Sic D.M. Cat. πειθήσεται Sav. cet. (Num etiam C.K.L.?) πεισθήσεται—ταχέως om. E. Veron. [f] ἂν δὲ] Sic C.D. Cat. κἂν K.L.M. Sav. cet. Statim ταχέως om. K.L.M. Sav. cet. ταχ. βελτιωθήσεται Cat. [g] ὅρα C.D. [h] ἀποστῆσαι] σῶσαι ante corr. C. [i] τὴν om. C.K.L.M. [k] λυμανεῖται D. Cat. [l] ἡ γὰρ] καὶ ἡ D. Mox ἐστὶ E.

νομική· [m]οὔτε περὶ τρυφὴν, οὔτε [n]περὶ ἐξόδους ἀκαίρους, οὔτε περὶ ἄλλο τι τῶν τοιούτων ἀσχοληθήσεται. "Ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ, [o]φησὶ, [p]βλασφημῆται." Ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζει, οὐχὶ τῶν κοσμικῶν πραγμάτων; Καὶ γὰρ πρὸς Τιμόθεον γράφων φησίν· [4]"Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι·" καὶ ἐνταῦθα, "Ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ καὶ ἡ διδασκαλία βλασφη-
E μῆται." Εἰ γὰρ συμβαίη γυναῖκα πιστὴν ἀπίστῳ συνοικοῦσαν μὴ εἶναι ἐνάρετον, ἡ βλασφημία ἐπὶ τὸν θεὸν διαβαίνειν εἴωθεν· εἰ δὲ εἴη κοσμία, [q]τὸ κήρυγμα καρποῦται τὴν δόξαν τὴν [r]ἐξ ἐκείνης [s]καὶ τῶν ὑπ' ἐκείνης κατορθουμένων. Ἀκουέτωσαν αἱ γυναῖκες, ὅσαι μοχθηροῖς [t]ἢ ἀπίστοις συνοικοῦσιν ἀνδράσιν· ἀκουέτωσαν, καὶ παιδευέσθωσαν διὰ τῶν οἰκείων τρόπων ἐνάγειν αὐτοὺς εἰς εὐσέβειαν. [v]Κἂν μηδὲν ἕτερον κερδάνῃς, μηδὲ ἐφελκύσῃ τὸν ἄνδρα πρὸς τὴν [w]τῶν δογμάτων τῶν ὀρθῶν κοινωνίαν,
F ἀλλὰ τὸ στόμα αὐτοῦ ἀπέρραψας, οὐκ [x]εἴασας βλασφημεῖσθαι τὸν Χριστιανισμόν. Τοῦτο δὲ οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα
752 μέγα, [y]θαυμάζεσθαι τὸ δόγμα ἐκ τῆς ἡμετέρας ἀναστροφῆς. [6]"Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν." [z]Ὅρα πῶς πανταχοῦ [a]τὸ πρέπον φυλάττει. Τῆς [b]μὲν εἰς τὰς γυναῖκας διδασκαλίας [c]καὶ ταῖς γυναιξὶ τὸ πλέον ἀπένειμε, τὰς γεγηρακυίας ταῖς νεωτέραις ἐπιστήσας· τῶν δὲ ἀνδρῶν τὸ πᾶν αὐτῷ δίδωσι καὶ ἀπονέμει. Οὐδὲν γὰρ, [d]οὐδὲν οὕτω δύσκολον καὶ χαλεπὸν τῇ ἡλικίᾳ ταύτῃ γένοιτ' ἂν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων. Οὔτε γὰρ χρημάτων ἔρως, οὔτε δόξης ἐπιθυμία, οὔτε ἄλλο οὐδὲν οὕτω ταύτην διενοχλεῖ τὴν ἡλικίαν,
B ὡς ὁ τῶν σωμάτων ἔρως. [e]Διὸ πάντα τὰ ἄλλα ἀφεὶς, [f]περὶ τὸ καίριον αὐτὸ τὴν παραίνεσιν ἵστησιν. Εἶτα οὐδὲ [g]τῶν ἄλλων ῥᾳθυμεῖ, [h]ἀλλὰ τί φησι; [6]"Περὶ [i]πάντα ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων." Διδασκέτωσαν [k]μὲν οὖν, φησὶ, καὶ αἱ (397)

[4] 1 Tim. ii. 2. [5] v. 6. [6] v. 7.

[m] οὔτε]+γὰρ K.L.M. [n] περὶ]+ἑτέρας L.M. [o] φησὶ om. L. [p] βλασφ.] καὶ ἡ διδασκαλία βλασφ. D. βλασφ. καὶ ἡ δ. C. [q] τὸ κήρυγμα om. E. [r] ἐξ om. E. Veron. [s] καὶ] ἀπὸ K.L.M. [t] συνοικοῦσιν ἢ ἀπ. ἀν. hoc ord. C. ἢ ἀπ. ἀν. συνοικοῦσιν K. [v] κἂν]+γὰρ K.L.M. Sav. cet. Mox κερδαίνῃς C. [w] τῶν δ. τῶν ὀρθῶν] Sic C.D.K.L.M. τῶν ὀρθῶν δ. Edd. διδασκαλίαν pro κοινωνίαν Veron. [x] εἴασας] Sic C.D. Vet. ἐῶσα Edd. [y] θαυμάζεσθαι] τὸ θαυμ. φησὶ E. [z] ὅρα]+γὰρ E. Veron. [a] τὸ πρ. φυλάττει] Sic C.D. Vet. παρακαλεῖ τὸ πρ. φυλάττειν Edd. [b] μὲν]+γὰρ K.L.M. Sav. cet. Statim τὰς om. K.L.M. [c] καὶ assumtum ex libris omnibus et Cat. [d] οὐδὲν om. C. [e] διὸ] διὰ τοῦτο C. [f] περὶ] ἐπὶ E. Mox αὐτὸ C.D.K.L.M. Cat. αὐτῷ Edd. [g] τῶν ἄλλων] Sic C.D.K.L.M. Cat. περὶ τῶν ἄ. E. τῶν ἄ. ἕνεκεν Edd. [h] ἀλλὰ τί φ.] ἀλλ' ἐπάγει K.L.M. [i] πάντας E. Veron. Statim σεαυτὸν E.K.L.M. [k] μὲν om. E.

πρεσβύτεραι τὰς νεωτέρας, καὶ σὺ δὲ αὐτὸς παρακάλει τοὺς
νεωτέρους σωφρονεῖν. Ἔστω δὲ κοινὸν πᾶσι [l]διδασκαλεῖον καὶ
ὑπόδειγμα ἀρετῆς ἡ τοῦ σοῦ βίου λαμπρότης, εἰς μέσον [m]πᾶσι
προκειμένη, ὥσπερ ἀρχέτυπός τις εἰκὼν, πάντα ἔχουσα ἐν ἑαυτῇ
τὰ καλὰ, μετὰ πολλῆς τῆς εὐκολίας τοῖς βουλομένοις [n]ἐνα- C
πομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν παρεχομένη τὰ [o]παραδεί-
γματα. "Ἐν τῇ διδασκαλίᾳ, [p]φησὶν, ἀδιαφθορίαν, [q]σεμνότητα,
[7] λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν
ἔχων περὶ ἡμῶν [r]λέγειν τι φαῦλον."

Τὸν ἐξ ἐναντίας [s]καὶ τὸν διάβολόν φησι, καὶ πάντα τὸν
ἐκείνῳ διακονούμενον. Ὅταν γὰρ καὶ βίος λάμπῃ, καὶ λόγος
[t]ᾖ συμβαίνων, ἐπιεικὴς, ἥμερος, προσηνὴς, μηδεμίαν τοῖς ἐναντί-
οις παρέχων λαβὴν, πολὺ καὶ ἄφατον τὸ κέρδος. Πολλὴ ἄρα D
τῆς τοῦ λόγου [v]διακονίας ἡ χρεία, λόγου οὐ τοῦ τυχόντος, ἀλλὰ
δοκίμου τινὸς καὶ ἀλήπτου, καὶ μηδεμίαν μηδαμόθεν παρεχομέ-
νου τοῖς βουλομένοις πρόφασιν. [8] "Δούλους ἰδίοις δεσπόταις
ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι." Ὁρᾷς [w]ὅ τι προ-
λαβὼν εἶπεν, "Ἵνα ὁ ἐξ ἐναντίας, [x]φησὶν, ἐντραπῇ, μηδὲν ἔχων
περὶ ἡμῶν λέγειν φαῦλον;" Ἄρα καταγνώσεως ἄξιος ὁ γυναῖκας
[y]ἀνδρῶν ἀποζευγνὺς τῇ προφάσει τῆς ἐγκρατείας, καὶ ὁ δούλους
δεσποτῶν ἀποστερῶν τῷ αὐτῷ δὴ τούτῳ προσχήματι. [z]Οὗτος
οὐκ ἔστιν ἀκατάγνωστος ὁ λόγος· [a]πολλὴν καὶ τοῖς ἀπίστοις E
δίδωσι [b]τὴν λαβὴν, [c]τὰ πάντων καθ' ἡμῶν ἀνοίγει στόματα.
"Δούλους, φησὶν, ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐα-
ρέστους εἶναι, μὴ ἀντιλέγοντας, [9] μὴ νοσφιζομένους, ἀλλὰ [d]πί-
στιν πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν διδασκαλίαν τὴν τοῦ
[e]σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν." Εἰκότως ἄρα ἔλεγεν
ἑτέρωθι, [10] "Ὡς τῷ θεῷ [f]δουλεύοντες, καὶ οὐκ ἀνθρώποις." Κἂν
γὰρ τῷ δεσπότῃ [g]διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ F
τοῦ φόβου [h]τοῦ θεοῦ τὴν ἀρχὴν ἔχει. Ὥστε ὁ μετὰ τοσούτου
φόβου ἐκείνῳ διακονῶν, μεγίστων ἐπιτεύξεται τῶν μισθῶν. Εἰ

[7] v. 8. [8] v. 9. [9] v. 10. [10] Ephes. vi. 7.

[l] διδασκάλιον C.D.K.L.M. [m] πᾶσι om. C. [n] ἐκμάξασθαι C. [o] ὑπο-
δείγματα C. [p] φησὶν om. K.L.M. Sav. cet. [q] σεμνότητα]+ἀφθαρσίαν
D.K.L.M. [r] λαλεῖν E. Statim τι assumtum ex D.K.L.M. [s] καὶ τὸν
δ. φ.] Sic C.D.K.L.M. φ. καὶ τὸν δ. Edd. Mox πάντα om. K. [t] ᾖ συμβ.
om. E. Statim καὶ ἐπ. C. D. K. L. M. Veron. καὶ om. E. Cat. Sav. cet.
[v] διδασκαλίας in text. C. [w] ὅτι C.D. διὰ τί E.K.L. τί Edd. [x] φησὶν
om. K.L.M. [y] ἀπὸ ἀνδρῶν Edd. ἀπὸ om. C.D.K.L.M. ἀπὸ ἀνδρὸς E.
[z] οὕτως C. [a] πολλὴν]+δὲ Edd. invitis libris. Statim τοῖς πιστοῖς C.
[b] τὴν assumtum ex C.D.E.K.L. [c] τὰ] καὶ τὰ Edd. invitis libris. Mox
ἀνοίγων C. [d] πίστιν—ἵνα om. E. [e] σ. ἡμῶν θ. pro θ. σ. ἡμῶν omnes.
[f] δουλεύοντας E. [g] διακονῇ K.L.M. [h] τοῦ θεοῦ assumtum ex C.D.K.L.M.
Cat. Vet.

γὰρ χειρὸς μὴ [i]κρατεῖ, μηδὲ γλώττης ἀκολάστου, πόθεν θαυμά-
σεται ὁ Ἕλλην τὸ δόγμα τὸ παρ' ἡμῖν; Εἰ δὲ τὸν δοῦλον
753 [k]θεάσοιτο τὸν ἐν Χριστῷ φιλοσοφοῦντα, τῶν παρ' αὐτοῖς φι-
λοσοφησάντων μείζονα τὴν ἐγκράτειαν ἐπιδεικνύμενον, [l]καὶ μετὰ
πολλῆς τῆς ἐπιεικείας καὶ τῆς εὐνοίας διακονούμενον, παντὶ
[m]τρόπῳ θαυμάσεται τὴν δύναμιν τοῦ κηρύγματος. Οὐ γὰρ
ἀπὸ [n]δόγματος δόγματα, ἀλλ' ἀπὸ πραγμάτων καὶ βίου τὰ
δόγματα κρίνουσιν Ἕλληνες. Ἔστωσαν οὖν αὐτοῖς καὶ γυναῖ-
κες καὶ δοῦλοι διδάσκαλοι [o]διὰ τῆς οἰκείας ἀναστροφῆς. Καὶ
γὰρ καὶ παρ' αὐτοῖς, καὶ πανταχοῦ τοῦτο διωμολόγηται, ὅτι
τὸ τῶν δούλων γένος ἰταμόν πως ἐστὶ, [p]δυσδιατύπωτον, δυστρά-
πελον, οὐ σφόδρα ἐπιτήδειον πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν,
B οὐ διὰ τὴν φύσιν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν [q]ἀνατροφὴν καὶ
τὴν ἀμέλειαν τὴν παρὰ τῶν δεσποτῶν. Ἐπειδὴ γὰρ πανταχοῦ
οὐδενὸς ἑτέρου, ἀλλὰ τῆς αὐτῶν διακονίας οἱ κρατοῦντες αὐτῶν
φροντίζουσιν· εἰ δέ που καὶ [r]τῶν τρόπων ἐπιμεληθεῖεν, καὶ
τοῦτο πάλιν διὰ τὴν αὐτῶν ἀνάπαυσιν [s]πράττουσιν, ὥστε μὴ
πράγματα αὐτοῖς παρέχειν ἢ πορνεύοντας, ἢ κλέπτοντας, ἢ με-
θύοντας· εἰκότως ἠμελημένοι, καὶ οὐδένα [t]τὸν πολυπραγμονοῦντα
ἔχοντες, εἰς αὐτὰ τῆς κακίας τὰ βάραθρα καταποντίζονται. Εἰ
γὰρ, ἔνθα πατὴρ ἐφέστηκε, καὶ μήτηρ, καὶ παιδαγωγὸς, καὶ
C τροφεὺς, καὶ διδάσκαλος, καὶ [v]ἡλικιῶται, καὶ [w]αὐτὴ ἡ τῆς ἐλευ-
θερίας δόξα περικειμένη, καὶ πολλὰ ἕτερα, μόλις ἄν τις διαφύ-
γοι τὰς τῶν πονηρῶν συνουσίας· τί οἴει τοὺς πάντων τούτων
ἐρήμους ὄντας, καὶ μιαροῖς ἀναμιγνυμένους, καὶ μετὰ ἀδείας οἷς
ἂν ἐθέλωσι συγγινομένους, οὐδενὸς ὄντος τοῦ τὰς φιλίας αὐτῶν
πολυπραγμονοῦντος, [x]τί οἴει τοὺς τοιούτους ἔσεσθαι; Διὰ τοῦτο
δύσκολον δοῦλον γενέσθαι ἀγαθόν. Ἄλλως [y]δὲ οὐδὲ διδασκα-
D λίας ἀπολαύουσιν, οὔτε τῶν ἔξωθεν οὔτε τῶν παρ' ἡμῖν· οὐ
συναναστρέφονται ἀνδράσιν ἐλευθέροις, κοσμίοις, [z]πολλὴν τῆς
αὐτῶν δόξης ποιουμένοις φροντίδα. Διὰ ταῦτα πάντα δύσκολον
[a]καὶ θαυμαστὸν, χρήσιμον οἰκέτην γενέσθαι ποτέ. Ὅταν οὖν
ἴδωσιν, ὅτι τὸ γένος [b]τὸ οὕτως ἰταμὸν, τὸ οὕτως αὔθαδες ἢ τοῦ (398)

[i] κρατοίη C. κρατῇ D. κρατοῖ K.L.M. [k] θεάσοιτο pro θεάσοιντο C.D.K.L.M. Statim τὸν ἐν Χρ. φιλ. om. C.D. invito Vet. [l] καὶ om. K. [m] τρόπῳ] + θεασάμενος ταῦτα E. [n] δόγματος δόγματα] Sic Edd. δογμάτων τὰ δ. C. ῥημάτων D.K.L.M. Vet. Statim ἀλλ' ἀπὸ τῶν πρ. M. [o] διὰ om. E. [p] καὶ δυσδ. E. [q] ἀναστροφὴν D.E. Vet. Paullo post folium deest in E. [r] τὸν τρόπον D. [s] πράττουσιν om. C. [t] τὸν π.] Sic omnes. τῶν πολυπραγμονούντων Edd. [v] ἡλικιώτης K.L.M. [w] αὐτὴ K.L.M. fortasse alii. αὕτη Edd. Mox τῇ ἐλευθερίᾳ K.M. τῆς ἐλευθερία (sic) L. [x] τί οἴει] καὶ ποταποὺς K.L.M. [y] δὲ] τε D. [z] πολλῆς C. [a] καὶ θ.] θ. καὶ K.L.M. invito Vet. [b] τὸ οὕτως ἰταμὸν assumtum ex nostris omnibus et Vet.

κηρύγματος δύναμις χαλινὸν περιθεῖσα πάντων εἰργάσατο [c]κο-
σμιώτερον, καὶ ἐπιεικέστερον, [d]κἂν σφόδρα πάντων ὦσιν ἀλογώ-
τεροι οἱ δεσπόται, λήψονται ἔννοιαν μεγάλην περὶ τῶν δογμάτων
τῶν παρ' ἡμῖν. Δῆλον [e]γὰρ ὅτι καὶ τὸν περὶ τῆς ἀναστάσεως
φόβον, καὶ τὸν τῆς κρίσεως, καὶ τὸν τῶν ἄλλων ἁπάντων [f]τῶν
μετὰ τὸν θάνατον φιλοσοφουμένων παρ' ἡμῖν πρότερον ἐγκα-
ταθέντες αὐτῶν τῇ ψυχῇ, οὕτως ἴσχυσαν ἀποκρούσασθαι τὴν κα- E
κίαν, ἀντίρροπόν τινα φόβον τῆς ἀπὸ τῶν κακῶν ἡδονῆς εἰς τὴν
ἑαυτῶν [g]ἐνιδρύσαντες ψυχήν. Ὥστε οὐκ εἰκῇ οὐδὲ ἁπλῶς πολὺν
ὑπὲρ τούτων πανταχοῦ ποιεῖται τὸν λόγον· ὅσῳ γὰρ ἂν ὦσι
κακοὶ, [h]τοσούτῳ μάλιστα θαυμάζεται τοῦ κηρύγματος ἡ ἰσχύς.
Καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν, ὅταν τὸν ἀπεγνωσμένον, καὶ
οὐδεμιᾶς βοηθείας ἀπολαύοντα, [i]καὶ οὐδὲ κρατῆσαι τῶν ἀκαίρων
ἐπιθυμιῶν δυνάμενον, ἀλλ' ἐν ταύταις ἐγκαλινδούμενον, ἐναγάγῃ
πρὸς ὑγείαν καὶ διορθώσηται. Καὶ ὅρα τίνα παρ' αὐτῶν ἀπαι- F
τεῖ· [k]ἃ μάλιστα πάντων ἀναπαύει τὸν δεσπότην· "Μὴ ἀντιλέ-
γοντας, μὴ νοσφιζομένους·" τουτέστι, πολλὴν εὔνοιαν ἐπιδείκνυ-
σθαι ἐν οἷς ἂν [l]πιστευθῶσιν, ἐν τοῖς πρὸς τοὺς δεσπότας μάλι- 754
στα εἶναι ἀγαθοὺς, [m]ὑπείκοντας ἐν τοῖς ἐπιτάγμασι.

[n]Μὴ τοίνυν νομίζετε ἁπλῶς με ταῦτα [o]νῦν διεξιέναι· λοιπὸν
γάρ μοι πρὸς τοὺς οἰκέτας ὁ λόγος. Μὴ τοίνυν, ὦ βέλτιστε,
σὺ πρὸς τοῦτο ἴδῃς, ὅτι ἀνθρώπῳ δουλεύεις, ἀλλ' ὅτι [p]τῷ θεῷ,
ὅτι τὸ κήρυγμα κοσμεῖς· καὶ πάντα [q]ὑποστήσῃ ποιεῖν, τῷ δε-
σπότῃ πειθόμενος, καὶ φέρων ἀγανακτοῦντα ἀκαίρως καὶ δυσχε-
ραίνοντα. Ἐννόησον ὅτι οὐκ ἐκείνῳ τὴν χάριν δίδως, ἀλλὰ τοῦ
θεοῦ πρόσταγμα πληροῖς, καὶ πᾶν ὁτιοῦν ὑποστήσῃ ῥᾳδίως. B
Ὅπερ δὲ ἀεὶ [r]λέγω, ὅτι τῶν πνευματικῶν ἡμῖν κατορθουμένων,
καὶ τὰ τοῦ παρόντος ἕψεται βίου. Τὸν γὰρ τοιοῦτον οἰκέτην,
τὸν οὕτως εὔνουν, τὸν οὕτως ἐπιεικῆ, οὐχ ὁ θεὸς [s]ἀποδέξεται
μόνον, καὶ τῶν στεφάνων [t]μεταδώσει τῶν λαμπρῶν ἐκείνων,
ἀλλὰ καὶ αὐτὸς ὁ παθὼν εὖ δεσπότης, κἂν θηρίον ᾖ, κἂν λίθινός
τις [v]ᾖ καὶ ἀπάνθρωπος καὶ ὠμὸς, ἐπαινέσεται καὶ θαυμάσεται
καὶ προτιμήσει τῶν ἄλλων ἁπάντων, καὶ τοῖς λοιποῖς [w]αὐτὸν

[c] κοσμιώτερον] καὶ τιμιώτερον C. [d] κἂν σφ.] σφόδρα, κἂν K.L.M. [e] γὰρ om. C. [f] τῶν accessit ex C.D. Mox τὸν om. C. [g] ἐνιδρύσαντο C. [h] τοσοῦτον K. et ex corr. L. [i] καὶ assumtum ex omnibus. [k] ἃ om. D. Mox ἀναπαύειν idem. [l] παιδευθῶσι K. [m] καὶ ὑπ. D. [n] ΗΘΙΚΟΝ. Περὶ δούλων, ὅτι οὐδὲν αὐτοὺς βλάπτει πρὸς ἀρετὴν, ἐὰν πρὸς αὐτὴν βλέπωσι· καὶ μαρτυρία σαφὴς ὁ ἐνάρετος Ἰωσὴφ βληθεὶς καὶ εἰς φυλακήν. Veron. [o] νῦν om. M. [p] τῷ assumtum ex C.D. [q] ὑποστήσῃ] καταδέξῃ K.L.M. [r] λέγω]+τοῦτο καὶ νῦν ἐρῶ K.L.M. Sav. cet. [s] ἀποδέχεται C. [t] μεταδίδωσι C. τὸν στέφανον ἀποδώσει τὸν λαμπρὸν ἐκεῖνον D. [v] ᾖ om. C. καὶ ἀπάνθρωπος ante κἂν λίθινος transp. D. [w] αὐτῶν D.

ἐπιστήσει, κἂν Ἕλλην ᾖ. Καὶ ὅτι, κἂν Ἕλληνες ὦσιν οἱ δε-
σπόται, [x]κελεύει τὸν οἰκέτην τοιοῦτον ἑαυτὸν ἐπιδείκνυσθαι,
C εἰ βούλεσθε, [y]ὑμῖν καὶ παράδειγμα διηγήσομαι. Ὁ Ἰωσὴφ
ἐπράθη πρὸς τὸν ἀρχιμάγειρον, καὶ δόξης ἑτέρας ἦν, [z]οὐ τῆς Αἰ-
γυπτιακῆς. Τί οὖν ἐκεῖνος; Ἐπειδὴ ἐνάρετον εἶδε τὸν νεανίσκον,
οὐκ [a]ἐνενόησε τὸ τῆς δόξης διεστηκὸς, ἀλλ' αὐτός τε ἠγάπα καὶ
ἐφίλει καὶ ἐθαύμαζε, καὶ τῶν ἄλλων αὐτῷ τὴν ἐπιστασίαν [b]ἐνε-
χείρισεν ἅπασαν, [c]καὶ τῶν κατὰ τὴν οἰκίαν οὐδὲν ᾔδει δι' αὐ-
τόν· ἀλλὰ δεύτερος δεσπότης ἐκεῖνος ἦν, μᾶλλον δὲ καὶ αὐτοῦ
τοῦ δεσπότου κυριώτερος, εἴγε ὁ μὲν ἠγνόει τὰ [d]αὐτοῦ, οὗτος δὲ
[e]ἐκείνου ᾔδει μᾶλλον τὰ τοῦ δεσπότου. Καί μοι δοκεῖ [f]καὶ
D ὕστερον, ὅτε ἐπίστευσε τῷ γυναίῳ τὴν παράνομον ἐκείνην [g]συ-
κοφαντίαν κατ' αὐτοῦ ποιησαμένῳ, [h]τιμῶν τὸν δίκαιον ἀπὸ τῆς
προτέρας αἰδοῦς καὶ τῆς τιμῆς, μέχρι τοῦ δεσμωτηρίου στῆσαι
τὴν ὀργήν. Εἰ γὰρ μὴ σφόδρα ᾐδεῖτο τὸν ἄνδρα, καὶ ἐθαύμα-
ζεν ἀπὸ τῶν [i]προϋπηργμένων αὐτῷ, κἂν εὐθέως αὐτὸν διεχειρί-
σατο, καὶ τὸ ξίφος διήλασε διὰ τοῦ σώματος [k]τοῦ ἐκείνου.
11 "Μεστὸς γὰρ ζήλου, φησὶ, θυμὸς [l]ἀνδρός· οὐκ ἀνταλλάξε-
ται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων."
E Εἰ δὲ παντὸς ἀνδρὸς τοιοῦτος ὁ ζῆλος, πολλῷ μᾶλλον ἐκείνου,
Αἰγυπτίου τε [m]ὄντος καὶ βαρβάρου, καὶ παρὰ τοῦ [n]παρ' αὐτοῦ
τιμηθέντος ἠδικημένου, ὡς ᾤετο. Ἴστε γὰρ δήπου πάντες, ὅτι
οὐχ ὁμοίως ἡμᾶς δάκνει τὰ παρὰ πάντων ἀδικήματα, ἀλλὰ σφο-
δρότερον τῶν ἄλλων καὶ πικρότερον [o]τὰ παρὰ τῶν [p]καὶ εὐνοϊκῶς
πρὸς ἡμᾶς διατεθέντων, [q]καὶ πιστευθέντων, καὶ πιστευσάντων
ἡμῖν, καὶ πολλὰ παρ' [r]ἡμῶν εὖ παθόντων γενόμενα κακὰ
F [s]μᾶλλον ἡμᾶς ἀνιᾷ καὶ λυπεῖ. Οὐκ [t]ἐνενόησε πρὸς ἑαυτὸν, οὐδὲ
[v]εἶπεν, οἰκέτην [w]λαβὼν αὐτὸν, πάντων αὐτῷ μετέδωκα τῶν τῆς

11 Prov. vi. 34.

[x] κελεύει τὸν οἰ.] βούλεται τῷ δεσπότῃ C. [y] ὑμῖν post παράδειγμα transp. D.E. [z] οὐ—τί οὖν om. D. Mox ἐπεὶ δὲ pro ἐπειδὴ idem. [a] ἐνόησε E. [b] ἐνεχείρησεν E. [c] καὶ] διὸ καὶ K.L.M. [d] αὐτοῦ C.K.L. ἑαυτοῦ D.E. αὑτοῦ Edd. [e] ἐκείνου—τοῦ δ.] Sic D. τὰ ἐκείνου ᾔδει μ. (μ. ᾔδει K.L.M.) τοῦ δ. K.L.M. Sav. cet. Sic, sed τὰ ἐκείνου om. Veron. τὰ ἐκείνου μ. τοῦ δ. (om. ᾔδει) C. ἐκείνου μ. τοῦ δ. ᾔδει E. [f] καὶ ὕστερον om. C. ὅτι pro ὅτε idem. [g] κατ' αὐτοῦ συκοφ. hoc ord. K.L.M. Statim ποιησαμένην E. [h] τιμῶν] + δὲ C. Mox ἔστησε pro στῆσαι idem. [i] ὑπηργμένων K.L. et in text. M. [k] τοῦ accessit ex omnibus. [l] ἀνδρὸς] + αὐτῆς E. Mox οὐθενὸς idem. [m] ὄντως L. [n] παρ' αὐτοῦ accessit ex D. [o] τὰ] αἱ C.D.E. τὰ καὶ Veron. [p] καὶ assumtum ex C.K.L.M. [q] καὶ πιστευθέντων om. D.K.L.M. [r] ἡμῖν D. Veron. [s] μᾶλλον om. Veron. Sav. Mor. invitis libris. Statim ἡμᾶς καὶ ἀνιᾷ E. [t] ἐνενόησεν] + οὖν K.L.M. Statim ἐν ἑαυτῷ E. [v] εἶπε] + τί τοῦτο; K.L.M. Sav. cet. [w] λ. αὐτὸν pro αὐτὸν λ. C.D.K.L.M. Mox αὐτῷ om. K.L.M. Sav. cet.

οἰκίας, ἐλεύθερον ἐποίησα [x]καὶ ἐμοῦ τι μείζονα· [y]τοιαύτας μοι
τὰς ἀμοιβὰς ἀποδέδωκεν; Οὐδὲν τούτων εἶπεν· οὕτως αὐτοῦ τὴν
ψυχὴν ἡ προτέρα κατεῖχεν [z]αἰδώς. Καὶ τί θαυμαστὸν, εἰ ἐν 755
οἰκίᾳ τοσαύτης [a]ἀπήλαυσε τιμῆς; [b]ἀλλ' ἐν τῷ δεσμωτηρίῳ ὅρα
(399) αὐτὸν, [c]ὅσης ἀπολαύει κηδεμονίας. Ἴστε δὲ πῶς πρὸς ὠμότητα
τοῖς τὰ δεσμωτήρια ἐγκεχειρισμένοις τὸ ἦθος ἐξήσκηται· τὰς
ἀλλοτρίας καρποῦνται συμφορὰς, καὶ [d]οὓς ἕτεροι κακῶς πά-
σχοντας [e]ἐλεοῦντες τρέφουσι, [f]τούτους οὗτοι [g]σπαράττουσι,
κέρδη κερδαίνοντες πολλῶν δακρύων ἄξια, θηρίων ὄντες ὠμότε-
ροι. Ἀφ' ὧν γὰρ [h]ἐχρῆν ἐλεεῖν τοὺς ἐμβεβλημένους, ἀπὸ τού-
των [i]αὐτοὺς καρποῦνται. [k]Τὸν δὴ οὖν οὕτως ὠμόν· καὶ μὴ τοῦτο
μόνον [l]λογιζώμεθα, ἀλλ' ὅτι καὶ αὐτοὶ οὗτοι οὐχ ὁμοίως πᾶσι B
κέχρηνται τοῖς ἐμβεβλημένοις. Τοὺς μὲν γὰρ ἐπὶ συκοφαντίας
καὶ ἐπηρεασθέντας ἁπλῶς καὶ δεθέντας [m]κἂν ἐλεήσαιεν ἄν· τοὺς
δὲ ἐπὶ τοῖς αἰσχίστοις καὶ δεινοτάτοις καὶ τολμηροῖς ἐμβεβλη-
μένους [n]μυρίαις αἰκίζονται πληγαῖς. Ὥστε οὐ μόνον ἀπὸ τοῦ
τρόπου ὠμὸς ἔμελλεν [o]ἔσεσθαι ὁ δεσμοφύλαξ, ἀλλὰ καὶ ἀπὸ
τῆς αἰτίας, δι' ἣν [p]ἐνεβέβλητο. Τίνα γὰρ οὐκ ἂν διήγειρε καθ'
ἑαυτοῦ ὁ νεανίσκος, τοσαύτης [q]μὲν ἀπολαύσας τιμῆς, ὑποπτευθεὶς
δὲ τὴν δέσποιναν πειρᾶν, καὶ [r]τοιαύταις τὸν εὐεργέτην ἀμειβόμε- C
νος ἀμοιβαῖς; [s]Ταῦτα ἐννοῶν ὁ δεσμοφύλαξ, καὶ τὴν τιμὴν τοῦ
[t]ἐμβεβληκότος, καὶ τὸ πρᾶγμα ἐφ' ᾧ ἐνεβέβλητο, οὐκ ἂν παν-
τὸς θηρίου χαλεπώτερον ἐχρήσατο [v]τἀνδρί; Ἀλλὰ πάντων
τούτων ἀνωτέρα γέγονεν ἡ ἐλπὶς ἡ εἰς τὸν θεόν· οὕτως οἶδε καὶ
θηρία καταπραΰνειν ψυχῆς [w]ἀρετή. Ἀπὸ γὰρ τῆς αὐτῆς ἐπι-
εικείας, ἀφ' ἧς [x]τὸν δεσπότην εἷλεν, ἀπὸ τῆς αὐτῆς καὶ τὸν ἀρ-
χιδεσμοφύλακα· καὶ πάλιν ἦν ἄρχων ὁ Ἰωσὴφ, καὶ ἐν δεσμωτη-
ρίῳ [y]ἐκράτει, καὶ ἐν οἰκίᾳ. Ἐπειδὴ γὰρ ἔμελλε βασιλεύειν, D
εἰκότως πρότερον [z]ἐμάνθανεν ἄρχεσθαι, καὶ ἀρχόμενος ἄρχων ἦν
καὶ προέστη τῆς οἰκίας.

[x] καὶ om. E. Statim τι om. C.D.E. [y] καὶ τοιαύτας K.L.M. Sav. cet. Statim μοι τὰς om. D. Mox ἀπέδωκεν C.D. [z] αἰδῶ C. [a] ἀπήλαυσε (ἀπέλαυσε K.L.M.)] ἀπολαύει κηδεμονίας τε καὶ E. [b] ἀλλ'] ὅπου καὶ D.K.L.M. Sav. cet. [c] πόσης C.E.L. [d] οὓς] ἐφ' οἷς E. Veron. Mox πάσχουσι E. πάσχοντες Veron. [e] ἐλεοῦντες accessit ex omnibus. [f] τούτοις D. [g] εἰσπράττουσι C.D.K.L.M. *lucra exigunt* Vet. [h] χρὴ C. [i] αὐτοὺς] ἑαυτοῖς E. αὐτοὶ K.L.M. Sav. cet. [k] τὸν—ὠμὸν] Sic D. τῶν δὲ οὕτως ὠμῶν E. In ceteris, ut in Edd. haec non leguntur. [l] λογιζώμεθα] + ἔργον εἶναι E. [m] κἂν] καὶ D.K.L.M. Sav. cet. Statim ἐλεήσειεν D. [n] μυρίοις E. [o] ἔσεσθαι] εἶναι E. [p] ἐβέβλητο C. [q] μὲν om. K.L.M. [r] τοιούτοις C. [s] ταῦτα] ταῦτ' οὖν K.L.M. ταῦτα οὖν Sav. cet. [t] ἐμβεβληκότος] Sic C.D. Vet. ἐμβεβλημένου Edd. [v] τἀνδρὶ] Sic K.L.M. Veron. τῷ ἀνδρὶ Sav. cet. [w] ἀρετῇ D. [x] τὸν] καὶ τὸν E.K. [y] κρατεῖ D. [z] ἔμαθεν E. ἄρχεσθαι καὶ ἀρχόμενος om. C.

Εἰ γὰρ τὸν [a]εἰς ἐκκλησίαν ἑλκόμενον ἀπαιτεῖ τοῦτο ὁ Παῦ-
λος, [b]οὕτω λέγων· [12] "Εἰ [c]γάρ τις τοῦ ἰδίου οἴκου προστῆναι
οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται;" καὶ τὸν εἰς ἀρχὴν
[d]ἐλθόντα, πρότερον ἄριστον εἶναι χρὴ [e]προεστάναι οἰκίας.
Προέστη οἰκίας· προέστη δεσμωτηρίου, [f]οὐχ ὡς δεσμωτηρίου,
E ἀλλ' [g]ὡς οἰκίας. Πᾶσι [h]γὰρ ἐπεκούφιζε τὰς συμφορὰς, καὶ τῶν
ἐμβεβλημένων ὡς οἰκείων προΐστατο μελῶν, οὐ μόνον αὐτῶν τὰς
συμφορὰς πολυπραγμονῶν καὶ παραμυθούμενος, ἀλλὰ κἂν εἰ σύν-
νουν [i]εἶδέ τινα, προσῄει καὶ τὴν αἰτίαν ἐμάνθανεν, οὐδὲ ἁπλῶς
[k]κατηφοῦντα ἀνεχόμενος ὁρᾶν, ἂν μὴ πρότερον αὐτὸν ἀπαλλάξῃ
τῆς [l]κατηφείας· καίτοι τοσαύτην τις οὐδὲ περὶ τέκνα στοργὴν
[m]ἐπεδείκνυτο. Ἀπὸ τούτων [n]γοῦν αὐτῷ καὶ ἡ ἀρχὴ τῶν ἀγαθῶν
ἐγένετο. Δεῖ γὰρ τὰ παρ' [o]ἡμῶν ὑπάρχειν πρότερον, καὶ [p]τότε
F τὰ παρὰ τοῦ θεοῦ. Ὅτι γὰρ τοσαύτῃ ἐκέχρητο φειδοῖ καὶ
ἐπιμελείᾳ, [q]εἶδε, φησὶ, τοὺς εὐνούχους τοὺς [r]ἐμβληθέντας ὑπὸ
756 τοῦ Φαραὼ, τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν, καὶ εἶπε,
[13] "Τί σκυθρωπὰ τὰ πρόσωπα ὑμῶν σήμερον;" Καὶ οὐκ ἀπὸ
τούτου μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἐκεῖνοι ἐποίησαν, καταμαθεῖν
ἔστι τὴν ἀρετὴν [s]τούτου τοῦ ἀνδρός. Οὐ γὰρ ὡς βασιλέως ὄν-
τες οἰκέται διέπτυσαν αὐτὸν, οὐχ ὡς ἐν ἀθυμίᾳ ὄντες διεκρού-
σαντο, ἀλλ' ὡς ἀδελφῷ γνησίῳ καὶ συναλγεῖν εἰδότι πάντα
αὐτῷ [t]ἐξεκάλυπτον τὰ ἑαυτῶν. Ταῦτα [v]δέ μοι πάντα εἴρηται,
B ὅτι κἂν ἐν δουλείᾳ, κἂν ἐν αἰχμαλωσίᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν
ὑπ' αὐτὴν τὴν γῆν γένηται ὁ ἐνάρετος, οὐδὲν αὐτὸν καταγωνί-
σασθαι [w]δυνήσεται. Ταῦτά [x]μοι πρὸς τοὺς οἰκέτας λέλεκται,
[y]ὅτι κἂν θηρία ἔχωσι δεσπότας, ὡς τὸν Αἰγύπτιον, κἂν ὠμοὺς,
ὡς τὸν ἀρχιδεσμοφύλακα, δυνήσονται αὐτοὺς ἑλεῖν· κἂν Ἕλληνες
ὦσιν, [z]ὡς ἐκεῖνοι, κἂν ὁτιοῦν, ταχέως [a]τιθασσεύσουσιν. Οὐδὲν
γὰρ ἐμμελέστερον τρόπων, οὐδὲν ἡδύτερον, οὐδὲν γλυκύτερον
C ἐπιεικείας καὶ πραότητος καὶ ὑπακοῆς· πᾶσίν ἐστιν ἐπιτήδειος ὁ

[12] 1 Tim. iii. 5. [13] Gen. xl. 7.

[a] εἰς τὴν ἐκ. D. [b] οὕτω om. E. [c] γὰρ] δὲ C. τις om. E. [d] ἐλθόντα] +δεῖ λοιπὸν (mox om. χρὴ) E. [e] προεστάναι οἰκίας] Sic E. Edd. favente Vet. Haec om. C.D. Statim προέστη οἰκίας, quae aberant, leguntur in K.L. M. Vet. [f] οὐχ ὡς δ. om. D. [g] ὡς om. E. [h] γὰρ om. K. Mox καὶ τῶν—συμφορὰς om. idem. [i] οἶδέν τινα, προῄει D. [k] κατηφιοῦντα ex corr. D. κατηφιῶντα Veron. [l] κατηφείας] συμφορᾶς D. [m] ἐπεδείκνυτο] Sic C.E. ἐνεδ. D. Veron. ἐπεδείξατο K.L.M. Sav. cet. [n] οὖν M. Statim αὐτῶν C. Mox ἀρχὴ sine artic. C.D. Veron. [o] ἡμῶν] Sic C.E.K.L.M. ὑμῶν Veron. Sav. Mor. [p] τότε] τηνικαῦτα D. [q] οἶδε ex corr. D. [r] βληθέντας C. [s] τούτου accessit ex C.D.K.L.M. [t] ἀνεκάλυπτον C. [v] δὲ] δὴ D. ταῦτα —εἴρηται] οὐχ ἁπλῶς ταῦτα διεξῆλθον, ἀλλ' ἵνα δείξω K.L.M. [w] δύναται E. [x] μοι]+ὑπὲρ τοῦ δεῖξαι K.L.M. [y] ὅτι om. C. δεσπ. ἔχωσι inverso ord. C.D. [z] ὡς om. C. [a] τιθασεύσουσιν M. τιθασσεύονται E.

τοιοῦτος. Καὶ οὔτε δουλείαν ἐπαισχύνονται οἱ τοιοῦτοι, οὔτε
πένητα φεύγουσιν, οὔτε ἄρρωστον [b]καὶ κάμνοντα· πάντων γὰρ
κρατεῖ καὶ πάντων ἡ ἀρετὴ περιγίνεται. Εἰ δὲ ἐν δούλοις [c]το-
σαύτην ἔχει [d]τὸ πρᾶγμα τὴν ἰσχὺν, πόσῳ μᾶλλον ἐν ἐλευθέροις;
[e]Ταύτην οὖν ἀσκῶμεν καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ γυναῖκες καὶ
ἄνδρες· οὕτω καὶ ἀνθρώποις καὶ θεῷ ἐσόμεθα ποθεινοὶ, καὶ ἀν-
θρώποις οὐ τοῖς ἐναρέτοις μόνον, ἀλλὰ καὶ [f]αὐτοῖς τοῖς κακοῖς,
καὶ μάλιστα ἐκείνοις· ἐκεῖνοι γάρ εἰσιν οἱ μάλιστα τιμῶντες καὶ
αἰδούμενοι. Ὥσπερ γὰρ τοὺς ἐπιεικεῖς οἱ [g]ἀρχόμενοι μάλιστα D
(400) τρέμουσιν, οὕτω καὶ τοὺς ἐναρέτους οἱ ἀκόλαστοι, εἰδότες τίνων
ἐκπεπτώκασιν. Ἐπεὶ οὖν τοσοῦτος ὁ καρπὸς τῆς ἀρετῆς, ταύ-
την διώκωμεν, ταύτην μετίωμεν. Ἂν ταύτης ἐχώμεθα, οὐδὲν
ἡμῖν ἔσται δεινὸν, πάντα ῥᾴδια, πάντα εὔκολα· κἂν διὰ πυρὸς
διαβαίνωμεν, κἂν δι' ὕδατος, πάντα εἴκει τῇ ἀρετῇ καὶ παραχω-
ρεῖ, καὶ αὐτὸς ὁ θάνατος. Ζηλώσωμεν τοίνυν αὐτὴν, ἵνα καὶ τῶν
μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος,
τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ε. 757

[1]Ἐπεφάνη [a]γὰρ ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώ-
ποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ
τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς
ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα
καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυ- B
τρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν
περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

ΠΟΛΛΗΝ παρὰ τῶν οἰκετῶν ἀπαιτήσας [b]τὴν ἀρετήν·
καὶ γάρ ἐστι πολλὴ, [c]τὸ τὴν διδασκαλίαν τοῦ θεοῦ καὶ σωτῆρος
[d]ἡμῶν κοσμεῖν ἐν πᾶσι, καὶ μηδεμίαν διδόναι τοῖς δεσπόταις
λαβὴν, μηδὲ ἐν τῷ τυχόντι· ἐπάγει καὶ [e]τὴν αἰτίαν δικαίαν, δι'
ἣν ὀφείλουσι τοιοῦτοι εἶναι οἱ οἰκέται. Ποίαν [f]δὴ ταύτην; C
"Ἐπεφάνη γὰρ, φησὶν, ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος." [g]Οἱ

[1] Cap. II. v. 11—14.

[b] καὶ om. E.K. Veron. [c] τοιαύτην E. [d] τὸ πρᾶγμα τὴν (τὴν om. K.)] πραγματείαν καὶ E. Veron. [e] ταύτην] Sic C.K.L.M. Vet. τοσαύτην D. ταῦτα Edd. ταῦτα (om. οὖν) E. [f] αὐτοῖς accessit ex C.E.K.L.M. Vet. Post ἐκείνοις add. πλέον K.L.M. [g] ἄρχοντες C. Hom. V. [a] γὰρ om. E. [b] τὴν om. E. Veron. [c] τὸ] τῷ K.L.M. Veron. [d] ἡμῶν] + Ἰησοῦ Χριστοῦ E. [e] τὴν om. D. δικαίαν om. C. [f] δὴ pro δὲ C.D.K.L. Mox φησὶν om. E. [g] οἱ] οὐ E. Statim θείου E. Veron. et ante corr. L.

θεοῦ διδασκάλου τυγχάνοντες, πῶς οὐκ ἂν εἶεν εἰκότως [h]τοιοῦ-
τοι, οἵους ἄρτι διῆλθον ἐγὼ, μυρίων ἁμαρτημάτων λύσιν εὑρόν-
τες; Ἴστε γὰρ ὅτι μετὰ τῶν ἄλλων καὶ τοῦτο οὐχ ὡς ἔτυχεν
ἐντρέπει καὶ συστέλλει [i]ψυχὴν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν
ὑπεύθυνον, μὴ δίκην δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν καὶ μυρίων
ἀγαθῶν. Εἰ γάρ τις, εἰπέ μοι, τὸν μυρία προσκρούσαντα οἰκέ-
την λαβὼν, μὴ [k]κατατείνοι ἱμᾶσιν, ἀλλ' [l]ἐπ' ἐκείνοις μὲν συγ-
D γνώμην παράσχοι, ὑπὲρ δὲ τῶν μελλόντων αὐτὸν ἀπαιτοίη εὐ-
θύνας, καὶ [m]φυλάττεσθαι παρακελεύοιτο, ὥστε μὴ τοῖς αὐτοῖς
περιπεσεῖν, καὶ δωρεαῖς μεγάλαις [n]τιμήσειε· τίνα οὐκ ἂν οἴεσθε
ἐντρέψαι τὴν τοσαύτην χάριν ἀκούοντα; Ἀλλὰ μὴ νομίσῃς,
ὅτι ἡ χάρις μέχρι τῆς τῶν προτέρων [o]ἁμαρτημάτων συγχωρή-
σεως ἵσταται, [p]ἀλλὰ καὶ εἰς τὸ μέλλον ἡμᾶς ἀσφαλίζεται· καὶ
γὰρ καὶ τοῦτο χάριτος. Ἐπεὶ εἰ μέλλοι ἀεὶ κακῶς πράττοντας
μὴ κολάζειν, οὐκέτι τὸ πρᾶγμα χάρις ἐστὶν, ἀλλὰ προτροπή
τις εἰς λύμην καὶ διαφθοράν. "Ἐπεφάνη γὰρ, φησὶν, ἡ χάρις
E τοῦ θεοῦ, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ
τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζή-
σωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ
ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰη-
σοῦ Χριστοῦ." Ὅρα πῶς μετὰ τῶν [q]ἐπάθλων τίθησι τὴν ἀρετήν.
Καὶ τοῦτο χάριτος, τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν
οὐρανὸν ἀγαγεῖν. Δύο δείκνυσιν ἐνταῦθα ἐπιφανείας· καὶ γάρ
εἰσι δύο, ἡ μὲν προτέρα χάριτος, ἡ δὲ δευτέρα ἀνταποδόσεως
F καὶ τοῦ δικαίου. "Ἵνα ἀρνησάμενοι, φησὶ, τὴν ἀσέβειαν καὶ
τὰς κοσμικὰς ἐπιθυμίας." Ἰδοὺ πάσης τῆς ἀρετῆς [r]ἡ ὑπόθεσις.
Οὐκ [s]εἶπεν, ἵνα ἀρνησώμεθα, ἀλλ', "ἵνα ἀρνησάμενοι." Ἡ
758 ἄρνησις πολλὴν δείκνυσι τὴν διάστασιν, πολὺ τὸ μῖσος, πολλὴν
τὴν ἀποστροφήν· μεθ' ὅσης διαθέσεως, μεθ' ὅσης σπουδῆς τὰ
εἴδωλα ἀπεστράφησαν, μετὰ τοσαύτης καὶ τὴν κακίαν [t]αὐτήν.
"Καὶ τὰς κοσμικὰς ἐπιθυμίας," φησί· καὶ γὰρ καὶ ταῦτα εἴ-
δωλα. Κοσμικὴ ἐπιθυμία [v]πλεονεξία, [w]καὶ ταύτην εἰδωλολα-
τρείαν [x]ὀνομάζει· καὶ ὅσα πρὸς τὸν παρόντα βίον ἡμῖν χρησι-

[h] τοιοῦτοι] + φησὶν E. οἵους—ἐγὼ om. C. Cat. [i] τὴν ψυχὴν C. Cat. [k] κατατείνει C.E. κατατείνῃ D.K.L.M. κατατεῖναι Veron. κατατείνοι Sav. cet. [l] ἐπ' om. D. [m] φυλάττεσθαι] + αὐτὸν K.L.M. [n] τιμῆσαι C. τιμήσει K.L. τιμήσῃ Veron. [o] ἁμαρτημάτων accessit ex omnibus. [p] ἀλλὰ] οὐ γὰρ μέχρι τούτου, ἀλλὰ K.L.M. [q] ἄθλων C. Statim τίθ. καὶ τὴν ἀ. E.M. [r] ἡ om. C. [s] εἶπον E. Mox φευξώμεθα pro ἀρνησώμεθα K.L.M. Sav. cet. invito Vet. οὐκ εἶπεν—ἀλλ' om. Veron. [t] αὐτὴν] φησὶ C. Post αὐτὴν add. βούλεται K.L.M. Mox φεύγειν pro φησὶ L.M. [v] καὶ πλεον. Edd. καὶ deest in omnibus. [w] καὶ ταύτην] καὶ τ. γὰρ E. μᾶλλον δὲ τ. καὶ K.L.M. Statim εἰδωλολατρίαν C.K.L.M. Veron. [x] ὀνομάζει] καλεῖ C.K.L.M. Post καλεῖ add. κοσμικὴ ἐπιθυμία φιλαργυρία· καὶ ταύτην εἰδωλολατρίαν ὀνομάζει K.L.M.

μένει, κοσμικαί εἰσιν ἐπιθυμίαι· [y]πάντα ὅσα ἂν μὴ [z]διαβαίνῃ
μεθ' ἡμῶν πρὸς τὸν οὐρανὸν, κοσμικαί εἰσιν ἐπιθυμίαι· πάντα
(401) ὅσα ἂν τῷ παρόντι [a]κόσμῳ συγκαταλύηται, κοσμική ἐστιν ἐπι-
θυμία. Μηδὲν τοίνυν πρὸς [b]ταύτας ἔχωμεν. Ἦλθεν ὁ Χρι-
στὸς, ἵνα [c]ἀρνησώμεθα τὴν ἀσέβειαν. [d]Ἀσέβειαν τὰ δόγματά
[e]φησι, καὶ κοσμικὰς ἐπιθυμίας τὸν βίον τὸν ἐναγῆ. "Σωφρό- B
νως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι." Ὁρᾷς
ὅτι, ὅπερ ἀεὶ λέγω, σωφροσύνη οὐ τοῦτο μόνον ἐστὶ, τὸ πορ-
νείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι;
Ἆρα [f]καὶ ὁ χρημάτων ἐρῶν, οὐ σώφρων. Ὥσπερ γὰρ ἐκεῖνος
σωμάτων, [g]οὕτω καὶ οὗτος χρημάτων· μᾶλλον δὲ οὗτος ἀκολα-
στότερος, ὅσῳ οὐδὲ [h]τοσαύτην ἔχει βίαν τὴν ὠθοῦσαν αὐτόν.
Καὶ γὰρ ἡνίοχος [i]ἐκεῖνος ἀκρατὴς μάλιστα ἂν λέγοιτο, οὐχ ὁ
τὸν τραχὺν καὶ δυσήνιον μὴ κατέχων ἵππον, [k]ἀλλ' ὁ τὸν ἠρέμα C
ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. [l]Τί δέ; φησίν· ἡ τῶν
[m]χρημάτων ἐπιθυμία [n]ἐλάττων τῆς τῶν σωμάτων; Παντί που
δῆλόν [o]ἐστι, καὶ πολλαχόθεν τοῦτο δείκνυται. [p]Πρῶτον μὲν,
ὅτι ἀναγκαίως γέγονεν ἡ τῶν σωμάτων ἐπιθυμία· τὸ δὲ ἀναγ-
καίως γεγονὸς δῆλον ὅτι καὶ μετὰ πολλοῦ [q]κατορθοῦται τοῦ
πόνου, [r]ἐπεὶ καὶ ἐνεσπάρη τῇ φύσει. [s]Δεύτερον, ὅτι χρημάτων
μὲν οὐ πολὺς τοῖς παλαιοῖς [t]λόγος, γυναικῶν δὲ πολὺς, σωφρο-
σύνης ἕνεκεν· καὶ γυναικὶ μὲν συγγενομένῳ κατὰ νόμον οὐδεὶς ἂν
[v]μέμψαιτο μέχρι γήρως, χρηματιζομένῳ δὲ πάντες. Καὶ τῶν D
ἔξωθεν [w]φιλοσόφων πολλοὶ χρημάτων μὲν κατεφρόνησαν, γυ-
ναικῶν δὲ οὐκέτι· οὕτω τοῦτο ἐκείνου τυραννικώτερον. Ἀλλ'
ἐπειδὴ πρὸς τὴν ἐκκλησίαν ἡμῖν ὁ λόγος, μὴ ἀπὸ τῶν ἔξωθεν
φέρωμεν τὰ ὑποδείγματα, ἀλλὰ ἀπὸ τῶν γραφῶν. Τοῦτο μὲν
οὖν καὶ ἐν ἐπιτάγματος [x]σχεδὸν μέρει τίθησιν ὁ μακάριος οὗτος,
οὕτω λέγων· [2]"[y]Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις

[2] 1 Tim. vi. 8.

[y] πάντα om. E. Haec πάντα—ἐπιθυμίαι accesserunt ex C.E.K.L.M. favente Cat. [z] διαβαίνει E. Mox εἰς pro πρὸς K.L.M. [a] κόσμῳ] Sic E.K.L.M. Cat. Statim συγκαταλύηται pro -λύεται C.D.K.L.M. [b] ταῦτα C. [c] ἀρνησάμενοι C. [d] ἀσέβειαν om. C.D.E. Veron. Vet. [e] φησι] λέγει L.M. Statim καὶ τὰς κ. C.E. Veron. [f] καὶ om. E. Veron. [g] οὕτω καὶ] οὕτως C.D. [h] τοιαύτην C. [i] ἐκεῖνος] οὗτος C. [k] ἀλλ' ὁ] ἀλλὰ E. [l] τί] ὅτι D. δαὶ pro δὲ C. Statim φησὶν ante ἐπιθυμία transp. C. [m] χρημάτων et σωμάτων transp. C. [n] ἐλάττω C. ἐλ. τῆς τῶν σ. pro τῆς τῶν σ. ἐλ. C.D.K.L. [o] ἐστι assumtum ex C.E.K.L.M. [p] πρῶτον] καὶ πρ. K.L.M. Sav. cet. [q] κατ. τοῦ πόνου] κόπου κατ. C. [r] ἐπεὶ om. C.E. Veron. καὶ om. D. [s] δεύτερον] + δὲ D.E. [t] ὁ λόγος C.E. τοῖς παλαιοῖς et γυν. δὲ πολὺς om. E. [v] μέμψοιτο C. [w] φιλοσοφησάντων C. [x] σχεδὸν om. E. [y] ἔχοντες] + δὲ D. Mox ἀρκεσθησώμεθα C.E.

ἀρκεσθησόμεθα·" περὶ δὲ τῶν [z]παρθένων τί φησιν; [3]"Ἐπι-
ταγὴν κυρίου οὐκ ἔχω·" καὶ πάλιν, "Ἐπὶ τὸ αὐτὸ συνέρχεσθε."
E Καὶ πολλάκις ἴδοις ἂν αὐτὸν περὶ συνουσίας νομοθετοῦντα [a]τῆς
νομίμου. Καὶ ταύτης μὲν [b]ἀφίησιν ἀπολαύειν τῆς ἐπιθυμίας,
καὶ δευτέρῳ προσιέναι [c]γάμῳ, καὶ πολλὴν [d]ποιεῖσθαι τοῦ
πράγματος τὴν ἐπιμέλειαν, καὶ οὐδαμοῦ ὑπὲρ τούτου κολάζει·
[e]τὸν δὲ χρημάτων ἐφιέμενον, πανταχοῦ καταδικάζει. Καὶ περὶ
μὲν χρημάτων ὁ Χριστὸς [f]πολλαχοῦ διέταξεν, ὥστε φεύγειν
τὴν ἐντεῦθεν λύμην· περὶ δὲ ἀποχῆς γυναικὸς, οὐχ οὕτως.
Ἄκουε [g]γὰρ τί φησι περὶ χρημάτων· [4]"Ἐὰν μή τις ἀποτά-
ξηται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν." Οὐδαμοῦ εἶπεν, ἐὰν μή
F τις ἀποτάξηται [h]γυναικί· οἶδε γὰρ οἵαν [i]ἐνέθηκε τὴν τυραννίδα.
Καὶ ὁ μακάριος οὗτός [k]φησι· [5]"Τίμιος ὁ [l]γάμος, καὶ ἡ κοίτη
759 ἀμίαντος." [m]Καὶ οὐδαμοῦ τιμίαν τὴν τῶν χρημάτων ἐπιμέλειαν
καλεῖ, ἀλλὰ τὸ ἐναντίον· [6]"Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπί-
πτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοή-
τους καὶ βλαβεράς." [n]Οὐκ εἶπε, πλεονεκτεῖν, ἀλλὰ, "[o]πλου-
τεῖν." Ἵνα δὲ μάθητε καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ἀναγκαῖον
καὶ τοῦτον τὸν λόγον εἰς μέσον παραγαγεῖν. Χρημάτων μὲν
γάρ τις καθάπαξ ἀποστερηθεὶς οὐκέτ' ἂν [p]ἐνοχλοῖτο ὑπὸ τῆς
ἐπιθυμίας· οὐδὲν γὰρ οὕτω ποιεῖ χρημάτων [q]ἐπιθυμεῖν, ὡς τὸ
χρήματα ἔχειν. Ἐπὶ δὲ τῆς τῶν σωμάτων ἐπιθυμίας οὐχ οὕ-
B τως, ἀλλὰ καὶ εὐνουχισθέντες πολλοὶ τὴν ἔνδον ἐνοχλοῦσαν πυ-
ρὰν οὐκ ἀπέβαλον· ἡ γὰρ ἐπιθυμία ἐν ἑτεροῖς κεῖται ὀργάνοις,
ἔνδον [r]ἐν τῇ φύσει ἐγκειμένη. Τίνος οὖν ἕνεκεν [s]ἡμῖν ταῦτα
εἴρηται; [t]Ὅτι οἱ πλεονέκται τῶν πορνευόντων ἀκολαστότεροι,
ὅσῳ ὑπὸ ἐλάττονος ἐνοχλοῦνται ἐπιθυμίας· μᾶλλον δὲ [v]οὐδὲ
ἐπιθυμία τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ῥᾳθυμία. Ἐνταῦθα μὲν γὰρ
οὕτως ἐστὶν ἡ ἐπιθυμία φυσικὴ, [w]ὥστε κἂν γυναικί τις μὴ πλη-
σιάζῃ, ἡ φύσις τὸ αὐτῆς ποιεῖ καὶ ἐργάζεται· ἐκεῖ δὲ οὐδὲν

[3] 1 Cor. vii. 25, 5. [4] Luc. xiv. 33. [5] Hebr. xiii. 4. [6] 1 Tim. vi. 9.

[z] παρθένων—ἔχω] γυναικῶν, μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου K.L. Sav. cet. invito Vet. In M. lacuna duorum foliorum est. [a] τῆς om. E. [b] ἐφίησιν E. Veron. [c] γάμῳ om. D. [d] ποιεῖται Sav. cet. repugnantibus libris. *ostendit* Vet. [e] τὸν δὲ—καταδικάζει om. E. [f] πανταχοῦ C.E. Statim διετάξατο K.L. [g] γὰρ] δὲ K.L. Statim αὐτοῦ τί φ. C. καὶ τί φ. L. [h] τῇ γυναικὶ K. [i] ἐπέθηκε C. [k] φησι]+Τιμοθέῳ K.L. Sav. Mor. invito Vet. Habet Τιμοθέῳ, sed om. τίμιος Veron. [l] γάμος]+ἐν πᾶσι D. [m] καὶ assumtum ex C.D. τιμίαν om. D. [n] οὐκ] καὶ οὐκ D. In E. folium deest. [o] πλουτεῖν]+ἐν ἔργοις ἀγαθοῖς K.L. [p] ἐνοχλῆται D. [q] ἐπιθυμίαν C. [r] ἐν om. D. [s] ἡμῖν om. K. [t] ὅτι] δεῖξαι ὅτι K.L. [v] οὐδὲ] οὐκ C. Statim ἐπιθυμία . . . ῥᾳθυμία D.K.L. ἐπιθυμίας . . . ῥᾳθυμίας Edd. ἐπιθυμίας (om. τὸ πρ. ἐστιν, ἀλλὰ ῥαθ.) C. [w] ὥστε κἂν] ὅτι καὶ ἂν K.L.

[x]τοιοῦτον γίνεται. "Καὶ εὐσεβῶς, φησὶ, ζήσωμεν ἐν τῷ νῦν
[y]αἰῶνι." Καὶ [z]τίς ἡ ἐλπίς; τί τὸ [a]ἔπαθλον τῶν πόνων; C
"Προσδεχόμενοι, φησὶ, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν."
Ὄντως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον, [b]οὐδὲν ζηλωτότερον·
[c]καὶ ταῦτα λόγος παραστῆσαι οὐ δύναται· καὶ γὰρ νοῦν ὑπερ-
βαίνει τὰ τότε ἀγαθά. "Προσδεχόμενοι, φησὶ, τὴν μακαρίαν
ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν." Ποῦ εἰσὶν οἱ τοῦ πατρὸς ἐλάττονα τὸν υἱὸν λέγοντες;
"Τοῦ μεγάλου, φησὶ, θεοῦ καὶ [d]σωτῆρος." Ὁ τοὺς ἐχθροὺς
σώσας, τί οὐκ ἐργάσεται τότε [e]εὐδοκιμοῦντας λαβών; "Τοῦ
μεγάλου, φησὶ, θεοῦ." Τὸ [f]μέγας ἐπὶ θεοῦ ὅταν λέγῃ, οὐ πρός D
(402) τι [g]μέγας φησὶν, ἀλλ' ἀπολύτως μέγας, μεθ' ὃν οὐκ ἂν εἴη
μέγας, [h]ἐπεὶ πρός τι ἐστίν. Εἰ δὲ πρός τι, κατὰ σύγκρισιν,
καὶ οὐ φύσει μέγας· νῦν δὲ ἀσυγκρίτως μέγας. "Ὃς ἔδωκεν
ἑαυτὸν ὑπὲρ ἡμῶν, [i]φησὶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης
[k]ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον·" [l]ἐξηλλαγμένον,
οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. "Ζηλωτὴν καλῶν ἔρ-
γων." Ὁρᾷς ὅτι καὶ τῶν παρ' ἡμῶν δεῖ; Οὐχ ἁπλῶς ἔργων,
ἀλλὰ, "ζηλωτὴν," τουτέστι, μετὰ προθυμίας πολλῆς ἐπ' αὐτὴν
ἰόντα τὴν ἀρετὴν, μετὰ [m]θερμότητος καὶ σφοδρότητος τῆς E
προσηκούσης. Τὸ μὲν [n]οὖν βεβαρημένους τοῖς κακοῖς καὶ ἀνίατα
νοσοῦντας ἀπαλλάξαι, τῆς ἐκείνου φιλανθρωπίας ἦν· [o]τὰ δὲ
μετὰ ταῦτα, καὶ ἡμῶν καὶ ἐκείνου.

7 "Ταῦτα λάλει καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπι-
ταγῆς." "Ταῦτα λάλει καὶ παρακάλει." Ὁρᾷς πῶς Τιμοθέῳ
[p]μὲν προστάττει, [q]καί φησιν, 8 "Ἔλεγξον, ἐπιτίμησον, παρα- F
κάλεσον·" ἐνταῦθα δὲ, "Ταῦτα λάλει καὶ παρακάλει, καὶ ἔλεγχε
μετὰ πάσης ἐπιταγῆς;" Ἐπειδὴ τὸ ἦθος τούτων σκληρότερον
ἦν, διὰ τοῦτο καὶ ἀποτόμως καὶ μετὰ πάσης ἐπιταγῆς ἐλέγχειν 760
ἐπιτάττει. Ἔστι γὰρ τῶν ἁμαρτημάτων, ἃ καὶ ἐπιτάγμασιν
ἀπείργειν χρή· οἷον, τὸ μὲν χρημάτων καταφρονεῖν παραινοῦν-
τας [r]δεῖ πείθειν, καὶ τὸ ἐπιεικεῖς εἶναι, καὶ ὅσα τοιαῦτα· τὸν δὲ

7 v. 15. 8 2 Tim. iv. 2.

[x] τοιοῦτο C. Mox φησὶ om. C.L. [y] αἰῶνι]+καὶ ἐν τῷ μέλλοντι Veron. Sav. Mor. Haec om. C.K.L. Vet. [z] τίς]+εἰπὲ K.L. [a] ἆθλον C. [b] οὐδὲ ζ. C. οὐδὲν ζ. om. K. [c] καὶ om. L. Mox λόγος ... δύναται omnes. λόγοι ... δύνανται Edd. [d] σωτῆρος]+ἡμῶν D. Mox οὐκ ἂν ἐργάσηται idem. [e] οὐκ εὐδοκ. Veron. Ben. [οὐκ] εὐδοκ. Sav. Mor. *qui malae opinionis erant* Vet. Sed οὐκ deest in nostris omnibus. [f] μέγα D. non Cat. [g] μέγα D.K.L. μέγαν bis Cat. [h] ἐπεὶ]+οὐ D. Vet. [i] φησὶν om. K.L. [k] ἁμαρτίας K. [l] ἐξηλλαγμένον] τουτέστιν, ἐξειλεγμένον K.L. Sav. cet. invita Cat. *mutatum scilicet* Vet. [m] θερμότητος καὶ assumtum ex C.D. [n] οὖν]+ἔνθεν D.K.L. invita Cat. [o] τὰ] τὸ D.K.L. [p] μὲν om. C. [q] καί φ.] λέγων K.L. [r] ἔδει C.

μοιχὸν, τὸν πόρνον, τὸν πλεονέκτην μετ' ἐπιταγῆς [s]ἀπάγειν, τὸν οἰωνιζόμενον, [t]τὸν κληδονιζόμενον, τὸν ἄλλα τοιαῦτα πράττοντα· [v]οὐδὲ ἁπλῶς ἐπιταγῆς, ἀλλὰ, "μετὰ πάσης ἐπιταγῆς." Ὁρᾷς πῶς βούλεται καὶ μετὰ αὐθεντίας, καὶ μετὰ ἐξουσίας
B πολλῆς ταῦτα αὐτὸν ἐπιτάττειν; "Μηδείς σου περιφρονείτω·" [w]τουτέστι, καταφρονείτω· ἀλλὰ, [9]"Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς [x]καὶ ἐξουσίαις [y]ὑποτάσσεσθαι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι." Τί οὖν; μηδὲ τοὺς κακῶς πράττοντας, μηδὲ [z]ἐκείνους λοιδορεῖσθαι; "Ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν·" [a]κἂν ὅστις ᾖ, φησὶν, ὅλως μηδένα. Ἀκούσωμεν τῆς παραινέσεως. "[b]Μηδένα, φησὶ, βλασφημεῖν·" καθαρὸν [c]ἡμῖν εἶναι τὸ στόμα λοιδορίας. [d]Εἴτε γὰρ ἀληθεῖς εἰσιν αἱ λοιδορίαι, οὐχ ἡμῶν [e]ταῦτα λέγειν, ἀλλὰ τοῦ κριτοῦ
C ἐξετάζειν· [10]"Σὺ γὰρ, [f]φησὶ, τί κρίνεις τὸν ἀδελφόν σου;" εἴτε οὐκ ἀληθεῖς, [g]ὁρᾷς ὅσον τὸ πῦρ; [h]Ἄκουε τοῦ λῃστοῦ λέγοντος πρὸς τὸν ἕτερον λῃστήν· [11]"Καὶ γὰρ καὶ [i]αὐτοὶ ἐν τῷ αὐτῷ κρίματί ἐσμεν·" τὸν αὐτὸν [k]ἀγῶνα τρέχομεν. [l]Ἐὰν ὀνειδίζῃς ἑτέροις, ταχέως καὶ αὐτὸς τοῖς αὐτοῖς [m]περιπεσῇ. Διὰ τοῦτο παραινεῖ ὁ μακάριος [n]οὗτος λέγων· [12]"Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ." "Ἀμάχους εἶναι, φησὶν, ἐπιεικεῖς, πᾶσαν [o]ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους·" καὶ Ἕλληνας καὶ Ἰουδαίους, καὶ μοχθηροὺς καὶ πονηρούς. Ἐκεῖ μὲν [p]γὰρ
D ἀπὸ τῶν μελλόντων, [q]ὅπερ καὶ αὐτὸς ἐποίει ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ, λέγων, "[r]Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ·" ἐνταῦθα δὲ οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλ' ἀπὸ τῶν παρελθόντων [s]ἐντρέπει· μηδενὶ ὀνειδίσῃς, [t]φησί· τοιοῦτος γὰρ ἦς καὶ σύ.

9 Cap. III. v. 1, 2. 10 Rom. xiv. 10. 11 Luc. xxiii. 40. 12 1 Cor. x. 12.

[s] ἀπάγειν] Sic C.K.L. Cat. ἀπάγων D. *corripere* Vet. ἐπὶ τὸ βέλτιον δεῖ ἐπάγειν Edd. [t] τὸν κλ. om. D. [v] οὐδὲ] καὶ οὐδὲ K.L. [w] Haec τουτέστι, καταφρονείτω sunt in nostris omnibus, non in Edd. Statim ἀλλ' ὑπ. C.K.L. Cat. [x] καὶ om. D. Veron. [y] ὑποτάσσεσθαι] + πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι D.K.L. Sav. cet. invitis Cat. Vet. [z] ἐκείνους λοιδορεῖσθαι; ἀλλὰ] ἐκείνοις λοιδορουμένους K.L. [a] κἂν ὅστις ᾖ, φ. ὅλως (ὅλως om. K.) μηδένα (+ λοιδορῶμεν D.K.L. et fortasse Vet.)] Sic C.D.K.L. Vet. κἂν ὅστις ᾖ, ceteris omissis, Cat. In Editis haec non leguntur. [b] μηδένα, φ. βλ. om. E. [c] ἡμῖν εἶναι] Sic C. Cat. ἡμῖν εἶναι δεῖ K.L. εἶναι χρὴ D. εἶναι δεῖ ἡμῖν E. Edd. Mox ἀπὸ λοιδορίας Edd. ἀπὸ om. C.D. Cat. [d] εἴτε] εἴπερ D. [e] ταύτας D. [f] φησὶ—οὐκ ἀληθεῖς] εἰ κρίνεις, φησὶν, τὸν ἀδ. σου, εἴτε οὐκ ἀληθεύεις, εἴτε ἀληθεύεις, σεαυτὸν βλάπτεις D. ψευδεῖς pro οὐκ ἀληθεῖς E. [g] ὁρᾷς C.D.E. Vet. ὅρα Edd. [h] ἄκουε omnes. ἄκουσον Edd. [i] αὐτοὶ] ἡμεῖς E. [k] ἀγῶνα] φησὶν, αἰῶνα E. [l] ἐὰν] ἂν C. ἐὰν om. D. Statim ὀνειδίζεις D. –δίσῃς K. –δίσεις L. Deinde ἑτέρους K.L. [m] περιπέσῃς C. [n] οὕτω D. [o] ἐπιδ. C.E. [p] γὰρ] οὖν K.L. [q] ὅπερ—λέγων] φοβεῖ λέγων K.L. Sav. cet. invito Vet. [r] ὥστε om. K.L. [s] ἐντρέπει] + τὸ αὐτὸ ποιῶν, δι' ὧν ἐπάγει, ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι· ὅπερ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ γράφων, (+ ὅτι καὶ ἡμεῖς K.L.) ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. οὐκοῦν K.L. Sav. cet. invito Vet. [t] φησὶ om. K.L.

[13] "Ἦμεν γάρ, φησὶ, ποτὲ καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώ-
μενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ
φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους." Ὥστε πρὸς E
πάντας [v] τοιούτους εἶναι δεῖ, ἡμέρως ἔχειν. Ὁ γὰρ τοιοῦτος ὢν
[w] πρότερον, καὶ ἀπαλλαγεὶς, οὐκ ὀνειδίζειν ὀφείλει [x] τούτους,
ἀλλ' εὔχεσθαι καὶ χάριτας ἔχειν τῷ [y] καὶ αὐτῷ κἀκείνοις δόντι
τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν. Μηδεὶς καυχάσθω· πάν-
τες γὰρ ἥμαρτον. Ὅταν οὖν ἐθέλῃς ὀνειδίσαι τινὰ κατορθῶν
αὐτὸς, [z] καὶ τὸν πρότερόν σου ἐννοῶν βίον, καὶ τὸ τοῦ μέλλοντος
ἄδηλον, [a] ἀναχαίτιζε τὴν ὁρμήν. Εἰ γὰρ καὶ ἐκ πρώτης ἡλικίας
ἐναρέτως ἔζησας, ἀλλ' ὅμως ἔχοις ἂν ἁμαρτήματα πολλά. Εἰ F
δὲ οὐκ ἔχεις, ὡς νομίζεις, ἐννόησον ὅτι οὐ τῆς σῆς ἀρετῆς τοῦτο
γέγονεν, ἀλλὰ τῆς τοῦ θεοῦ χάριτος· εἰ γὰρ μὴ τοὺς προγόνους
ἐκάλεσε τοὺς σοὺς, καὶ αὐτὸς ἂν ἦς ἀπειθής. Ὅρα πῶς [b] πᾶσαν
(403) κακίαν διεξῆλθεν. Οὐχὶ μυρία διὰ προφητῶν, διὰ πάντων ὁ θεὸς 761
[c] ᾠκονόμει; μὴ ἠκούσαμεν; "Ἦμεν γάρ [d] ποτε, φησὶ, καὶ ἡμεῖς
πλανώμενοι· [14] ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη
τοῦ σωτῆρος ἡμῶν θεοῦ·" πῶς; "οὐκ ἐξ ἔργων τῶν ἐν [e] δικαιο-
σύνῃ, ἀλλὰ κατὰ [f] τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ
παλιγγενεσίας καὶ ἀνακαινώσεως [g] πνεύματος ἁγίου." Βαβαὶ,
πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι καθαρ-
θῆναι, [h] ἀλλ' ἀναγεννήσεως δεηθῆναι· τοῦτο γάρ ἐστι [i] παλιγ-
γενεσία. Καθάπερ ἐπὶ οἰκίας σαθρῶς διακειμένης, οὐδεὶς ὑπο-
στήριγμα τίθησιν, οὐδὲ συρράπτει ταῖς παλαιαῖς οἰκοδομαῖς, B
ἀλλὰ μέχρι τῶν θεμελίων [k] αὐτὴν καταλύσας, οὕτως ἄνωθεν ἀνί-
στησι καὶ ἀνακαινίζει· οὕτω καὶ αὐτὸς ἐποίησεν· οὐκ ἐπεσκεύασεν
ἡμᾶς, ἀλλ' ἄνωθεν κατεσκεύασε· τοῦτο γὰρ [l] ἐστιν, "ἀνακαινώ-
σεως πνεύματος ἁγίου·" ἄνωθεν ἐποίησε καινούς· πῶς; διὰ τοῦ
πνεύματος. Καὶ πάλιν [m] καὶ ἑτέρωθεν δείκνυσιν, εἰπών· [15] "Οὗ
ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος

[13] v. 3. [14] v. 4, 5. [15] v. 6.

[v] τοιοῦτος E. [w] πρότερον om. E. [x] τούτους] Sic C.D. τούτοις K.L. πρὸς τούτοις E. πρὸς τοιούτους Edd. [y] καὶ αὐτῷ] ἑαυτῷ D. [z] καὶ om. C. [a] ἀναχ. τὴν ὁρμὴν] Sic C.D.K.L. Cat. τὴν ὁρμὴν ἀναχ. E. *impetum contine* Vet. τὴν ὀργὴν ἀναχ. Edd. [b] πᾶσαν] πρὸς πᾶσαν E. Mox διεξῆλθεν E. receptum a Ben. διεξήλθομεν K.L. διεξῆλθον Edd. [c] ᾠκονόμηκεν C. Statim καὶ ἠκ. C. μὴ οὐκ ἠκ. D. μὴ om. K.L. [d] ποτε om. E. Post ἡμεῖς add. ἀνόητοι, ἀπειθεῖς C. [e] δικαιοσύνῃ]+ὧν ἐποιήσαμεν ἡμεῖς C.D.L. Sav. cet. invitis Cat. Vet. [f] τὸ ἑαυτοῦ ἔλεος D. [g] πνεύματος] διὰ πν. D. [h] ἀλλ']+ἀνακαινώσεως καὶ E. ἀλλ' ἀ. δεηθῆναι om. C [i] παλιγγενεσίας C. Cat. τὸ διὰ παλιγγενεσίας K.L. Statim καθάπερ γὰρ Edd. γὰρ deest in omnibus. [k] αὐτὴν om. E. [l] ἐστι, καὶ ἀν. Sav. cet. καὶ om. C.D.E. ἐστι καὶ om. Veron. Post ἁγίου add. ἀντὶ τοῦ K.L. [m] καὶ (καὶ om. Cat.) ἑτέρωθεν (ἑτέρωθι C.E.) δ. εἰπὼν] ἑτέρως τοῦτο δεικνὺς, ἐπάγει K.L. Sav. cet.

C ἡμῶν." [n]Πολλοῦ ἔδει ἡμῖν [o]πνεύματος. [16]"Ἵνα δικαιωθέντες,
[p]φησὶ, τῇ ἐκείνου χάριτι." [q]Πάλιν χάριτι, οὐκ ὀφειλῇ. "Κλη-
ρονόμοι [r]γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου." Ἅμα καὶ προ-
τροπὴ εἰς ταπεινοφροσύνην ἐστὶ, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόν-
των. Εἰ γὰρ οὕτως ἀπεγνωσμένους, ὡς ἄνωθεν γεννηθῆναι, ὡς
χάριτι σωθῆναι, [s]ὡς μηδὲν ἔχειν ἀγαθὸν, ἔσωσε, πολλῷ μᾶλλον
ἐν τῷ μέλλοντι τοῦτο ἐργάσεται.

Οὐδὲν [t]γὰρ τῆς ἀνθρωπίνης θηριωδίας χεῖρον ἦν πρὸ τῆς τοῦ
[v]Χριστοῦ παρουσίας· ὥσπερ γὰρ ἐχθροὶ καὶ πολέμιοι πάντες
D διέκειντο πρὸς ἀλλήλους. Τοὺς παῖδας ἔσφαζον τοὺς ἑαυτῶν
πατέρες, [w]μητέρες παισὶν ἐπεμαίνοντο· οὐδὲν ἦν ἑστηκὸς, οὐ
φυσικὸς, οὐ γραπτὸς νόμος, ἀλλὰ ἀνατέτραπτο ἅπαντα· μοι-
χεῖαι διηνεκεῖς· φόνοι, καὶ εἴ τι φόνων [x]χαλεπώτερον· κλοπαί·
φησὶ [y]δέ τις τῶν ἔξωθεν, ὅτι καὶ ἀρετῆς τὸ πρᾶγμα ἐδόκει εἶ-
ναι· καὶ εἰκότως, ὅπου γε καὶ θεὸν τοιοῦτον ἔσεβον· χρησμοὶ
συνεχεῖς τὸν δεῖνα ἀναιρεῖσθαι καὶ τὸν [z]δεῖνα. Εἴπω τι τῶν
κατ' ἐκεῖνον τὸν χρόνον; [a]Ἀνδρόγεώς τις τοῦ Μίνωος υἱὸς
E ἐλθὼν εἰς Ἀθήνας καὶ πάλην νικήσας, δίκην ἐδίδου, καὶ ἀνῃρέθη.
[b]Ὁ οὖν Ἀπόλλων, κακῷ τὸ κακὸν ἰώμενος, ἐκέλευσε δὶς ἑπτὰ
παῖδας ἀπάγεσθαι ὑπὲρ τούτου. Τί ταύτης τῆς τυραννίδος
ὠμότερον; Καὶ τοῦτο [c]ἐγίνετο, καὶ ἄνθρωπος τοῦ δαίμονος τὴν
μανίαν [d]λῦσαι ἀπελθὼν, [e]ἔσφαζε [f]τοὺς ἄνδρας. Ὁρᾷς ὅτι εἰ-
κότως ἀπάτη ἴσχυεν; ἐπειδὴ δὲ διανέστησαν καὶ ἤμυναν ἑαυτοῖς,
οὐκέτι. Εἰ [g]μὲν δικαίως τὸ πρᾶγμα ἐγίνετο, οὐκ ἐχρῆν κωλυ-
F θῆναι· εἰ δὲ ἀδίκως, ὥσπερ οὖν καὶ ἀδίκως, οὐδὲ παρὰ τὴν ἀρχὴν
ἐπιταγῆναι. Πύκτας προσεκύνουν καὶ παλαιστάς. Πόλεμοι
762 συνεχεῖς καὶ ἐπάλληλοι, [h]κατὰ πόλιν, κατὰ κώμην, κατὰ οἰκίαν.
[i]Ἐπαιδεράστουν· [k]καὶ παρ' αὐτοῖς τις ὁ θαυμαστὸς αὐτῶν

16 v. 7.

[n] πολλοῦ] οὕτω πολλοῦ K.L. Sav. cet. Statim ἔδει C.D.K.L. Cat. δεῖ Edd. [o] πνεύματος] τοῦ ἐλέους K.L. Sav. Mor. τοῦ πνεύματος, invitis libris, Ben. [p] φησὶ om. K.L. Sav. cet. αὐτοῦ pro ἐκείνου E. [q] πάλιν χ. om. C.D. invitis Cat. Vet. [r] γενώμεθα] Sic C.D.K.L. Cat. γενηθῶμεν Edd. [s] ὡς] τῷ K.L. ἔχοντας pro ἔχειν E. [t] γὰρ om. K.L. [v] Χριστοῦ] υἱοῦ E. Veron. [w] καὶ μητέρες Edd. καὶ deest in omnibus. [x] φοβερώτερον E. φανερώτερον Veron. *gravius* Vet. [y] δὲ om. E. Veron. [z] δεῖνα] + κελεύοντες K.L. Sav. cet. [a] Ἀνδρόγεως (-γεος C.)—υἱὸς] Ἀνδριγέως (sic) τίτου μὲν ὡς υἱὸς E. ἀνήρ τις Veron. [b] ὁ οὖν] πῶς οὖν; C. Post κακὸν add. ἐπ' αὐτῷ E. [c] ἐγίνετο C.D. ἐγένετο Edd. [d] λῦσαι] + ζητῶν καὶ E. Statim ἐπελθὼν C.K.L. Sav. cet. [e] ἔσφαζε C.D. ἔσφαξε Edd. [f] τοὺς ἄνδρας—ἴσχυεν] Sic (sed ἡ ἀπάτη D.) C.D.E. Veron. τοὺς παῖδας ἐκείνους, ὅτι παρ' αὐτοῖς ἡ ἀπάτη ἴσχυεν K.L. Sav. cet. Sequentia ἐπειδὴ—οὐκέτι desunt in Veron. Vet. [g] μὲν] + οὖν K.L. Sav. cet. [h] κατὰ κώμην, κατὰ πόλιν inverso ord. K.L. [i] ἐπαιδεράστουν Edd. ἠρίστευον Codd. [k] καὶ παρ' αὐτοῖς τις ὁ θ. αὐτῶν φ. (φ. αὐτῶν C.) ἐνομοθέτησε (ἐνομοθέτουν E.) μὴ (μήτε D. μὴ om. E.) δούλῳ

φιλόσοφος ἐνομοθέτησε, μὴ δούλῳ ἐξεῖναι μήτε παιδεραστεῖν, μήτε ξηραλοιφεῖν, [l]ὡς ἀρετῆς τοῦ πράγματος ὄντος, καὶ πολλὴν ἔχοντος τιμήν. [m]Ἐπ' οἰκήματος εἱστήκεισαν [n]φανερῶς. Καὶ εἰ πάντα τις ἐπέλθοι τὰ κατ' αὐτοὺς, εὑρήσει [o]φανερῶς ὅτι καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνύβριζον, καὶ οὐδεὶς ὁ κωλύων ἦν. [p]Ἀλλὰ τὰ δράματα αὐτοῖς πάντα [q]οὐ τούτων γέμει, μοιχείας, ἀσελγείας, διαφθορᾶς; Παννυχίδες ἐγίνοντο μιαραὶ, καὶ [r]γυναῖκας ἐκάλουν ἐπὶ τὴν θέαν. Ὢ τῆς μιαρίας· ἐν νυκτὶ, ἐν θεάτρῳ παν- B
νυχὶς ἦν, καὶ παρθένος ἐκάθητο μεταξὺ νέων μεμηνότων καὶ μεθύοντος ὄχλου. Τὸ σκότος ἦν ἡ πανήγυρις, καὶ τὰ μυσαρὰ ἔργα τὰ ὑπ' αὐτῶν τελούμενα. Διὰ τοῦτό φησιν· "Ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις." Ὁ δεῖνα τῆς μητρυιᾶς ἠράσθη, φησὶ, καὶ ἡ δεῖνα τοῦ προγόνου, καὶ ἀπήγξατο. Τοὺς γὰρ τῶν παίδων ἔρωτας, [s]ἅπερ αὐτοῖς παιδικὰ καλεῖν ἔθος ἐστὶν, οὐδὲ εἰπεῖν ἔνι, [t]πῶς οὐδὲ αἰσχύνονται, οὐδὲ ἐγκαλύπτονται. Ἀλλὰ τί; βούλει μητρογαμίας ἰδεῖν; Ἔστι καὶ τοῦτο παρ' αὐτοῖς, καὶ τὸ [v]δὴ δεινὸν, [w]ὑπὸ ἀγνοίας τὸ πρᾶγμα ἐγίνετο, καὶ οὐκ C
(404) ἐκώλυεν ὁ θεὸς ὁ παρ' αὐτοῖς, ἀλλὰ [x]περιεώρα τὴν φύσιν ὑβριζομένην, καὶ ταῦτα τῶν ἐπισήμων οὖσαν. [y]Εἰ δὲ οὓς εἰκὸς, εἰ καὶ μὴ [z]δι' ἕτερόν τι, διὰ γοῦν τὴν [a]παρὰ τῶν πολλῶν δόξαν ἀντέχεσθαι τῆς ἀρετῆς, [b]οὗτοι δὲ οὕτω πρηνεῖς κατὰ τῆς κακίας ἐφέροντο· τί εἰκὸς τοὺς πολλοὺς καὶ λανθανόντως βιοῦντας διαπράττεσθαι; Τί ποικιλώτερον ταύτης τῆς ἡδονῆς; Ἠράσθη ἡ δεῖνα τοῦ δεῖνος· ἐπανελθόντα τὸν ἄνδρα ἔσφαξε διὰ τοῦ μοιχοῦ. Τάχα ἴστε τὸ διήγημα οἱ πολλοί. Τὸν μοιχὸν ἀνεῖλεν ὁ παῖς τοῦ φονευθέντος, [c]κἀκείνην ἐπέθυσε· μετὰ ταῦτα ἐμάνη καὶ αὐτὸς, καὶ [d]ταῖς ἐριννύσιν ἠλαύνετο· εἶτα αὐτὸς οὗτος [e]ὁ μανεὶς D
ἀπελθὼν ἔσφαξεν ἕτερον, καὶ τὴν ἐκείνου γυναῖκα λαμβάνει. Τί [f]τούτων [g]χεῖρον τῶν συμφορῶν; Τούτου χάριν [h]ταῦτα λέγω

ἐξ. μήτε π. μήτε ξ.] Sic C.D.E. ἄκουε δὲ παρ' αὐτοῖς καὶ τί ὁ θ. αὐτῶν φ. ἐνομοθέτησε. δούλῳ μὴ ἐξέστω, φησὶ, π. μήτε (μηδὲ K.) ξ. K.L. καὶ παρ' αὐτοῖς φ. τις ἐνομοθέτει, δούλῳ ἐξεῖναι μήτε π. μήτε ξ. Edd. [l] ὡς ἀρετῆς] Sic omnes. ὡς γὰρ ἐναρέτου Veron. ὡς ἐναρέτου Sav. cet. [m] ἐπ'] καὶ ἐπ' E. διὰ τοῦτο καὶ ἐπ' K.L. Sav. cet. Mox εἱστήκεσαν C. ἑστήκεσαν D. [n] φανερῶς] + τοῦτο ποιοῦντες Edd. repugnantibus libris. [o] φανερῶς] σαφῶς K.L. [p] ἀλλὰ] καὶ K.L. αὐτῶν pro αὐτοῖς E. [q] οὐ assumtum ex C.D. [r] γυναῖκας ἐκάλουν] Sic C.D. γυναῖκας ἐκαλοῦντο Veron. γυναῖκες ἐκαλοῦντο E.K. L.M. Sav. cet. [s] ἅπερ] Sic C.D.E. οὕσπερ Edd. Statim παιδὰ (sic) D. [t] Haec πῶς—ἐγκαλύπτονται accesserunt ex nostris omnibus et Sav. marg. consentiente Vet. [v] δὴ om. E. [w] ὑπὸ] οὐχ ὑπὸ D. [x] παρεώρα C. [y] εἰ δὲ om. E. [z] δι'] δὲ D. [a] παρὰ τῶν assumtum ex omnibus. [b] οὗτοι δὲ οὕτω] οὕτως οὗτοι D. δὲ οὕτω om. C. [c] κἀκείνην] καὶ αὐτὴν E. [d] ταῖς om. K.L. ἐρινύσιν iidem. [e] ὁ om. C.D.E. Veron. [f] τούτου E. [g] χεῖρον τ. σ.] τ. σ. χαλεπώτερον D. [h] ταῦτα om. E.

ἀπὸ τῶν ἔξωθεν, ἵνα τοὺς Ἕλληνας πείσω, πόσα κατεῖχε τὴν
οἰκουμένην κακά. Ἀλλ', εἰ βούλεσθε, καὶ ἀπὸ τῶν ἡμετέρων
[i]δεικνύωμεν. [17] "Ἔθυσαν, φησὶ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγα-
τέρας αὐτῶν τοῖς δαιμονίοις." [k]Πάλιν οἱ τὰ Σόδομα οἰκοῦντες
δι' οὐδὲν ἕτερον ἀπώλοντο, ἢ ὅτι παισὶν ἐπεμαίνοντο. Ἀλλὰ
E πάλιν ἐν προοιμίοις τῆς τοῦ Χριστοῦ παρουσίας, οὐχὶ ἡ τοῦ
βασιλέως θυγάτηρ ἐν μέσοις ὠρχεῖτο [l]τοῖς συμποσίοις, ἐν ἀν-
θρώποις μεθύουσιν; οὐχὶ φόνον ᾔτει, καὶ ὀρχήσεως τιμὴν τὴν
κεφαλὴν [m]τοῦ προφήτου; [18] "Τίς λαλήσει τὰς δυναστείας
[n]τοῦ κυρίου;" "Στυγητοὶ, φησὶ, μισοῦντες ἀλλήλους." Ἀνάγκη
763 γὰρ πάντως, ὅταν πάσας [o]τῇ ψυχῇ ἐπαφῶμεν τὰς ἡδονὰς, πολὺ
τὸ μῖσος γίνεσθαι. Διὰ τί; [p]Ὅτι μετὰ ἀρετῆς ἡ ἀγάπη·
[q]τότε οὐδεὶς οὐδένα πλεονεκτεῖ. Ὅρα καὶ [r]ὁ Παῦλος τί φησι.
[19] "Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ,
οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, [s]οὔτε πλεονέκται, οὐ λοίδοροι,
οὐ μέθυσοι βασιλείαν [t]θεοῦ κληρονομήσουσι. Καὶ ταῦτά τινες
ἦτε." Ὁρᾷς πῶς πᾶν κακίας εἶδος ἐπεπόλαζε, καὶ πολλή τις ἦν
ἡ ἀχλὺς, [v]τὸ δίκαιον διεφθείρετο; Εἰ γὰρ οἱ προφητείας ἀπο-
λαύοντες, καὶ τοσαῦτα ὁρῶντες γενόμενα κακὰ καὶ ἐν τοῖς [w]πο-
λεμίοις καὶ ἐν ἑαυτοῖς, ὅμως οὐκ ἠνείχοντο, ἀλλὰ μυρία [x]δεινὰ
B εἰργάζοντο· τί [y]ἂν οἱ ἄλλοι; Ἀλλά [z]τινες πάλιν παρ' αὐτοῖς
παρθένους γυμνὰς [a]ἐκέλευον παλαίειν ἐπ' ὄψεσιν ἀνθρώπων.
Πολλὰ ὑμῖν [b]ἀγαθὰ γένοιτο, ὅτι οὐδὲ τὸ ῥῆμα [c]ἀκούειν φέ-
ρετε, [d]οὗ τὸ πρᾶγμα οἱ φιλόσοφοι οὐκ ᾐσχύνοντο. Ἕτερος
δέ τις φιλόσοφος, ὁ κορυφαῖος αὐτῶν, καὶ εἰς πολέμους αὐτὰς
ἐξάγει, καὶ κοινὰς εἶναι κελεύει, ὡς μαστροπός τις [e]ὢν καὶ προ-
αγωγεύς. "Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες," φησίν. Εἰ γὰρ
οἱ φιλοσοφοῦντες παρ' αὐτοῖς τοιαῦτα ἐνομοθέτουν, τί ἂν εἴ-
C ποιμεν περὶ τῶν μὴ φιλοσοφησάντων; εἰ οἱ τὸ γένειον ἔχοντες
βαθὺ, καὶ τὸν τρίβωνα ἀναβεβλημένοι τοιαῦτα λέγουσι, τί ἂν

[17] Psal. cv. 37. [18] Ibid. 2. [19] 1 Cor. vi. 9—11.

[i] δεικνύομεν C.E.K.L.M. [k] καὶ πάλιν Edd. καὶ om. C.D.K.L.M. [l] τοῖς om. D.L.M. [m] τοῦ]+προδρόμου καὶ C. [n] τοῦ om. C. [o] τῆς ψυχῆς E. Veron. [p] ὅτι]+οὐ Edd. οὐ om. C.D.K.L.M. [q] τότε] Sic C.D.L. ὅτι τότε M. ὅτι E.K. Edd. [r] ὁ om. C.D. [s] οὔτε πλ. om. C.K.L. et in text. M. Statim οὔτε λ. οὔτε μ. D. οὔτε μ. οὔτε λ. C. [t] θεοῦ]+οὐ L. erasum in K. [v] τὸ] καὶ τὸ K.L.M. Sav. cet. [w] πολέμοις C.E. Veron. Mox αὐτοῖς E. Veron. [x] δεινὰ εἰργ.] Sic D. εἰργ. δεινὰ C. κακὰ εἰργ. K.L.M. καινὰ εἰργ. E. Edd. [y] ἂν] δὴ K.L.M. [z] τινες] Sic C.D.K.L.M. τις Edd. Statim παρ' αὐτοῖς πάλιν hoc ord. C.D. [a] ἐκέλευον C.D.K.L.M. ἐκέλευσε E. ἐκέλευε Edd. [b] ἀγαθὰ γ. pro γ. ἀγαθὰ C.D.K.L. [c] ἀκούειν] Sic C.D.E.K.L. ἀκοῦσαι Edd. [d] οὗ] Sic C.D.K.L.M. αὐτὸ δὲ Edd. Locus sic legitur in E. οἱ φ. δὲ οὐδὲ τὸ πρ. ᾐσχύνοντο. [e] ὢν om. L. Mox προαγωγεὺς pro προαγωγὸς C.D.E.

εἴποιμεν περὶ ἑτέρων; [f]Οὐ διὰ τοῦτο γέγονεν ἡ γυνὴ, [g]ἄνθρωπε,
ὥστε κοινῇ πᾶσι προκεῖσθαι. Ὦ πάντα ἀνατρέποντες [h]ὑμεῖς·
οἱ τοῖς μὲν ἄρρεσιν ὡς θηλείαις μιγνύμενοι, τὰς δὲ θηλείας ὡς
ἄνδρας εἰς πόλεμον ἐξάγοντες. Τοῦτο γὰρ ἔργον [i]τοῦ διαβό-
λου, [k]τὸ πάντα συγχέειν καὶ ἀνατρέπειν, καὶ τὰ ἐξ ἀρχῆς τε-
θέντα ὅρια διασαλεύειν καὶ μεταίρειν, [l]τὰ ὅρια ἃ [m]ὁ θεὸς ἔθετο
τῇ φύσει. Τῇ μὲν γὰρ γυναικὶ τὸ [n]οἰκουρεῖν ἔδωκεν ὁ θεὸς,
τῷ δὲ ἀνδρὶ τὰ δημόσια πράττειν· σὺ δὲ τὴν κεφαλὴν εἰς τοὺς D
πόδας κατάγεις, καὶ τοὺς πόδας εἰς τὴν κεφαλὴν ἀνάγεις.
Γυναῖκας ὁπλίζεις, καὶ οὐκ αἰσχύνῃ; Τί δὲ ταῦτα λέγω; Εἰσά-
γουσί [o]τινα παρ' αὐτοῖς γυναῖκα [p]καὶ παῖδας ἀνελοῦσαν, καὶ
οὐκ αἰσχύνονται [q]οὐδὲ ἐντρέπονται, τοιαῦτα μυσαρὰ διηγήματα
εἰς τὰς τῶν ἀνθρώπων ἀκοὰς ἐμβάλλοντες. "Ὅτε δὲ ἡ χρη-
στότης, [r]φησὶ, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν
θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς,
ἀλλὰ κατὰ [s]τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγ- E
γενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ'
ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα
δικαιωθέντες τῇ [t]ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλ-
πίδα ζωῆς αἰωνίου." Τί ἐστι, "κατ' [v]ἐλπίδα;" Τουτέστι,
καθὼς ἠλπίσαμεν, οὕτως [w]ἀπολαύσομεν· ἢ ὅτι [x]ἤδη κληρονόμοι
ἐστέ. [20] "Πιστὸς ὁ [y]λόγος." Ἐπειδὴ [z]γὰρ περὶ μελλόντων
(405) διελέχθη καὶ [a]οὔπω παρόντων, ἐπήγαγε τὸ ἀξιόπιστον. Ἀληθῆ
ταῦτά ἐστι, φησὶ, καὶ δῆλον ἐκ τῶν φθασάντων. Ὁ γὰρ τοσαύτης 764
ἡμᾶς ἀνομίας ἀπαλλάξας καὶ τοσούτων κακῶν, εὔδηλον ὅτι καὶ
[b]τῶν μελλόντων ἡμῖν μεταδώσει [c]πάντων ἐπιμείνασι τῇ χάριτι·
ἀπὸ γὰρ τῆς [d]αὐτῆς κηδεμονίας ἅπαντα γίνεται.

[e]Εὐχαριστῶμεν οὖν τῷ θεῷ, καὶ μηδὲν τοῖς ἄλλοις ὀνειδίζω-
μεν, [f]μηδὲ ἐγκαλῶμεν, ἀλλὰ παρακαλῶμεν [g]μᾶλλον, εὐχώμεθα

20 v. 8.

[f] οὐ] ὡς E. [g] ἄνθρωπε] ἄπαγε K.L.M. [h] ὑμεῖς om. L. Mox ἄρσεσιν K.L.M. [i] τοῦ om. C. [k] τὸ om. C.E.K.L.M. Mox συγχεῖν C.D. [l] τὰ ὅρια accessit ex C.D.E. Vet. [m] ὁ assumtum ex C.D.E.M. [n] οἰκουρεῖν]+μόνον K.L.M. Sav. cet. [o] τινας (om. παρ' αὐτοῖς) γυναῖκας κ. π. ἀνελούσας D. [p] καὶ] τοὺς E. [q] οὐδὲ ἐντρ. om. D. [r] φησὶ om. E. Veron. post φιλανθρωπία transp. L. [s] τὸ ἑαυτοῦ ἔλεος D. [t] ἐκείνου om. E. Mox γενώμεθα C.D.K.L. γενηθῶμεν Edd. [v] ἐλπίδα]+ζωῆς αἰωνίου E. Statim ἀντὶ τοῦ pro τουτέστι K.L.M. [w] ἀπολαύομεν K.L.M. ἀπολαύσωμεν E. [x] ἤδη]+καὶ Edd. καὶ deest in libris omnibus et Cat. [y] λόγος]+φησὶν E. [z] γὰρ om. K.L.M. Cat. [a] οὔπω] οὐ τῶν D. [b] τὰ μέλλοντα ἡ. ἀποδώσει E. [c] πάντως E. πᾶσιν D. πάντων om. Cat. [d] αὐτῆς om. C. [e] ΗΘΙΚΟΝ. Περὶ εὐχαριστίας, καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς συμβουλῆς καὶ φροντίδος· καὶ ὅτι οὐ χρὴ ἑαυτῶν καὶ τῶν ὁμοδούλων ἀμελεῖν, ἐννοοῦντας τὴν τοῦ θεοῦ χάριν πρὸς ἡμᾶς. Veron. [f] μηδὲ pro μηδὲν C.E.K.L.M. μηδὲ ἐγκ. om. D. [g] μᾶλλον]+δὲ D.

ὑπὲρ αὐτῶν, [h]συμβουλεύωμεν, παραινῶμεν, κἂν ὑβρίζωσι, κἂν λακτίζωσι. Τοιοῦτοι γάρ εἰσιν οἱ νοσοῦντες· ἀλλ' οἱ πρὸς
B [i]τὴν ὑγείαν ἐκείνων σπεύδοντες, πάντα φέρουσι, [k]πάντα πράττουσι, κἂν μηδὲν ἀνύωσιν, ἵνα μὴ [l]ἑαυτοῖς ἐγκαλῶσιν ὡς παρημεληκόσιν. Ἢ οὐκ ἴστε ὅτι πολλάκις ἰατροῦ ἀπογνόντος τοῦ κάμνοντος, ἕτερός τις φησὶ τῶν προσηκόντων πρὸς αὐτόν· θεραπείαν πάλιν [m]πρόσαγε, καὶ μηδὲν ἐλλίπῃς, ἵνα μηδὲν [n]ἑαυτῷ ἐγκαλῶ, ἵνα [o]μηδὲν μέμφωμαι, ἵνα μὴ κατηγορεῖν ἔχω ἑαυτοῦ; Οὐχ ὁρᾶτε πόσην οἱ προσήκοντες περὶ τοὺς ἐπιτηδείους ποιοῦνται τὴν πρόνοιαν; πόσα ὑπὲρ τούτου πράττουσι, καὶ ἰατροὺς παρακαλοῦντες, [p]καὶ χρήματα ἀναλίσκοντες, καὶ προσεδρεύοντες
C διαπαντός; Κἂν τούτους μιμώμεθα· καίτοιγε οὐχ ὑπὲρ τῶν ἴσων ἡ φροντίς. [q]Νῦν δὲ τὸ μὲν σῶμα κάμνοντος τοῦ παιδὸς οὐκ ἂν παραιτήσαιτό τις καὶ μακρὰν ἀποδημίαν στείλασθαι, ὥστε λῦσαι τὴν νόσον· τῆς δὲ ψυχῆς κακῶς ἐχούσης, [r]οὐδεὶς οὐδένα ποιεῖται λόγον· ἀλλὰ πάντες ἀναπεπτώκαμεν, πάντες ῥᾳθυμοῦμεν, πάντες ὀλιγωροῦμεν, καὶ παῖδας καὶ γυναῖκας καὶ ἡμᾶς αὐτοὺς περιορῶντες [s]ἀναλισκομένους ὑπὸ τῆς νόσου ταύτης τῆς χαλεπῆς. Ἀλλ' ὕστερον λαμβάνομεν τὴν αἴσθησιν. Ἐννοήσατε [t]ὡς αἰσχρὸν καὶ σφόδρα καταγέλαστον ὕστερον λέγειν, οὐ [v]προσεδοκῶμεν, οὐκ ἠλπίζομεν τοῦτο ἔσεσθαι· οὐκ αἰσχρὸν
D δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνον. Εἰ γὰρ ἐν τῷ παρόντι βίῳ τῶν ἀνοήτων ἐστὶ τὸ [w]τὰ μέλλοντα μὴ προορᾶν, πολλῷ μᾶλλον [x]κατὰ τὸν μέλλοντα, ὅτε καὶ ἀκούομεν νῦν πολλῶν συμβουλευόντων καὶ λεγόντων τὰ πρακτέα [y]καὶ τὰ μὴ πρακτέα. Ἀντεχώμεθα τοίνυν τῆς [z]φροντίδος ἐκείνης, φροντίζωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, τὸν θεὸν ἐπὶ πᾶσι παρακαλῶμεν, ὥστε χεῖρα ὀρέξαι. [a]Μέχρι τίνος ῥᾴθυμοι; μέχρι τίνος ἀμελεῖς; μέχρι τίνος [b]καταφρονοῦμεν ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἡμῶν;
E Αὐτὸς πλουσίως ἐξέχεεν [c]ἐφ' ἡμᾶς τὴν τοῦ πνεύματος χάριν.

[h] συμβουλεύωμεν] + νουθετῶμεν, διδάσκωμεν K.L.M. Mox λακτίσωσι E. [i] τὴν ἐκείνων ὑ. C. τὴν ὑ. τὴν ἐκείνων D. [k] πάντα—ἀνύωσιν om. E. [l] αὐτοῖς E. ἐν αὐτοῖς C. Mox ὡς παρημελ. C.D. ὥσπερ ἠμελ. Edd. [m] προσάγαγε D. Mox ἐλλίποις C. [n] ἐμαυτῷ et mox ἐμαυτοῦ K.L.M. Sav. cet. ἵνα—ἐγκαλῶ om. C. [o] μηδὲν] μὴ K.L.M. [p] Haec καὶ χρ. ἀναλίσκοντες accesserunt ex C.D.K.L.M. Vet. [q] νῦν δὲ τὸ] νῦν. τὸ C. [r] οὐδεὶς—λόγον] οὐδεὶς αὐτῆς ἔσται λόγος E. οὐδεὶς οὐδὲν αὐτοῖς ἐστι λόγος Veron. [s] ἀναλισκ. ὑπὸ] Sic omnes. ἀλισκ. ἀπὸ Edd. [t] ὡς] πῶς K.L.M. σφόδρα om. E. [v] προσεδοκήσαμεν C.D. Mox ἠλπίσαμεν E.L. [w] τὰ μ. μὴ πρ.] μὴ τὰ μ. πρ. C. τὰ παρόντα μέλλοντα πρ. E. [x] κατὰ τὸν μ.] Sic C.D.K.L.M. καὶ τὰ μ. E. ἐν τῷ μέλλοντι Edd. Statim ὅτε om. L. [y] καὶ τὰ μὴ πρ. om. C. [z] φροντίδος] ἐλπίδος E.K.L.M. Vet. receptum a Ben. Mox φροντίσωμεν E. Veron. [a] μέχρι τ. ῥ. om. C. [b] καταφρονῶμεν C.D.E. [c] ἐφ' ἡμᾶς] Sic D.E.K.L.M. εἰς ἡμᾶς Edd. ἐφ' ἡμᾶς om. C.

Ἐννοήσωμεν τοίνυν ὅσην χάριν περὶ ἡμᾶς [d]ἐπεδείξατο, καὶ
[e]τοσαύτην σπουδὴν ἐπιδειξώμεθα· μᾶλλον δὲ τοσαύτην μὲν οὐ
δυνατὸν, κἂν γοῦν ἐλάττονα. Ἂν γὰρ καὶ μετὰ τὴν χάριν
ταύτην ὦμεν ἀναίσθητοι, μείζων ἡμῖν ἔσται ἡ κόλασις. [21] "Εἰ
μὴ ἦλθον γὰρ, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον·
νῦν δὲ πρόφασιν οὐκ [f]ἔχουσιν." Ἀλλὰ μὴ γένοιτο ταῦτα περὶ
[g]ἡμῶν εἰπεῖν, ἀλλὰ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τῶν ἐπηγ- F
γελμένων ἀγαθῶν τοῖς [h]ἠγαπηκόσιν αὐτὸν, ἐν Χριστῷ Ἰησοῦ
τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα,
κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ϛ. 765

1 [a]Καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντί-
ζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες [b]θεῷ.
Ταῦτά ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ
ζητήσεις καὶ γενεαλογίας καὶ [c]ἔρεις καὶ μάχας νομικὰς περι-
ΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. [d]Αἱρετικὸν ἄν- B
θρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, εἰδὼς
ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατά-
κριτος.

(406) ΕΙΠΩΝ περὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ [e]τῆς ἀφάτου
περὶ ἡμᾶς κηδεμονίας, καὶ τίνας ὄντας ἡμᾶς τίνας εἰργάσατο,
ἐπήγαγε καί φησι· "Καὶ περὶ τούτων βούλομαί σε διαβεβαι-
οῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευ- C
κότες θεῷ·" [f]καὶ ταῦτα διαλέγεσθαι, καὶ ἀπὸ τούτων προτρέ-
πειν [g]ἐπὶ ἐλεημοσύνην. Οὐ γὰρ μόνον πρὸς ταπεινοφροσύνην
[h]ἡμῖν τὰ εἰρημένα ἁρμόσει, καὶ πρὸς τὸ μὴ ἐπαίρεσθαι καὶ
ὀνειδίζειν [i]ἑτέροις, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν ἄλλην ἀρετήν.
[k]Οὕτω γοῦν καὶ πρὸς Κορινθίους διαλεγόμενός φησι· [2] "Γινώ-
σκετε ὅτι ὁ κύριος ἐπτώχευσε, πλούσιος ὢν, ἵνα ἡμεῖς τῇ ἐκείνου
πτωχείᾳ [l]πλουτήσωμεν." Ἐννοήσας τοῦ θεοῦ τὴν κηδεμονίαν
καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, ἐπὶ τὴν ἐλεημο- D

21 Joan. xv. 22. 1 Cap. III. v. 8—11. 2 2 Cor. viii. 9.

[d] ἐνεδ. E. [e] τοσαύτην] + καὶ ἡμεῖς K.L.M. Sav. cet. [f] ἔχουσιν] + περὶ τῆς ἁμαρτίας αὐτῶν E.K. [g] ὑμῶν D. [h] ἀγαπῶσιν D. τὸν θεὸν pro αὐτὸν E. Hom. VI. [a] καὶ] πιστὸς ὁ λόγος, καὶ D. [b] τῷ θεῷ bis K.L.M. Sav. cet. [c] ἔρις saepius C.M. Veron. [d] αἱρετικὸν] + δὲ D. Mox μίαν καὶ δευτέραν ν. bis D.E. [e] τῆς ἀφ.] περὶ τῆς ἀφ. αὐτοῦ K.L.M. Sav. cet. [f] καὶ] τουτέστι iidem. [g] ἐπὶ] εἰς D. [h] ἡμῖν om. E. [i] ἑτέρους E. ἀλλήλοις K.L. ἀλλήλους M. [k] οὕτως οὖν E. [l] πλουτίσωμεν E.

σύνην [m]αὐτοὺς προτρέπει, [n]οὐχ ἁπλῶς [o]οὐδὲ παρέργως· ἀλλὰ
τί; "Ἵνα φροντίζωσι, [p]φησὶ, καλῶν ἔργων προΐστασθαι·"
τουτέστι, καὶ ἀδικουμένοις βοηθεῖν, [q]μὴ χρήμασι μόνον, ἀλλὰ
καὶ προστασίαις, καὶ χήραις [r]ἐπαμύνειν καὶ ὀρφανοῖς, καὶ πάν-
τας τοὺς κακῶς [s]πάσχοντας ἐν ἀσφαλείᾳ καθιστᾶν· τοῦτο γάρ
ἐστι, "καλῶν ἔργων προΐστασθαι." "Ταῦτα [t]γάρ ἐστι, φησὶ,
καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις καὶ
E γενεαλογίας καὶ [v]ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ
ἀνωφελεῖς καὶ μάταιοι." Τί ποτε βούλονται αἱ γενεαλογίαι;
καὶ γὰρ [w]καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ [x]τίθησι τοῦτο
λέγων· [3]"Μύθους καὶ γενεαλογίας [y]ἀπεράντους." Ἔρεις δέ
[z]φησι τὰς πρὸς τοὺς αἱρετικοὺς, [a]ὅταν μηδὲν ᾖ κέρδος· τὸ γὰρ
F τέλος [b]αὐτῆς οὐδέν. Ὅταν γὰρ ᾖ τις διεστραμμένος, καὶ μηδ'
ἂν ὁτιοῦν γένηται, [c]προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος
ἕνεκεν εἰκῇ κάμνεις, κατὰ πετρῶν σπείρων, δέον πονεῖν [d]τὸν
πόνον τοῦτον εἰς τοὺς σοὺς, τὰ περὶ ἐλεημοσύνης αὐτοῖς [e]διαλε-
γόμενος καὶ τῆς ἄλλης ἀρετῆς; Πῶς οὖν ἑτέρωθί φησι, [4]"Μή-
ποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν;" ἐνταῦθα δὲ, "Αἱρετικὸν
766 [f]ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, εἰδὼς
ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκρι-
τος;" Ἐκεῖ μὲν περὶ τῶν [g]ἐλπίδα ἐχόντων διορθώσεώς φησι,
καὶ περὶ τῶν ἀντιδιατιθεμένων ἁπλῶς· ὅταν δὲ δῆλος ᾖ πᾶσι
καὶ φανερὸς, τίνος ἕνεκεν πυκτεύεις εἰκῇ; τί τὸν ἀέρα [h]δέρεις;
Τί ἐστιν, "ὢν αὐτοκατάκριτος;" [i]Οὐδὲ γὰρ ἔχει εἰπεῖν, ὅτι
οὐδεὶς εἶπεν, οὐδεὶς ἐνουθέτησεν. Ὅταν οὖν μετὰ τὴν παραί-
νεσιν ὁ αὐτὸς ἐπιμένῃ, αὐτοκατάκριτος γίνεται.

B [5]"Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ, ἢ Τυχικὸν, σπούδασον
ἐλθεῖν πρός με εἰς Νικόπολιν." Τί λέγεις; ἐπιστήσας αὐτὸν

[3] 1 Tim. i. 4. [4] 2 Tim. ii. 25. [5] v. 12.

[m] αὐτοὺς om. E. Statim προτρέπεται E. Cat. προετρέπετο Veron. [n] οὐχ] καὶ οὐχ K.L. [o] οὐδὲ—τί] ἀλλ' ὥστε καὶ μετ' ἐπιμελείας K.L.M. [p] φησὶ om. C. [q] μὴ] οὐ K.L.M. [r] ἀμύνειν C.D. Cat. [s] ἔχοντας E. [t] γάρ ἐστι, φησὶ, κ.] ἐστι τὰ κ. K.L.M. [v] ἔρις M. αἱρέσεις C. [w] καὶ assumtum ex C.D.E. τί ποτε—καὶ γὰρ καὶ] τοῦτο καὶ K.L.M. [x] τίθησι—ἀπεράντους] λέγει· μηδὲ προσέχειν γενεαλογίαις ἀπεράντοις K.L.M. [y] ἀπεράντους.] + τάχα καὶ ἐνταῦθα καὶ ἐκεῖ αἰνιττόμενος Ἰουδαίους, οἳ μέγα φρονοῦντες ἐπὶ τῷ πρόγονον ἔχειν τὸν Ἀβραὰμ, τῶν καθ' ἑαυτοὺς ἠμέλουν. διὰ τοῦτο καὶ μωρὰς αὐτὰς καλεῖ καὶ ἀνωφελεῖς· μωρίας γὰρ ἐπὶ ἀνωφελέσι πράγμασι τὸ θαρρεῖν. K.L.M. Sav. cet. sed inclusa habent Sav. Mor. [z] φησι τὰς π. τ. αἱρ.] τὰς π. τ. αἱρ. λέγει K.L.M. [a] ὅταν] ἵνα μὴ κάμνωμεν εἰκῇ, ὅταν K.L.M. Sav. cet. invitis Cat. Vet. [b] αὐτῆς οὐδὲν] Sic C.D.E. Cat. οὐδὲν αὐτῆς K.L.M. αὐτῶν οὐδὲν Edd. [c] προειρημ. L. [d] τὸν π. τοῦτον] Sic C.D. K.L.M. τὸν καλὸν τοῦτον π. Edd. [e] διαλεγόμενον C.D. invita Cat. [f] ἄνθρωπον] ἄνδρα E. [g] ἐλπίδας E. Veron. Mox φησὶ om. C. [h] δαίρεις C. Veron. [i] οὐδὲ] Sic C.D.K.L.M. οὐ Edd.

τῇ Κρήτῃ, πάλιν καλεῖς πρὸς [k]ἑαυτόν; Οὐκ ἀπάγων αὐτὸν τῆς
σχολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων. Ὅτι γὰρ οὐχ ὥστε
περιάγειν αὐτὸν, καὶ πανταχοῦ ἔχειν [l]ἀκολουθοῦντα, καλεῖ πρὸς
ἑαυτὸν, ἄκουσον τί [m]φησιν· "[n]Ὅτι ἐκεῖ κέκρικα παραχειμά-
σαι." [o]Ἡ δὲ Νικόπολις τῆς Θρᾴκης ἐστί. [6]"Ζηνᾶν τὸν νομι-
κὸν καὶ Ἀπολλὼ [p]σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς
λείπῃ." [q]Οὗτοι οὐδέπω τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν
συνόντων αὐτῷ. Σφοδρότερος δὲ ἦν ὁ [r]Ἀπολλὼς, δυνατὸς ὢν
ἐν ταῖς γραφαῖς, καὶ ἀνὴρ λόγιος. Εἰ τοίνυν νομικὸς ἦν ἐκεῖνος, C
οὐκ ἔδει [s]παρ' ἑτέρων αὐτὸν τρέφεσθαι. Ἀλλὰ νομικὸν ἐν-
ταῦθά [t]φησι τὸν τῶν Ἰουδαϊκῶν νόμων ἔμπειρον. [v]Τουτέστιν,
ἐν πάσῃ ἀφθονίᾳ αὐτοὺς κατάστησον, "[w]ἵνα μηδὲν αὐτοῖς
λείπῃ." [7]"Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων
προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.
(407) Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας
ἡμᾶς [x]ἐν πίστει." Ἤτοι τοὺς αὐτὸν φιλοῦντάς φησιν, ἢ τοὺς D
πιστοὺς ἄνδρας. "Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν." Πῶς
οὖν αὐτῷ κελεύεις τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ [y]περι-
ΐστασθαι τούτους δεῖ; Ὅταν ἐπὶ λύμῃ πάντα [z]ποιῶσι, φησίν·
αὐτὸν δὲ προηγουμένως ἐπὶ τῷ [a]ἐκείνων κέρδει μηδέποτε τοῦτο
[b]ποιεῖν· οὐδὲ γὰρ [c]ἂν κερδαίνοιέν ποτε, ἅπαξ διεστραμμένοι
τὴν γνώμην. Εἰ μὲν γὰρ ἑτέροις λυμαίνοιντο, [d]δεῖ ἑστάναι καὶ
μάχεσθαι, καὶ μετὰ πολλῆς τῆς ἀνδρείας· [e]ἐπεὶ περιΐστασο· εἰ
δὲ εἰς ἀνάγκην καρασταίης, ὁρῶν ἑτέρους διαφθειρομένους, μὴ E
σίγα, ἀλλ' ἐπιστόμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κηδόμενος.
Ὅλως δὲ οὐκ ἔστι τὸν σπουδὴν ἔχοντα καὶ βίον ὀρθὸν, μάχης
[f]ἀντέχεσθαι. Πλὴν, ὡς [g]εἶπον, οὕτω ποίει· ἀπὸ γὰρ ἀργίας

6 v. 13. 7 v. 14, 15.

[k] σεαυτὸν K.L.M. Sav. cet. σαυτὸν Cat. [l] ἀκολουθοῦντα — ἑαυτὸν (αὑτὸν D.)] ἀκολουθεῖν πρὸς ἑαυτὸν τοῦτον καλεῖ E. [m] φησὶν] ἐπήγαγεν K.L.M. [n] ὅτι ἐκεῖ] ἐκεῖ γὰρ D.K.L.M. [o] ἡ δὲ—ἐστί] πόλις ἡ N. τῆς Μακεδονίας ἐστὶ K.L.M. [p] σπουδαίως] ταχέως E. [q] οὗτοι] Sic C.D.K.L.M. Cat. αὐτοὶ δὲ Edd. [r] Ἀπολλὼ E. Veron. [s] παρ' ἑτέρῳ Cat. περαιτέρω D. Statim αὐτὸν, φησὶ, τρ. C. Sav. cet. φησὶν, αὐτὸν τρ. K.L.M. [t] φησὶ] εἶπεν K.L.M. φησὶ om. C. [v] τουτέστιν] ὡσεὶ ἔλεγεν K.L.M. Sav. cet. [w] ἵνα] + φησὶν K.L.M. Statim αὐτοὺς E. [x] ἐν τῇ π. E. Statim ἢ pro ἤτοι C. [y] περιΐστασθαι] Sic K.L.M. περιστάναι Veron. περιϊστάναι Cat. Sav. cet. [z] ποιῶσι, φ. αὐτὸν δὲ] Sic C. Cat. φησὶν om. D. ποιῶσιν ἐκεῖνοι· αὐτὸν K.L.M. ποιῶσιν ἑαυτῶν; φησὶ δὲ Edd. [a] ἐκείνων] τούτων E. [b] ποιεῖν] + φησὶ K.L.M. [c] ἂν om. C.D. Statim κερδαίνοιεν C.D. κερδάνοιεν E.K.L.M. κερδάνειαν Edd. [d] δεῖ ἑστάναι] Sic D. Cat. διεστᾶναι Veron. διεστάναι E.K.L.M. διεστάναι χρὴ C. Sav. cet. [e] ἐπεὶ περιΐστασο (–στατο Cat.)] Sic Cat. περιΐστασο C.D. περιΐστασθαι χρὴ K.L.M. περιΐστασθαι E. Edebatur καὶ μετὰ π. τῆς ἀνδρείας περιΐστασθαι. [f] ἀντέχεσθαι] Sic C.D.K.L.M. *operam det* Vet. ἀνέχεσθαι Edd. [g] εἶπεν E.K.L.M. Veron. *dixi* Vet.

καὶ τῆς περιττῆς φιλοσοφίας τὸ πρᾶγμα γίνεται, τὸ περὶ τὰ
[h]ῥήματα ἠσχολῆσθαι μόνον. Καὶ [i]γὰρ περιττὰ φθέγγεσθαι
πολλὴ ζημία, δέον ἢ διδάσκειν, ἢ εὔχεσθαι, ἢ εὐχαριστεῖν. Οὐδὲ
γὰρ χρημάτων [k]μὲν φείδεσθαι ὀφείλομεν, ῥημάτων δὲ οὔ· ἀλλὰ
767 μάλιστα τούτων ἢ ἐκείνων, καὶ μὴ ἁπλῶς πᾶσιν ἑαυτοὺς ἐκδι-
δόναι. Τί ἐστιν, "Ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι;"
Ἵνα μὴ περιμένωσι τοὺς δεομένους ἐλθεῖν πρὸς αὐτούς, [l]ἀλλ᾽
αὐτοὶ περιεργάζωνται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας. Ὁ
γὰρ φροντίζων, οὕτω φροντίζει· [m]οὕτω γὰρ μάλιστα καὶ μετὰ
πολλῆς τῆς σπουδῆς τοῦτο ἐργάσεται. Καὶ γὰρ ἐν οἷς εὖ ποιεῖ,
οὐ τοῖς πάσχουσι [n]τοσοῦτον, ὅσον τοῖς εὖ ποιοῦσι πρόσοδον
καὶ κέρδος φέρει τὸ γινόμενον· παρρησίαν γὰρ δίδωσιν αὐτοῖς
πρὸς τὸν θεόν. Ἐκεῖ δὲ τῆς μάχης [o]τέλος οὐδέν. Τὸν ἀδιόρ-
B θωτον οὖν λέγει αἱρετικόν. Ὥσπερ [p]γὰρ τὸ τοὺς ἐλπίδας
ἔχοντας μεταβολῆς παρορᾶν, νωθείας· οὕτω τὸ τοὺς ἀνίατα
νοσοῦντας θεραπεύειν, ἀνοίας καὶ τῆς ἐσχάτης παραπληξίας·
θρασυτέρους γὰρ ἐργαζόμεθα ἐκείνους. "Μανθανέτωσαν [q]δέ,
φησί, καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγ-
καίας χρείας, ἵνα μὴ [r]ὦσιν ἄκαρποι." Ὁρᾷς ὅτι αὐτῶν φρον-
τίζει μᾶλλον, ἢ τῶν λαμβανόντων; Ἐνῆν γὰρ ἴσως πολλαχόθεν
τούτους προπέμψαι, ἀλλὰ τῶν [s]ἡμετέρων, φησί, φροντίζω.
C Τί γὰρ ὄφελος, εἰπέ μοι; Εἰ [t]γὰρ θησαυρὸν ἀνορύττοντες
[v]ἔτρεφον τοὺς διδασκάλους [w]ἕτεροι, τούτοις οὐδὲν οὐδέπω κέρ-
δος ἦν· ἄκαρποι γὰρ [x]ἔμενον. Οὐκ ἠδύνατο ὁ Χριστός, [y]ὁ
ἀπὸ πέντε ἄρτων [z]τοσούτους ἐργασάμενος, καὶ ἀπὸ ἑπτὰ [a]μυ-
ριοπλασίους, θρέψαι ἑαυτὸν καὶ τοὺς [b]συνόντας αὐτῷ; [c]Τίνος
οὖν ἕνεκεν ὑπὸ γυναικῶν ἐτρέφετο; [8]"Ἠκολούθουν γὰρ αὐτῷ,
φησί, γυναῖκες, [d]αἵτινες διηκόνουν αὐτῷ." Διδάσκων ἡμᾶς ἄνωθεν

8 Marc. xv. 41.

[h] ῥήματα] ὀνόματα E. Veron. νοήματα C. [i] γὰρ] + τὸ K.L.M. [k] μὲν om. E. [l] ἀλλ᾽ αὐτοὶ] Sic C.D. Cat. ἀλλὰ καὶ αὐτοὶ Edd. [m] οὕτω] οὗτος C.K.L.M. μάλιστα om. E. Mox ἐργάζεται D. [n] τοσούτῳ ante corr. C. Haec ὅσῳ (sic) τοῖς εὖ π. post φέρει transp. idem. [o] τὸ τέλος C. Veron. [p] γὰρ om. C. [q] δὲ om. C. φησὶ om. K.L.M. [r] εἴσιν C. [s] ὑμετέρων C. [t] γὰρ] γε K.L.M. Statim θησαυρὸν C.D. Vet. θησαυροὺς Edd. [v] ἔτρεφον] + τούτων E. [w] ἕτεροι τούτοις om. E. Mox post ἦν add. ὕστερον τούτοις idem. [x] ἔμενον] + τί οὖν, εἰπέ μοι D. (?) K.L.M. Sav. cet. Statim οὐκ ἠδ. γὰρ ὁ D. [y] ὁ om. E. [z] τοσούτους (τοιούτους E.) ἐργ.] πεντακισχιλίους K.L.M. Sav. cet. [a] μυριοπλασίους (–ίονας C.)] + θρέψας E. τετρακισχιλίους θρέψας K.L.M. Sav. cet. [b] συνόντας] σὺν C. θρέψαι post αὐτῷ transp. E.K.L.M. [c] ΗΘΙΚΟΝ. Περὶ ἐλεημοσύνης, καὶ τίνος χάριν παρὰ γυναικῶν ἐτρέφετο ὁ δεσπότης ἡμῶν καὶ οἱ ἀπόστολοι· καὶ ὅτι (ὅτι om. Veron.) οἱ πλουτοῦντες εὐχείρωτοι· καὶ διήγησις ἀστεία, ὅτι δεῖ ἐλπίζειν ἐπὶ θεόν. Veron.
[d] αἵτινες] καὶ E.

[e]ὅτι τῶν εὖ ποιούντων φροντίζει. Οὐκ [f]ἠδύνατο ὁ Παῦλος, ὁ
καὶ ἑτέροις ἐπαρκῶν διὰ τῶν αὐτοῦ χειρῶν, μηδαμόθεν λαμβά- D
νειν; Ἀλλ᾽ ὁρᾷς αὐτὸν καὶ λαμβάνοντα καὶ αἰτοῦντα· [g]ἀλλ᾽
ἄκουσον [h]διὰ τί· [9]“Ζητῶ γάρ, φησὶν, οὐ τὸ δόμα, ἀλλὰ τὸν
καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν.” Καὶ παρὰ τὴν
ἀρχὴν δὲ, ὅτε τὰ αὐτῶν ἅπαντα πιπράσκοντες ἐτίθεσαν παρὰ
τοὺς πόδας τῶν ἀποστόλων, [i]ὅρα τοὺς ἀποστόλους αὐτῶν φρον-
τίζοντας μᾶλλον, ἢ τῶν λαμβανόντων. Εἰ γὰρ [k]ὁπωσδήποτε
μόνον τῶν πενήτων ἐφρόντιζον, οὐδένα [l]ἂν λόγον ὑπὲρ τῆς
[m]Σαπφείρας καὶ τοῦ Ἀνανία ἐποιήσαντο, ἡνίκα ἐνοσφίσαντο
τὰ χρήματα, οὐκ ἂν ἐκώλυσαν ἐξ ἀδικίας λαμβάνειν, οὐκ ἂν διε- E
τάξατο Παῦλος λέγων, [10]“Μὴ ἐκ λύπης, [n]ἢ ἐξ ἀνάγκης.” Τί
λέγεις, Παῦλε; ἐμποδίζεις τοῖς πένησιν; Οὔ, φησίν· οὐ γὰρ
τὸ ἐκείνων ὁρῶ, ἀλλὰ τὸ τῶν διδόντων. Ὅρα [o]δὲ καὶ τὸν προ-
φήτην, ἡνίκα τῷ Ναβουχοδονόσορ συνεβούλευε τὴν ἀρίστην
ἐκείνην γνώμην, οὐχὶ τῶν πενήτων [p]μόνον φροντίζοντα· οὐ γὰρ
εἶπε, δὸς τοῖς πένησιν ἁπλῶς, ἀλλὰ τί; [11]“Τὰς ἁμαρτίας σου
[q]ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς [r]ἀδικίας σου ἐν οἰκτιρμοῖς
πενήτων.” Κένωσον τὰ χρήματα, φησὶν, οὐχ ἵνα ἕτεροι τρα-
φῶσι μόνον, ἀλλ᾽ ἵνα ἀπαλλαγῇς αὐτὸς τῆς τιμωρίας. Καὶ F
πάλιν ὁ Χριστός· [12]“Πώλησόν σου τὰ [s]ὑπάρχοντα, καὶ δὸς
πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι.” Ὁρᾷς ὅτι κἀκεῖ διὰ τὴν
[t]ἀκολούθησιν τοῦτο ἐπετάγη; Ἐπειδὴ γὰρ ἐμπόδιόν ἐστι τὰ
χρήματα, διὰ τοῦτο διδόναι πένησιν ἐπέταξεν, [v]ἵνα παιδεύῃ τὴν 768
(408) ψυχὴν [w]ἐλεήμονα εἶναι καὶ οἰκτίρμονα, παιδεύῃ χρημάτων κατα-
φρονεῖν, παιδεύῃ [x]πλεονεξίας ἀφίστασθαι. Ὁ γὰρ παιδευό-
μενος τῷ μὴ ἔχοντι δοῦναι, παιδευθήσεται τῷ χρόνῳ [y]μὴ λαμ-
βάνειν ἀπὸ τῶν ἐχόντων.

Τοῦτο ὁμοίους ποιεῖ [z]τῷ θεῷ. Καίτοιγε ἡ παρθενία χαλε-
πώτερον αὐτῆς πόνον ἔχει, καὶ ἡ νηστεία, καὶ [a]τὸ χαμευνεῖν·

9 Philipp. iv. 17. 10 2 Cor. ix. 7. 11 Dan. iv. 27. 12 Matth. xix. 21.

[e] ὅτι] ἔτι E. Veron. Mox φροντίζειν iidem. [f] ἐδύνατο K.L.M. Mox αὐτοῦ pro ἑαυτοῦ C.D.K.L.M. [g] ἀλλ᾽] Sic D.K.L.M. Vet. καὶ Edd. [h] διὰ τί] πῶς K.L.M. διὰ τί; ζητῶ γὰρ, φ.] διὰ τί γὰρ ζητῶ, φ. E. Veron. Statim οὐ διὰ τὸ δ. E. [i] ὅρα C.D.M. Vet. ὁρᾷς Edd. [k] ὅπως ἢ πότε C. Statim μόνων C.E. Veron. [l] ἂν om. C. [m] Σαπφθείρης E. Mox Ἀνανίου E.K.L.M. [n] ἢ] μηδὲ D. [o] δὲ om. E. Veron. Mox ἐβούλευε E. [p] μόνων Veron. [q] ἐν ἐλ.—σου om. E. [r] ἀνομίας C.D. [s] ὑπάρχοντα] +φησὶ E. φησὶν post πτωχοῖς add. D. [t] ἀκολούθησιν]+φησὶν C.D. [v] ἵνα παιδεύῃ] Sic D. ἵνα παιδεύσῃ C. παιδεύει E. Veron. παιδεύων K.L.M. Sav. cet. Mox παιδεύῃ bis sine libris rescripsimus. παιδεύει bis C.D.E. Veron. παιδεύων bis K.L.M. Sav. cet. [w] ἐλεήμονα]+τε D. [x] πλεονεξίας ἀφ.] πᾶσιν ἐπίσης ἀφ. E. πᾶσιν ἑξῆς ἐφ. Veron. Statim οὐ γὰρ π. E. [y] μὴ] καὶ μὴ K.L.M. Sav. cet. [z] τῷ om. C. [a] τὸ χαμευνεῖν] ἡ χαμευνία C.D.

ἀλλ' οὐδὲν οὕτως ἰσχυρὸν καὶ δυνατὸν πρὸς τὸ σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυρὰν, ὡς [b]ἐλεημοσύνη. Πάντων αὕτη μείζων ἐστὶ, παρ' αὐτὸν ἵστησι τὸν βασιλέα τοὺς αὐτῆς [c]ἐρα-
B στάς· καὶ μάλα εἰκότως. Παρθενία μὲν γὰρ καὶ νηστεία καὶ χαμευνία περὶ τὸν [d]ποιοῦντα ἵσταται μόνον, ἕτερον δὲ ἔσωσεν οὐδένα· ἡ δὲ ἐλεημοσύνη εἰς πάντας ἐκτείνεται, καὶ τὰ μέλη περιπλέκεται τοῦ Χριστοῦ. Πολὺ δὲ τῶν εἰς [e]τὸν ἕνα περιϊσταμένων τὰ [f]πανταχοῦ ἐκτεινόμενα κατορθώματα μείζονα. Αὕτη [g]γὰρ μήτηρ ἀγάπης ἐστὶν, ἀγάπης τῆς τὸν Χριστιανισμὸν χαρακτηριζούσης, τῆς τῶν σημείων ἁπάντων μείζονος, δι' [h]ἧς οἱ μαθηταὶ φαίνονται τοῦ Χριστοῦ· αὕτη φάρμακόν
C ἐστι τῶν [i]ἡμετέρων ἁμαρτημάτων, σμῆγμα τοῦ ῥύπου τῆς ἡμετέρας ψυχῆς, κλῖμαξ εἰς τὸν οὐρανὸν ἐστηριγμένη· αὕτη τοῦ Χριστοῦ τὸ σῶμα συνδεῖ. Βούλεσθε μαθεῖν ὅσον ἀγαθὸν αὕτη ἐστίν; Ἐπὶ τῶν ἀποστόλων [k]πάντες τὰ αὐτῶν πωλοῦντες, [l]διεδίδοσαν ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. Εἰπὲ [m]γάρ μοι, [n]καὶ χωρὶς τῶν μελλόντων· μήπω γὰρ περὶ τῆς βασιλείας νῦν κινήσωμεν, ἀλλ' ἐν τῷ παρόντι ἴδωμεν, τίνες κερδαίνουσιν, οἱ λαμβάνοντες, ἢ οἱ [o]διδόντες; Ἐκεῖνοι μὲν γὰρ ἐγόγγυζον, καὶ [p]διεπληκτίζοντο πρὸς ἀλλήλους· οὗτοι δὲ εἶχον ψυχὴν
D μίαν· [13] "Ἦν γὰρ, φησὶν, [q]ἁπάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία·" καὶ χάρις ἦν ἐπὶ πάντας [r]αὐτοὺς, καὶ μετὰ πολλῆς [s]ἀφελείας διῆγον. Ὁρᾷς ὅτι καὶ ἐντεῦθεν ἐκεῖνοι ἐκέρδαινον; Εἰπὲ δή μοι, τίνων ἂν ἠθέλησας εἶναι; τῶν τὰ αὐτῶν [t]ῥιπτούντων καὶ οὐδὲν ἐχόντων, ἢ [v]τῶν καὶ τὰ ἑτέρων λαμβανόντων; Ὅρα τὸν καρπὸν τῆς ἐλεημοσύνης· τὰ διαφράγματα καὶ τὰ κωλύματα ἀνῃρέθη, καὶ εὐθέως [w]συνήφθησαν αὐτῶν αἱ ψυχαί· "πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία." Ὥστε καὶ χωρὶς τῆς ἐλεημοσύνης τὸ τὰ χρή-
E ματα κενοῦν [x]πολὺ ἔχει τὸ κέρδος. Ταῦτα δέ μοι εἴρηται, ἵνα οἱ κλῆρον [y]παρὰ προγόνων μὴ διαδεξάμενοι, μὴ [z]ἀλγῶσι μηδὲ

13 Act. iv. 32.

b ἡ ἐλ. Edd. ἡ deest in omnibus. c ἐργάτας C.D. *amatores* Vet. Statim καὶ μ. γε εἰκ. E. d πονοῦντα C. probante Dunaeo. ἵσταται om. E. Veron. e τὸν om. C.D. f πανταχοῦ] πρὸς πολλοὺς K.L.M. Sav. cet. g γὰρ om. K.L.M. ἀγάπης ἐστὶν om. E. Veron. invito Vet. h ἣν C. i ἡμετέρων] πονηρῶν E. Veron. k πάντες] πολλοὶ K.L.M. Statim αὐτῶν C.E.K.L.M. αὐτῶν D. ἑαυτῶν Edd. l διεδίδοσαν] ἐδίδοσαν C. διεδίδωσαν Veron. ἔφερον πρὸς αὐτοὺς, ἃ καὶ διεδίδοτο. διεδίδοτο (διεδίδωσαν Sav. Mor.) γὰρ, φησὶν K.L.M. Sav. cet. m γὰρ] οὖν K.L.M. n καὶ—κινήσωμεν] ἀλλὰ μηδὲν περὶ τῶν μ. τέως, μηδὲ περὶ τῆς β. κινήσωμεν K.L.M. o διδόντες] Sic C.D.E.K.L. δόντες Edd. p διετρίβοντο E. διετρίζοντο Veron. *corrixantur* Vet. q πάντων C.D. r αὐτοὺς om. K.L.M. s τῆς ἀφελείας C. Hinc ἀφελείας pro ὠφελείας recepimus. t ῥιπτόντων C.K.L.M. v τῶν καὶ] καὶ τῶν C.E. w συνήχθησαν C. x πολὺν C. ποῖον E. y παρὰ] ἐκ E. παρὰ om. C. Mox δεξάμενοι C.K. z ἀλγήσωσι D. Mox κατηφῶσιν C.K.M. et ante corr. L.

κατηφιῶσιν, ὡς [a]ἔλαττον τῶν πλουτούντων ἔχοντες· μείζονα
γὰρ ἔχουσιν, ἂν ἐθέλωσι. Καὶ [b]γὰρ πρὸς ἐλεημοσύνην μετὰ
πλείονος ἥξουσι τῆς εὐκολίας, καθάπερ ἡ χήρα, καὶ τῆς πρὸς
τὸν πλησίον ἔχθρας οὐδεμίαν [c]ἕξουσιν ἀφορμὴν, καὶ πάντων
[d]εἰσὶν ἐλευθερώτεροι. Οὐδεὶς [e]ἀπειλῆσαι δυνήσεται [f]τῷ τοιούτῳ
δήμευσιν, [g]ἀλλ' ἔστιν ἀνώτερος τοῦ παθεῖν κακῶς. Καὶ καθάπερ F
τοὺς γυμνοὺς φεύγοντας οὐδεὶς ἂν ταχέως κατάσχοι, [h]τῶν δὲ
πολλὰ περιβεβλημένων καὶ ἐπισυρομένων ῥᾳδίως ἄν τις ἐπιλά-
βοιτο· οὕτω καὶ ὁ πλούσιος, καὶ ὁ πένης ἐστίν. Ὁ μὲν γὰρ,
κἂν ἁλῷ, εὐκόλως διαδρᾶναι δυνήσεται· ὁ δὲ, κἂν μὴ κατασχεθῇ, 769
τοῖς [i]ἑαυτοῦ σχοινίοις συμποδίζεται, φροντίσι μυρίαις, ἀθυμί-
αις, ὀργαῖς, παροξυσμοῖς. Ταῦτα πάντα [k]καταχωννύει τὴν
ψυχήν· καὶ οὐ ταῦτα [l]μόνον, ἀλλὰ καὶ [m]πολλὰ ἕτερα ἀπὸ τοῦ
πλούτου ἐπισυρόμενα. Καὶ γὰρ μετριάζειν δυσκολώτερον τὸν
πλούσιον ἢ τὸν πένητα, καὶ ἐν εὐτελείᾳ ζῆν, καὶ θυμοῦ ἀπηλ-
λάχθαι δυσκολώτερον τοῦτον ἢ ἐκεῖνον. Οὐκοῦν πλείονα, [n]φη-
σὶν, ἕξει μισθόν. Οὐδαμῶς. Διὰ τί, [o]εἴγε τὰ δύσκολα κατορθοῖ;
Ὅτι αὐτὸς ἑαυτῷ τὰς δυσκολίας ἐπενόησεν. Οὐ γὰρ ἐπιτέτακται
πλουτεῖν, ἀλλὰ [p]καὶ τοὐναντίον· [q]σαυτῷ δὲ μυρία σκάνδαλα καὶ B
κωλύματα κατασκευάζεις. Ἄλλοι [r]δὲ οὐ μόνον τὰ χρήματα
ἀποτίθενται, ἀλλὰ καὶ τοῦ σώματος τὸ πλέον κατατήκουσιν,
ὡς στενὴν ὁδεύοντες ὁδόν· σὺ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ [s]καὶ
αὔξεις τὴν κάμινον τῶν παθῶν, καὶ ἕτερα [t]περιβάλλῃ· οὐκοῦν
εἰς τὴν εὐρύχωρον ἄπιθι. Ἐκείνη γάρ ἐστιν * ἡ τοὺς τοιούτους
δεχομένη· ἡ δὲ στενὴ τοὺς [v]θλιβομένους, τοὺς ἐστενωμένους,
τοὺς οὐδὲν βαστάζοντας, ἀλλ' ἢ ταῦτα τὰ φορτία, [w]ἃ δι' αὐτῆς
κομίζεσθαι δυνατὸν, ἐλεημοσύνην, φιλανθρωπίαν, χρηστότητα, C
ἐπιείκειαν. Ἂν ταῦτα βαστάζῃς, εὐκόλως δυνήσῃ εἰσελθεῖν· ἂν
δὲ ἀπόνοιαν, καὶ φλεγμονὴν ψυχῆς, καὶ τὸ τῶν ἀκανθῶν φορ-
τίον, τὸν πλοῦτον, πολλῆς σοι δεῖ τῆς εὐρυχωρίας. Οὐδὲ γὰρ

[a] ἔλαττον] + τι D. [b] γὰρ] + καὶ D.K.L.M. Sav. cet. [c] ἔχουσιν D. [d] εἰσὶν] ἔσονται K.L.M. Sav. cet. Statim ἐλευθεριώτεροι C.D.M. [e] ἀπ. δυνήσεται] ἀπειλήσεται K.L.M. [f] τῷ om. K. Mox δημεύειν E. Veron. [g] ἀλλ' ἔστιν] ἔστι γὰρ K.L.M. [h] τὸν δὲ π. περιβεβλημένον καὶ ἐπισυρόμενον C.D. [i] ἑαυτοῦ] αὐτοῦ C. αὐτοῖς D. δικτύοις pro σχοινίοις K.L.M. Mox ἐμποδίζεται E. [k] καταχωνεύει C. [l] μόνον D.E.K.L. μόνα Edd. [m] πολλὰ ἕτερα] Sic C.D. πολλὰ ἅπερ E.K.L.M. ἄλλα πολλὰ ἅπερ Edd. Mox ἐπισυρόμενα C.D.E. ἐπισύρεται Veron. ἐπισυρόμεθα K.L.M. Sav. cet. [n] φ. ἕξει μ.] φ. μ. ἕξει C. μ. ἔχει, φ. E. [o] εἴγε] εἰ δὲ E. [p] καὶ om. E. [q] σαυτῷ . . . κατασκευάζεις] Sic C.D. ἑαυτῷ . . . κατασκευάζει Edd. [r] δὲ om. E. [s] καὶ om. D. [t] περιβάλλῃ] Sic omnes. περιβάλλεις Sav. cet. Haec καὶ ἕτερα π. desunt in Veron. inclusa a Sav. Mor. * Caetera desunt in M. [v] τεθλιμμένους K.L. τοὺς ἐστεν. om. C. [w] ἃ—δυνατὸν] αὐτῆς E. Veron.

εἰς τὸν ὄχλον ἐμβῆναί [x]σοι δυνατὸν, ὥστε μὴ ἑτέρους πλήττειν
ἄνωθεν ἐπιφερόμενον, [y]ἀλλὰ δεῖ πολλῆς διαστάσεως ἐνταῦθα. (409)
Ὁ μέντοι ἀποφέρων [z]χρυσίον καὶ ἀργύριον, τὰ τῆς ἀρετῆς
λέγω κατορθώματα, οὐ μόνον φεύγοντας οὐκ ἔχει τοὺς πλη-
D σίον, [a]ἀλλὰ καὶ πλησίον γινομένους καὶ [b]συνδυάζοντας. Πλὴν
εἰ ὁ πλοῦτος αὐτὸς ἄκανθά ἐστι, τί ἡ πλεονεξία; Τίνος ἕνεκεν
ταύτην ἀπάγεις ἐκεῖ; ἵνα μείζονα τὴν φλόγα ἐργάσῃ, φορτία
ὑποτιθεὶς τῷ πυρί; οὐ γὰρ ἀρκεῖ τὸ τῆς γεέννης πῦρ; Ἐννόησον,
οἱ τρεῖς παῖδες πῶς περιεγένοντο τῆς καμίνου· [c]ἐκεῖνο νόμισον
γέενναν εἶναι· μετὰ θλίψεως [d]ἐνέπεσον εἰς αὐτὴν, δεδεμένοι
[e]ἦσαν καὶ συμπεποδισμένοι· ἀλλὰ πολλὴν εὗρον ἔνδον τὴν εὐ-
ρυχωρίαν. Ἀλλ' [f]οὐκ ἐκεῖνοι οἱ ἔξωθεν περιεστῶτες.

E Τοιοῦτόν [g]τι ἐστὶ καὶ νῦν, ἐὰν βουλώμεθα γενναίως καὶ ἀν-
δρείως ἵστασθαι πρὸς τοὺς ἐπαγομένους πειρασμούς· [h]ἂν εἰς τὸν
θεὸν ἔχωμεν τὰς ἐλπίδας, ἐσόμεθα [i]ἡμεῖς μὲν ἐν εὐρυχωρίᾳ, οἱ
δὲ [k]ἐμβάλλοντες ἡμᾶς ἀπολοῦνται. [14] "Ὁ [l]γὰρ ὀρύσσων βό-
θρον, [m]φησὶν, ἐμπεσεῖται εἰς αὐτόν." Κἂν τὰς χεῖρας δήσωσι,
κἂν τοὺς πόδας, [n]ἡ θλῖψις λῦσαι δυνήσεται. Ὅρα γὰρ τὸ θαυ-
μαστόν· οὓς ἔδησαν ἄνθρωποι, τούτους ἔλυσε τὸ πῦρ. Καθάπερ
[o]γὰρ εἴ τις παραδοίη τινὰς τοῖς οἰκέταις τῶν φίλων, οὗτοι [p]δὲ
F τὴν φιλίαν αἰδούμενοι τοῦ δεσπότου, οὐ μόνον [q]αὐτοῖς οὐ λυ-
μαίνονται, ἀλλὰ καὶ πολλῆς μεταδιδόασι τιμῆς· οὕτω καὶ τὸ
πῦρ, ἐπειδὴ [r]ἐπέγνω ὅτι φίλοι τοῦ δεσπότου αὐτοῦ εἰσιν οἱ
παῖδες ἐκεῖνοι, καὶ διέρρηξεν αὐτῶν τὰ δεσμὰ, καὶ ἔλυσεν αὐτοὺς
καὶ ἀφῆκεν, [s]ἔδαφος αὐτοῖς ἐγένετο, καὶ κατεπατεῖτο ὑπ' αὐτῶν,
εἰκότως· ὑπὲρ γὰρ τῆς δόξης [t]ἐνεβέβλητο τοῦ θεοῦ. Ὅσοι ἐν
770 θλίψεσίν ἐσμεν, [v]τοῦτο κατέχωμεν τὸ ὑπόδειγμα. Ἀλλ' ἰδοὺ,
φησὶν, ἐκεῖνοι ἀπηλλάγησαν τῆς θλίψεως, ἡμεῖς δὲ οὔ. [w]Εἰκό-

14 Sirac. xxvii. 26.

[x] σοι] σε C.K.L. [y] ἀλλὰ δεῖ] Sic C.D.K.L. ἀλλ' ἔδει Edd. Mox ἐνταῦθα διαστάσεως hoc ord. C.D. [z] χρυσὸν C. Mox ἄργυρον C.D. [a] ἀλλὰ καὶ πλ. om. C. Statim γενομένους C.D. [b] συνδυάζοντας] Sic C.E.L. συνδιασώζοντας D. πλησιάζοντας K. συνδιαζῶντας Edd. [c] ἐκείνην K.L.M. Sav. cet. Statim νόησον D. νόμισαι E. εἶναι γέενναν inverso ord. C.D. [d] ἐνέπεσαν E. [e] ἦσαν accessit ex C.D.K.L. Statim συμπεποδισμένοι pro συμπεπεδημένοι iidem. καὶ συμπ. om. E. [f] οὐκ ἐκεῖνοι οἱ] Sic C.D. οὐχ οἱ Edd. [g] τι ἐστὶ] Sic D.K.L. ἐστι τι C. τι ἔσται Edd. [h] ἂν] κἂν E.K.L. [i] ἡμεῖς μὲν pro μὲν ἡμεῖς omnes. Statim ἐν ἀσφαλείᾳ, ἐν (καὶ pro ἐν tacite correxerunt Mor. Ben.) εὐρυχωρίᾳ Edd. ἐν ἀσφαλείᾳ deest in libris omnibus et Vet. [k] ἐμβαλόντες C. [l] γὰρ om. E. ὁ ὀρύσσων γὰρ, φ. βόθρον hoc ord. K.L. [m] φησὶν] + τῷ πλησίον D.K.L. [n] ἡ om. D. [o] γὰρ om. C. [p] δὲ om. C.D. [q] αὐτοὺς C. [r] ἔγνω K. [s] καὶ ἔδαφος Edd. καὶ om. C.D. Vet. Mox ἐγένετο pro ἐγίνετο omnes. [t] ἐβέβλητο E. [v] τοῦτο κ. τὸ ὑπ.] Sic C.D. Vet. ταῦτα κ. τὰ ὑπ. Edd. [w] καὶ εἰκότως Edd. καὶ deest in omnibus.

τως· ἐπειδὴ [x]γὰρ οὐχ οὕτως ἐνέβησαν εἰς τὴν [y]κάμινον, ὡς
ἀπαλλαττόμενοι, ἀλλ' ὡς τεθνηξόμενοι τέλεον· ἄκουε γὰρ αὐ-
τῶν λεγόντων· [15]"Ἔστι θεὸς ἐν [z]οὐρανῷ, ὃς ῥύσεται ἡμᾶς· καὶ
ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λα-
τρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν."
Ἡμεῖς δὲ ὡς πραγματευόμενοι τοῦ θεοῦ τὰς παιδείας, καὶ χρό-
νον ὁρίζομεν λέγοντες· ἐὰν μέχρι [a]τοσοῦδε· διὰ τοῦτο οὐκ B
ἀπαλλαττόμεθα. Ἐπεὶ καὶ ὁ Ἀβραὰμ οὐχ ὡς σῶον ληψόμενος
τὸν υἱὸν, οὕτως ἀπήρχετο, ἀλλ' ὡς [b]σφαγιάσων· καὶ παρὰ
προσδοκίαν σῶον ἔλαβε. Καὶ [c]σὺ ὅταν ἐμπέσῃς εἰς θλῖψιν,
[16]"[d]μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς" παρασκεύασον τὴν διά-
νοιάν σου [e]πρὸς πᾶσαν ὑπομονὴν, καὶ ἀπαλλαγήσῃ ταχέως τῆς
θλίψεως. Διὰ γὰρ τοῦτο καὶ ἐπάγει αὐτὴν ὁ θεὸς, ἵνα παιδεύσῃ.
Ὅταν οὖν ἐκ προοιμίων παιδευθῶμεν φέρειν, καὶ μὴ ἀλύωμεν,
[f]ἀνίησι λοιπὸν, ὡς τοῦ παντὸς [g]κατωρθωμένου. Βούλομαί τι C
διήγημα πρὸς ὑμᾶς εἰπεῖν χρήσιμον, καὶ πολλὴν ἔχον τὴν ὠφέ-
λειαν. Τί [h]δὲ τοῦτό ἐστι; Διωγμοῦ ποτε [i]καταλαβόντος, καὶ
πολέμου σφοδροῦ κατὰ τῆς ἐκκλησίας ἀναρριπισθέντος, δύο
τινὲς συνελήφθησαν ἄνδρες· [k]ὁ μὲν ἕτοιμος ἦν πᾶν ὁτιοῦν πα-
θεῖν, ὁ δὲ πρὸς μὲν τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν καὶ αὐτὸς
ἕτοιμος καὶ γενναῖος, πρὸς δὲ τὰς ἄλλας βασάνους δεδοικὼς καὶ
τρέμων. Ὅρα τοίνυν τὴν οἰκονομίαν. Ἐπειδὴ ἐκάθισεν ὁ
δικαστὴς, τὸν μὲν ἕτοιμον ὄντα πᾶν ὁτιοῦν παθεῖν, ἐκέλευσεν
ἀποτμηθῆναι τὴν κεφαλήν· ἐκεῖνον δὲ ἀναρτήσας κατέξαινε, καὶ D
οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ πάσας περιάγων τὰς πόλεις.*
Τί δήποτε τοῦτο συνεχωρήθη; Ἵνα τὸ ἠμελημένον αὐτοῦ τῆς
διανοίας ἀνακτήσηται διὰ τῶν βασάνων, ἵνα τὴν δειλίαν [l]πᾶσαν
ἐκβάλῃ, ἵνα μηκέτι ᾖ δεδοικὼς, μηδὲ ὀκνῶν, μηδὲ τρέμων [m]πρὸς
τὸ πρᾶγμα. Καὶ [n]Ἰωσὴφ δὲ ὅτε μάλιστα ἠπείγετο ἐξελ-
θεῖν, τότε μάλιστα ἐναπέμεινεν. Ἄκουε γὰρ αὐτοῦ λέγοντος,

15 Dan. iii. 17, 18. 16 Sirac. ii. 2.

[x] γὰρ assumtum ex C.D.E. Vet. Mox ἀνέβησαν E. [y] κάμινον] + ἐκεῖνοι D.E.L. Sav. cet. Statim ἀπαλλαγησόμενοι K.L. Sav. cet. [z] οὐρανῷ omnes. οὐρανοῖς Edd. Mox ἂν pro ἐὰν C. [a] τοσοῦδε] + μὴ ἐλεήσῃ C.D.K.L. Sav. cet. [b] σφαγιάσας E. [c] σὺ] + τοίνυν D. Mox εἰς θλῖψιν om. K.L. [d] μὴ σπεύσῃς ἐν κ. ἐπαγωγῆς] Sic C.E. Vet. μὴ ταχύνῃς, μὴ σπ. ἐν κ. ἐπ. D. μὴ ταχύνῃς· μὴ σπ. γὰρ, φησὶν, ἐν κ. ἐπ. K.L. μὴ σπ. ἀπαλλαγῆναι Veron. μὴ ταχύνῃς, μὴ σπ. ἀπαλλαγῆναι Sav. cet. Statim ἀλλὰ παρασκ. D. [e] πρὸς] εἰς E. [f] ἀνίστησι E. [g] κατορθωμένου C. κατορθουμένου D.E. κατορθ. τοῦ π. hoc ord. C.D.E. [h] δὲ] δὴ D. [i] καταλαβόντος omnes. κατειληφότος Edd. [k] ὁ] καὶ ὁ E.K.L. Sav. cet. * Cetera desunt in K. [l] πᾶσαν om. L. [m] πρὸς τὸ πρ.] πρόσταγμα E. [n] ὁ Ἰωσὴφ D.

[17] “ [o]Κἀγὼ κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων·” καὶ, “ Μνήσθητί μου, [p]φησὶ, πρὸς τὸν βασιλέα.” [q]Τινὲς δὲ χαριέντως φασὶν, E ὅτι ἐπειδὴ εἶπε, “ Μνήσθητί μου,” [r]ἵνα μάθῃ ὅτι οὐ χρὴ θαρρεῖν, οὐδὲ [s]ἐλπίζειν ἀνδράσιν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὸν θεὸν ῥίπτειν, [t]διὰ τοῦτο ἐναπέμεινε. Ταῦτα οὖν εἰδότες, χάριν ὁμολογῶμεν τῷ θεῷ, καὶ πάντα πράττωμεν τὰ πρὸς τὸ συμφέρον· ἵνα τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ’ οὗ τῷ πατρὶ ἡ δόξα, [v]ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

17 Gen. xl. 15, 14.

[o] *κἀγὼ* assumtum ex C.D. Vet. [p] *φησὶ* om. K. [q] *τινὲς δὲ* (*δὲ* om. C.) *χ. φασὶν, ὅτι* (pro *ὅτι* L. habet *δι’ αὐτὸ τοῦτο ἐναπομεῖναι*) *ἐπειδὴ εἶπε, μνήσθητί μου*] Sic omnes. *διὰ τοῦτο ἐναπέμεινεν* Edd. *merito et ipse hoc passus existimatur, quoniam dixit, memento mei* Vet. [r] *ἵνα*] + *γὰρ* L. [s] *ἐλπίζειν* C.D.E. *ἐπελπίζειν* Edd. Statim *ἐπ’ ἀνδράσιν* D. [t] Haec *διὰ τοῦτο ἐναπέμεινε* hic leguntur in nostris omnibus, non in Edd. Statim *ταῦτ’ οὖν* D.L. [v] *ἅμα*] Sic C. *σὺν* Edd.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΝ.

ΥΠΟΘΕΣΙΣ. A

ΠΡΩΤΟΝ *ἀναγκαῖον τὴν ὑπόθεσιν εἰπεῖν τῆς ἐπιστολῆς, εἶτα καὶ τὰ ζητούμενα. Τίς οὖν ἡ ὑπόθεσις;* [a]*Ἀνήρ τις Φιλήμων τῶν πιστῶν καὶ γενναίων ἀνδρῶν. Ὅτι γὰρ θαυμαστὸς* [b]*ἦν, δῆλον ἀπὸ τοῦ* [c]*καὶ τὴν οἰκίαν αὐτοῦ πᾶσαν εἶναι* [d]*πιστῶν, καὶ οὕτω πιστῶν, ὡς καὶ ἐκκλησίαν αὐτὴν ὀνομάζεσθαι. Διὰ τοῦτο καὶ* [e]*γράφων ἔλεγε·* [1]“Καὶ [f]*τὴν κατ' οἶκόν σου ἐκκλησίαν.*” *Μαρτυρεῖ δὲ αὐτῷ καὶ πολλὴν ὑπακοὴν, καὶ ὅτι τὰ σπλάγχνα τῶν ἁγίων* [g]*ἀνεπέπαυτο εἰς αὐτόν.* Καὶ [h]*αὐτὸς δὲ γράφων ἐν* [i]*ταύτῃ τῇ ἐπιστολῇ παρήγγελλεν αὐτῷ ἑτοιμάσαι ξενίαν. Οὕτω μοι δοκεῖ καταγώγιον εἶναι ἁγίων ἡ οἰκία* [k]*ἐκείνου* B *πάντων ἕνεκεν. Οὗτος δὴ οὖν* [l]*θαυμαστὸς ἀνήρ τις ὢν, παῖδά*

[1] v. 2.

CODICES C.E.G.I.K. [a] *ἀνήρ τις* (+ *ἦν* Cat.) *Φ.* (+ *ὀνόματι* I.) *τῶν πιστῶν καὶ γ. ἀνδρῶν*] Sic E.I. Cat. Veron. et probabil. Vet. *Φ. ἀνήρ τις τῶν θαυμαστῶν καὶ γενναίων* C.G.K. Sav. cet. [b] *ἦν*] *ὁ ἀνὴρ* C.G.K. [c] *καὶ* om. C. [d] *πιστῶν* bis omnes. *πιστὴν* bis Edd. [e] *γράφων*] *ἐπιστέλλων* C.G.K. *φησὶ* pro *ἔλεγε* C.G. [f] *τῇ . . ἐκκλησίᾳ* C.G.K. Sav. cet. [g] *ἀναπέπαυτο* C. *ἀναπέπαυται* E. *ἀνεπαύσατο* Cat. [h] *αὐτὸς δὲ*] *ὅτι αὐτὸς* C.G.K. Statim *ὁ γρ.* C.G. [i] *αὐτῇ* C.G.K. Mox *παρήγγειλεν* C.E. [k] *ἡ ἐκείνου* Edd. *ἡ* om. E.I.K. Cat. [l] *θ. ἀνήρ τις* (*τις ἀνὴρ* I.) *ὢν*] *ὁ θ. ἀνὴρ* C.G.K. Sav. cet.

τινα [m]εἶχεν Ὀνήσιμον. Ὁ τοίνυν Ὀνήσιμος οὗτος κλέψας τι
παρὰ τοῦ δεσπότου, ἐδραπέτευσεν. Ὅτι γὰρ ἔκλεψεν, ἄκουσον
τί φησιν· [2]“Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, ἐγὼ ἀποτίσω.”
Ἐλθὼν τοίνυν πρὸς τὸν Παῦλον [n]εἰς τὴν Ῥώμην, καὶ εὑρὼν
αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, [o]καὶ ἀπολαύσας τῆς παρ' αὐτοῦ διδα-
σκαλίας, καὶ τοῦ βαπτίσματος ἔτυχεν ἐκεῖ. Ὅτι γὰρ ἐκεῖ
ἔτυχε τῆς τοῦ βαπτίσματος δωρεᾶς, δῆλον ἐκ τοῦ εἰπεῖν· [3]“Ὃν
ἐγέννησα ἐν τοῖς δεσμοῖς μου.” [p]Ὁ τοίνυν Παῦλος γράφει
συνιστῶν αὐτὸν πρὸς τὸν δεσπότην, ὥστε πάντων ἕνεκεν λύσιν
C γενέσθαι, καὶ [q]προσέσθαι αὐτὸν ὡς ἀναγεννηθέντα νῦν. [r]Ἀλλ'
ἐπειδή τινές φασι, περιττὸν εἶναι τὸ καὶ ταύτην προσκεῖσθαι
τὴν ἐπιστολὴν, εἴγε ὑπὲρ πράγματος μικροῦ [s]ἠξίωσεν, ὑπὲρ
ἑνὸς ἀνδρὸς, μαθέτωσαν ὅσοι ταῦτα ἐγκαλοῦσιν, ὅτι μυρίων
εἰσὶν ἐγκλημάτων ἄξιοι. [t]Οὐ μόνον γὰρ τὰς οὕτω μικρὰς ἐπι-
στολὰς, καὶ ὑπὲρ οὕτω πραγμάτων ἀναγκαίων ἐπεσταλμένας
ἔδει [v]ἐγγεγράφθαι· ἀλλ' εἴθε γὰρ ἐνῆν εὐπορῆσαι [w]τοῦ τὴν
ἱστορίαν ἡμῖν παραδιδόντος τῶν ἀποστόλων, οὐ λέγω ὑπὲρ ὧν
[x]ἔγραψαν καὶ διελέχθησαν, ἀλλὰ καὶ τὴν ἄλλην αὐτῶν ἀνα-
D στροφὴν, καὶ τί ἔφαγον, καὶ πότε ἔφαγον, [y]καὶ πότε ἐκάθισαν,
καὶ ποῦ ἐβάδισαν, καὶ τί καθ' ἑκάστην ἡμέραν διεπράξαντο,
[z]καὶ ἐν ποίοις μέρεσι γεγόνασι, καὶ εἰς ποίαν οἰκίαν εἰσῆλθον,
773 καὶ ποῦ κατήχθησαν, [a]καὶ μετὰ ἀκριβείας ἅπαντα διηγήσασθαι·
οὕτω πάντα τὰ παρ' αὐτῶν γενόμενα πολλῆς ὠφελείας γέμει.
Ἀλλ' ἐπειδὴ μὴ ἴσασιν οἱ πλείους τὸ κέρδος τὸ ἐντεῦθεν, διὰ
τοῦτο μέμφεσθαι ἐπιχειροῦσιν. Εἰ γὰρ τόπους ὁρῶντες μόνον,
ἔνθα ἐκάθισαν ἢ [b]ἐδέθησαν, τόπους ἀψύχους, πολλάκις ἐκεῖ πα-
ραπέμπομεν τὴν διάνοιαν, καὶ φανταζόμεθα αὐτῶν τὴν ἀρετὴν, (412)

[2] v. 18, 19. [3] v. 10.

[m] εἶχεν] + ὀνόματι I. Post Ὀνήσιμον add. ὄνομα C.G.K. Statim subjungunt ὃς καὶ κλέψας τι τῶν τοῦ δ. iidem. [n] ἐν τῇ Ῥώμῃ E. [o] καὶ om. K. [p] ὁ τοίνυν—νῦν] συνιστῶν οὖν αὐτὸν πρὸς τὸν δ. ὁ Π. γράφει τὴν ἐπιστολὴν, ὥστε καὶ ἀφεῖναι αὐτὸν, ὡς ἀναγ. νῦν, καὶ τούτου ἕνεκεν (ἕνεκα, ut solet, C.) συγγνῶναι πᾶσιν αὐτῷ. ἀλλὰ ταῦτά μοι εἰρήσθω περὶ τῆς ὑποθέσεως· ἔλθωμεν (+ δὲ C.) λοιπὸν καὶ ἐπὶ τὴν λύσιν τῶν ζητουμένων C.G.K. [q] προσέσθαι] Sic de nostro scripsimus. προέσθαι E.I. Veron. προσίεσθαι Sav. cet. *grate reciperet* Vet. [r] ἀλλ' ἐπειδή τινές φ.] ἐπειδὴ γάρ τινες τολμῶσι λέγειν C.G.K. Mox προκεῖσθαι E.I. Veron. invitis Cat. Vet. [s] ἠξίωσεν] ποιεῖται ἀξίωσιν, καὶ C.G.K. [t] οὐ μ. γὰρ] ἐγὼ γὰρ οὐ μ. τοῦτο λέγω ὅτι καὶ iidem. [v] ἐγγράφεσθαι C. Statim pergunt, ἀλλὰ καὶ τοῦτο προστίθημι, ὅτι εἴγε ἐνῆν C.G.K. [w] τοῦ] τινος C. τινος τοῦ G.K. [x] ἔγραψαν καὶ δ.] ἔπραξαν καὶ δ. καὶ ἔγραψαν E. [y] καὶ assumtum ex E.I. καὶ πότε ἐκ. καὶ ποῦ ἐβ.] (+ ποῦ K.) καὶ πότε ἐβ. καὶ ποῦ (ποῖ C.) ἐκ. C.G.K. [z] καὶ accessit ex omnibus. γεγ. μέρεσι inverso ord. C.G.K. [a] καὶ om. C.G.K. Post ἅπαντα add. οὐκ ὤκνησα ἂν iidem. [b] ἐδέθησαν] Sic E.G.I.K. Vet. receptum a Montef. Edebatur ἐδέχθησαν.

καὶ διανιστάμεθα [c]καὶ προθυμότεροι γινόμεθα· εἰ τὰ ῥήματα
καὶ τὰς ἑτέρας αὐτῶν [d]πράξεις, πολλῷ μᾶλλον. Ἀλλὰ περὶ B
μὲν φίλου τις [e]ἐρωτᾷ, ποῦ διάγει, τί πράττει, ποῦ πρόεισι·
περὶ δὲ τῶν [f]κοινῶν τῆς οἰκουμένης διδασκάλων οὐκ ἔδει ταῦτα
[g]μαθεῖν; [h]Ὅτι δὲ καὶ ὑπὲρ σφόδρα ἀναγκαίων ἡ ἐπιστολὴ
αὕτη διεπέμπετο, καὶ τοῦτο μαθήσεσθε. Ὅταν γάρ τις πνευ-
ματικῶς ζῇ, καὶ σχήματα καὶ βαδίσματα καὶ ῥήματα καὶ πρά-
γματα τοῦ τοιούτου, καὶ πάντα ἁπλῶς τοὺς ἀκούοντας ὠφελεῖ,
καὶ οὐδὲν ἐμποδίζει, οὐδὲ κώλυμα γίνεται. [i]Πλὴν ὅτι περὶ
ἀναγκαίων ἡ ἐπιστολὴ διεπέμπετο, μαθεῖν ὑμᾶς χρήσιμον.
Ὅρα τοίνυν πόσα [k]κατορθοῦται ἐντεῦθεν. Ἓν μὲν καὶ πρῶτον,
τὸ σπουδαῖόν τινα εἶναι περὶ πάντα. Εἰ γὰρ Παῦλος ὑπὲρ
δραπέτου, [l]ὑπὲρ λῃστοῦ καὶ κλέπτου τοσαύτην ποιεῖται πρό- C
νοιαν, καὶ οὐ παραιτεῖται μετὰ τοσούτων αὐτὸν ἐγκωμίων παρα-
πέμψαι, οὐδὲ αἰσχύνεται, πολλῷ μᾶλλον [m]οὐδὲ ἡμᾶς προσήκει
ῥᾳθύμους εἶναι περὶ τὰ τοιαῦτα. Δεύτερον, ὅτι [n]τὸ δουλικὸν
γένος οὐ δεῖ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἐλάσῃ κακίαν. Εἰ
γὰρ ὁ κλέπτης, ὁ δραπέτης οὕτως ἐγένετο ἐνάρετος, ὡς θέλειν
τὸν Παῦλον κοινωνὸν αὐτὸν καταστῆσαι, καὶ γράφων ἔλεγεν,
[4] "Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι·" [o]πολλῷ μᾶλλον ἐλευθέρους
ἀπογινώσκειν οὐ χρή. Τρίτον, ὅτι τοὺς δούλους ἀποσπᾶν τῶν
δεσποτῶν οὐ προσήκει. Εἰ γὰρ Παῦλος, ὁ οὕτω θαρρῶν τῷ D
Φιλήμονι, [p]τὸν Ὀνήσιμον, τὸν οὕτως εὔχρηστον καὶ χρήσιμον
αὐτῷ πρὸς διακονίαν, οὐκ ἠθέλησε κατασχεῖν παρὰ γνώμην τοῦ
δεσπότου, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν οὐ χρή. Εἰ γὰρ
θαυμαστός ἐστιν ὁ οἰκέτης, ταύτῃ μάλιστα μένειν αὐτὸν χρὴ ἐν
τῇ δουλείᾳ, καὶ τὴν δεσποτείαν ἐπιγινώσκειν, ἵνα αἴτιος πᾶσι
τοῖς ἐν τῇ οἰκίᾳ ὠφελείας γένηται. Τί τὸν λύχνον ἀπὸ τῆς
λυχνίας ἐπὶ τὸν μόδιον ἄγεις; Εἴθε τοὺς ἔξωθεν εἰς τὰς πόλεις
εἰσωθεῖν ἐνῆν. Τί οὖν, φησὶν, ἂν καὶ αὐτὸς φαῦλος γένηται; E
Διὰ [q]τί, παρακαλῶ; [r]Ἐννόει δὲ, ὅτι καὶ ἔξω ὢν φαυλότερος
[s]ἔσται ὁ ἔνδον φαῦλος γενόμενος. [t]Εἰ γὰρ ἔνδον ὢν, καὶ ἔχων

[4] v. 13.

[c] καὶ προθ. γιν. om. K. et in textu G. [d] πράξεις] + ἠκούσαμεν Sav. cet. ἠκούσαμεν om. E. Veron. [e] ἐρωτᾷ] + πολλάκις C.G.K. [f] κοινῶν] λοιπῶν C. [g] μαθεῖν] + μᾶλλον ἐρωτῶντός τινος, εἰπέ μοι C. + μᾶλλον ἐρωτῶντας, εἰπέ μοι G.K. + εἰπέ μοι Sav. cet. [h] Haec ὅτι δὲ—μαθήσεσθε desunt in C.G.K. Sav. cet. invito Vet. [i] πλὴν ὅτι περὶ] ὅτι δὲ καὶ ὑπὲρ σφόδρα G.K. De scriptura Codicis C. non constat. Post διεπέμπετο add. αὕτη, et ἄξιον pro χρήσιμον C.G.K. [k] κατορθοῦται] κατορθώματα μανθάνομεν C.G.K. [l] ὑπὲρ] + οἰκέτου ante corr. C. [m] οὐδὲ ἡμᾶς] ἡμᾶς οὐ C.G.K. [n] τὸ om. K. [o] πολλῷ] + δὲ E.I. [p] τὸν Ὀν. in marg. I. [q] τί] + εἰπέ μοι C.G.K. Sav. cet. [r] ἐννόει δὲ] ὅτι πρὸς πόλιν εἰσῆλθεν; ἀλλ' ἐννόει iidem. [s] ἔσται] ἂν ἦν C.G.K. Statim ὁ γὰρ ἔνδον G.K. Sav. cet. [t] Haec εἰ γὰρ—ἀρετὴν desunt in G.K. Sav. cet.

τὸν φροντίζοντα, οὐκ ἴσχυσε διατηρῆσαι τὴν ἀρετὴν, πολλῷ
μᾶλλον ἔξω ὤν. Ἐνταῦθα μὲν γὰρ καὶ τῆς ἀναγκαίας φροντίδος ἀπήλλακται, τοῦ δεσπότου μεριμνῶντος· ἐκεῖ δὲ ἡ περὶ
τούτων φροντὶς ἴσως ἀπάξει αὐτὸν [v]καὶ τῶν ἀναγκαιοτέρων καὶ
πνευματικωτέρων. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος, τὴν ἀρίστην αὐτοῖς [w]συμβουλὴν εἰσάγων, ἔλεγε· [5]"Δοῦλος ἐκλήθης;
F μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον
χρῆσαι·" τουτέστι, τῇ δουλείᾳ παράμενε. Τὸ δὲ πάντων ἀναγκαιότερον, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται· [x]καθὼς αὐτὸς
774 γράφων ἔλεγεν· [6]"Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους
δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ
θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται." Ἐροῦσι γὰρ καὶ Ἕλληνες, ὅτι δύναται [y]δουλεύων εὐαρεστεῖν τῷ θεῷ· ἐπεὶ εἰς ἀνάγκην [z]καθίστανται τοῦ βλασφημεῖν καὶ λέγειν, [a]ἐπὶ ἀνατροπῇ
[b]τῶν πάντων ὁ Χριστιανισμὸς εἰς τὸν βίον εἰσενήνεκται, τῶν
δεσποτῶν ἀφαιρουμένων τοὺς οἰκέτας, καὶ βίας τὸ πρᾶγμά
ἐστιν. Εἴπω τι καὶ ἕτερον; Διδάσκει ἡμᾶς μὴ ἐπαισχύνεσθαι
B τοὺς οἰκέτας, εἰ ἐνάρετοι εἶεν. Εἰ γὰρ Παῦλος, [c]ὁ πάντων
ἀνθρώπων θαυμασιώτερος, τοσαῦτα περὶ τούτου φησὶ, πολλῷ
μᾶλλον [d]ἡμῖν περὶ τῶν ἡμετέρων. Τοσούτων οὖν ὄντων κατορθωμάτων, καίτοι οὔπω πάντα εἰρήκαμεν, περιττόν τις ἡγεῖται
[e]τοῦτο, τὸ καὶ ταύτην τὴν ἐπιστολὴν ἐντετάχθαι; Καὶ πῶς
οὐκ ἐσχάτης ἀνοίας ἂν εἴη; Προσέχωμεν τοίνυν, παρακαλῶ, τῇ
παρὰ τοῦ ἀποστόλου γραφείσῃ ἐπιστολῇ· τοσαῦτα γὰρ ἤδη
κερδάναντες, πλείονα κερδανοῦμεν ἀπὸ τῆς [f]ὑφῆς.

ΛΟΓΟΣ Α. (413)

C [1]Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς,
Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν, καὶ Ἀπφίᾳ τῇ
ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ'
οἶκόν [a]σου ἐκκλησίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς
ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

ΥΠΕΡ οἰκέτου πρὸς δεσπότην ἐστὶ ταῦτα. [b]Εὐθέως ἀπὸ
D τοῦ προοιμίου τὸ φρόνημα αὐτοῦ κατέσπασεν, οὐκ ἀφῆκεν ἐπαι-

[5] 1 Cor. vii. 21. [6] 1 Tim. vi. 1. [1] Vers. 1—3.

[v] καὶ om. C. [w] συμβ. εἰσάγων pro εἰσάγων συμβ. omnes. [x] καθὼς] + καὶ C.G.K. Sav. cet. [y] δουλ.] καὶ δουλ. iidem. [z] καθίστανται] + πολλοὶ iidem. [a] ἐπὶ] ὅτι ἐπὶ C.G.K. [b] τῶν om. C. Mox κόσμον pro βίον idem. [c] ὁ assumtum ex C.G.I.K. [d] ἡμῖν] Sic E.I. ἡμῖν προσῆκε C.G.K. ἡμεῖς Edd. [e] τοῦτο, τὸ καὶ] Sic I. τοῦτο om. C.G.K. Sav. cet. καὶ τούτῳ καὶ E. καὶ τοῦτο καὶ Veron. [f] ὑφῆς] + τί οὖν φησι; E. Hom. I. [a] σου] αὐτῶν K. [b] εὐθέως] + οὖν Cat.

σχυνθῆναι, τὸν θυμὸν ἔσβεσε, δέσμιον ἑαυτὸν καλῶν, κατένυξε καὶ συνέστειλεν, οὐδὲν τὰ παρόντα ἐποίησε δοκεῖν εἶναι πράγματα. Εἰ γὰρ δεσμὸς οὐκ αἰσχύνη διὰ τὸν Χριστὸν, ἀλλὰ [c]καὶ καύχημα, πολλῷ μᾶλλον δουλεία οὐκ ἐπονείδιστον. Καὶ [d]ταῦτα λέγει, οὐκ ἐπαίρων ἑαυτόν· [e]συμφερόντως γὰρ ποιεῖ, τὸ ἀξιόπιστον δεικνὺς, οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ τὴν χάριν E
ἑτοιμότερον λαβεῖν· ὡς ἂν εἰ ἔλεγε, δι' ὑμᾶς τὸν δεσμὸν τοῦτον περίκειμαι· [f]ὥσπερ οὖν καὶ εἶπεν ἀλλαχοῦ, ἐκεῖ μὲν τὴν κηδεμονίαν δεικνὺς, ἐνταῦθα δὲ τὸ ἀξιόπιστον. Οὐδὲν τοῦ καυχήματος τούτου [g]μεῖζον· [h]ὁ στιγματίας τοῦ Χριστοῦ· [2]"Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Χριστοῦ, [i]φησὶ, βαστάζω·" ὁ δέσμιος τοῦ Χριστοῦ· διὰ γὰρ αὐτὸν [k]ἐδέδετο. Τίς οὐκ ἂν αἰδεσθείη, [l]τίς οὐκ ἂν δυσωπηθείη, Χριστοῦ δεσμὰ ἀκούων; τίς οὐκ ἂν καὶ τὴν ψυχὴν πρόοιτο, μήτιγε οἰκέτην ἕνα; "Καὶ Τιμόθεος ὁ ἀδελφός." F
Συμπαραλαμβάνει καὶ ἕτερον μεθ' ἑαυτοῦ, ὥστε κἀκεῖνον ὑπὸ πολλῶν ἀξιούμενον μᾶλλον εἶξαι, καὶ δοῦναι τὴν χάριν. "Φιλήμονι τῷ ἀγαπητῷ, καὶ συνεργῷ ἡμῶν." Εἰ ἀγαπητὸς, οὐ [m]τόλμα τὸ θαρρεῖν, οὐδὲ προπέτεια, ἀλλὰ πολλῆς [n]φιλίας· εἰ συνεργὸς, οὐ μόνον ἀξιοῦσθαι ὑπὲρ τῶν τοιούτων, ἀλλὰ καὶ 775
χάριν εἰδέναι ὀφείλει· ἑαυτῷ [o]γὰρ χαρίζεται, τὸ αὐτὸ ἔργον οἰκοδομεῖται. Ὥστε καὶ χωρὶς ἀξιώσεως ἑτέραν ἀνάγκην, [p]φησὶν, ἔχεις τοῦ δοῦναι τὴν χάριν· εἰ γὰρ [q]τῷ εὐαγγελίῳ ἐστὶ χρήσιμος, σὺ δὲ εἰς τὸ εὐαγγέλιον σπουδάζεις, ἄρα οὐκ ἀξιωθῆναι, ἀλλ' ἀξιῶσαι ὀφείλεις. "Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ." Ἐμοὶ δοκεῖ σύμβιον εἶναι τούτου. Ὅρα Παύλου τὸ ταπεινόν· καὶ Τιμόθεον παραλαμβάνει πρὸς [r]τὴν ἀξίωσιν, καὶ οὐ τὸν ἄνδρα μόνον ἀξιοῖ, ἀλλὰ καὶ τὴν γυναῖκα, καὶ ἕτερόν τινα ἴσως B
φίλον· "καὶ Ἀρχίππῳ, φησὶ, τῷ συστρατιώτῃ ἡμῶν·" [s]οὐκ ἐξ ἐπιτάγματος βουλόμενος τὰ τοιαῦτα ἀνύειν, οὐδὲ ἀγανακτῶν,
(414) εἰ μὴ εὐθέως [t]κελεύσαντι ὑπακούει· ἀλλ' ἅπερ ἂν ἀνὴρ ἄγνωστος [v]ἐποίησε, ταῦτα ποιεῖν κἀκείνους ἀξιοῖ, ὥστε ἀντιλαβέσθαι τῆς δεήσεως. Οὐ γὰρ τὸ παρὰ πολλῶν ἀξιοῦσθαι μόνον, ἀλλὰ καὶ

[2] Gal. vi. 17.

[c] καὶ om. C.E. [d] ταῦτα] + αὐτὰ I. [e] σ. γὰρ ποιεῖ] ἀλλὰ σ. τοῦτο ποιῶν, καὶ C.G.K. Sav. cet. Post ἀξιόπιστον add. ἐντεῦθεν G.K. Sav. cet. [f] ὥσπερ—ἀλλαχοῦ] οὕτω καὶ ἀλλαχοῦ φησιν· ὡς κακοῦργος τὴν ἅλυσιν ταύτην περίκειμαι· ἀλλ' C.G.K. [g] μεῖζον] + τοῦ ἀκούειν G.K. οὐδὲν—στιγματίας τοῦ Χρ. om. C. [h] ὁ] Sic E.G.K. ὡς Edd. ὡς τὰς I. [i] φησὶ in marg. I. [k] ἐδέδετο] Sic G.I.K. δέδετο Edd. φησὶ, δέδεμαι E. [l] τίς—ἀκούων om. C. [m] τόλμη E. τόλμης Cat. [n] φιλίας] + δεῖγμα C.G.K. Sav. cet. invita Cat. [o] γὰρ non hic, sed post τὸ αὐτὸ habet C. [p] φησὶν om. E. Veron. [q] τῷ] ἐν τῷ C. [r] τὴν om. C. [s] οὐκ] ταῦτα οὕτω κατασκευάζει, οὐκ C.G.K. [t] κελεύσαντα I. Statim ὑπακούειν E. ὑπακούσειεν Cat. [v] ἐποίησε pro ἐποίει libri omnes et Cat. Statim ταῦτα ποιεῖ I.

τὸ πρὸς πολλοὺς τὴν δέησιν [w]γενέσθαι, φέρει τι. εἰς τὸ ἀνυ-
σθῆναι τὸ ἀξιούμενον. Διὰ [x]τοῦτο ἔλεγε· "καὶ Ἀρχίππῳ τῷ
συστρατιώτῃ ἡμῶν." [y]Εἰ συστρατιώτης εἶ, καὶ ἐν τούτοις κοι-
C νωνεῖν ὀφείλεις. Οὗτος δέ ἐστιν Ἄρχιππος, περὶ οὗ γράφων
[z]Κολοσσαεῦσιν ἔλεγεν· [3] "Εἴπατε Ἀρχίππῳ· βλέπε τὴν δια-
κονίαν, ἣν παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς." Δοκεῖ μοι
[a]οὗτος εἶναι τῶν ἐν κλήρῳ κατειλεγμένων· [b]ἀλλὰ καὶ τοῦτον
παραλαμβάνει εἰς τὴν ἀξίωσιν, καὶ [c]συστρατιώτην καλεῖ, ὥστε
παντὶ [d]τρόπῳ συνάρασθαι. "Καὶ [e]τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ."
Οὐδὲ δούλους παρῆκεν ἐνταῦθα· οἶδε γὰρ πολλάκις καὶ ῥήματα
δούλων [f]ἀνατρέψαι τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὑπὲρ δού-
D λου ἡ ἀξίωσις ᾖ. [g]Οἱ μάλιστα παροξύνοντες ἴσως ἐκεῖνοι ἦσαν.
Οὐ τοίνυν ἀφίησιν αὐτοὺς εἰς φθόνον ἐμπεσεῖν, τῇ προσηγορίᾳ
τιμήσας μετὰ τῶν δεσποτῶν. Ἀλλ' οὐδὲ τὸν δεσπότην ἀγα-
νακτῆσαι συγχωρεῖ. Εἰ μὲν γὰρ ὀνομαστὶ εἶπεν, ἴσως ἂν ἠγα-
νάκτησεν· εἰ δὲ μὴ ἐμνήσθη, [h]οὐκ ἂν ἐδυσχέρανεν. Ὅρα οὖν
πῶς συνετῶς εὗρε [i]καὶ μνησθῆναι, καὶ τούτους τῇ μνήμῃ τιμῆσαι,
κἀκεῖνον μὴ πλῆξαι. Τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα οὐκ ἀφίησι
τοὺς δεσπότας ἀγανακτεῖν, εἴγε συναριθμοῖντο τοῖς οἰκέταις.
Καὶ γὰρ ἡ ἐκκλησία οὐκ οἶδε δεσπότου, οὐκ οἶδεν [k]οἰκέτου δια-
φοράν· ἀπὸ κατορθωμάτων καὶ ἁμαρτημάτων τοῦτον κἀκεῖνον
E ὁρίζει. Εἰ τοίνυν ἐκκλησία ἐστὶ, μὴ ἀγανάκτει, [l]ὅτι μετὰ σοῦ
προσηγορεύθη ὁ δοῦλος· [4] "Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος,
οὐκ ἐλεύθερος." "Χάρις ὑμῖν καὶ εἰρήνη." Εἰς ὑπόμνησιν αὐ-
τὸν [m]ἤνεγκε τῶν οἰκείων [n]ἁμαρτημάτων. Ἐννόησον, φησὶν,
ὅσα σοι συνεχώρησεν ὁ θεὸς, πῶς χάριτι [o]σὺ ἐσώθης· μίμησαι
τὸν δεσπότην. [p]Ἐπεύχεται οὖν αὐτῷ. Πῶς οὖν; [q]ὅταν μιμώμεθα
αὐτὸν, ἐπιμένει ἡ χάρις· ἐπεὶ κἀκεῖνος ὁ δοῦλος ὁ περὶ τὸν σύν-
F δουλον [r]ἀνηλεὴς γεγονὼς, ἕως ὅτε οὐκ ἀπῄτει τὰ ἑκατὸν δηνάρια,
καὶ ἡ χάρις ἔμενεν ἡ δεσποτική· ἐπειδὴ δὲ ἀπῄτησεν, ἀφῃρέθη,
καὶ παρεδόθη τοῖς βασανισταῖς.

[3] Col. iv. 17. [4] Gal. iii. 28.

[w] γίνεσθαι C.G.K. [x] τοῦτο] + καὶ C. [y] εἰ] δηλῶν ὅτι εἰ G.K. εἰ— ὀφείλεις om. C. [z] Κολασσ. E. [a] οὗτος] καὶ οὗτος C.G.K. οὗτος καὶ I. Sav. cet. καὶ om. E. Veron. Cat. [b] ἀλλὰ καὶ τοῦτον] ὃν καὶ C.G.K. Sav. cet. [c] συστρ.] οὐ στρ. C. [d] τρόπῳ] τόνῳ I. [e] τὴν . . . ἐκκλησίαν I. [f] ἀνατρέψαι] + δυνάμενα C.G.K. Sav. cet. [g] οἱ] + δὲ iidem. Mox ἔσω pro ἴσως C. [h] οὐκ ἂν] κἂν C.G.K. Sav. cet. [i] καὶ] διὰ τοῦ iidem. [k] οἰκέτου] δούλου C. [l] ὅτι] καὶ γὰρ G.K. [m] ἐνῆκε C. invita Cat. [n] ἁμαρτημάτων] + χάριτος μνημονεύσας. ὃ οὖν λέγει, τοῦτό ἐστιν C.G.K. + τῆς χάριτος ὑπομνήσας Sav. cet. Mox φησὶν om. C.G.K. [o] σὺ om. C.G.K. Mox καὶ μίμησαι iidem. [p] ἐπεύχεται—ἡ χάρις] ἐπεύχεται δὲ αὐτῷ (+ καὶ C.) τὴν εἰρήνην· εἰκότως. τότε γὰρ παραγίνεται καὶ αὐτὴ, ὅταν μιμ. αὐτὸν, ὅταν ἐπιμένῃ ἡ χ. C.G.K. Sav. cet. [q] ὅταν] + οὖν Veron. [r] ἀνελεὴς K.

[s]Ταῦτα [t]ἐννοοῦντες, οἰκτίρμονες ὦμεν, [v]συγγνωμονικοὶ περὶ
τοὺς ἁμαρτάνοντας εἰς ἡμᾶς. Ἑκατὸν δηνάριά ἐστιν [w]ἐνταῦθα
τὰ εἰς ἡμᾶς [x]ἁμαρτήματα, τὰ δὲ εἰς τὸν θεὸν παρ' ἡμῶν, μυρία 776
τάλαντα. Ἴστε [y]γάρ, ὅτι καὶ τῇ ποιότητι [z]τῶν προσώπων τὰ
ἁμαρτήματα κρίνονται. Οἷόν τι λέγω· ὁ τὸν ἰδιώτην ὑβρίσας,
[a]ἥμαρτεν, ἀλλ' οὐχ ὁμοίως ὡς ὁ τὸν ἄρχοντα· [b]καὶ μειζόνως
τούτου ὁ τὸν μείζονα ἄρχοντα, ἀλλ' οὐχ ὁμοίως [c]ὁ τὸν ἐλάτ-
τονα· ὁ δὲ τὸν βασιλέα, [d]πολλῷ πλέον· [e]καὶ ἡ μὲν ὕβρις ἐστὶν
ἡ αὐτὴ, τῇ δὲ [f]ὑπεροχῇ τοῦ προσώπου μείζων γίνεται. Εἰ δὲ B
ὁ βασιλέα ὑβρίζων, ἀφόρητον ἔχει τὴν τιμωρίαν διὰ τὴν τοῦ
προσώπου [g]ἀξιοπιστίαν, ὁ τὸν θεὸν ὑβρίζων πόσων ἔσται
ὑπεύθυνος ταλάντων; Ὥστε κἂν τὰ αὐτὰ εἰς τὸν θεὸν ἁμαρτά-
νωμεν, ἅπερ εἰς τοὺς ἀνθρώπους, οὐδὲ οὕτω τὸ ἴσον ἐστὶν, ἀλλ'
ὅσον μέσον θεοῦ καὶ ἀνθρώπων, τοσοῦτον τῶν ἁμαρτημάτων
ἐκείνων καὶ τούτων. [h]Νῦν δὲ καὶ πλείονα εὑρίσκω τὰ ἁμαρτή-
ματα, οὐ τῇ ὑπεροχῇ τοῦ προσώπου [i]μεγάλα γινόμενα, ἀλλὰ
καὶ αὐτῇ τῇ φύσει. [k]Καὶ φρικτὸς μὲν ὁ λόγος [l]καὶ φοβερὸς C
ὄντως, πλὴν ἀνάγκη λεχθῆναι, [m]ἵνα ἡμῶν τὴν διάνοιαν κατα-
σείσῃ καὶ παρασαλεύσῃ, δεικνὺς ὅτι πολλῷ πλέον ἀνθρώπους
φοβούμεθα ἢ τὸν θεὸν, [n]καὶ τιμῶμεν ἀνθρώπους ἢ τὸν θεόν.
[o]Ἐννόησον· ὁ μοιχεύων οἶδεν ὅτι [p]θεὸς αὐτὸν ὁρᾷ, καὶ τούτου
μὲν καταφρονεῖ· ἂν δὲ ἄνθρωπος ἴδῃ, κατέχει τὴν ἐπιθυμίαν.
[q]Οὐχὶ προτιμᾷ ἀνθρώπους θεοῦ; [r]οὐχὶ ὑβρίζει τὸν θεόν; ἀλλὰ
καὶ τὸ πολλῷ χαλεπώτερον, ἐκείνους δεδοικὼς, [s]τούτου κατα- D
φρονεῖ. [t]Ἂν μὲν γὰρ ἐκείνους ἴδῃ, κατέχει τὴν φλόγα τῆς
ἐπιθυμίας· μᾶλλον δὲ [v]ποίαν φλόγα; οὐκ ἔστι φλὸξ, ἀλλὰ

[s] ΗΘΙΚΟΝ. Περὶ τοῦ συγγνωμονεῖν τοῖς ἁμαρτήσασι, καὶ προσδοκᾶν παρὰ θεοῦ τῶν ἰδίων κακῶν συγχώρησιν, καὶ μὴ προτιμᾶν ἀνθρώπους τοῦ θεοῦ, καὶ ὁμολογεῖν τὰ ἁμαρτήματα. Veron. [t] ἐνν.] δὴ καὶ ἡμεῖς ἐνν. C.E.G.K. Sav. cet. [v] συγγ.] + τε E. [w] ἐνταῦθα om. C.G.K. [x] ἁμαρτήματα] παρ' ἄλλων ἐξαμαρτανόμενα C.G.K. [y] γὰρ] δὲ Sav. cet. δὲ πάντως C.G.K. Statim ὅτι πρὸς τὴν ποιότητα C.G.K. [z] τοῦ προσώπου E. [a] ἥμαρτεν] ἥμαρτε μὲν C.G.K. [b] καὶ μειζόνως—ὁμοίως] ὥσπερ οὐδὲ ὁμοίως ὁ ὑβρίζων μείζονα καὶ ἐλάττονα ἄρχοντα, καὶ οὐχ ὁμοίως G.K. [c] ὁ] ὡς ὁ C.E.G. Veron. [d] πολλῷ] ἔτι πολλῷ C.G. [e] καὶ] ὅρα πῶς C.G.K. [f] ὑπεροχῇ τοῦ πρ.] ποιότητι τῶν προσώπων C.G.K. [g] ἀξιοπιστίαν] ἀξίαν E. ὑπεροχὴν C.G.K. [h] νυνὶ C.I. [i] μεγάλα] + μόνον C.G.K. Sav. cet. [k] καὶ et μὲν om. G.K. [l] καὶ φ. ὄντως] καὶ φ. ὃν μέλλω λέγειν C. ὄντως καὶ φ. ὃν μ. λ. G.K. ὃν μ. λ. καὶ φ. ὄντως Sav. cet. [m] ἵνα] + κἂν οὕτως C.G.K. Sav. cet. [n] καὶ—θεὸν om. C. [o] ἐννόησον] σκόπει γὰρ C.G.K. Sav. cet. [p] ὁ θεὸς C. [q] οὐχὶ] ὁ τοιοῦτος οὐχὶ C.G.K. Sav. cet. Mox μόνον ἀνθρώπους C.G.K. ἀνθρώπους μόνον Edd. μόνον om. E.I. [r] οὐχὶ] οὐδὲ E. οὐχὶ μόνον C.G.K. Sav. cet. [s] τούτου καταφρ.] τοῦτον ὑβρίζει E. [t] ἂν μὲν γὰρ ἐκείνους] καὶ τοῦ μὲν θεοῦ οὐδένα λόγον ποιεῖται (ποιεῖται λόγον C.) ἂν δὲ ἀνθρώπους C.G.K. [v] ποίαν —ὕβρις] τὴν ὕλην (ὕβριν C.)· ὕλη (ὕβρις C.) γάρ, καὶ οὐ φλὸξ ἡ ἐπιθυμία C. G. K.

ὕβρις. Εἰ μὲν γὰρ μὴ ἐξῆν γυναικὶ κεχρῆσθαι, εἰκότως φλὸξ
τὸ πρᾶγμα ἦν· [w]νυνὶ δὲ ὕβρις καὶ στρῆνος. Ἂν μὲν [x]γὰρ ἀν-
θρώπους ἴδῃ, ἵσταται τῆς μανίας, τῆς δὲ τοῦ θεοῦ μακροθυμίας
ἔλαττον φροντίζει. Πάλιν ἕτερος, [y]ὁ κλέπτων, σύνοιδεν ὅτι
ἁρπάζει, καὶ ἀνθρώπους μὲν πειρᾶται [z]ἀπατῆσαι, καὶ ἀπολο- (415)
E γεῖται πρὸς τοὺς ἐγκαλοῦντας, καὶ σχῆμα περιτίθησι τῇ ἀπο-
λογίᾳ· τὸν δὲ θεὸν μὴ δυνάμενος πεῖσαι, οὐ φροντίζει, οὐδὲ
αἰδεῖται, οὐδὲ τιμᾷ. Κἂν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι
τῶν ἑτέρου χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὑτοῦ δοῦναι, πάντες
[a]ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ θεοῦ [b]κελεύοντος μὴ ἁρπάζειν,
μηδὲ τὰ ἑτέρων [c]λαμβάνειν, οὐκ ἀνεχόμεθα. [d]Ὁρᾷς, ὅτι προ-
τιμῶμεν ἀνθρώπους τοῦ [e]θεοῦ; Φορτικὸν τὸ ῥῆμα καὶ ἐπαχθές·
F ἀλλὰ δείξατε ὅτι [f]φορτικὸν, φύγετε τὸ ἔργον· εἰ δὲ τὸ ἔργον
οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δύναμαι λέγουσιν, ὅτι τὰ
ῥήματα δεδοίκαμεν, καὶ [g]βαρεῖς ἡμᾶς; Ὑμεῖς ἑαυτοὺς [h]τῷ ἔργῳ
βαρεῖτε, καὶ οὐδεὶς λόγος· ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς
τὰ πράγματα πράττετε, ἀγανακτεῖτε· καὶ πῶς οὐκ ἄτοπον;
777 Γένοιτο ψεῦδος εἶναι τὰ παρ' ἐμοῦ. Βούλομαι αὐτὸς λοιδορίας
δόξαν λαβεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῇ καὶ μάτην λοιδο-
ρησάμενος ὑμᾶς, ἢ ἰδεῖν ὑπὲρ τοιούτων ἐγκαλουμένους. Οὐ μόνον
δὲ αὐτοὶ ἀνθρώπους προτιμᾶτε τοῦ θεοῦ, ἀλλὰ καὶ ἑτέρους
ἀναγκάζετε. Πολλοὶ πολλοὺς οἰκέτας ἠνάγκασαν, καὶ παῖδας·
οἱ μὲν εἰς γάμον εἵλκυσαν [i]μὴ βουλομένους, οἱ δὲ ὑπηρετήσασθαι
διακονίαις ἀτόποις, καὶ ἔρωτι μιαρῷ, καὶ ἁρπαγαῖς καὶ πλεο-
νεξίαις καὶ βίαις· ὥστε διπλοῦν εἶναι τὸ ἔγκλημα, καὶ μηδὲ ἀπὸ
B τῆς [k]ἀνάγκης συγγνώμην αὐτοὺς εὑρέσθαι. Εἰ γὰρ αὐτὸς ἄκων
πράττεις τὰ πονηρὰ, καὶ διὰ τὸ ἐπίταγμα τοῦ ἄρχοντος,
μάλιστα μὲν οὐδὲ οὕτως ἱκανὴ ἡ ἀπολογία, [l]πλὴν χαλεπω-
τέρα γίνεται ἡ ἁμαρτία, ὅταν καὶ ἐκείνους ἀναγκάζῃς τοῖς αὐ-
τοῖς περιπίπτειν. Ποία γὰρ ἂν εἴη τῷ τοιούτῳ συγγνώμη
[m]λοιπόν;

Ταῦτα εἶπον, οὐχὶ κατακρῖναι βουλόμενος ὑμᾶς, ἀλλὰ δεῖξαι,
πόσων ἐσμὲν ὀφειλέται τῷ θεῷ. Εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες

[w] νυνὶ—στρῆνος] νυνὶ δὲ παρὰ τῶν πλείστων τὰ μὲν συγκεχωρημένα περιφρο-νούμενα, τὰ δὲ κεκωλυμένα παντελῶς σπουδαζόμενα. ὕβρις καὶ στρῆνος (πόνος C.) τὸ ὅλον ἐστὶ C.G.K. [x] γὰρ] οὖν C.G.K. [y] ὁ om. C.G.I.K. [z] ἀπατᾶν G. ἀπατεῖν C. [a] ἑτοίμως] ὁμοίως I. [b] κελεύσαντος E. [c] λαμβάνειν] Sic omnes. συνάγειν Edd. [d] ὁρᾷς] + πῶς ἀποδέδεικται C.G.K. [e] θεοῦ] + τάχα ἐρεῖτε iidem. [f] φορτικὸν] + ἀπὸ τοῦ εὐλαβεῖσθαι καταφρονεῖν iidem. Statim φύγε I. φεύγετε Mor. Ben. invitis libris. [g] βαρεῖς] φοβεῖς C. [h] τῷ ἔργῳ om. E. [i] μὴ] οὐ E. [k] ἀνάγκης] + δύνασθαι C.G.K. Sav. cet. Mox εὑρᾶσθαι (sic) I. [l] πλὴν] + ἀλλὰ C.G.K. [m] λοιπὸν ante τῷ τ. transp. E.I.

ἄνθρωπον [n]τοῦ θεοῦ, ὑβρίζομεν τὸν θεὸν, πόσῳ μᾶλλον, ὅταν
προτιμῶμεν ἀνθρώπους; Εἰ [o]καὶ ταῦτα τὰ ἁμαρτήματα τὰ εἰς
ἀνθρώπους γινόμενα, [p]εἰς θεὸν πολλῷ μείζονα δείκνυται· πόσῳ C
μᾶλλον, ὅταν καὶ αὐτὴ ἡ ἁμαρτία τῇ ποιότητι μείζων ᾖ καὶ
χαλεπωτέρα; Ἐξεταζέτω τις ἑαυτὸν, καὶ ὄψεται πάντα δι'
ἀνθρώπους ποιῶν. Σφόδρα [q]ἦμεν μακάριοι, εἰ τοσαῦτα διὰ τὸν
θεὸν ἐπράττομεν, ὅσα [r]διὰ ἀνθρώπους, καὶ τὴν παρὰ τῶν ἀν-
θρώπων δόξαν, καὶ τὸν φόβον καὶ τὴν τιμήν. Εἰ τοίνυν τοσού-
των ἐσμὲν ὑπεύθυνοι, ὀφείλομεν μετὰ πάσης προθυμίας ἀφιέναι
τοῖς ἀδικοῦσιν ἡμᾶς καὶ πλεονεκτοῦσι, καὶ μὴ μνησικακεῖν. Ὁδὸς
γάρ ἐστι λύσεως [s]ἁμαρτημάτων, [t]οὐδὲ πόνων δεομένη, οὐδὲ δα- D
πάνης χρημάτων, οὐδὲ ἄλλου οὐδενὸς, ἀλλ' ἁπλῶς προαιρέσεως·
[v]οὐκ ἀποδημίαν χρὴ στείλασθαι, οὐκ εἰς τὴν ὑπερορίαν ἐλθεῖν,
οὐ κινδύνους ὑποστῆναι καὶ πόνους, ἀλλὰ θελῆσαι μόνον. Ποίαν,
εἰπέ μοι, συγγνώμην ἕξομεν ἐν τοῖς δοκοῦσιν εἶναι δυσκόλοις,
ὅταν [w]καὶ πρᾶγμα τοσοῦτον ἔχον κέρδος, καὶ τοσαύτην [x]τὴν
ὠφέλειαν, καὶ οὐδένα πόνον, μὴ πράττωμεν; Οὐ δύνασαι χρη-
μάτων καταφρονῆσαι· οὐ δύνασαι δαπανῆσαι τὰ ὄντα εἰς τοὺς
δεομένους· θελῆσαι οὐ δύνασαί τι [y]ἀγαθόν; ἀφεῖναι τῷ ἠδικη- E
κότι οὐ δύνασαι; Εἰ γὰρ μὴ τοσούτων ὑπεύθυνος ἦς, ἐκέλευσε
δὲ μόνον ὁ θεὸς ἀφεῖναι, οὐκ ἔδει; νῦν δὲ τοσούτων ὑπεύθυνος
ὢν, οὐκ ἀφίῃς; [z]Καὶ ταῦτα δὲ ἀφ' ὧν ἔχεις αὐτοῦ ἀπαιτεῖ.
Ἂν μὲν οὖν ἡμεῖς παρ' ὀφειλέτην ἔλθωμεν ἡμέτερον, [a]ἐκεῖνος
εἰδὼς τοῦτο, θεραπεύει καὶ ὑποδέχεται καὶ τιμᾷ, καὶ πᾶσαν
[b]ἐπιδείκνυται φιλοφροσύνην μετὰ δαψιλείας, καὶ ταῦτα οὐκ F
ἀπὸ τοῦ δανείσματος διαλυόμενος, ἀλλ' ἡμέρους [c]ἡμᾶς θέλων
καταστῆσαι περὶ τὴν ἀπαίτησιν· [d]σὺ δὲ τῷ θεῷ ὀφείλων
τοσαῦτα, καὶ κελευόμενος ἀφεῖναι, πάλιν ἵνα σὺ λάβῃς, οὐκ
[e]ἀφίῃς; Τί δήποτε, [f]παρακαλῶ; Οἴμοι, πόσης μὲν ἀπολαύομεν
φιλανθρωπίας, πόσην δὲ ἐπιδεικνύμεθα κακίαν, πόσον ὕπνον, 778
πόσην νωθείαν; [g]Πῶς εὔκολον ἡ ἀρετή; Ἐνταῦθα οὐ σώματος

[n] τοῦ θεοῦ] Sic C.E.G.K. τῷ θεῷ Edd. Mox πόσῳ pro πολλῷ E.I. [o] καὶ] Sic E.G.I.K. δὲ Edd. [p] εἰς] ἢ εἰς E. [q] ἦμεν] ἦμεν ἂν G.K. ἂν ἦμεν Sav. cet. [r] διὰ ἀ. vel δι' ἀ. omnes. διὰ τοὺς ἀ. Edd. [s] ἁμαρτημάτων] + τὸ μὴ μνησικακεῖν C.G.K. [t] οὐδὲ] οὐ G.K. Sav. cet. Statim οὐ δαπάνης G.K. [v] οὐκ] οὐ γὰρ C.G.K. [w] καὶ] + κοῦφον G.K. Sav. cet. + κοῦφον τὸ C. Post πρᾶγμα add. καὶ C.E.G.K. Sav. cet. [x] τὴν om. E. [y] ἀγαθὸν] + ὡς λέγεις, διαπράξασθαι E. Idem pergit, κἂν τῷ ἠ. ἀφεῖναι οὐ δ. [z] καὶ ταῦτα—ἀπαιτεῖ] καὶ ταῦτα, εἰδὼς ὅτι ἀφ' ὧν ἔχεις ἐξ αὐτοῦ, ἀπαιτῇ C.G.K. Sav. cet. [a] ἐκεῖνος] + δὲ E. τοῦτο εἰδὼς inverso ord. C.G.K. [b] ὑποδείκνυται E. [c] ἡμᾶς om. K. καταστῆσαι θέλων idem. [d] σὺ] ὁ C. [e] ἀφίεις I. [f] παρακαλῶ] εἰπέ μοι, παρ. K. εἰπέ μοι, παρ. οὐκ ἀφίῃς C.G. [g] πῶς] + πρᾶγμ G.K. Post ἀρετὴ add. καὶ πολλὴν ἔχον ὠφέλειαν; πῶς ἐργῶδες ἡ κακία; ἡμεῖς δὲ τὸ οὕτως ἐλαφρὸν ἀποφυγόντες (ἀποφεύγοντες G.K.) διώκομεν τὸ μολύβδου βαρύτερον. C.G.K. Sav. cet. invito Vet.

ἰσχύος χρεία, οὐ πλούτου, [h]οὐ χρημάτων, οὐ δυναστείας, οὐ
φιλίας, οὐκ ἄλλου οὐδενὸς, ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ
πᾶν ἤνυσται, πρᾶγμα πολλὴν [i]ἔχον ὠφέλειαν. Ἐλύπησεν ὁ
δεῖνα καὶ ὕβρισε καὶ ἔσκωψεν; [k]Ἐννόησον, ὅτι καὶ σὺ πολλὰ (416)
τοιαῦτα εἰς ἑτέρους ποιεῖς, καὶ εἰς αὐτὸν τὸν δεσπότην· [l]ἄνες
καὶ συγχώρησον. Ἐννόησον, ὅτι λέγεις· [5]"Ἄφες ἡμῖν τὰ
B ὀφειλήματα [m]ἡμῶν, καθὼς καὶ ἡμεῖς [n]ἀφίεμεν·" ἐννόησον, ὅτι
[o]εἰ μὴ ἀφεῖς, οὐ δυνήσῃ μετὰ παρρησίας τοῦτο εἰπεῖν· ἂν δὲ
ἀφῇς, ὀφειλὴν τὸ πρᾶγμα ἀπαιτεῖς, οὐ διὰ τὴν τοῦ πράγματος
φύσιν, ἀλλὰ διὰ τὴν τοῦ δεδωκότος φιλανθρωπίαν. [p]Καὶ ποῦ
ἴσον, τὰ εἰς τοὺς ὁμοδούλους ἀφιέντα τῶν εἰς τὸν δεσπότην
ἡμαρτημένων τὴν ἄφεσιν λαβεῖν; ἀλλ' ὅμως τυγχάνομεν τῆς
τοσαύτης φιλανθρωπίας, ἐπειδὴ πλούσιός ἐστιν ἐν [q]ἐλέει καὶ
οἰκτιρμοῖς. Ἵνα δέ σοι δείξω, ὅτι καὶ χωρὶς τούτων, καὶ χωρὶς
C τῆς ἀφέσεως, ἀπὸ τοῦ ἀφεῖναι [r]μόνον σὺ καρποῦσαι τὸ κέρδος,
ἐννόησον, πόσους ὁ τοιοῦτος ἔχει φίλους, πῶς πανταχοῦ ἐγκώ-
μια [s]τοῦ τοιούτου ἅπαντες διεξέρχονται· [t]ἀγαθὸς ἀνὴρ, [v]εὐκα-
τάλλακτος, οὐκ οἶδε μνησικακῆσαι, ἅμα ἐπλήγη καὶ ἅμα ἰάθη.
Τὸν τοιοῦτον περιστάσει τινὶ περιπεσόντα, τίς οὐκ ἐλεήσει;
τίς οὐ συγγνώσεται ἁμαρτόντι; τίς οὐ δώσει χάριν ὑπὲρ ἑτέρων
ἀξιοῦντι; τίς οὐ θελήσει φίλος εἶναι καὶ δοῦλος ψυχῆς οὕτως
ἀγαθῆς; Ναὶ, παρακαλῶ, πάντα ὑπὲρ [w]τούτου πράττωμεν, μὴ
D πρὸς φίλους, μὴ πρὸς συγγενεῖς μόνον, ἀλλὰ καὶ πρὸς τοὺς
οἰκέτας. [6]"Ἀνιέντες γὰρ, φησὶ, τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ
[x]ὑμῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς." Ἂν [y]ἀφιῶμεν τοῖς πλησίον
τὰ [z]ἁμαρτήματα, ἂν ἐλεημοσύνας παρέχωμεν, ἂν ταπεινοὶ ὦμεν·
καὶ γὰρ [a]καὶ τοῦτο ἀφαιρεῖ ἁμαρτίας· εἰ γὰρ ὁ τελώνης, ἵνα
μόνον [b]εἴπῃ, [7]"Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ," κατῆλθε δεδικαι-
ωμένος, πολλῷ μᾶλλον καὶ ἡμεῖς, [c]ἐὰν ταπεινοὶ ὦμεν καὶ συντε-
τριμμένοι, δυνησόμεθα πολλῆς φιλανθρωπίας τυχεῖν· ἂν ὁμολο-
E γῶμεν τὰ [d]ἑαυτῶν ἁμαρτήματα, καὶ καταγινώσκωμεν ἑαυτῶν,

5 Matth. vi. 13. 6 Ephes. vi. 9. 7 Luc. xviii. 13.

h οὐ om. E.I. Veron. invito Vet. i ἔχων E.I. πρᾶγμα—ὠφέλειαν om. C.G.K. Sav. cet. k ἀλλ' ἐννόησον C.E.G.K. Sav. cet. l καὶ ἄνες C.G.K. Sav. cet. m ἡμῶν om. E. ὡς pro καθὼς idem. n ἀφίεμεν] + τοῖς ὀφειλέταις ἡμῶν Sav. cet. repugnantibus libris. In Veron. lacuna est. o εἰ μὴ ἀφεῖς] εἰ μὴ ἀφεὶς (sic) I. εἰ μὴ ἀφῇς C.G.K. μὴ ἀφεὶς E. Veron. ἐὰν μὴ ἀφῇς Sav. cet. Mox μετὰ π. τοῦτο pro τοῦτο μετὰ π. C.G.I.K. p καὶ ποῦ] καίτοι οὐκ C.G.K. Mox τὸ pro τὰ I.K. q ἐλέῳ E.I. r μόνου E. s τοῦ τοιούτου] τούτου E. t ἀγαθὸς] ἀγαθὸς, λέγοντες C.G.K. λέγοντες, ἀγαθὸς Sav. cet. λέγοντες om. I. Veron. et, ut videtur, E. Post ἀνὴρ add. φησὶ E. v εὐμετάλλακτος E.I. Veron. w τούτων K. x ἡμῶν E. y ἀφίεμεν K. z ἁμαρτήματα] + ἀφεθήσεται καὶ ἡμῖν C.G.K. Sav. cet. non Vet. a καὶ om. E. b εἴπῃ] + ὁ θεὸς C. c ἐὰν pro ἂν C.G.I.K. d ἑαυτῶν] ἡμῶν G.K. ἑαυτῶν om. C.

τὸ πλέον ἀποσμηξόμεθα τοῦ ῥύπου. Πολλαὶ [e]γὰρ αἱ ὁδοὶ αἱ [f]καθαρεύουσαι. Πάντοθεν τοίνυν πολεμῶμεν τῷ διαβόλῳ. Οὐδὲν εἶπον δύσκολον, οὐδὲν δυσχερές. Ἄφες τῷ λελυπηκότι, ἐλέησον τὸν δεόμενον, ταπείνωσόν σου τὴν ψυχήν· κἂν σφόδρα ᾖς ἁμαρτωλὸς, δυνήσῃ καὶ τῆς βασιλείας [g]ἐπιτυχεῖν, διὰ τούτων αὐτὰ ἐκκαθαίρων τὰ ἁμαρτήματα, καὶ ἀποσμήχων τὴν κηλῖδα. Γένοιτο δὲ, [h]ἡμᾶς πάντας ἐνταῦθα ἀποκαθηραμένους ἅπαντα τῶν ἁμαρτημάτων [i]τὸν ῥύπον διὰ τῆς ἐξομολογήσεως, ἐκεῖ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου F ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β. 779

1 Εὐχαριστῶ τῷ θεῷ [a]μου πάντοτε, μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς [b]σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν [c]ἡμῖν εἰς Χριστὸν Ἰησοῦν.

ΟΥΚ εὐθέως ἐκ προοιμίων αἰτεῖ τὴν χάριν· ἀλλὰ πρότερον B τὸν ἄνδρα θαυμάσας, καὶ ἐπαινέσας ἐπὶ τοῖς κατορθώμασι, καὶ τῆς αὐτοῦ ἀγάπης δείξας τεκμήριον οὐ μικρὸν, τὸ διαπαντὸς αὐτοῦ μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ εἰπὼν ὅτι πολλοὶ ἀναπαύονται πρὸς αὐτὸν, καὶ πᾶσιν ὑπακούει καὶ πείθεται, τότε καὶ αὐτὴν τελευταῖον τίθησι, μάλιστα αὐτὸν δυσωπῶν τούτῳ. Εἰ γὰρ ἕτεροι ἐπιτυγχάνουσιν ὧν δέονται, πολλῷ μᾶλλον [d]ὁ Παῦλος· εἰ πρὸ τῶν ἄλλων ἐλθὼν ἄξιος ἦν τυχεῖν, πολλῷ μᾶλ- C λον μετὰ τοὺς ἄλλους, καὶ πρᾶγμα αἰτῶν οὐκ εἰς αὐτὸν ἀνῆκον, ἀλλ' ὑπὲρ ἑτέρου. Εἶτα ἵνα μὴ δόξῃ τούτου ἕνεκεν γράφειν [e]μόνον, ὡς εἰ μὴ Ὀνήσιμος ἦν, φησὶν, οὐκ ἂν [f]ἔγραψας, ὅρα πῶς καὶ ἑτέρας αἰτίας τίθησι τῆς ἐπιστολῆς· πρῶτον μὲν τὴν ἀγάπην αὐτοῦ δηλῶν, ἔπειτα δὲ καὶ ξενίαν κελεύων ἑτοιμασθῆναι αὐτῷ. "Ἀκούων σου, φησὶ, τὴν ἀγάπην." Θαυμαστὸν τοῦτο, καὶ τοῦ παρόντος [g]ἰδεῖν τοῦτο πολλῷ μεῖζον. Δῆλον γὰρ ὅτι

1 Vers. 4—6.

[e] γὰρ om. G.K. [f] καθαρεύουσαι] καθαίρειν δυνάμεναι C.G.K. [g] τυχεῖν C. [h] πάντας ἡμᾶς inverso ord. E.I. [i] τὸν om. C. Hom. II. [a] μου om. G.K. [b] σου ἐνεργὴς om. C. [c] ὑμῖν] Sic E.G.I.K. ἡμῖν Edd. Infra ἡμῖν C.K. ὑμῖν Edd. [d] ὁ assumtum ex C.E.G.I. [e] μόνον] + μηδὲ εἴπῃ τις C.G.K. Sav. cet. Mox om. φησὶν iidem. [f] ἔγραψεν ex corr. K. [g] ἰδεῖν] ἤδη E. Statim μάλιστα pro τοῦτο C.G.K.

ἐκ τοῦ ὑπερβάλλουσαν ταύτην [h]εἶναι, καὶ διάδηλος γέγονε, καὶ (417)
D μέχρις αὐτοῦ ἔφθασε· καίτοιγε οὐκ ὀλίγον τὸ μέσον ἦν Ῥώμης
καὶ Φρυγίας· [i]ἐκεῖ γάρ μοι δοκεῖ εἶναι [k]ἀπὸ Ἀρχίππου. Οἱ
γὰρ [l]Κολοσσαεῖς τῆς Φρυγίας εἰσὶ, πρὸς οὓς γράφων ἔλεγεν,
[2]"Ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ
ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας
ἵνα καὶ ὑμεῖς ἀναγνῶτε." Αὕτη δὲ τῆς Φρυγίας πόλις ἐστίν.
"Εὔχομαι, φησὶν, ἵνα ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς
γένηται." Ὁρᾷς πρότερον αὐτὸν διδόντα [m]πρὶν ἢ λαβεῖν,
καὶ πρὶν ἢ τὴν χάριν αἰτῆσαι, τὴν [n]αὐτοῦ παρέχοντα [o]πολλῷ
E μείζονα; "Ὅπως, φησὶν, ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς
γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν
Ἰησοῦν." Τουτέστιν, ἵνα πᾶσαν ἀρετὴν ἐπέλθῃς, ἵνα μηδὲν
[p]ἐλλειφθῇ. Οὕτω γὰρ ἡ πίστις γίνεται ἐνεργὴς, ὅταν ἔργα
ἔχῃ. [3]"Χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά ἐστι." Καὶ οὐκ
εἶπεν, ἡ πίστις σου, ἀλλ', "ἡ κοινωνία τῆς πίστεώς σου," συν-
F άπτων αὐτὸν ἑαυτῷ, καὶ ἓν σῶμα δεικνὺς, καὶ τούτῳ μάλιστα
αὐτὸν δυσωπῶν. [q]Εἰ κοινωνὸς εἶ, φησὶ, κατὰ τὴν πίστιν, καὶ
κατὰ τὰ ἄλλα ὀφείλεις κοινωνεῖν.

[4]"[r]Χαρὰν γὰρ ἔχομεν καὶ πολλὴν παράκλησιν ἐπὶ τῇ ἀγάπῃ
σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ."
Οὐδὲν οὕτω δυσωπεῖ, ὡς τὸ [s]τὰς ἑτέρων εὐεργεσίας [t]προφέρειν,
780 καὶ μάλιστα ὅταν ἐκείνων αἰδεσιμώτερος ᾖ. Καὶ οὐκ εἶπεν, εἰ
τοῖς ἄλλοις ποιεῖς, πολλῷ μᾶλλον ἐμοί· ἀλλὰ τὸ αὐτὸ μὲν ἠνί-
ξατο, ἑτέρως δὲ αὐτὸ μεθώδευσε [v]προσηνέστερον. Τουτέστι,
σύ μοι παρρησίαν ἔδωκας ἐκ τῶν εἰς ἑτέρους γενομένων. "Καὶ
παράκλησιν." Τουτέστιν, οὐ μόνον ἡδόμεθα, ἀλλὰ καὶ παρα-
μυθούμεθα· μέλος γὰρ ἡμῶν ἐκεῖνοι. Εἰ τοίνυν [w]τοσαύτην δεῖ
τὴν συμφωνίαν εἶναι, ὡς ἐπὶ ταῖς ἑτέρων ἀναπαύσεσι τοὺς ἄλ-
λους ἐν θλίψεσιν ὄντας, κἂν μὴ τύχωσί τινος, εὐφραίνεσθαι δι'
B ἐκείνους, ὡς ἑνὸς σώματος εὐεργετηθέντος, πολλῷ μᾶλλον [x]καὶ
σὺ ἡμᾶς ἀνέπαυσας. Καὶ οὐκ εἶπεν, ὅτι [y]εἴκεις, [z]ὅτι πείθῃ,

[2] Col. iv. 16. [3] Jac. ii. 26. [4] v. 7.

[h] εἶναι] + καὶ ἀγαπᾶν C.E.G.K. Veron. + καὶ ἀγαπῶν I. [i] ἐκεῖθεν C.G.K. [k] ἀπὸ superscript. in I. ἀπὸ Ἀρχ.] ὅθεν καὶ Ἄρχιππος C.G.K. [l] Κολασσ. E. [m] πρὶν om. I. [n] ἑαυτοῦ E. παρέχοντα in marg. habet K. [o] πολλῷ] καὶ πολλῷ C.G.K. Statim μεῖζον C.E.G.K. μείζων I. [p] λειφθῇ K. [q] εἰ om. K. [r] χάριν C.G.K. Veron. γὰρ om. C. Mox ἐπὶ τῆς ἀγάπης σου I. [s] τὰς] τῶν C. [t] προφέρειν] Sic C.E.G.K. Cat. Edebatur προσφέρειν. [v] προσηνέστερον] + χαρὰν (χάριν C.G.) ἔχομεν C.G.K. Sav. cet. [w] τοσαύτην δ. τὴν σ.] Sic C.G.I.K. τὴν σ. τοσαύτην δ. Edd. [x] καὶ—ἀνέπαυσας] εἰ καὶ ἡμᾶς ἀναπαύσεις C.G.K. Sav. cet. invito Vet. [y] εἴκεις] Sic Sav. cet. cedis Vet. εἰκὸς est in nostris omnibus et Veron. [z] ὅτι om. C.G.K. Statim πείθει I. Veron.

ἀλλὰ καὶ σφοδρότερον καὶ [a]ἐμφαντικώτερον, "ὅτι τὰ σπλάγ-
χνα τῶν ἁγίων," ὡς ἂν εἰ περὶ [b]παιδίου ποθεινοῦ τοῖς πατράσιν
ὄντος καὶ ἐπεράστου. Οὕτως ἡ ἀγάπη, [c]ἡ φιλοστοργία δεί-
κνυσιν αὐτὸν [d]καὶ σφόδρα ἀγαπώμενον παρ' αὐτῶν. [5]"Διὸ
[e]πολλὴν παρρησίαν ἔχων ἐν Χριστῷ." Ὅρα πῶς ἀσφαλίζεται,
μή τι [f]καὶ τῶν ἀπὸ σφοδρᾶς ἀγάπης λεγομένων πλήξῃ τὸν
ἀκροατὴν, ὡς δυσανασχετεῖν. Διὰ τοῦτο πρὶν ἢ εἰπεῖν, "[g]ἐπι-
τάσσειν σοι," ἐπειδὴ βαρὺ ἦν, καίτοιγε ἀπὸ ἀγάπης λεγόμενον C
μᾶλλον [h]ἱκανὸν θεραπεῦσαι, ἀλλ' ὅμως ἐκ περιουσίας πολλὴν
τίθεται τὴν διόρθωσιν, [i]εἰπὼν, "παρρησίαν ἔχων," ὅπερ μέγαν
δεικνύντος ἦν τὸν Φιλήμονα· τουτέστι, παρρησίαν ἡμῖν ἔδωκας
σύ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ [k]τὸ, "ἐν Χριστῷ·" οὐχ ὡς
ἐν τῷ κόσμῳ λαμπρότερος, οὐδὲ ὡς δυνατώτερος, ἀλλὰ διὰ τὴν
πίστιν τὴν εἰς τὸν Χριστόν· [l]καὶ τότε ἔθηκε τὸ, "ἐπιτάσσειν
σοι·" καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ, "τὸ ἀνῆκον," τουτέστιν, D
εὔλογον πρᾶγμα. Καὶ ὅρα ἐκ πόσων αὐτὸ κατασκευάζει. Τοὺς
ἄλλους εὖ ποιεῖς, φησὶ, καὶ ἐμέ· καὶ διὰ τὸν Χριστὸν, καὶ ὅτι
τὸ πρᾶγμα εὔλογον, καὶ ὅτι ἡ ἀγάπη δίδωσι, [6]"[m]Δι' ἣν μᾶλ-
λον παρακαλῶ." [n]Ὡς ἂν εἰ εἶπεν· οἶδα μὲν, ὅτι καὶ ἐπιτάττων
ἀνύω μετὰ πολλῆς τῆς ἐξουσίας, ἀπὸ τῶν [o]προλαβόντων· πλὴν
ἀλλ' ἐπειδὴ πολλὴν ὑπὲρ τοῦ πράγματος ποιοῦμαι [p]σπουδὴν,
παρακαλῶ. Ἀμφότερα ἔδειξεν ὁμοῦ, ὅτι καὶ θαρρεῖ αὐτῷ·
ἐπέταξε γάρ· καὶ ὅτι σφόδρα τοῦ πράγματος ἀντιποιεῖται· διὸ E
[q]παρακαλεῖ. "Τοιοῦτος ὢν, φησὶν, ὡς Παῦλος πρεσβύτης."
Βαβαὶ, πόσα δυσωπητικά; [r]Παῦλος, ἀπὸ τῆς ποιότητος τοῦ
προσώπου· ἀπὸ τῆς ἡλικίας, ὅτι πρεσβύτης· ἀπὸ τοῦ δικαιο-
τέρου πάντων, ὅτι καὶ, "Δέσμιος Ἰησοῦ Χριστοῦ." Τίς γὰρ
οὐκ ἂν τὸν ἀθλητὴν καὶ στεφανίτην ἐδέξατο ὑπτίαις χερσί; τίς
ὁρῶν διὰ Χριστὸν δεδεμένον, οὐκ ἂν μυρία ἐχαρίσατο; Τοσού-
τοις δὴ προλεάνας αὐτοῦ τὴν ψυχὴν, οὐδὲ εὐθέως [s]ἐνέβαλε τὸ

[5] v. 8. [6] v. 9.

[a] ἐκφαν. E. [b] παιδίου] + τις λέγοι C.G.K. [c] ἡ] καὶ ἡ C.G.K. ἡ φιλ. om. Cat. [d] καὶ—αὐτῶν] παρὰ πάντων αὐτῶν σφ. ἀγαπώμενον C. [e] πολλὴν] + φησὶ E. ἐν Χρ. π. ἔχων hoc ord. G.K. Statim inserunt ἐπιτάσσειν σοι τὸ ἀνῆκον C.G.K. Sav. cet. [f] καὶ om. G.K. [g] ἐπιτάσσο (sic) I. ἐπεὶ pro ἐπειδὴ C. [h] ἱκανὸν] + ἦν E. [i] εἰπὼν] + γὰρ G. expunctum in K. Statim παρ. πολλὴν ἔχων E. [k] τὸ] τῷ I. Post Χριστῷ add. ἐπαγαγὼν, ὅπερ δηλοῦντός ἐστιν ὅτι C.G.K. Sav. cet. Mox λαμπρότερον et δυνατώτερον iidem. [l] καὶ om. C.G.K. Statim τέθεικε iidem. [m] δι' ἣν] διὸ καὶ ἐπάγει, διὰ τὴν ἀγάπην C.G.K. Sav. cet. [n] ὡς ἂν εἰ εἶπεν] Sic Sav. cet. ὡσανεὶ εἰπεῖν E.I. Veron. ὡσεὶ ἔλεγεν C.G.K. [o] προλαβόντων] πραγμάτων I. [p] τὴν σπουδὴν I. [q] παρακαλεῖ] + παρακαλῶ, φησὶν C.G.K. Mox φησὶν om. K. Post πρεσβύτης add. νυνὶ δὲ καὶ δέσμιος Ἰ. Χρ. C.G.K. [r] Παῦλος om. Cat. Post προσώπου add. ὅτι Παῦλος I. Cat. [s] ἔβαλε I.

ὄνομα, ἀλλὰ τοσαύτην ποιησάμενος [t]αἴτησιν ἀναβάλλεται. (418)
F Ἴστε γὰρ [v]τοὺς θυμοὺς τῶν δεσποτῶν κατὰ τῶν ἀποδεδρακότων οἰκετῶν· καὶ μάλιστα ὅταν μετὰ κλοπῆς τοῦτο ἐργάσωνται, [w]κἂν χρηστοὺς ἔχωσι δεσπότας, πῶς αὔξεται ἡ ὀργή. Ταύτην οὖν πᾶσι τούτοις προελέανε· καὶ πρότερον πείσας [x]καὶ
781 πᾶν ὁτιοῦν ὑπουργῆσαι ἑτοίμως, καὶ παρασκευάσας αὐτοῦ τὴν ψυχὴν πρὸς πᾶσαν ὑπακοὴν, τότε ἐπάγει τὴν δέησιν, καί φησι· [7]"Παρακαλῶ σε" [y]καὶ μετὰ ἐγκωμίων· "περὶ τοῦ ἐμοῦ τέκνου, ὃν [z]ἐγὼ ἐγέννησα ἐν τοῖς δεσμοῖς μου." Πάλιν οἱ δεσμοὶ δυσωπητικοί. Καὶ τότε τὸ ὄνομα· [a]οὐ μόνον γὰρ τὸν θυμὸν ἔσβεσεν, ἀλλὰ καὶ ἡσθῆναι [b]πεποίηκεν. [c]Οὐ γὰρ ἂν αὐτὸν, φησὶ, τέκνον ἐκάλουν, εἰ μὴ σφόδρα ἦν εὔχρηστος. Ὅπερ Τιμόθεον ἐκάλεσα, τοῦτο καὶ τοῦτον. Καὶ πολλαχοῦ τὴν φιλοστοργίαν δεικνὺς, [d]ἀπὸ τοῦ καιροῦ τῆς ὠδῖνος ἐντρέπει· δέσμιος [e]αὐτὸν
B ἐγέννησα, φησίν. Ὥστε καὶ διὰ τοῦτο ἄξιος πολλῆς τυχεῖν τῆς τιμῆς, ὅτι ἐν αὐτοῖς τοῖς ἄθλοις ἀπετέχθη, ἐν τοῖς ὑπὲρ [f]Χριστοῦ πειρασμοῖς.

"Ὀνήσιμον, [8]τόν ποτέ σοι ἄχρηστον." Ὅρα πόση ἡ σύνεσις, πῶς ὁμολογεῖ αὐτοῦ τὸ ἁμάρτημα, [g]καὶ τούτῳ σβεννὺς αὐτοῦ τὸν θυμόν. Οἶδα, φησὶν, ὅτι ἄχρηστος ἦν· "Νῦν δὲ," [h]σοὶ χρήσιμος ἔσται, οὐκ εἶπεν, ἵνα μὴ ἐκεῖνος ἀντείπῃ, ἀλλὰ καὶ τὸ [i]αὐτοῦ πρόσωπον εἰσήγαγεν, ἵνα ἀξιόπιστοι ὦσιν αἱ
C ἐλπίδες· "Νῦν δὲ σοὶ, φησὶ, καὶ ἐμοὶ [k]εὔχρηστον." Εἰ γὰρ Παύλῳ χρήσιμος τῷ τοσαύτην ἀκρίβειαν ἀπαιτοῦντι, πολλῷ μᾶλλον τῷ δεσπότῃ. [9]"Ὃν ἔπεμψα πρὸς σέ." Καὶ [l]τούτῳ τὸν θυμὸν ἔσβεσε, τῷ παραδοῦναι αὐτόν. Μάλιστα γὰρ οἱ δεσπόται τότε ὀργίζονται, ὅταν ὑπὲρ [m]ἀπόντων παρακαλῶνται· ὥστε καὶ αὐτῷ τούτῳ μᾶλλον κατεπράϋνε. "Σὺ δὲ [n]αὐτόν." Καὶ πάλιν οὐ γυμνὸν τίθησι τὸ ὄνομα, ἀλλὰ μετὰ ῥήματος

7 v. 10. 8 v. 11. 9 v. 12.

[t] αἴτησιν]+ἔτι G.K. [v] τοὺς θ. τῶν δ.] ὁποῖοι τῶν δ. οἱ θυμοὶ C.G.K. [w] κἂν—αὔξεται] κἂν γὰρ χρηστοὶ τύχωσιν ὄντες, αὔξεταί πως C.G.K. [x] καὶ om. C.G.K. Sav. cet. [y] καὶ om. C.I. [z] ἐγὼ accessit ex C.G.I.K. [a] οὐ μ. γὰρ] τούτῳ (τοῦτο K.) οὐ μ. C.G.K. [b] ἐποίησεν K. [c] οὐ—φησὶ] ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἂν αὐτὸν (+ποτε G.K.) C.G.K. [d] ἀπὸ] καὶ ἐνταῦθα (+καὶ C.G.) ἀπὸ C.G.K. [e] αὐτὸς E. Mox ὥστε καὶ om. idem. [f] τοῦ Χρ. Edd. τοῦ om. C.E.I. Cat. [g] καὶ] κἂν E. [h] σοὶ—οὐκ εἶπεν] Sic E.I. Veron. ἀλλὰ νῦν ἐμοὶ (σοι C.) χρήσιμος. (+καὶ C.) οὐκ εἶπεν ἁπλῶς, ἐμοὶ (σοι C.) C.G.K. νῦν δέ σοι καὶ ἐμοὶ χρήσιμος ἔσται. οὐκ εἶπε, νῦν δέ σοι χρήσιμος ἔσται Sav. cet. praeeunte Vet. [i] ἑαυτοῦ C. [k] εὔχρηστον] χρήσιμος I. [l] τοῦτο I. Mox τὸ παρ. C.I. [m] ἀπάντων E. Post παρακαλῶνται add. in marg. eodem calamo τότε μᾶλλον τὴν φλόγα τοῦ θυμοῦ ἀνάπτουσιν I. [n] αὐτὸν]+τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ Sav. cet. repugnantibus libris.

ἐντρεπτικοῦ, ὃ τοῦ τέκνου θερμότερόν ἐστιν. Εἶπε, "τέκνον·" D
εἶπεν, "ἐγέννησα·" [o]ὥστε μάλιστα αὐτὸν φιλεῖν εἰκὸς, ὅτι ἐν
πειρασμοῖς αὐτὸν ἔτεκεν. Ὅτι [p]γὰρ περὶ ἐκεῖνα τὰ παιδία
μάλιστα ἐκκαιόμεθα, [q]δῆλον, ὅταν κινδύνους διαφύγωμεν, καὶ ἐν
αὐτοῖς τέκωμεν· ὡς ὅταν λέγῃ ἡ γραφὴ, [10]" [r]Οὐαὶ Βαροχαβήλ·"
καὶ πάλιν ὅταν [s]καλῇ τὸν Βενιαμὶν ἡ Ῥαχὴλ, [11]" [t]Υἱὸς, φησὶν,
ὀδύνης μου." "Σὺ δὲ αὐτὸν, [v]φησὶ, τουτέστι, τὰ ἐμὰ σπλάγ-
χνα, προσλαβοῦ." [w]Δείκνυσιν αὐτοῦ τὴν ἀγάπην τὴν πολλήν.
Οὐκ εἶπεν, ἀπόδεξαι, οὐκ εἶπε, μὴ ὀργισθῇς, ἀλλὰ, "προσλαβοῦ·"
τουτέστιν, [x]οὐχὶ συγγνώμης, ἀλλὰ τιμῆς ἐστιν ἄξιος. Διὰ τί; E
[y]Τέκνον Παύλου γέγονεν. [12]"Ὃν [z]ἐγὼ ἐβουλόμην ὑπὲρ σοῦ
κατέχειν, ἵνα διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου."
Ὁρᾷς, πόσα πρότερον κατασκευάσας, τότε αὐτὸν ἤγαγεν εἰς
τὴν τοῦ δεσπότου τιμήν; Καὶ [a]ὅρα καὶ τοῦτο μεθ' ὅσης σο-
φίας· [b]ὅρα κἀκεῖνον πόσου ὑπεύθυνον ποιεῖ, καὶ τοῦτον πῶς
τιμᾷ. Εὗρες, [c]φησὶν, ὅπως ἀποδῷς τὴν πρὸς ἐμὲ λειτουργίαν F
δι' αὐτοῦ. Ἐνταῦθα δείκνυσιν, ὅτι τὸ αὐτοῦ μᾶλλον ἐσκόπησεν,
ἢ τὸ τοῦ παιδὸς, ὅτι σφόδρα αὐτὸν αἰδεῖται. [13]"Χωρὶς δὲ τῆς
σῆς γνώμης, [d]φησὶν, οὐδὲν ἠθέλησα [e]ποιῆσαι." Τοῦτο μάλιστα 782
χαυνοῖ τὸν ἀξιούμενον, ὅταν καὶ πράγματος ὄντος χρησίμου,
μετὰ τῆς ἐκείνου γνώμης [f]γίνηται. Δύο γὰρ [g]ἀγαθά· [h]καὶ
οὗτος κερδαίνει, καὶ οὗτος ἀσφαλέστερος [i]καθίσταται. Καὶ
οὐκ εἶπεν, ἵνα μὴ κατὰ ἀνάγκην, [k]ἀλλ', "ὡς κατὰ ἀνάγκην."
[l]Ἤιδειν μὲν γὰρ, φησὶν, ὅτι καὶ μὴ [m]μαθὼν, ἀλλὰ ἀθρόον
γνοὺς, οὐκ ἂν [n]ἠγανάκτησας, ἀλλ' ὅμως ἐκ πλείονος περιουσίας,
"ἵνα μὴ ὡς κατὰ [o]ἀνάγκην." [14]"Τάχα γὰρ διὰ τοῦτο ἐχω-

10 1 Reg. iv. 21. 11 Gen. xxxv. 18. 12 v. 13. 13 v. 14. 14 v. 15, 16.

[o] ὥστε—εἰκὸς] ὥστε δεῖξαι μάλιστα διὰ τοῦτο αὐτὸν φιλεῖν C.G.K. Mox ἔτεκον E. [p] γὰρ] δὲ G.K. [q] δῆλον—τέκωμεν] τὰ ἐν τοῖς κινδύνοις τικτόμενα, ὅταν αὐτοὺς διαφεύγωμεν, δῆλον E. ἃ, ὅταν κινδύνους διαφεύγοντες (διαφυγόντες C.) ἐν αὐτοῖς τέκωμεν, δῆλον ἀπὸ τῆς γραφῆς C.G.K. Mox ἡ γραφὴ om. iidem. [r] οὐαὶ]+σοι E. Statim βαρωχαβὴλ E.I. βαρουχαβὴλ K. [s] καλῇ—μου] εἰσάγῃ τὴν Ῥαχὴλ τὸν Βεν. υἱὸν ὀδύνης καλοῦσαν C.G.K. [t] υἱὸς] Sic E.I. υἱὸν Edd. [v] φησὶ om. K. [w] δείκνυσιν] ὅρα C.G.K. [x] οὐχὶ] οὐ μόνον E. οὐχὶ μόνον G.K. μόνον post συγγνώμης add. C. Ben. Statim ἀλλὰ καὶ τιμῆς C.E.G.K. [y] τέκνον] ὅτι τέκνον C.E.G.K. invita Cat. [z] ἐγὼ]+φησὶν E. ἐγὼ om. C. [a] ὅρα—ὅσης] τοῦτο τῆς Παύλου C.G.K. [b] ὅρα] πλὴν ὅρα iidem. [c] φησὶ]+καιρὸν iidem. [d] φησὶν om. G.K. [e] ποιῆσαι]+ἵνα μὴ ὡς κατ' (κατὰ C.K.) ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον C.G.K. Sav. cet. [f] γίνηται] Sic Cat. γίνεται I. τίκτεται E. τίκτηται Edd. [g] ἀγαθὰ] ἐντεῦθεν γίνονται ἀγαθὰ C.G.K. ἀγαθὰ ἐντεῦθεν γίνεται Sav. cet. [h] καὶ οὗτος] κἀκεῖνος C.G.K. Sav. cet. [i] καθίσταται]+καὶ ἐκεῖνος μέμψεως ἀπήλλακται I. [k] ἀλλ' ὡς κ. ἀ. om. C. [l] ᾔδειν μὲν γὰρ] δηλῶσαι τοῦτο βουλόμενος, ὅτι ᾔδειν μὲν C.G.K. [m] προμαθὼν I. [n] ἀγανακτήσῃς C.G.K. [o] ἀνάγκην]+φημὶ iidem.

B ρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, μηκέτι ὡς δοῦλον." Καλῶς τὸ, "τάχα," ἵνα εἴξῃ ὁ δεσπότης. Ἐπειδὴ γὰρ ἀπὸ αὐθαδείας γέγονεν ἡ φυγὴ καὶ διεστραμμένης διανοίας, καὶ οὐκ ἀπὸ προαιρέσεως, [p]λέγει, "τάχα." Καὶ οὐκ εἶπε, διὰ τοῦτο ἔφυγεν, ἀλλὰ, "διὰ τοῦτο ἐχωρίσθη," [q]εὐφημοτέρῳ ὀνόματι. [r]Καὶ οὐκ εἶπεν, ἐχώρισεν ἑαυτόν· οὐ γὰρ αὐτοῦ τὸ κατασκεύ- (419)
ασμα, τὸ ἐπὶ τούτῳ ἀναχωρῆσαι, [s]οὐδὲ ἐπ' ἐκείνῳ. [t]Ὅπερ καὶ Ἰωσὴφ ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν φησιν, ὅτι [15] "Ὁ θεὸς [v]ἀπέστειλέ με ἐνταῦθα" τουτέστι, τῇ κακουργίᾳ αὐτῶν
C εἰς δέον ἐχρήσατο. "Διὰ τοῦτο ἐχωρίσθη, φησὶ, πρὸς ὥραν." Καὶ τὸν χρόνον συστέλλει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ [w]τρέπει εἰς οἰκονομίαν. "Ἵνα αἰώνιον αὐτὸν, φησὶν, [x]ἀπέχῃς" οὐκ ἐν τῷ παρόντι μόνον καιρῷ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα διαπαντὸς ἔχῃς αὐτὸν, [y]καὶ οὐκέτι δοῦλον, ἀλλὰ τιμιώτερον δούλου· δοῦλον [z]μὲν ὄντα, εὐνοϊκώτερον δὲ ἕξεις ἀδελφοῦ. Ὥστε καὶ [a]τῷ χρόνῳ κεκέρδακας, [b]καὶ τῇ ποιότητι· λοιπὸν γὰρ οὐκ
D ἀποπηδήσει. "Ἵνα αἰώνιον αὐτὸν, φησὶν, ἀπέχῃς," ἀντὶ τοῦ, ἀπολάβῃς. "Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, [c]μάλιστα ἐμοί." Δοῦλον ἀπώλεσας πρὸς ὀλίγον, καὶ ἀδελφὸν [d]εὗρες εἰς τὸ διηνεκὲς, ἀδελφὸν οὐ σὸν μόνον, ἀλλὰ καὶ ἐμόν. Ἐνταῦθα [e]καὶ ἡ ἀρετὴ πολλή. Εἰ δὲ ἐμὸς ἀδελφὸς, οὐκ ἐπαισχυνθήσῃ καὶ σύ. Διὰ μὲν οὖν τοῦ τέκνου τὴν στοργὴν ἔδειξε, διὰ δὲ τοῦ ἀδελφοῦ τὴν εὔνοιαν τὴν πολλὴν καὶ τὴν ἰσοτιμίαν.

[f]Ταῦτα οὐχ ἁπλῶς ἀναγέγραπται, ἀλλ' ἵνα μὴ ἀπογινώ-
E σκωμεν τῶν οἰκετῶν, [g]μηδὲ οἱ δεσπόται σφόδρα αὐτοῖς ἐπιτίθωνται, ἀλλὰ μάθωμεν συγχωρεῖν τὰ ἁμαρτήματα τοῖς οἰκέταις [h]τοῖς τοιούτοις, ἵνα μὴ [i]ἀεὶ τραχεῖς ὦμεν, ἵνα μὴ ἀπὸ τῆς δουλείας ἐπαισχυνώμεθα [k]καὶ κοινωνοὺς αὐτοὺς ἐν πᾶσι λαμβάνειν,

15 Gen. xlv. 5.

[p] λέγει]+τὸ iidem. [q] εὐφ. ὀν.] τῷ (τῷ om. Sav. cet.) εὐφ. ὀν. μᾶλλον πραΰνων C.G.K. Sav. cet. invita Cat. [r] καὶ οὐκ εἶπεν] οὐκ εἶπεν δὲ C.G.K. Statim ἐχώρησεν C.K. Post ἑαυτὸν add. ἀλλ' ἐχωρίσθη C.G.K. Sav. cet. [s] οὐδὲ ἐπ' ἐκείνῳ om. C. [t] ὅπερ] αὐτὸ τοῦτο λέγων ὅπερ G.K. Statim καὶ ὁ Ἰ. E. [v] ἀπέσταλκε E. [w] τρέπει]+τὸ πᾶν C.G.K. Sav. cet. [x] ἔχῃς C. [y] καὶ assumtum ex E.I. Cat. [z] μὲν ὄντα, εὐν. δὲ] γὰρ μένοντα, εὐν. C.G.K. Sav. cet. [a] τοῦ χρόνου E. Statim κεκέρδανκας G. [b] καὶ om. E.I. Veron. invito Vet. Mox ἀποπηδήσει omnes. Edebatur ἀποπηδήσῃ. [c] μάλιστα]+δὲ C.G.K. [d] εὗρες εἰς] Sic G. Cat. εὑρέσεις K. εὑρήσεις C. Veron. Sav. Mor. εὑρήσεις εἰς E.I. Ben. *reperisti* Vet. [e] καὶ om. C.G.K. ἀρετὴ ἡ pro ἡ ἀρετὴ C. ἡ ἀρ. ἡ K. [f] ΗΘΙΚΟΝ. Περὶ τοῦ συγχωρεῖν τοῖς οἰκέταις τὰ ἁμαρτήματα, καὶ μὴ ἀπογινώσκειν αὐτῶν· καὶ περὶ ταπεινοφροσύνης, καὶ τῶν τριῶν παίδων, καὶ Δανιὴλ τοῦ προφήτου. Veron. [g] μηδὲ οἱ δ.] οἱ δ. μηδὲ C.G.K. Sav. cet. Mox ἐπιτιθέμεθα C. ἐπιτιθώμεθα G.K. Sav. cet. [h] τοῖς] καὶ τοῖς C.G.K. [i] ἀεὶ om. C. et a pr. m. I. [k] καὶ om. C.G.K.

ὅταν ὦσιν ἀγαθοί. Εἰ γὰρ Παῦλος οὐκ [l]ἐπῃσχύνθη καὶ τέκνον
καλέσαι, καὶ σπλάγχνον, καὶ ἀδελφὸν, καὶ ἀγαπητὸν, πῶς [m]ἂν
ἡμεῖς ἐπαισχυνθῶμεν; Καὶ τί λέγω, Παῦλος; ὁ Παύλου δε-
σπότης οὐκ ἐπαισχύνεται τοὺς ἡμετέρους δούλους ἀδελφοὺς [n]αὐ-
τοῦ καλεῖν, καὶ ἡμεῖς [o]ἐπαισχυνόμεθα; Ὅρα πῶς ἡμᾶς τιμᾷ·
ἀδελφοὺς ἑαυτοῦ καλεῖ τοὺς ἡμετέρους δούλους, καὶ φίλους, καὶ F
συγκληρονόμους. Ἰδοὺ ποῦ κατέβη. Τί οὖν ποιήσαντες ἡμεῖς,
[p]τὸ πᾶν ἠνυκότες ἐσόμεθα; Οὐδὲν ὅλως [q]δυνησόμεθα, ἀλλ᾽ ὅπου
δ᾽ ἂν ταπεινοφροσύνης ἔλθωμεν, τὸ πλέον αὐτῆς ὑπολέλειπται.
[r]Τί γὰρ, εἰπέ μοι; Ὅπερ ἂν ποιήσῃς σὺ, περὶ τὸν ὁμόδουλον 783
ποιεῖς, ὁ δὲ σὸς δεσπότης περὶ τοὺς σοὺς δούλους πεποίηκεν.
Ἄκουσον, καὶ φρίξον· μηδέποτε ἐπαρθῇς ἐπὶ ταπεινοφροσύνῃ.
Τάχα γελᾶτε τὸ λεχθὲν, [s]εἰ ταπεινοφροσύνη ἐπαίρει· ἀλλὰ μὴ
θαυμάσητε· ἐπαίρει, ὅταν μὴ γνησία ᾖ. Πῶς καὶ τίνι [t]τρόπῳ;
[v]καὶ γὰρ τοῦτο διαβολικόν. [w]Ὥσπερ πολλοὶ διὰ τὸ μὴ κενο-
δοξεῖν κενοδοξοῦσιν, οὕτω καὶ διὰ τὸ ταπεινοῦσθαι ἐπαίρονται B
[x]διὰ τὸ μέγα φρονεῖν. [y]Οἷον, ἦλθέ τις ἀδελφὸς ἢ [z]καὶ οἰκέτης,
προσελάβου αὐτὸν, τοὺς πόδας ἔνιψας, εὐθέως μέγα ἐφρόνησας·
[a]ἐποίησα ὃ οὐδεὶς ἐποίησε, κατώρθωσα τὴν ταπεινοφροσύνην.
[b]Πόθεν οὖν ἄν τις ἐν τῇ ταπεινοφροσύνῃ μένοι; Εἰ [c]μνημονεύοι
τῆς παραγγελίας τοῦ Χριστοῦ [d]τῆς λεγούσης· [16] "Ὅταν πάντα
ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν·" [e]καὶ πάλιν τοῦ
διδασκάλου τῆς οἰκουμένης [f]λέγοντος· "Ἐγὼ ἐμαυτὸν οὐ λογί-
ζομαι κατειληφέναι." Ὁ πείσας ἑαυτὸν, ὅτι οὐδὲν μέγα κατώρ-
θωσεν, ὅσα ἂν ποιήσῃ, οὗτος μόνος ταπεινοφρονεῖν δύναται, ὁ C
μὴ πρὸς τὸ τέλος [g]ἥκειν νομίζων. Πολλοὶ ἀπὸ ταπεινοφρο-
σύνης ἐπήρθησαν. Ἀλλὰ μὴ ἡμεῖς τοῦτο πάθωμεν. Ἐποίησάς
τι ταπεινόν; μὴ φρονήσῃς μέγα, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. Τοι-

16 Luc. xvii. 10. Philipp. iii. 13.

[l] ἐπαισχύνθη E.I. Statim καὶ om. K. [m] ἂν om. C.K. [n] αὐτοῦ] Sic Sav. cet. ἑαυτοῦ E. αὐτοὺς G.I.K. Veron. αὐτοῦ om. C. Statim καλῶν E. [o] ἐπαισχυνούμεθα C.G.K. Sav. cet. [p] τὸ πᾶν ἠ. ἐσόμεθα] εἰπέ μοι, εἰς τὴν τοῦ δεσπότου ταπείνωσιν φθάσομεν (φθάσωμεν C.) C.G.K. [q] δυνησόμεθα] +καὶ τὸ πᾶν πράττοντες iidem. [r] τί γὰρ, εἰπέ μοι] σκόπει γὰρ C.G.K. Sav. cet. [s] εἰ τ. ἐπαίρει] καὶ θαυμάζετε εἰ τ. ἐπαίρει, καὶ ζητεῖτε πῶς καὶ τίνι τρόπῳ C.G.K. Mox πῶς καὶ τίνι τρόπῳ om. iidem. [t] τρόπῳ]+ὅταν διὰ τὸ ἀποδέξασθαι ἀνθρώπους γένηται (γίνηται C.G.) καὶ οὐχὶ θεὸν, ὅταν πρὸς τὸ ἐπαινεῖσθαι καὶ μεγαλοφρονεῖν (μέγα φρονεῖν G.) C.G.K. Sav. cet. [v] καὶ γὰρ (+καὶ E.) τοῦτο] τοῦτο δὲ C.G.K. [w] ὥσπερ]+γὰρ C.G.K. Sav. cet. [x] διὰ τὸ] διὰ τὸ μὴ I. ἀπὸ τοῦ C.G.K. Post φρονεῖν add. ἐφ᾽ ἑαυτοῖς C.G.K. [y] οἷον]+τι λέγω C.G.K. [z] καὶ superscript. in I. οἰκέτης ἢ ἀδελφὸς (om. καὶ) E. [a] ἐποίησα]+λέγεις C.G.K. Sav. cet. [b] πόθεν] πῶς iidem. [c] μνημονεύοι E.I. μνημονεύει Edd. [d] τῆς om. K. Mox ποιήσητε πάντα hoc ord. G.I.K. [e] καὶ πάλιν] εἰ G.K. [f] λέγοντος] Παύλου λέγοντος (+ἀκούει G.K.) C.G.K Mox οὔπω pro οὐ C. [g] ἥκειν]+οὔπω G.K.

οὗτος ἦν ὁ Φαρισαῖος· ἐπήρθη, ἐπειδὴ ἐδίδου τοῖς πένησι τὰς
δεκάτας, καὶ τὸ πᾶν ἀπώλεσεν. Ἀλλ' οὐχ ὁ τελώνης οὕτως.
[h]Ἄκουε Παύλου [i]πάλιν λέγοντος· [17]"Οὐδὲν ἐμαυτῷ σύνοιδα,
ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι." Ὁρᾷς, [k]ὅτι οὐκ ἐπῆρεν ἑαυ-
D τὸν, ἀλλὰ παντοίως [l]συνέστελλε καὶ ἐταπείνου, καὶ ταῦτα εἰς
τὴν ἄκραν κορυφὴν ἀνεληλυθώς; Καὶ οἱ [m]τρεῖς παῖδες ἐν πυρὶ
ἦσαν, καὶ ἐν [n]μέσῃ τῇ καμίνῳ, καὶ τί ἔλεγον; [18]"Ἡμάρτομεν,
ἠνομήσαμεν μετὰ τῶν πατέρων ἡμῶν." [o]Τοῦτό ἐστι καρδίαν
συντετριμμένην ἔχειν. Διὰ τοῦτο [p]ἠδύναντο λέγειν· "Ἀλλ' ἐν (420)
[q]καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείη-
μεν." Οὕτω καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, σφόδρα
ἦσαν τεταπεινωμένοι, καὶ μᾶλλον ἢ πρὸ τοῦ ἐμπεσεῖν. Ἐπειδὴ
γὰρ εἶδον τὸ θαῦμα τὸ γενόμενον, ἀναξίους νομίσαντες ἑαυτοὺς
τῆς σωτηρίας, εἰς ταπεινοφροσύνην [r]κατηνέχθησαν. Ὅταν γὰρ
πεισθῶμεν, ὅτι παρ' ἀξίαν [s]πολλὴν μεγάλα εὐηργετήμεθα, τότε
E μάλιστα ἀνιώμεθα. Καίτοι τί παρ' ἀξίαν εὐηργετήθησαν ἐκεῖ-
νοι; Ἐξέδωκαν ἑαυτοὺς εἰς κάμινον, ἐξηχμαλωτίσθησαν, ἑτέρων
ἁμαρτόντων· ἔτι γὰρ νέοι ἦσαν· καὶ οὐκ ἐγόγγυσαν, [t]οὐδὲ ὠργί-
σθησαν, οὐδὲ εἶπον· ναὶ, τί γὰρ ἡμῖν ἀγαθὸν, ὅτι δουλεύομεν
τῷ [v]θεῷ; οὗτος ἀσεβής ἐστι, καὶ γέγονεν ἡμῶν δεσπότης· καὶ
οὐ τοῦτο μόνον· τί ὠφελήσαμεν προσκυνοῦντες αὐτόν; μετὰ
τῶν εἰδωλολατρῶν ὑπὸ τοῦ εἰδωλολάτρου [w]κολαζόμεθα, εἰς
αἰχμαλωσίαν ἤχθημεν, πατρίδος ἐξεπέσομεν, ἐλευθερίας, τῶν
F πατρῴων ἁπάντων, αἰχμάλωτοι καὶ δοῦλοι γεγόναμεν, βασιλεῖ
βαρβάρῳ δουλεύομεν. Οὐδὲν τούτων εἶπον, ἀλλὰ τί; "Ἡμάρ-
τομεν, ἠνομήσαμεν." Καὶ οὐδὲ ὑπὲρ ἑαυτῶν, ἀλλ' ὑπὲρ [x]τῶν
784 ἄλλων ποιοῦνται τὴν δέησιν· [19]"Ὅτι [y]βασιλεῖ [z]ἐχθίστῳ καὶ
παρανομωτάτῳ παρέδωκας ἡμᾶς." Πάλιν [a]ὁ Δανιὴλ δεύτερον
εἰς λάκκον ἐμβεβλημένος, ἔλεγεν· [20]"[b]Ἐμνήσθης μου γὰρ, ὁ
θεός." Διὰ τί οὐκ [c]ἂν ἐμνήσθη, ὦ Δανιὴλ, [d]ὅτε αὐτὸν ἐδόξασας

17 1 Cor. iv. 4. 18 Preces 3 Puer. 5, 15. 19 Ibid. 8. 20 Bel et Draco, 38.

[h] ἄκουε]+γὰρ τοῦ C.G.+καὶ τοῦ K. [i] πάλιν]+ἀλλαχοῦ C.G.K. πάλιν om. E. et ante corr. I. [k] ὅτι] πῶς C.G.K. Mox ἑαυτὸν omnes. αὑτὸν Edd. [l] συνέστειλε I. [m] τρεῖς]+δὲ G.K. [n] μέσῳ τῆς καμίνου I. μέσῳ τῇ καμίνῳ Veron. Statim καὶ ὅρα τί C.G.K. [o] τουτέστι E. Veron. [p] ἠδύναντο] δυνάμενοι ἦσαν τοῦ E. [q] καρδίᾳ] ψυχῇ C.G.I.K. [r] κατηνέχθησαν]+εἰκότως C.G.K. [s] πολλὴν om. G.K. Sav. cet. Mox εὐεργ. bis E. [t] οὐδὲ ὠργ. om. E. καὶ οὐκ ὠργ. οὐδὲ ἐγογ. hoc ord. I. [v] θεῷ]+τί ὠφελήσαμεν προσκυνοῦντες αὐτόν; C.G.K. Sav. cet. Mox haec καὶ οὐ—αὐτὸν desunt in iisdem. [w] καθεζόμεθα E. Mox ἐξεπέσαμεν E.I. [x] τῶν om. C. [y] βασιλεῖ]+φησὶν C.G.+φασὶν K. Sav. cet. [z] ἐχθίστῳ] ἀδίκῳ C.G.K. Statim παρανομωτάτῳ E.I. πονηροτάτῳ Edd. Post πονηροτάτῳ add. παρὰ πᾶσαν τὴν γῆν C.G.K. [a] ὁ om. C. [b] ἐμνήσθη C. Sav. cet. Statim γάρ μου pro μου γὰρ C. [c] ἂν ἐμνήσθης G.K. ἀνεμνήσθης C. [d] ὅτι I.

ἐπὶ τοῦ βασιλέως, λέγων· [21] “Καὶ ἐγὼ οὐκ ἐν τῇ σοφίᾳ τῇ
οὔσῃ ἐν ἐμοί;” ἀλλ' ὅτε ἐνεβλήθης εἰς λάκκον λεόντων διὰ τὸ
μὴ [e] ὑπακοῦσαι τῷ πονηροτάτῳ δόγματι ἐκείνῳ; διὰ τί οὐκ [f] ἂν
ἐμνήσθη δι' [g] αὐτὸ δὴ τοῦτο; οὐχὶ δι' αὐτὸν ἐμβέβλησαι νῦν;
Ναὶ, φησίν· ἀλλὰ πολλῶν ὀφειλέτης εἰμί. [h] Τί οὖν ἂν εἴποιμεν B
λοιπὸν ἡμεῖς; [i] Ἀλλ' ὁ Δαυῒδ ἄκουε τί φησι· [22] “Καὶ ἐὰν εἴπῃ
μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγὼ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον
αὐτοῦ·” καίτοι μυρία ἔχων εἰπεῖν ἑαυτοῦ κατορθώματα. Καὶ ὁ
Ἠλεὶ δέ φησι· [23] “Κύριος αὐτὸς, τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ
ποιήσει.” Τοῦτο δούλων εὐγνωμόνων, μὴ μόνον ἐν ταῖς εὐερ-
γεσίαις, ἀλλὰ καὶ ἐν ταῖς κολάσεσι, καὶ ἐν ταῖς τιμωρίαις τὸ
πᾶν αὐτῷ παραχωρεῖν. Πῶς γὰρ οὐκ [k] ἄτοπον, εἰ ἡμεῖς μὲν C
δεσπότας τύπτοντας τοὺς οἰκέτας [l] ἐῶμεν, εἰδότες ὅτι φείδονται
αὐτῶν, ἅτε [m] αὐτῶν ὄντων ἐκείνων, [n] ὁ δὲ θεὸς οὐ φείσεται;
Τοῦτο καὶ ὁ Παῦλος ᾐνίξατο εἰπὼν, [24] “Ἐάν [o] τε ζῶμεν, ἐάν
τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν.” Οὐ βούλεται αὐτῷ, φησὶ,
τὸν πλοῦτον ἐλαττωθῆναι, οἶδε πῶς κολάζει, [p] οἰκείους κολάζει
παῖδας. Οὐδεὶς ἡμῶν μᾶλλον [q] αὐτοῦ φείδεται, τοῦ ἐκ τοῦ μὴ
ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἡμᾶς, τοῦ τὸν ἥλιον ἀνατέλ-
λοντος, τοῦ βρέχοντος, τοῦ ψυχὴν ἐμπνέοντος, τοῦ τὸν υἱὸν
αὐτοῦ δεδωκότος ὑπὲρ ἡμῶν. Ἀλλ' ὅπερ ἔφην, καὶ δι' ὃ [r] πάντα D
ταῦτα εἴρηται, ταπεινοφρονῶμεν ὡς χρὴ, μετριάζωμεν ὡς [s] χρή·
μὴ ἀφορμὴ ἡμῖν τοῦτο γενέσθω ἐπάρσεως. Ταπεινὸς εἶ, καὶ
πάντων ἀνθρώπων ταπεινότερος; μὴ διὰ τοῦτο μέγα [t] φρόνει,
μηδὲ ἑτέροις ὀνείδιζε, μὴ ἀπολέσῃς τὸ καύχημα. Διὰ τοῦτο
ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς. Ἂν [v] τοίνυν δι' αὐ-
τῆς εἰς ἀπόνοιαν πέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν. Ἄκουε
γὰρ Παύλου λέγοντος· [25] “[w] Καὶ δι' αὐτοῦ μοι, φησὶ, κατερ-
γάζεται [x] θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ
ἁμαρτία διὰ τῆς ἐντολῆς.” Ὅταν εἰς ἔννοιαν ἔλθῃς θαυμάσαι E
[y] ἑαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, [z] νόησον τὸν δεσπότην σου, ποῦ

21 Dan. ii. 30. 22 2 Reg. xv. 26. 23 1 Reg. iii. 18.
24 Rom. xiv. 8. 25 Ibid. vii. 13.

[e] ὑπεῖξαι C.G.K. [f] ἂν ἐμνήσθην G.K. ἀνεμνήσθην C. [g] αὐτὸ] +μὲν E. [h] τί οὖν] εἰ δὲ ἐκεῖνος τοιαῦτα μετὰ τοσαύτην ἀρετὴν, τί C.G.K. Sav. cet. [i] ἀλλ'] καὶ C.G. [k] ἄτοπον] +εὐεργετουμένους μὲν εὐγνώμονας ἡμᾶς (ἡμᾶς om. C.) εἶναι, κολαζομένους δὲ δυσχεραίνειν καὶ ἀποστρέφεσθαι τὴν παιδείαν; εἰπὲ δή μοι C.G.K. Statim μὲν om. iidem. [l] ἐῶμεν ante τύπτοντας transp. E. [m] αὐτοῖς C.G.K. [n] ὁ δὲ θ.] κολάζων δὲ (δὲ om. K.) ὁ θ. C.G.K. ὁ δὲ θ. κολάζων Sav. cet. [o] τε] +γὰρ E. [p] οἰκείους κολάζει om. G.K. [q] ἑαυτοῦ I. [r] πάντα μοι ταῦτα G. Sav. cet. πάντα μοι (om. ταῦτα) C. ταῦτά μοι πάντα K. [s] χρὴ] δεῖ C.E.G.I. [t] φρονήσῃς I. [v] τοίνυν] δὲ C.G.K. Mox ἐμπέσῃς I. [w] καὶ—φησὶ] διὰ τοῦ ἀγαθοῦ μοι C.G.K. Sav. cet. [x] τὸν θ. ante corr. C. [y] ἑαυτὸν] Sic E. Veron. σαυτὸν G.I. σεαυτὸν Sav. cet. [z] ἐννόησον E.

κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτὸν οὐδὲ ἐπαινέσεις, [a]ἀλλὰ
καταγελάσεις σαυτοῦ ὡς οὐδὲν πεποιηκότος. [b]Πάντων ἑαυτὸν
ὀφειλέτην εἶναι νόμιζε, ἅπερ ἂν ποιήσῃς. Ἐκείνην ἀναμιμνήσκου
